ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ
5

ΥΠΟΜΝΗΜΑ

1. ΕΙΣ ΤΗΝ ΓΕΝΕΣΙΝ
(Ὁμιλίαι ΞΕ´—ΞΖ´)

2. ΕΙΣ ΤΟΥΣ ΨΑΛΜΟΥΣ
(Ὁμιλίαι εἰς ψαλμοὺς Γ´—ΙΒ´, ΜΑ´, ΜΓ´)

55 ΕΛΛΗΝΕΣ ΠΑΤΕΡΕΣ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ 55

Ἐπόπται

ΠΑΝ. Κ. ΧΡΗΣΤΟΥ, Καθηγητὴς Πανεπιστημίου
ΘΕΟΔ. Ν. ΖΗΣΗΣ, Καθηγητὴς Πανεπιστημίου

Ἐπιμελητὴς

ΕΛΕΥΘ. Γ. ΜΕΡΕΤΑΚΗΣ, π. Θεολογίας

ΕΠΕ

ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ «ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ»

ΘΕΣΣΑΛΟΝΙΚΗ 1982

ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ
ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ
5

ΥΠΟΜΝΗΜΑ

1. ΕΙΣ ΤΗΝ ΓΕΝΕΣΙΝ
('Ομιλίαι ΞΕ' — ΞΖ')

2. ΕΙΣ ΤΟΥΣ ΨΑΛΜΟΥΣ
('Ομιλίαι εἰς ψαλμοὺς Γ' — ΙΒ', ΜΑ', ΜΓ')

ΚΕΙΜΕΝΟΝ — ΜΕΤΑΦΡΑΣΙΣ — ΣΧΟΛΙΑ

Ὑπὸ
ΕΛΕΥΘΕΡΙΟΥ Γ. ΜΕΡΕΤΑΚΗ
Θεολόγου

1. ΥΠΟΜΝΗΜΑ

ΕΙΣ ΤΗΝ ΓΕΝΕΣΙΝ

(Ὁμιλίαι ΞΕ΄—ΞΖ΄)

ΟΜΙΛΙΑ ΙΕ΄
(Γεν. 45, 25 - 47, 28)

«Καὶ ἀνέβησαν», φησίν, «ἐξ Αἰγύπτου», καὶ ἦλθον εἰς τὴν Χαναναίαν πρὸς Ἰακὼβ τὸν πατέρα αὐτῶν, καὶ ἀνήγγειλαν αὐτῷ, λέγοντες, ὅτι ὁ υἱός σου Ἰωσὴφ ζῇ, καὶ αὐτὸς ἄρχει πάσης γῆς Αἰγύπτου. Καὶ ἐξέστη Ἰακὼβ τῇ διανοίᾳ· οὐ γὰρ ἐπίστευσεν αὐτοῖς».

1. Εἴδετε ἐκ τῶν χθὲς ἡμῖν εἰρημένων τοῦ Ἰωσὴφ τὴν φιλοσοφίαν καὶ τὴν ἄφατον ἀνεξικακίαν ἣν περὶ τοὺς ἑαυτοῦ ἀδελφοὺς ἐπεδείξατο, οὐ μόνον οὐδεμίαν μνήμην τῶν εἰς αὐτὸν γεγενημένων ποιησάμενος, ἀλλὰ καὶ αὐτοῖς μέλλουσιν ἐπανιέναι πρὸς τὸν πατέρα τοῦτο αὐτὸ παραινέσας καὶ συμβουλὴν εἰσαγαγών, ὥστε μὴ ἀλλήλους αἰτιᾶσθαι ὑπὲρ τῶν εἰς αὐτὸν αὐτοῖς εἰργασμένων, ἀλλά, πᾶσαν ὀργὴν ἀπελάσαντας, μετὰ ὁμονοίας τὴν ὁδοιπορίαν ποιεῖσθαι. Ἀναγκαῖον δὲ λοιπὸν σήμερον τὰ ἑξῆς ἀποπληρῶσαι, ἵνα ἴδωμεν καὶ τὴν τούτων ἐπάνοδον τὴν πρὸς τὸν πατέρα, καὶ τοῦ Ἰακὼβ τὴν εἰς Αἴγυπτον κάθοδον, καὶ ὅπως αὐτὸν ἀναθάλαι πεποίηκε τὰ κατὰ τὸν Ἰωσὴφ γνωρισθέντα αὐτῷ, καὶ σχεδὸν εἰπεῖν, νέον ἐκ γέροντος αὐτὸν εἰργάσατο. Τίς γὰρ ἂν δυνηθείη τῷ λόγῳ παραστῆσαι τὴν ἡδονήν, ἐν ᾗ τότε γέγονε, πυθόμενος ζῆν τὸν Ἰωσήφ, καὶ ἐν τοσαύτῃ περιφανείᾳ τυγχάνειν; Ἴστε γὰρ μάλιστα, ὅτι τὰ ἀπροσδόκητα τῶν ἀγαθῶν πολλὴν ἐπίτασιν τῆς ἡδονῆς ἐνεργάζεσθαι πέφυκεν. Ὃν γὰρ ἐνόμιζε πρὸ τοσούτων ἐτῶν κατάβρωμα τῶν θηρίων γεγενῆσθαι, καὶ μαθὼν πάλιν τὴν ἀρχὴν τῆς Αἰγύπτου πᾶσαν κατέχειν αὐτόν,

---

1. Γεν. 45, 24.

Ο Μ Ι Λ Ι Α ΞΕ΄
(Γεν. 45, 25 - 47, 28)

«Καὶ ἀνέβησαν», λέγει, ἀπὸ τὴν Αἴγυπτον καὶ ἦλθον εἰς τὴν χώραν τῆς Χαναάν, πρὸς τὸν πατέρα των Ἰακώβ, καὶ ἀνήγγειλαν εἰς αὐτὸν τὸ ἑξῆς· ὁ υἱός σου Ἰωσὴφ ζῇ καὶ αὐτὸς ἐξουσιάζει ὁλόκληρον τὴν χώραν τῆς Αἰγύπτου. Καὶ ἔμεινε κατάπληκτος ὁ Ἰακώβ· διότι δὲν τοὺς ἐπίστευσεν».

1. Εἴδατε ἀπὸ ἐκεῖνα ποὺ ἐλέχθησαν χθὲς εἰς ἐσᾶς τὸν φιλοσοφικὸν τρόπον σκέψεως τοῦ Ἰωσὴφ καὶ τὴν ἀπερίγραπτον ἀνεξικακίαν ποὺ ἔδειξε πρὸς τοὺς ἀδελφούς του, καθ' ὅσον ὄχι μόνον δὲν ὑπενθύμισε τίποτε ἀπὸ τὰ ὅσα εἶχον κάμει αὐτοὶ εἰς αὐτόν, ἀλλὰ καὶ ὅταν πρόκειται αὐτοὶ νὰ ἐπιστρέψουν πρὸς τὸν πατέρα των τοὺς παραινεῖ καὶ τοὺς συμβουλεύει, ὥστε νὰ μὴ κατηγοροῦν ὁ ἕνας τὸν ἄλλον διὰ τὰ ὅσα αὐτοὶ ἔκαμον εἰς αὐτόν, ἀλλ', ἀφοῦ ἀπομακρύνουν κάθε ὀργήν, νὰ κάνουν τὸ ταξίδιόν των μὲ ὁμόνοιαν[1]. Ἀνάγκη λοιπὸν σήμερα νὰ συμπληρώσωμεν τὰ ὅσα ἀναφέρονται εἰς τὴν συνέχειαν, ὥστε νὰ ἰδοῦμεν καὶ τὴν ἐπάνοδον αὐτῶν πρὸς τὸν πατέρα των, καὶ τὴν κάθοδον τοῦ Ἰακὼβ εἰς τὴν Αἴγυπτον καὶ πόσον ξανάνιωσαν αὐτὸν τὰ σχετικὰ μὲ τὴν γνωριμίαν του μὲ τὸν Ἰωσήφ, καὶ μάλιστα θὰ ἠμποροῦσα νὰ εἰπῶ, ὅτι τὸν ἔκαμαν ἀπὸ γέροντα νέον. Διότι ποῖος θὰ ἠμποροῦσε μὲ λόγια νὰ περιγράψῃ τὴν ἡδονὴν ποὺ ἔνοιωσε τότε αὐτός, πληροφορηθεὶς ὅτι ὁ Ἰωσὴφ ζῇ καὶ ὅτι εὑρίσκεται μέσα εἰς τόσον μεγάλην δόξαν; Καθ' ὅσον γνωρίζετε πάρα πολὺ καλά, ὅτι τὰ ἀπροσδόκητα καλὰ προξενοῦν πάρα πολὺ μεγάλην χαράν. Διότι ἐκεῖνον ποὺ ἐνόμιζεν ὅτι εἶχε γίνει τροφὴ τῶν θηρίων πρὶν ἀπὸ τόσα πολλὰ χρόνια, καὶ ἐμάθαινε τώρα ὅτι αὐτὸς κατέχει τὴν ἐξουσίαν ἐπὶ ὁλοκλήρου τῆς

πῶς οὐκ ἂν ὑπὸ τοῦ μεγέθους τῆς ἡδονῆς ἐξέστη τῇ διανοίᾳ; Ὅπερ γὰρ ὑπερβάλλουσα ἀθυμία ἐργάζεται, τοῦτο πολλάκις καὶ ἐπιτεταμένη χαρά. Καὶ ἔστιν ἰδεῖν πολλοὺς καὶ δάκρυα προχέοντας ἀπὸ χαρᾶς ὑπερβαλλούσης, ἑτέρους δὲ πολλάκις καὶ ἀποπλήκτους γινομένους, ὅταν ἃ μηδὲ προσεδόκησαν ἴδωσι γεγενημένα. καὶ οὓς τεθνηκέναι νενομίκασιν, ἐξαίφνης ζῶντας θεάσωνται. Ἀλλ' ἵνα σαφέστερος ἡμῖν ὁ λόγος γένηται, αὐτῶν ἐπακούσωμεν τῶν ἀναγνωσθέντων.

«Καὶ ἀνέβησαν», φησίν, «ἐξ Αἰγύπτου, καὶ ἦλθον εἰς γῆν Χαναὰν πρὸς Ἰακὼβ τὸν πατέρα αὐτῶν, καὶ ἀνήγγειλαν αὐτῷ λέγοντες, ὅτι υἱός σου ὁ Ἰωσὴφ ζῇ, καὶ αὐτὸς ἄρχει πάσης γῆς Αἰγύπτου. Καὶ ἐξέστη τῇ διανοίᾳ Ἰακώβ· οὐ γὰρ ἐπίστευσεν αὐτοῖς». Ὁρᾷς, ὅπερ ἔλεγον, ὅτι ἄπιστον αὐτῷ ἔδοξεν εἶναι τὸ περὶ τοῦ Ἰωσήφ, ὡς καὶ τὴν διάνοιαν αὐτοῦ παρασαλευθῆναι, καὶ ἐνόμιζεν ἀπάτην εἶναι τὰ παρὰ τῶν ἀδελφῶν λεγόμενα; Οἱ γὰρ τότε τὸν χιτῶνα εἰσαγαγόντες τῷ αἵματι τοῦ ἐρίφου μολυνθέντα, καὶ εἰς πίστιν ἀγαγόντες τὸν πατέρα, ὅτι κατάβρωμα θηρίων γέγονε, νῦν φασιν ὅτι ζῇ, καὶ ἄρχει πάσης τῆς Αἰγύπτου. Καὶ ταραττόμενος τὴν διάνοιαν ἐλογίζετο πρὸς ἑαυτόν, πῶς ἂν ἔχοι τοῦτο λόγον· εἰ γὰρ τὸ πρότερον ἀληθές, τοῦτο οὐχ οἷόν τε εἶναι πιστόν· εἰ δὲ τοῦτο πιστὸν καὶ ἀληθές, ἐκεῖνο ψεῦδος ἂν εἴη. Ἐτάραττε δὲ αὐτὸν μάλιστα τὸ παρὰ τῶν υἱῶν τὰ πρότερα ἀκηκοέναι, καὶ ἕτερα νῦν παρὰ τῶν αὐτῶν μανθάνειν. Ὁρῶντες τοίνυν τοῦ πατρὸς τὴν ταραχήν, καὶ βουλόμενοι αὐτὸν εἰς πίστιν ἀγαγεῖν καὶ πληροφορίαν, ὅτι ἀληθῆ τὰ παρ' αὐτῶν λεγόμενα τυγχάνει, «Ἐλάλησαν αὐτῷ πάντα τὰ ῥηθέν-

2. Γεν. 37, 31-32.

Αἰγύπτου, πῶς ἦτο δυνατὸν ἡ τόσον μεγάλη χαρὰ νὰ μὴ τὸν κάνῃ νὰ νοιώσῃ ἔκπληξιν πάρα πολὺ μεγάλην; Διότι ἐκεῖνο ποὺ προξενεῖ ἡ ὑπερβολικὴ λύπη, αὐτὸ πολλὲς φορὲς προξενεῖ καὶ ἡ πάρα πολὺ μεγάλη χαρά. Καὶ εἶναι δυνατὸν νὰ ἰδῇ κανεὶς πολλοὺς καὶ δάκρυα νὰ χύνουν ἀπὸ τὴν ὑπερβολικὴν χαράν, ἄλλους πάλιν πολλὲς φορὲς καὶ νὰ κυριεύωνται ἀπὸ ἀποπληξίαν, ὅταν ἰδοῦν νὰ γίνωνται ἐκεῖνα ποὺ οὔτε κἂν τὰ ἐπερίμεναν, καὶ νὰ βλέπουν ξαφνικὰ ζωντανούς, ἐκείνους ποὺ τοὺς ἐνόμιζαν πεθαμένους. Ἀλλὰ διὰ νὰ γίνῃ πιὸ σαφὴς ὁ λόγος μας, ἂς ἀκούσωμεν μὲ προσοχὴν αὐτὰ ποὺ ἀνεγνώσθησαν.

«Καὶ ἀνέβησαν», λέγει, «ἀπὸ τὴν Αἴγυπτον καὶ ἦλθον εἰς τὴν γῆν τῆς Χαναὰν πρὸς τὸν Ἰακὼβ τὸν πατέρα των, καὶ ἀνήγγειλαν εἰς αὐτὸν τὰ ἑξῆς· ὁ υἱός σου ὁ Ἰωσὴφ ζῇ καὶ αὐτὸς ἐξουσιάζει ὁλόκληρον τὴν χώραν τῆς Αἰγύπτου. Καὶ ἐξεπλάγη ὁ Ἰακὼβ διότι δὲν τοὺς ἐπίστευσεν». Βλέπεις ἐκεῖνο ποὺ ἔλεγον, ὅτι ἐφάνη ἀπίστευτος εἰς αὐτὸν ἡ εἴδησις περὶ τοῦ Ἰωσήφ, ὥστε καὶ τὸ μυαλό του νὰ σαλευθῇ, καὶ ἐνόμιζεν ὅτι ἦσαν ἀπάτη τὰ λεγόμενα ἀπὸ τοὺς ἀδελφούς; Διότι ἐκεῖνοι ποὺ ἐβούτηξαν τότε τὸν χιτῶνα του μέσα εἰς τὸ αἷμα τοῦ ἐριφίου διὰ νὰ λερωθῇ[2] καὶ ἔκαμαν τὸν πατέρα νὰ πιστεύσῃ, ὅτι εἶχε γίνει τροφὴ τῶν θηρίων, τώρα λέγουν ὅτι ζῇ καὶ ὅτι ἐξουσιάζει ὁλόκληρον τὴν Αἴγυπτον. Καὶ κυριευθεὶς ἀπὸ ταραχὴν ὁ νοῦς του ἐσκέπτετο μόνος του, πῶς ἠμποροῦσεν αὐτὸ νὰ ἐξηγηθῇ· διότι, ἐὰν τὸ πρῶτον ἦτο ἀληθινόν, αὐτὸ δὲν εἶναι δυνατὸν νὰ εἶναι πιστευτόν, ἐὰν δὲ αὐτὸ εἶναι πιστευτὸν καὶ ἀληθινόν, ἐκεῖνο θὰ ἦτο ψεῦδος. Πρὸ πάντων δὲ ἐτάρασσεν αὐτὸν τὸ ὅτι παλαιότερα εἶχεν ἀκούσει ἄλλα ἀπὸ τοὺς υἱούς του καὶ ὅτι τώρα μαθαίνει ἀπὸ αὐτοὺς ἄλλα. Βλέποντες λοιπὸν τὴν ταραχὴν τοῦ πατέρα των καὶ θέλοντες νὰ τὸν κάνουν νὰ πιστεύσῃ καὶ βεβαιωθῇ, ὅτι εἶναι ἀληθινὰ τὰ λεγόμενα ἀπὸ αὐτούς, «Εἶπαν εἰς αὐτὸν ὅλα ὅσα παρήγγειλεν ὁ Ἰωσὴφ καὶ ὅσα εἶπεν εἰς αὐτούς».

τα παρὰ τοῦ Ἰωσήφ, καὶ ὅσα εἶπεν αὐτοῖς». Καὶ μετὰ τῶν ῥημάτων καὶ τὰ ἀποσταλέντα προσενέγκαντες, τὰς ἁμάξας καὶ τὰ δῶρα τὰ παρὰ τοῦ Ἰωσὴφ πεμφθέντα, μόλις ἔδοξαν πείθειν τὸν πατέρα, ὅτι οὐκ ἔστι ψεῦδος τὰ παρ' αὐτῶν λεγόμενα. Ὁρῶν γὰρ τὰς ἁμάξας τὰς ἀποσταλείσας, ὥστε καταβῆναι αὐτὸν εἰς τὴν Αἴγυπτον, «Ἀνεζωπύρησε», φησίν. Ὁ γέρων, ὁ πρεσβύτης, ὁ συγκεκυφώς, ἀθρόον ἐνέαζε τῇ προθυμίᾳ. «Ἀνεζωπύρησε» γάρ φησί. Τί ἐστιν, «Ἀνεζωπύρησε»; Καθάπερ τὸ λυχνιαῖον πῦρ, ἐπειδὰν ἐπιλίπῃ ἡ τοῦ ἐλαίου τροφὴ καὶ μέλλῃ σβέννυσθαι, εἰ μικρόν τις ἐπιστάξειεν αὐτῷ ἔλαιον, ἀθρόον τὸ σβέννυσθαι μέλλον λαμπρότερον δείκνυσι τὸ φῶς, τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ πρεσβύτης οὗτος, μονονουχὶ σβέννυσθαι μέλλων ὑπὸ τῆς ἀθυμίας («οὐκ ἠθέλησε», γάρ, φησί, «παρακληθῆναι, λέγων, ὅτι καταβήσομαι πενθῶν εἰς ᾅδου»), μαθὼν πάλιν, ὅτι ζῇ καὶ ὅτι ἄρχει τῆς Αἰγύπτου, καὶ ὁρῶν τὰς ἁμάξας, «Ἀνεζωπύρησε», φησί, νέος ἐκ γέροντος γέγονεν, ἀπέθετο τῆς ἀθυμίας τὸ νέφος, τὴν ζάλην τῶν λογισμῶν ἀποκρουσάμενος, ἐν γαλήνῃ λοιπὸν ἐτύγχανε, τοῦ Θεοῦ ταῦτα ἅπαντα οἰκονομοῦντος, ὥστε τῶν τοσούτων πόνων τὴν παραμυθίαν εὕρασθαι τὸν δίκαιον, καὶ κοινωνῆσαι τῷ παιδὶ τῆς εὐημερίας· ἄλλως δέ, ἵνα καὶ τὸ ὄναρ πληρωθῇ. ὅπερ αὐτὸς διέκρινεν, εἰπών· «Ἆρά γε ἐλευσόμεθα ἐγώ τε καὶ ἡ μήτηρ σου, καὶ οἱ ἀδελφοί, προσκυνῆσαί σοι ἐπὶ τὴν γῆν;».

Καὶ πιστεύσας τοῖς εἰρημένοις καὶ τοῖς ὁρωμένοις, εἶπε, φησί, «Μεγάλα μοί ἐστιν, εἰ ἔτι **Ἰωσὴφ ὁ υἱός μου ζῇ**· πορευθεὶς ὄψομαι αὐτὸν πρὸ τοῦ ἀποθανεῖν με». Μεγάλα μοί ἐστι καὶ ὑπερβαίνει πάντα λογισμόν, καὶ ἀποκρύπτει πᾶσαν ἐν

Καὶ μαζὶ μὲ τὰ λόγια, ἀφοῦ ἐπρόσφεραν εἰς αὐτὸν καὶ τὰ ἀποσταλέντα, τὰς ἁμάξας δηλαδὴ καὶ τὰ δῶρα ποὺ ἐστάλησαν ἀπὸ τὸν Ἰωσήφ, μόλις καὶ μετὰ βίας κατώρθωσαν νὰ πείσουν τὸν πατέρα των, ὅτι δὲν εἶναι ψεῦδος τὰ λεγόμενα ἀπὸ αὐτούς.

Βλέπων λοιπὸν τὰς ἁμάξας ποὺ ἀπεστάλησαν διὰ νὰ κατεβῇ εἰς τὴν Αἴγυπτον, «ξανάνιωσε», λέγει. Ὁ γέρων, ὁ πρεσβύτης, ὁ ἔχων κυρτωμένον σῶμα, ἀμέσως ἔδειχνε νεανικὴν προθυμίαν. Διότι λέγει, «Ἀνεζωπύρησε». Τί σημαίνει. «Ἀνεζωπύρησε»; Ὅπως ἀκριβῶς τὸ φῶς τοῦ λυχναριοῦ, ὅταν λείψῃ ἡ τροφὴ τοῦ λαδιοῦ καὶ πρόκειται νὰ σβήσῃ, ἐὰν κανεὶς στάξῃ εἰς αὐτὸ λίγο λάδι, ἀμέσως δείχνει λαμπρότερον τὸ φῶς ἐκεῖνο ποὺ ἐπρόκειτο νὰ σβήσῃ, κατὰ τὸν ἴδιον τρόπον λοιπὸν καὶ αὐτὸς ὁ πρεσβύτης, ἐνῷ δηλαδὴ ἐπρόκειτο σχεδὸν νὰ σβήσῃ ἀπὸ τὴν λύπην του (διότι λέγει, «δὲν ἠθέλησε νὰ δεχθῇ παρηγορίαν, λέγοντας, θὰ κατεβῶ μὲ πένθος εἰς τὸν ᾅδην»), ὅταν ἔμαθε πάλιν, ὅτι ζῇ καὶ ὅτι ἐξουσιάζει τὴν Αἴγυπτον, καὶ βλέποντας τὰς ἁμάξας, «Ξανάνιωσε», λέγει, ἔγινε νέος ἀπὸ γέρων, ἀπεμάκρυνεν ἀπὸ ἐπάνω του τὸ σύννεφον τῆς λύπης, καὶ ἀφοῦ ἀπέκρουσε τὴν ζάλην τῶν λογισμῶν του, ἔνοιωθε πλέον γαλήνην, καθ' ὅσον ὁ Θεὸς ἦτο ἐκεῖνος ποὺ τὰ ἐρρύθμιζεν ὅλα αὐτὰ ἔτσι, ὥστε νὰ εὕρῃ ὁ δίκαιος παρηγορίαν εἰς τοὺς τόσους πόνους του καὶ νὰ ἀπολαύσῃ μαζὶ μὲ τὸ παιδί του τὴν εὐτυχίαν· ἄλλωστε δὲ διὰ νὰ πληρωθῇ καὶ τὸ ὄνειρον, ποὺ ὁ ἴδιος ἑρμήνευσε μὲ τὰ λόγια, «Ἆρά γε θὰ ἔλθωμεν ἐγὼ καὶ ἡ μητέρα σου καὶ οἱ ἀδελφοί σου διὰ νὰ σὲ προσκυνήσωμεν μέχρι τοῦ ἐδάφους;».

Καὶ ἀφοῦ ἐπίστευσεν εἰς ὅσα ἐλέχθησαν καὶ εἰς ὅσα εἶδεν, εἶπε, λέγει· «Μεγάλα καὶ παράξενα πράγματα μοῦ συμβαίνουν, ἐὰν ἀκόμη ζῇ ὁ υἱός μου ὁ Ἰωσήφ· ἂς ὑπάγω πρὸς αὐτὸν διὰ νὰ τὸν ἰδῶ πρὶν ἀποθάνω». Μεγάλα καὶ παράξενα πράγματα μοῦ συμβαίνουν, ποὺ ὑπερβαίνουν κάθε λογισμόν, καὶ καλύπτουν κάθε ἀνθρωπίνην εὐφροσύ-

ἀνθρώποις εὐφροσύνην, «Εἰ ἔτι ὁ υἱός μου ζῇ· πορευθεὶς οὖν ὄψομαι αὐτόν». Ἐπειχθῶμεν τοίνυν λοιπόν, ὥστε καὶ τὰ τῆς συντυχίας μοι ὑπάρξαι, πρὶν ἢ ἀποθανεῖν με. Νῦν μὲν γὰρ ἡ ἀκοὴ διανέστησέ μου τὴν διάνοιαν, καὶ τὴν τοῦ γήρως ἀσθένειαν ἐφυγάδευσε, καὶ ἀνέρρωσέ μου τὸν λογισμόν. Εἰ δὲ συντυχία μοι γένοιτο, τελείας ἀπολαύσας τῆς εὐφροσύνης, οὕτω καταλύσω τὸν βίον. Καὶ μηδὲν μελλήσας ὁ δίκαιος ἥπτετο τῆς ὁδοιπορίας, σπεύδων καὶ ἐπειγόμενος τὸν αὐτῷ περιπόθητον ἰδεῖν, καὶ τὸν πρὸ τοσούτων ἐτῶν τεθνηκότα καὶ θηρίων κατάβρωμα γενόμενον, ὡς ἐνόμιζε, θεάσασθαι νῦν βασιλέα τῆς Αἰγύπτου γεγενημένον. Καὶ γενόμενος ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου, εὐχαριστηρίους εὐχὰς ἀναπέμψας τῷ Δεσπότῃ, ἔθυσε, φησί, θυσίαν τῷ Θεῷ τοῦ πατρὸς αὐτοῦ Ἰσαάκ.

2. Ταῦτα ἀκούοντες παιδευώμεθα, ὅπερ ἂν μέλλοιμεν διαπράττεσθαι, κἂν πράγματί τινι ἐγχειρήσωμεν, κἂν ἀποδημίας ἁπτώμεθα, πρότερον τὴν διὰ τῆς εὐχῆς θυσίαν ἀναφέρειν τῷ Δεσπότῃ, καὶ τὴν ἐκείνου συμμαχίαν καλοῦντας, οὕτως ἅπτεσθαι τῶν προκειμένων, καὶ μιμεῖσθαι τῶν δικαίων τούτων τὸ φιλόθεον. «Ἔθυσε», φησί, «θυσίαν τῷ Θεῷ τοῦ πατρὸς αὐτοῦ Ἰσαάκ»· ἵνα μάθῃς ὅτι κατ' ἴχνος τοῦ πατρὸς ἐπορεύετο, καὶ οὕτω τὴν περὶ τὸ Θεῖον θεραπείαν ἐπεδείκνυτο, καθάπερ ὁ Ἰσαάκ. Καὶ ἐπειδὴ τὴν οἰκείαν εὐγνωμοσύνην προλαβὼν διὰ τῆς εὐχαριστίας ἐπεδείξατο, εὐθέως ἐπηκολούθησε καὶ τὰ παρὰ τῆς ἄνωθεν ῥοπῆς. Ἐπειδὴ γὰρ καὶ τὸ διάστημα τῆς ὁδοῦ προυρῶν, καὶ πρὸς τὸ γῆρας ἀποβλέπων ἐδεδοίκει, μὴ καὶ πρὸ τῆς συντυχίας ἐπιστὰς ὁ θάνατος ἀποστερήσῃ τῆς τοῦ παιδὸς ὄψεως, εὐχὰς ποιεῖται πρὸς τὸν Δεσπότην ἐπιμετρῆσαι αὐτῷ ζωήν, ὥστε τελείας ἀπολαῦσαι τῆς

νην, «Ἐάν ἀκόμη ζῇ ὁ υἱός μου· ἄς ὑπάγω λοιπόν διά νά τόν ἰδῶ». Ἄς μεταβῶμεν λοιπόν τότε, ὥστε ν' ἀξιωθῶ καί νά τόν συναντήσω, πρίν ἀκόμη πεθάνω. Διότι τώρα μέν αὐτά πού ἤκουσα διήγειραν τήν σκέψιν μου καί ἐφυγάδευσαν τήν ἀσθένειαν τῶν γηρατειῶν μου καί ἐνδυνάμωσαν τήν σκέψιν μου. Ἐάν δέ ἀξιωθῶ νά τόν συναντήσω, θά εἶναι τελεία ἡ ἀπόλαυσις τῆς εὐφροσύνης, καί τότε ἄς τελειώσω τήν ζωήν μου. Καί χωρίς καμμίαν καθυστέρησιν ἤρχισεν ὁ δίκαιος τό ταξίδιόν του, προχωρώντας καί βιαζόμενος νά ἰδῇ τόν πολυπόθητον υἱόν του, καί ἐκεῖνον πού πρίν ἀπό τόσα χρόνια εἶχεν ἀποθάνει καί εἶχε γίνει τροφή τῶν θηρίων, ὅπως ἐνόμισε, νά τόν ἰδῇ τώρα νά εἶναι βασιλεύς τῆς Αἰγύπτου. Καί ὅταν ἔφθασεν εἰς τό πηγάδι τοῦ ὅρκου, ἀφοῦ ἀνέπεμψεν εὐχαριστηρίους εὐχάς εἰς τόν Κύριον, ἐπρόσφερε, λέγει, θυσίαν εἰς τόν Θεόν τοῦ Πατέρα του Ἰσαάκ.

2. Ἀκούοντες αὐτά ἄς διδασκώμεθα ὅτι, ὅ,τι καί ἄν πρόκειται νά κάμνωμεν, εἴτε νά ἐπιχειρήσωμεν κάποιο ἔργον, εἴτε ν' ἀποδημήσωμεν, προηγουμένως νά προσφέρωμεν εἰς τόν Κύριον τήν θυσίαν διά τῆς προσευχῆς καί ἀφοῦ ζητήσωμεν τήν βοήθειαν ἐκείνου ἔτσι ν' ἀρχίζωμεν ἐκεῖνα πού ἔχομεν νά πράξωμεν καί νά μιμούμεθα τήν εὐσέβειαν αὐτῶν τῶν δικαίων. «Ἐπρόσφερε», λέγει, θυσίαν εἰς τόν Θεόν τοῦ πατέρα του Ἰσαάκ», διά νά μάθῃς ὅτι ἐβάδιζεν εἰς τά ἴχνη τοῦ πατέρα του, καί ἔτσι ἐξεδήλωνε τήν λατρείαν του πρός τό Θεῖον, ὅπως ἀκριβῶς ὁ Ἰσαάκ. Καί ἀφοῦ ἐπρόλαβε πρῶτος νά ἐπιδείξῃ μέ τήν εὐχαριστίαν τήν εὐγνωμοσύνην του, ἀμέσως ἠκολούθησε καί ἡ ἄνωθεν βοήθεια. Ἐπειδή δηλαδή ἐφοβεῖτο σκεπτόμενος καί τήν ἀπόστασιν τῆς ὁδοῦ καί τά γηρατειά του, μή τυχόν καί ἔλθῃ ὁ θάνατός του πρίν ἀπό τήν συνάντησιν καί τοῦ στερήσῃ τήν δυνατότητα νά ἰδῇ τό παιδί του, προσεύχεται εἰς τόν Κύριον καί τόν παρακαλεῖ νά τοῦ χαρίσῃ ζωήν, ὥστε ν' ἀπολαύσῃ ὁλόκληρον τήν χαράν. Ἀλλά

ἡδονῆς. Ἀλλ' ὅρα πῶς ὁ ἀγαθὸς Θεὸς πληροφορεῖ τὸν δίκαιον. «Εἶπε γάρ, φησίν, «ὁ Θεὸς τῷ Ἰσραὴλ ἐν ὁράματι τῆς νυκτός· Ἰακώβ, Ἰακώβ· ἐγώ εἰμι ὁ Θεὸς τῶν πατέρων σου· μὴ φοβοῦ καταβῆναι εἰς Αἴγυπτον. Εἰς γὰρ ἔθνος μέγα ποιήσω σε ἐκεῖ. Ἐγὼ καταβήσομαι μετὰ σοῦ, κἀγὼ ἀναβιβάσω σε εἰς τέλος, καὶ Ἰωσὴφ ἐπιβαλεῖ τὰς χεῖρας ἐπὶ τοὺς ὀφθαλμούς σου». Ὅρα πῶς ἅπερ ὁ δίκαιος ἐπεθύμει, ταῦτα αὐτῷ ὁ Δεσπότης ὑπισχνεῖται, μᾶλλον δὲ καὶ πολλῷ πλείονα. Φιλότιμος γὰρ ὢν ὑπερβαίνει τὰς ἡμετέρας αἰτήσεις, τὴν οἰκείαν φιλανθρωπίαν μιμούμενος.

«Μὴ φοβοῦ», φησί, «καταβῆναι εἰς Αἴγυπτον». Ἐπειδὴ ἠγωνία πρὸς τὸ μῆκος τῆς ὁδοῦ, διὰ τοῦτό φησι· μὴ πρὸς τὴν τοῦ γήρως ἀσθένειαν ἀπίδῃς. «Εἰς γὰρ ἔθνος μέγα ποιήσω σε ἐκεῖ· καὶ καταβήσομαι μετὰ σοῦ εἰς Αἴγυπτον». Ἐγώ σοι συνέσομαι, καὶ πάντα σοι εὔμαρῆ καταστήσω. Σκόπει συγκατάβασιν ῥημάτων· «Καταβήσομαι μετὰ σοῦ εἰς Αἴγυπτον». Τί τούτου μακαριστότερον γένοιτ' ἄν, τοῦ τὸν Θεὸν ἔχειν συνοδοιπόρον; Εἶτα ἡ παραμυθία, ἧς μάλιστα ἐδεῖτο ὁ πρεσβύτης· «Καὶ Ἰωσὴφ ἐπιβαλεῖ τὰς χεῖρας αὐτοῦ ἐπὶ τοὺς ὀφθαλμούς σου». Ἐκεῖνος ὁ περιπόθητος, αὐτός σε περιστελεῖ καὶ τὰς χεῖρας ἐπιβαλεῖ τοῖς ὀφθαλμοῖς σου. Χαίρων οὖν καὶ πάσης ἀγωνίας ἐκτὸς γεγονώς, οὕτως ἔχου τῆς ὁδοῦ. Ἐννόει μοι λοιπὸν τὸν δίκαιον μεθ' ὅσης εὐθυμίας ποιεῖται τὴν ὁδοιπορίαν, τοσαύτην ἐκ τῆς τοῦ Θεοῦ ὑποσχέσεως λαβὼν τὴν πληροφορίαν.

«Ἀνέστη» γάρ, φησίν, «Ἰακώβ, καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ ἔλαβον πᾶσαν τὴν κτῆσιν αὐτῶν καὶ ἦλθον εἰς Αἴγυπτον. Ἐν ἑξήκοντα ἓξ ψυχαῖς κατέβη Ἰακὼβ εἰς Αἴγυπτον· καὶ Ἰωσὴφ μετὰ τῶν υἱῶν αὐτοῦ τῶν γενομένων αὐτῷ ἔνvατος ἐ-

πρόσεχε πῶς ὁ ἀγαθὸς Θεὸς πληροφορεῖ τὸν δίκαιον. Διότι, λέγει, «Εἶπεν ὁ Θεὸς εἰς τὸν Ἰσραὴλ κατὰ τὴν νύκτα δι' ὁράματος· Ἰακώβ, Ἰακώβ· ἐγὼ εἶμαι ὁ Θεὸς τῶν πατέρων σου· μὴ φοβεῖσαι νὰ κατεβῇς εἰς τὴν Αἴγυπτον. Διότι θὰ σὲ κάνω ἐκεῖ μεγάλο ἔθνος. Ἐγὼ θὰ κατεβῶ μαζί σου καὶ ἐγὼ θὰ σὲ ὁδηγήσω πίσω ὅταν θὰ πρέπει, καὶ ὁ Ἰωσὴφ θὰ κλείσῃ τὰ μάτια σου μὲ τὰ χέρια του». Πρόσεχε πῶς, ἐκεῖνα ἀκριβῶς ποὺ ἐπιθυμοῦσεν ὁ δίκαιος, αὐτὰ ὑπόσχεται εἰς αὐτὸν ὁ Κύριος, μᾶλλον δὲ καὶ πολὺ περισσότερα. Διότι, καθὼς εἶναι γενναιόδωρος, ὑπερβαίνει τὰ ἰδικά μας αἰτήματα, μιμούμενος τὴν φιλανθρωπίαν του.

«Μὴ φοβεῖσαι», λέγει, «νὰ κατεβῇς εἰς τὴν Αἴγυπτον». Ἐπειδὴ ἀγωνιοῦσε ἐξ αἰτίας τῆς μεγάλης ἀποστάσεως τῆς ὁδοῦ, διὰ τοῦτο λέγει· μὴ σκέπτεσαι τὴν ἀσθένειαν τῶν γηρατειῶν. «Διότι θὰ σὲ κάνω ἐκεῖ μέγα ἔθνος καὶ θὰ κατεβῶ μαζί σου εἰς τὴν Αἴγυπτον». Ἐγὼ θὰ εὑρίσκομαι μαζί σου καὶ ὅλα θὰ σοῦ τὰ κάνω εὔκολα. Πρόσεχε λόγια συγκαταβατικά· «Θὰ κατεβῶ μαζί σου εἰς τὴν Αἴγυπτον». Τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ πιὸ ἀξιομακάριστον ἀπὸ αὐτό, τὸ νὰ ἔχῃ δηλαδὴ συνοδοιπόρον τὸν Θεόν; Ἔπειτα ἡ παρηγορία, τὴν ὁποίαν πρὸ πάντων ἐχρειάζετο ὁ γέρων· «Καὶ ὁ Ἰωσὴφ θὰ κλείσῃ μὲ τὰ χέρια του τὰ μάτια σου». Ἐκεῖνος ὁ τόσον πολυπόθητός σου, αὐτὸς θὰ σὲ νεκροστολίσῃ καὶ θὰ κλείσῃ μὲ τὰ χέρια του τὰ μάτια σου. Γεμᾶτος λοιπὸν ἀπὸ χαρὰν καὶ ἀφοῦ ἀπομακρύνῃς κάθε ἀγωνίαν ἀπὸ μέσα σου, ἔτσι συνέχιζε τὴν ὁδόν σου. Σκέψου λοιπὸν σὲ παρακαλῶ τὸν δίκαιον μὲ πόσην ἐπιθυμίαν κάμνει τὴν ὁδοιπορίαν, ἀφοῦ ἔλαβεν ἀπὸ τὸν Θεὸν τόσον μεγάλην ὑπόσχεσιν καὶ μὲ τόσην βεβαιότητα.

«Ἐσηκώθη λοιπόν», λέγει, «ὁ Ἰακὼβ καὶ οἱ υἱοί του διὰ νὰ φύγουν, καὶ ἐπῆραν μαζί των ὅλην τὴν κινητὴν περιουσίαν των καὶ ἦλθον εἰς τὴν Αἴγυπτον. Μὲ ἑξήντα ἓξ ψυχὰς κατέβη ὁ Ἰακὼβ εἰς τὴν Αἴγυπτον· καὶ ὁ Ἰωσὴφ μαζὶ μὲ τοὺς υἱούς του ποὺ ἀπέκτησεν ἦσαν συνολικὰ

τύγχανεν ὤν· ὡς εἶναι μετὰ τοῦ Ἰωσὴφ τὰς πάσας ψυχὰς ἑβδομήκοντα πέντε». Τίνος ἕνεκεν τὸν ἀριθμὸν ἡμῖν μετὰ ἀκριβείας ἐπεσημήνατο ἡ θεία Γραφή; Ἵνα εἰδέναι ἔχωμεν, ὅπως εἰς ἔργον ἔξεισιν ἡ τοῦ Θεοῦ πρόρρησις ἡ λέγουσα, ὅτι «εἰς ἔθνος μέγα ποιήσω σε ἐκεῖ». Ἀπὸ γὰρ τούτων τῶν ἑβδομήκοντα πέντε ψυχῶν εἰς ἑξακοσίας χιλιάδας ἐξετάθη τὸ γένος τοῦ Ἰσραήλ. Εἶδες πῶς οὐ μάτην, οὐδὲ εἰκῇ τὸν ἀριθμὸν τῶν κατελθόντων εἰς Αἴγυπτον ἐδίδαξεν ἡμᾶς, ἀλλ' ἵνα εἰδέναι ἔχωμεν ἐξ ὅσων πόσοι γεγόνασι, καὶ μὴ διαπιστῶμεν ταῖς τοῦ Θεοῦ ἐπαγγελίαις. Ὅταν γὰρ ἐννοήσῃς, ὅτι μετὰ τὴν τοῦ Ἰακὼβ τελευτὴν καὶ τοῦ Ἰωσήφ, τοσαύτῃ μηχανῇ χρησάμενος ὁ τῶν Αἰγυπτίων βασιλεύς, ὥστε εἰς εὐαριθμήτους αὐτοὺς περιστῆσαι καὶ μὴ ἐκταθῆναι αὐτῶν τὸ πλῆθος, οὐδὲ οὕτως ἴσχυσεν, ἀλλὰ ταύτῃ μᾶλλον ἐπεδίδου καὶ ηὔξετο, θαύμαζε καὶ ἐκπλήττου τοῦ Θεοῦ τὴν πρόνοιαν, καὶ ὅτι οὐχ οἷόν τέ ποτε διαπεσεῖν τὰ αὐτῷ δόξαντα, κἂν μυρία ἕτεροι μηχανῶνται. Ἀλλ' ἴδωμεν τὴν ἀκολουθίαν ἅπασαν, ἵνα μάθωμεν ὅπως τὰ τῆς συντυχίας γέγονε τῷ Ἰακώβ.

«Ἡνίκα», φησίν, «ἤγγικε τῇ Αἰγύπτῳ, ἀπέστειλε τὸν Ἰούδαν ἔμπροσθεν αὐτοῦ πρὸς τὸν Ἰωσήφ, ὥστε μηνῦσαι αὐτῷ τοῦ πατρὸς τὴν παρουσίαν. Μαθὼν τοίνυν ὁ Ἰωσήφ, καὶ ζεύξας τὰ ἅρματα ἀνέβη εἰς συνάντησιν τῷ πατρὶ αὐτοῦ, καὶ ὀφθεὶς αὐτῷ ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἔκλαυσε κλαυθμῷ πλείονι». Τοῦτο ἦν ὅπερ ἐν προοιμίοις ἔλεγον, ὅτι πολλάκις καὶ ἡδονὴ ὑπερβάλλουσα δάκρυα προχέειν παρασκευάζει. «Ἐπιπεσών», φησίν, «ἐπὶ τὸν τράχηλον αὐτοῦ ἔκλαυσεν»· οὐχ ἁπλῶς, ἀλλά, «Κλαυθμῷ πλείονι». Εὐθέως γὰρ εἰς ἔννοιαν ἐλθών, ὧν πέπονθεν αὐτός, ὧν ὑπέ-

ἐννέα ψυχαί, ὥστε νὰ εἶναι ὅλαι αἱ ψυχαὶ μαζὶ μὲ τὸν Ἰωσὴφ ἑβδομήντα πέντε». Διὰ ποῖον λόγον ἡ θεία Γραφὴ μᾶς ἀνέφερε μὲ ἀκρίβειαν τὸν ἀριθμόν; Διὰ νὰ ἠμπορέσωμεν νὰ γνωρίσωμεν πῶς προχωρεῖ εἰς πραγματοποίησιν ἡ πρόρρησις τοῦ Θεοῦ ποὺ ἔλεγεν, ὅτι «Θὰ σὲ κάνω ἐκεῖ ἔθνος μέγα». Διότι ἀπὸ αὐτὰς τὰς ἑβδομήντα πέντε ψυχὰς ἐπεξετάθη τὸ γένος τοῦ Ἰσραὴλ εἰς ἑξακοσίας χιλιάδας. Εἶδες πῶς ὄχι ἄσκοπα οὔτε χωρὶς λόγον μᾶς ἀνέφερε τὸν ἀριθμὸν ἐκείνων ποὺ κατέβησαν εἰς τὴν Αἴγυπτον, ἀλλὰ διὰ νὰ ἠμπορέσωμεν νὰ γνωρίσωμεν ἀπὸ τόσοι ποὺ ἦσαν πόσοι εἶχον γίνει, καὶ νὰ μὴ δείχνωμεν ἀπιστίαν εἰς τὰς ὑποσχέσεις τοῦ Θεοῦ. Διότι, ὅταν σκεφθῇς, ὅτι μετὰ τὸν θάνατον τοῦ Ἰακὼβ καὶ τοῦ Ἰωσήφ, ἂν καὶ ἐχρησιμοποίησεν ὁ βασιλεὺς τῶν Αἰγυπτίων τόσας πολλὰς δολοπλοκίας, ὥστε νὰ τοὺς κάνῃ ὀλιγαρίθμους καὶ νὰ μὴ αὐξηθῇ τὸ πλῆθος αὐτῶν, οὔτε ἔτσι ἠμπόρεσε νὰ τὸ ἐπιτύχῃ αὐτό, ἀλλὰ μὲ τὸν τρόπον αὐτὸν πολὺ περισσότερον ἐπληθύνετο καὶ ηὐξήνετο αὐτό, θαύμαζε καὶ νοιῶθε ἔκπληξιν μὲ τὴν πρόνοιαν τοῦ Θεοῦ, καὶ ὅτι δὲν εἶναι δυνατὸν ποτὲ νὰ ἀποτύχουν αἱ ἀποφάσεις αὐτοῦ, καὶ ἂν ἀκόμη ἄλλοι προβάλλουν ἀμέτρητα ἐμπόδια. Ἀλλ᾿ ἂς ἰδοῦμεν ὅλα τὰ ἐν *συνεχείᾳ*, διὰ νὰ μάθωμεν πῶς *συνέβησαν* τὰ σχετικὰ μὲ τὴν συνάντησιν τοῦ Ἰακὼβ μὲ τὸν Ἰωσήφ.

«Ὅταν», λέγει, «ἐπλησίασεν εἰς τὴν Αἴγυπτον, ἔστειλε τὸν Ἰούδαν πρὶν ἀπὸ αὐτὸν εἰς τὸν Ἰωσήφ, ὥστε ν᾿ ἀναγγείλῃ εἰς αὐτὸν τὸν ἐρχομὸν τοῦ πατέρα του. Ὅταν λοιπὸν τὸ ἔμαθεν ὁ Ἰωσὴφ καί, ἀφοῦ ἔζευξε τὰ ἅρματα, ἀνέβη διὰ νὰ συναντήσῃ τὸν πατέρα του, καὶ ὅταν τὸν εἶδεν ἔπεσεν εἰς τὸν τράχηλόν του καὶ ἔκλαυσε χύνοντας πάρα πολλὰ δάκρυα». Αὐτὸ εἶναι ποὺ ἔλεγον εἰς τὴν ἀρχήν, *ὅτι πολλὲς φορὲς καὶ ἡ ὑπερβολικὴ χαρὰ γίνεται αἰτία* δακρύων. «Ἀφοῦ», λέγει, «ἔπεσεν εἰς τὸν τράχηλόν του, ἔκλαυσεν». Ὄχι ἁπλῶς ἔκλαυσεν, ἀλλὰ «μὲ πάρα πολλὰ κλάματα». Διότι ἀμέσως, ἀφοῦ ἔφερεν εἰς τὴν

μεινεν ὁ πατὴρ δι' αὐτόν, καὶ τοῦ χρόνου τὸ μῆκος λογιζόμενος τοῦ μεταξὺ γενομένου, καὶ ὅτι παρὰ πᾶσαν προσδοκίαν καὶ αὐτὸς τὸν πατέρα ἑώρα, καὶ ὁ πατὴρ τὸν παῖδα ἐθεάσατο, πηγὰς ἠφίει δακρύων, ὁμοῦ καὶ τὴν ὑπερβάλλουσαν ἡδονὴν δεικνύμενος, καὶ εὐχαριστῶν τῷ Δεσπότῃ ὑπὲρ τῶν γεγενημένων.

«Καὶ εἶπε», φησί, «πρὸς Ἰωσήφ, ἀποθανοῦμαι ἀπὸ τοῦ νῦν, ἐπεὶ ἑώρακα τὸ πρόσωπόν σου. Ἔτι γὰρ σὺ ζῇς. Ἀπήλαυσα, φησίν, ὧν ἐπεθύμουν· ἐπέτυχον, οὗ οὐδέποτε προσεδόκησα· ὑπῆρξέ μοι τὰ μηδέποτε ἐλπισθέντα· τὸ λοιπὸν ἀρκοῦμαι τῇ ζωῇ. Εἶδον γὰρ ὃν ἐπεπόθουν, καὶ ἀρκεῖ μοι πρὸς πᾶσαν εὐφροσύνην τὸ θεάσασθαι, ὅτι ἔτι σὺ ζῇς, ὁ πάλαι νομισθεὶς τεθνηκέναι καὶ θηρίων κατάβρωμα γεγενῆσθαι. Πατρικὴ ἡ φωνὴ καὶ φιλοστοργίας γέμουσα καὶ ἱκανὴ τὴν διάθεσιν τὴν ἐναποκειμένην τῇ ψυχῇ κατάδηλον ποιῆσαι. «Εἶπε δέ», φησίν, «Ἰωσὴφ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ· ἀναβὰς ἀπαγγελῶ τῷ Φαραώ, καὶ ἐρῶ αὐτῷ· οἱ ἀδελφοί μου ἥκασιν· οἱ δὲ ἄνδρες εἰσὶ ποιμένες. Ἄνδρες κτηνοτρόφοι εἰσί, καὶ τὰ κτήνη καὶ τοὺς βόας αὐτῶν ἀγηόχασιν. Ἐὰν οὖν καλέσῃ ὑμᾶς Φαραώ, καὶ εἴπῃ, τί τὸ ἔργον ὑμῶν; εἴπατε, ὅτι κτηνοτρόφοι ἐσμέν. Βδέλυγμα γάρ ἐστι τοῖς Αἰγυπτίοις πᾶς ποιμὴν προβάτων».

3. Ὅρα σύνεσιν, οἵαν συμβουλὴν πρὸς αὐτοὺς ποιεῖται, οὐχ ἁπλῶς οὐδὲ ὡς ἔτυχε ταῦτα εἰσηγούμενος, ἀλλ' ὁμοῦ βουλόμενος καὶ ἐν πλείονι ἀδείᾳ αὐτοὺς καταστῆσαι, καὶ μὴ συγχωρεῖν συναναμίγνυσθαι τοῖς Αἰγυπτίοις. Ἐπειδὴ γὰρ ἐκεῖνοι ἐβδελύττοντο καὶ ἐξευτέλιζον τοὺς τὴν ποιμαντικὴν

σκέψιν του ἐκεῖνα ποὺ ἔπαθεν αὐτός, ἐκεῖνα ποὺ ὑπέφερεν ὁ πατέρας του δι' αὐτόν, καὶ ἀνελογίσθη τὸ μεγάλο χρονικὸν διάστημα ποὺ εἶχε μεσολαβήσει, καὶ ὅτι καὶ αὐτὸς ἔβλεπε τὸν πατέρα του χωρὶς καθόλου νὰ τὸ περιμένη, καὶ ὅτι ὁ πατέρας εἶδε τὸ παιδί του, ἄφηνε νὰ χυθῇ πηγὴ δακρύων, δείχνοντας συγχρόνως καὶ τὴν ὑπερβολικὴν χαράν του, καὶ εὐχαριστώντας τὸν Κύριον διὰ τὰ ὅσα εἶχον συμβῆ.

«Καὶ εἶπε», λέγει, «πρὸς τὸν Ἰωσήφ, ἂς πεθάνω τώρα πλέον, ἀφοῦ εἶδα τὸ πρόσωπόν σου. Διότι ἀκόμη σὺ ζῇς». Ἀπήλαυσα, λέγει, ἐκεῖνα ποὺ ἐπιθυμοῦσα· ἐπέτυχα ἐκεῖνο ποὺ ποτὲ δέν τὸ ἐπερίμενα· ἔγιναν πραγματικότης εἰς ἐσένα ἐκεῖνα ποὺ ποτὲ δὲν τὰ ἤλπιζα· μοῦ ἀρκεῖ λοιπὸν αὐτὸ ποὺ ἔζησα. Διότι εἶδα ἐκεῖνον ποὺ ἐποθοῦσα καὶ ξεπερνᾷ κάθε ἄλλην εὐφροσύνην τὸ ὅτι σὲ εἶδα, τὸ ὅτι σὺ ἀκόμη ζῇς, σὺ ποὺ πρὶν ἀπὸ πολὺν χρόνον εἶχες θεωρηθῆ πεθαμένος καὶ ὅτι εἶχες γίνει τροφὴ τῶν θηρίων. Πατρικὴ εἶναι ἡ φωνή, γεμάτη ἀπὸ φιλοστοργίαν καὶ ἱκανὴ νὴ φανερώσῃ τὴν διάθεσιν ποὺ ὑπάρχει μέσα εἰς τὴν ψυχήν. «Εἶπε δέ», λέγει, «ὁ Ἰωσὴφ πρὸς τοὺς ἀδελφούς του· θὰ ἀνεβῶ καὶ θ' ἀναγγείλω εἰς τὸν Φαραὼ καὶ θὰ τοῦ εἰπῶ· οἱ ἀδελφοί μου ἦλθαν· αὐτοὶ δὲ οἱ ἄνδρες εἶναι ποιμένες, εἶναι ἄνδρες κτηνοτρόφοι καὶ ἔχουν φέρει μαζί των τὰ κτήνη καὶ τὰ βόδια των. Ἐὰν λοιπὸν σᾶς καλέσῃ ὁ Φαραὼ καὶ σᾶς εἰπῇ, ποῖον εἶναι τὸ ἔργον σας; νὰ τοῦ εἰπῆτε, εἴμεθα κτηνοτρόφοι. Διότι θεωρεῖται ἀπὸ τοὺς Αἰγυπτίους ἄξιος ἐντροπῆς ἐκεῖνος ποὺ εἶναι ποιμὴν προβάτων».

3. Πρόσεχε σύνεσιν, ποίαν συμβουλὴν δίδει πρὸς αὐτούς, καὶ δὲν τὰ λέγει αὐτὰ ἔτσι ἁπλᾶ καὶ ὡς ἔτυχεν, ἀλλ' ἐπειδὴ θέλει συγχρόνως καὶ νὰ τοὺς κάνῃ νὰ νοιώσουν μεγαλυτέραν ἐλευθερίαν καὶ ἀφοβίαν, ἀλλὰ καὶ νὰ μὴ τοὺς ἀφήσῃ νὰ συναναστρέφωνται τοὺς Αἰγυπτίους. Ἐπειδὴ δηλαδὴ ἐκεῖνοι ἐθεωροῦσαν ἀξίους ἐντροπῆς καὶ περιφρονήσεως ἐκείνους ποὺ ἀσκοῦσαν τὴν ποιμαντικήν,

ἠσκηκότας, ἅτε δὴ αὐτοὶ περὶ τὴν σοφίαν τὴν Αἰγυπτιακὴν ἐσχολακότες, διὰ τοῦτο παραινεῖ τὸ ἐπιτήδευμα αὐτῶν προβαλέσθαι, ἵνα μετὰ προφάσεως εὐλόγου τὴν καλλιστεύουσαν αὐτοῖς γῆν ἀφορίσας παρασκευάσῃ μετὰ πολλῆς διάγειν τῆς ἀδείας. «Καὶ παραλαβὼν πέντε τῶν ἀδελφῶν αὐτοῦ εἰσήγαγεν αὐτοὺς πρὸς Φαραώ. Καὶ ἐπηρώτησεν αὐτούς· τί τὸ ἔργον ὑμῶν; Καὶ εἶπαν· κτηνοτρόφοι ἐσμέν. Νῦν οὖν κατοικήσομεν ἐν γῇ Γεσέμ. Εἶπε δὲ Φαραώ· κατοικείτωσαν. Εἰ δὲ ἐπίστῃ, ὅτι εἰσὶν ἐν αὐτοῖς ἄνδρες δυνατοί, κατάστησον αὐτοὺς ἄρχοντας τῶν ἐμῶν κτηνῶν». Καθάπερ συνεβούλευσεν ὁ Ἰωσήφ, τὴν ἀπόκρισιν ποιησάμενοι οἱ ἀδελφοὶ τῷ Φαραώ, ἐπετράπησαν κατοικεῖν τὴν Γεσέμ. Ἀλλὰ τὴν περὶ τὸν Ἰωσὴφ δεικνὺς ὁ Φαραὼ εὔνοιαν, φησίν· «εἰ οἶδάς τινας ἐν αὐτοῖς δυνατούς, καὶ τῶν ἐμῶν κτηνῶν ἄρχοντας κατάστησον». «Εἰσήγαγε δὲ καὶ τὸν πατέρα πρὸς τὸν Φαραώ. Καὶ εἶπε Φαραὼ τῷ Ἰακώβ· πόσα ἔτη τῶν ἡμερῶν τῆς ζωῆς σου;». Ἐπειδὴ εἶδε τὸν πρεσβύτην ἐν βαθυτάτῃ πολιᾷ τυγχάνοντα, πυνθάνεται τῶν ἐτῶν τὸν ἀριθμόν. «Καί φησιν ὁ Ἰακώβ· αἱ ἡμέραι τῶν ἐτῶν τῆς ζωῆς μου, ἃς παροικῶ».

Ὅρα πῶς ἕκαστος τῶν δικαίων, ὡς ἐν ξένῃ διάγων, ἐν τῷ βίῳ τούτῳ, οὕτω διέκειτο. Ἀκούσῃ γὰρ καὶ τοῦ Δαυὶδ μετὰ ταῦτα λέγοντος· «Ὅτι πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ καὶ παρεπίδημος»· καὶ οὗτός φησιν· «Αἱ ἡμέραι τῶν ἐτῶν τῆς ζωῆς μου, ἃς παροικῶ». Διὰ τοῦτο καὶ Παῦλος ἔλεγε περὶ τῶν δικαίων τούτων· «ὅτι ὡμολόγουν, ὅτι ξένοι καὶ παρεπίδημοί εἰσιν ἐπὶ τῆς γῆς». «Αἱ ἡμέραι», φησί, «τῶν ἐτῶν τῆς ζωῆς μου, ἃς παροικῶ, ἑκατὸν τριάκοντα ἔτη, μικραὶ καὶ

3. Ἑβρ. 11, 13.

ἀφοῦ αὐτοὶ βέβαια ἠσχολοῦντο μὲ τὴν αἰγυπτιακὴν σοφίαν, διὰ τοῦτο τοὺς συμβουλεύει νὰ προβάλουν τὸ ἐπάγγελμά των, ὥστε, ἀφοῦ μὲ εὔλογον δικαιολογίαν τοὺς παραχωρήσῃ τὴν πιὸ εὔφορον γῆν, νὰ ζοῦν μὲ μεγάλην ἐλευθερίαν καὶ ἀφοβίαν. «Καί, ἀφοῦ ἐπῆρε μαζί του πέντε ἀπὸ τοὺς ἀδελφούς του, τοὺς παρουσίασεν εἰς τὸν Φαραώ. Καὶ ἐρώτησεν αὐτούς· ποῖον εἶναι τὸ ἔργον σας; Καὶ εἶπαν αὐτοί· εἴμεθα κτηνοτρόφοι. Ἂς κατοικήσωμεν λοιπὸν τώρα εἰς τὴν γῆν Γεσέμ. Εἶπε δὲ ὁ Φαραώ· ἂς κατοικήσουν. Ἐὰν δὲ γνωρίζῃς, ὅτι ὑπάρχουν ἀνάμεσά των ἄνδρες ἱκανοί, τοποθέτησε αὐτοὺς ἀρχηγοὺς τῶν ἰδικῶν μου κτηνῶν». Ὅπως ἀκριβῶς τοὺς ἐσυμβούλευσεν ὁ Ἰωσήφ, ἔτσι ἀφοῦ ἀπήντησαν οἱ ἀδελφοί του εἰς τὸν Φαραώ, τοὺς ἐπετράπη νὰ κατοικοῦν εἰς τὴν Γεσέμ. Ἀλλὰ διὰ νὰ δείξῃ ὁ Φαραὼ τὴν εὔνοιάν του πρὸς τὸν Ἰωσήφ, λέγει· «Ἐὰν γνωρίζῃς μερικοὺς ἱκανοὺς ἀνάμεσά τους, τοποθέτησέ τους ἀρχηγοὺς καὶ τῶν ἰδικῶν μου κτηνῶν». «Παρουσίασε δὲ καὶ τὸν πατέρα του εἰς τὸν Φαραώ. Καὶ εἶπε ὁ Φαραὼ εἰς τὸν Ἰακώβ· πόσων ἐτῶν εἶσαι;». Ἐπειδὴ εἶδε τὸν γέροντα νὰ εὑρίσκεται εἰς βαθιὰ γηρατειά, ζητεῖ νὰ μάθῃ τὸν ἀριθμὸν τῶν ἐτῶν του. «Καὶ λέγει ὁ Ἰακώβ· Αἱ ἡμέραι τῶν ἐτῶν τῆς ζωῆς μου κατὰ τὰς ὁποίας ζῶ ὡσὰν ξένος ἐδῶ εἰς τὴν γῆν».

Πρόσεχε πῶς ὁ καθένας ἀπὸ τοὺς δικαίους, ἔτσι ἐζοῦσεν εἰς αὐτὴν ἐδῶ τὴν ζωήν, ὡσὰν νὰ ἐζοῦσεν εἰς ξένην χώραν. Διότι θ' ἀκούσῃς καὶ τὸν Δαυὶδ εἰς τὴν συνέχειαν νὰ λέγῃ· «Ξένος εἶμαι εἰς αὐτὴν τὴν ζωὴν καὶ διαμένω προσωρινά»· καὶ αὐτὸς λέγει· «Αἱ ἡμέραι τῶν ἐτῶν τῆς ζωῆς μου, κατὰ τὰς ὁποίας κατοικῶ ἐδῶ εἰς τὴν γῆν ὡσὰν ξένος». Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγε δι' αὐτοὺς τοὺς δικαίους· «Ὡμολογοῦσαν ὅτι εἶναι ξένοι καὶ ὅτι εἶναι προσωρινὴ ἡ διαμονή των ἐπάνω εἰς τὴν γῆν»[3]. «Αἱ ἡμέραι», λέγει, «τῶν ἐτῶν τῆς ζωῆς μου, κατὰ τὰς ὁποίας κατοικῶ προσωρινὰ ἐδῶ εἰς τὴν γῆν, εἶναι ἑκατὸν τριάντα

πονηραὶ γεγόνασι, καὶ οὐκ ἀφίκοντο εἰς τὰς ἡμέρας τῶν ἐτῶν τῆς ζωῆς τῶν πατέρων μου». «Ἃς ἡμέρας παρῴκησα, φησί, μικραὶ καὶ πονηραὶ γεγόνασιν. Αἰνίττεται ἐνταῦθα τὰ ἔτη τῆς δουλείας, ἧς ὑπέμεινε παρὰ τῷ Λάβαν, διὰ τὴν φυγήν, ἣν διὰ τὸν ἀδελφὸν ἐποιήσατο· εἶτα μετὰ τὴν ἐκεῖθεν ἐπάνοδον τὸ πένθος τὸ ἐν τοσούτῳ χρόνῳ, ὃ ἔσχε διά τε τὸν τοῦ Ἰωσὴφ θάνατον, καὶ τὰς ἄλλας τὰς ἐν τῷ μέσῳ ταλαιπωρίας. Πόσον γὰρ οἴει τὸν φόβον αὐτὸν ἐσχηκέναι, ἡνίκα διὰ τὴν ἀδελφὴν οἱ περὶ τὸν Συμεὼν καὶ τὸν Λευὶ αὔτανδρον πόλιν ἀνεῖλον, καὶ πάντας τοὺς ἐν Σηκίμοις αἰχμαλώτους ἔλαβον; Ἔλεγε γὰρ καὶ τότε, δεικνὺς τὴν ἀγωνίαν ἐν ᾗ κατέστη· «Μισητόν με πεποιήκατε, ὥστε πονηρόν τε εἶναι ἐν τοῖς κατοικοῦσι τὴν γῆν. Ἐγὼ δὲ ὀλιγοστός εἰμι ἐν ἀριθμῷ. Καὶ συναχθέντες ἐπ' ἐμὲ συγκόψουσί με, καὶ ἐκτριβήσομαι ἐγώ τε καὶ ὁ οἶκός μου». Διὰ τοῦτό φησι· «Μικραὶ καὶ πονηραὶ αἱ ἡμέραι τῶν ἐτῶν τῆς ζωῆς μου».

Καὶ κατῴκισεν Ἰωσὴφ τὸν πατέρα αὐτοῦ καὶ τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ ἔδωκεν αὐτοῖς κατάσχεσιν ἐν τῇ Αἰγύπτου, ἐν τῇ βελτίστῃ γῇ, ἐν γῇ Ραμεσσῇ, καθὰ προσέταξε Φαραώ. Καὶ ἐσιτομέτρει Ἰωσὴφ τῷ πατρὶ καὶ τοῖς ἀδελφοῖς αὐτοῦ καὶ παντὶ τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ σῖτον κατὰ σῶμα». Τοῦτο ἦν ὅπερ ἔλεγε τοῖς ἀδελφοῖς, ὅτι «Ἀπέστειλέ με ὁ Θεὸς ἔμπροσθεν ὑμῶν, ὥστε ὑπολείπεσθαι ὑμῖν κατάλειμμα ἐπὶ τῆς γῆς»· καί, ὅτι «Εἰς ζωὴν ἐξαπέστειλέ με ὁ Θεὸς ἔμπροσθεν ὑμῶν». «Ἐσιτομέτρει», φησίν, «αὐτοῖς κατὰ σῶμα». Τί ἐστι; «Κατὰ σῶμα»; Τὸ ἀρκοῦν ἑκάστῳ. Ἔθος γὰρ τῇ Γραφῇ πο-

4. Γεν. 28, 5 καὶ **29, 1 ἑ.**
5. Γεν. 34, 1.
6. Γεν. 34, 1 ἑ.
7. Γεν. 34, 30.
8. Γεν. 45, 5.
9. Γεν. 45, 7.

ἔτη, εἶναι ὀλίγα καὶ γεμᾶτα βάσανα, καὶ δὲν φθάνουν τὰς ἡμέρας τῶν ἐτῶν τῆς ζωῆς τῶν πατέρων μου». Αἱ ἡμέραι, λέγει, ποὺ ἔζησα ἐδῶ εἰς τὴν γῆν ὡσὰν ξένος, εἶναι ὀλίγαι καὶ ἦσαν γεμᾶται ἀπὸ βάσανα. Ὑπαινίσσεται ἐδῶ τὰ ἔτη τῆς δουλείας ποὺ ὑπέμενε κοντὰ εἰς τὸν Λάβαν, λόγῳ τῆς φυγῆς του, ποὺ ἠναγκάσθη νὰ τὴν ὑποστῇ ἐξ αἰτίας τοῦ ἀδελφοῦ του[4]. Ἔπειτα, μετὰ τὴν ἐπιστροφήν του ἀπὸ ἐκεῖ, τὸ πένθος ποὺ ἐκράτησε τόσον χρόνον, καὶ τὸ ὁποῖο ὑπέφερε καὶ ἐξ αἰτίας τοῦ θανάτου τοῦ Ἰωσὴφ καὶ ἐξ αἰτίας τῶν ἄλλων ταλαιπωριῶν ποὺ ἐμεσολάβησαν. Διότι πόσος φόβος νομίζεις ὅτι ἐκυρίευσεν αὐτόν, ὅταν ἐξ αἰτίας τῆς ἀδελφῆς του[5] οἱ σύντροφοι τοῦ Συμεὼν καὶ τοῦ Λευὶ κατέστρεψαν ὁλόκληρον πόλιν καὶ ὡδήγησαν αἰχμαλώτους ὅλους τοὺς κατοίκους τῶν Σηκίμων[6]; Διότι καὶ τότε ἔλεγε, διὰ νὰ δείξῃ τὴν ἀγωνίαν ἀπὸ τὴν ὁποίαν εἶχε κυριευθῆ· «Μὲ ἐκάματε μὲ αὐτὸ μισητόν, ὥστε νὰ θεωροῦμαι κακὸς ἀπὸ τοὺς κατοίκους αὐτῆς τῆς γῆς. Ἐγὼ ἀριθμῶ ὀλιγωτέρους ἀπὸ αὐτούς. Ἂν συμβῇ νὰ συγκεντρωθοῦν ἐναντίον μου θὰ μὲ κατακόψουν καὶ θὰ καταστραφῶ ἐγὼ καὶ ὅλη ἡ οἰκογένειά μου»[7]. Διὰ τοῦτο λέγει· «Εἶναι ὀλίγαι καὶ γεμᾶται ἀπὸ βάσανα αἱ ἡμέραι τῶν ἐτῶν τῆς ζωῆς μου».

«Καὶ ἐγκατέστησεν ὁ Ἰωσὴφ τὸν πατέρα του καὶ τοὺς ἀδελφούς του καὶ ἔδωσεν εἰς αὐτούς, νὰ ἔχουν ὑπὸ τὴν κατοχήν των, τὴν πιὸ εὔφορον περιοχὴν ἀπὸ τὴν χώραν τῆς Αἰγύπτου, τὴν γῆν Ραμεσσῆ, ὅπως ἀκριβῶς ἐπρόσταξεν ὁ Φαραώ. Καὶ ὁ Ἰωσὴφ ἔδινε εἰς τὸν πατέρα του καὶ τοὺς ἀδελφούς του καὶ εἰς ὅλον τὸν οἶκον τοῦ πατρός του σῖτον ἀνάλογα μὲ τὰ ἄτομα». Αὐτὸ ἦτο ἐκεῖνο ποὺ ἔλεγεν εἰς τοὺς ἀδελφούς του, ὅτι «ὁ Θεὸς μὲ ἔστειλε πρὶν ἀπὸ ἐσᾶς διὰ νὰ ἐπιζήσετε ἐπάνω εἰς τὴν γῆν»[8]· καί, ὅτι «Ὁ Θεὸς μὲ ἀπέστειλε πρὶν ἀπὸ σᾶς διὰ νὰ σᾶς σώσω»[9]. «Καὶ ἔδιδε», λέγει, «εἰς αὐτοὺς σῖτον κατὰ σῶμα». Τί σημαίνει «Κατὰ σῶμα»; Αὐτὸ ποὺ ἦτο ἀρκετὸν διὰ

τὲ μὲν ἀπὸ τῆς ψυχῆς τὸν πάντα ἄνθρωπον καλεῖν, ποτὲ δὲ ἀπὸ τοῦ σώματος. Καὶ καθάπερ ἀνωτέρω ἔλεγεν, «Ἐν ἑβδομήκοντα πέντε ψυχαῖς κατέβη Ἰακὼβ εἰς Αἴγυπτον», ἵνα εἴπῃ ἑβδομήκοντα πέντε ἄνδρας καὶ γυναῖκας, οὕτω καὶ ἐνταῦθα, «Κατὰ σῶμα», ἀντὶ τοῦ, 'καθ' ἕκαστον ἄνθρωπον'. Καὶ πάσης τῆς Αἰγύπτου καὶ Χαναὰν λιμῷ διαφθειρομένης, οὗτοι ἐν εὐετηρίᾳ ἐτύγχανον, καθάπερ ἐκ πηγῶν ἔχοντες ἀπορρέοντα τὸν σῖτον. «Σῖτος» γάρ, φησίν, «οὐκ ἦν ἐν πάσῃ τῇ γῇ. Ἐνίσχυσε γὰρ ὁ λιμὸς σφόδρα. Ἐξέλιπε δὲ ἡ γῆ Αἰγύπτου, καὶ ἡ γῆ Χαναὰν ἀπὸ τοῦ λιμοῦ».

4. Ὅρα τοῦ Θεοῦ τὴν ἄφατον κηδεμονίαν, ὅπως πρὸ τῆς ἐπιτάσεως τοῦ λιμοῦ τὸν δίκαιον εἰς τὴν Αἴγυπτον κατήγαγεν, ἵνα μηδεμίαν αἴσθησιν λάβῃ τῆς στενοχωρίας τῆς μελλούσης καταλαμβάνειν τὴν Χαναάν. Καὶ πάντων ἐκεῖ κατατρεχόντων, «Συνήγαγε», φησίν, «Ἰωσὴφ ἅπαν τὸ ἀργύριον τῶν τε ἐν Αἰγύπτῳ καὶ τῶν ἐν τῇ Χαναάν, καὶ οὕτω τὸν σῖτον αὐτοῖς ἐχορήγει. Καὶ ἐξέλιπε λοιπὸν τὸ ἀργύριον. Εἰσήγαγε γὰρ ἅπαν εἰς τὸν οἶκον Φαραώ. Ἐλθόντες δὲ πάντες οἱ Αἰγύπτιοι ἔλεγον· δὸς ἡμῖν ἄρτους· καὶ ἵνα τί ἀποθνήσκομεν ἐναντίον σου; Ἐξέλιπε γὰρ τὸ ἀργύριον». Οὐκ ἔτι, φησίν, ἔχομεν ἀργύρια, ὥστε ὠνήσασθαι, καὶ διὰ τοῦτο ὑπὸ τοῦ λιμοῦ ἀπολλύμεθα. Μὴ τοίνυν περιίδῃς ἡμᾶς ὑπὸ τοῦ θανάτου πολιορκουμένους, ἀλλὰ παράσχου ἡμῖν ἄρτους, ἵνα ζῶμεν καὶ μὴ ἀποθάνωμεν. «Εἶπε δὲ αὐτοῖς Ἰωσήφ· φέρετε τὰ κτήνη ὑμῶν, καὶ δώσω ὑμῖν ἄρτους». Εἰ γὰρ μὴ εὐπορεῖτε, φησίν, ἀργυρίου, δέχομαι τὰ κτήνη. Εἰ ἐξέλιπε τὸ ἀργύριον, τὰ θρέμματα ὑμῶν κομίσατε, καὶ λήψεσθε ἄρτους.

«Ἤγαγον δὲ τὰ κτήνη, καὶ ἔδωκεν αὐτοῖς ἀντὶ τῶν

τὸν καθένα. Διότι συνηθίζει ἡ Γραφὴ ἄλλοτε μὲν νὰ ὀνομάζῃ τὸν κάθε ἄνθρωπον ἀπὸ τὴν ψυχήν, ἄλλοτε δὲ ἀπὸ τὸ σῶμα. Καὶ ὅπως ἀκριβῶς προηγουμένως ἔλεγε, «Μὲ ἑβδομήντα πέντε ψυχὰς κατέβη ὁ Ἰακὼβ εἰς τὴν Αἴγυπτον», ἀντὶ νὰ εἰπῇ, μὲ ἑβδομήντα πέντε ἄνδρας καὶ γυναῖκας, ἔτσι καὶ ἐδῶ εἶπε, «Κατὰ σῶμα», ἀντὶ νὰ εἰπῇ 'καθ' ἕκαστον ἄνθρωπον'. Καὶ ἐνῷ ὅλη ἡ Αἴγυπτος καὶ ἡ Χαναὰν κατεστρέφετο ἀπὸ πεῖναν, αὐτοὶ ἔζουσαν μὲ πολλὴν ἄνεσιν, ὡσὰν ἀκριβῶς νὰ εἶχαν τὸν σῖτον νὰ τρέχῃ ἀπὸ πηγάς. Καθ' ὅσον, λέγει, «Σῖτος δὲν ὑπῆρχεν εἰς ὅλην τὴν χώραν. Διότι ἡ πεῖνα ἐδυνάμωσε πάρα πολύ. Κατεστράφη ἡ χώρα τῆς Αἰγύπτου καὶ ἡ γῆ τῆς Χαναὰν ἀπὸ τὴν πεῖναν».

Πρόσεχε τοῦ Θεοῦ τὴν ἀπερίγραπτον κηδεμονίαν, πῶς δηλαδὴ πρὶν ἀπὸ τὴν ἐνδυνάμωσιν τῆς πείνας μετέφερε τὸν δίκαιον κάτω εἰς τὴν Αἴγυπτον, διὰ νὰ μὴ δοκιμάσῃ καμμίαν αἴσθησιν τῆς στενοχωρίας ποὺ ἐπρόκειτο νὰ καταλάβῃ τὴν Χαναάν. Καὶ ἐνῷ ὅλοι ἐκεῖ ἔτρεχαν, «Ἐσυγκέντρωσε», λέγει, «ὁ Ἰωσὴφ ὅλα τὰ χρήματα τῶν Αἰγυπτίων καὶ τῶν Χαναναίων καὶ ἔτσι ἐχορηγοῦσε τὸν σῖτον εἰς αὐτούς. Καὶ ἐτελείωσαν πιὰ τὰ χρήματα. Διότι τὰ ἐσυγκέντρωσεν ὅλα εἰς τὸν οἶκον τοῦ Φαραώ. Καὶ ἦλθαν τότε ὅλοι οἱ Αἰγύπτιοι πρὸς αὐτὸν καὶ τοῦ ἔλεγαν· δῶσε μας ἄρτους· διὰ ποῖον λόγον νὰ πεθαίνωμεν ἐμπρός σου; Διότι ἐτελείωσαν τὰ χρήματά μας». Δὲν ἔχομεν, λέγει, πιὰ χρήματα διὰ ν' ἀγοράσωμεν ἄρτους καὶ διὰ τοῦτο πεθαίνομεν ἀπὸ τὴν πεῖναν. Μὴ λοιπὸν μᾶς παραβλέψῃς τὴν στιγμὴν ποὺ πολιορκούμεθα ἀπὸ τὸν θάνατον, ἀλλὰ δῶσε μας ἄρτους, διὰ νὰ ζήσωμεν καὶ νὰ μὴ πεθάνωμεν. «Εἶπε δὲ ὁ Ἰωσὴφ εἰς αὐτούς· φέρετε τὰ ζῶα σας καὶ θὰ σᾶς δώσω ἄρτους». Ἐάν, λέγει, δὲν ἔχετε χρήματα, δέχομαι τὰ ζῶα σας. Ἐὰν ἐτελείωσαν τὰ χρήματά σας, φέρετε τὰ ζῶα σας καὶ θὰ λάβετε ἄρτους.

«Ἔφεραν λοιπὸν τὰ ζῶα των καὶ ἔδωσεν εἰς αὐτοὺς

ἵππων, καὶ ἀντὶ τῶν προβάτων, καὶ ἀντὶ τῶν βοῶν καὶ τῶν ὄνων, καὶ ἐξέθρεψεν αὐτοὺς ἀντὶ τῶν κτηνῶν αὐτῶν. Ἦλθον δὲ πρὸς αὐτὸν καὶ τῷ ἔτει τῷ δευτέρῳ, καὶ εἶπον αὐτῷ· μήποτε ἐκτριβῶμεν, μήτε ἀργυρίου εὐποροῦντες, μήτε κτηνῶν· πάντα γὰρ πρὸς σὲ τὸν κύριον ἡμῶν ἐστιν. Οὐδὲν οὖν ἡμῖν ἕτερον ὑπολέλειπται, ἢ τὸ ἴδιον σῶμα, καὶ ἡ γῆ ἡμῶν. Ἵνα οὖν μὴ ἀποθάνωμεν, κτῆσαι ἡμᾶς καὶ τὴν γῆν ἡμῶν ἀντὶ τῶν ἄρτων, καὶ ἐσόμεθα καὶ ἡμεῖς καὶ ἡ γῆ ἡμῶν παῖδες τῷ Φαραώ. Δὸς σπέρμα, ἵνα σπείρωμεν καὶ ζῶμεν, καὶ μὴ ἀποθάνωμεν, καὶ ἡ γῆ οὐκ ἐρημωθήσεται». Ἑαυτοὺς κατεδουλώσαντο, καὶ τὴν γῆν ἀπέδοντο, ὥστε δυνηθῆναι διατραφῆναι· τοσαύτη τοῦ λιμοῦ γέγονεν ἡ ἀνάγκη. «Καὶ ἐκτήσατο Ἰωσὴφ τὴν γῆν τῶν Αἰγυπτίων τῷ Φαραώ. Ἀπέδοντο γὰρ αὐτὴν διὰ τὴν ἀνάγκην τοῦ λιμοῦ. Καὶ ἐγένετο ἡ γῆ τῷ Φαραώ. Καὶ τὸν λαὸν κατεδουλώσατο αὐτῷ εἰς παῖδας ἀπ' ἄκρων ὁρίων Αἰγύπτου ἕως ἄκρων, χωρὶς τῆς γῆς τῶν ἱερέων. Ἐκείνοις γὰρ ἔδωκε Φαραὼ βρώματα, καὶ ἤσθιον· διὰ τοῦτο οὐκ ἀπέδοντο τὴν γῆν αὐτῶν».

Ὅρα πόση ἡ σύνεσις καὶ σοφία τοῦ Ἰωσὴφ γέγονεν. Οὔτε τοῦ λιμοῦ συνεχώρησεν αἴσθησιν αὐτοῖς γενέσθαι, καὶ πᾶσαν τὴν γῆν τῷ Φαραὼ προσεκτήσατο μετὰ τοῦ καὶ τοὺς Αἰγυπτίους ἅπαντας καταδουλώσασθαι. Ἀλλὰ σκόπει μοι ἐνταῦθα πάλιν τὴν ὑπερβάλλουσαν αὐτοῦ κηδεμονίαν, ἣν περὶ αὐτοὺς ἐπιδείκνυται. Εἶπε γὰρ τοῖς Αἰγυπτίοις· ἰδοὺ κέκτημαι ὑμᾶς καὶ τὴν γῆν ὑμῶν σήμερον τῷ Φαραώ. Λάβετε οὖν ἑαυτοῖς σπέρματα, καὶ σπείρατε τὴν γῆν· καὶ ἐὰν ἔσται τὰ γεννήματα αὐτῆς, δώσετε τὸ πέμπτον μέρος τῷ Φαραώ· τὰ δὲ τέσσαρα μέρη ἔσται ὑμῖν αὐτοῖς εἰς σπέρμα τῇ γῇ, καὶ εἰς βρῶσιν ὑμῖν καὶ πᾶσι τοῖς οἴκοις ὑμῶν. Πολλὴ ἡ φιλοτι-

άρτους έναντι τῶν ἵππων, τῶν προβάτων, τῶν βοδιῶν καὶ τῶν ὄνων καὶ ἐξέθρεψεν αὐτοὺς ἔναντι τῶν ζώων των. Ἦλθαν δὲ πρὸς αὐτὸν καὶ τὸ δεύτερον ἔτος καὶ εἶπαν εἰς αὐτόν· μήπως καὶ πεθάνωμεν, διότι δὲν ἔχομεν χρήματα, οὔτε ζῶα· καθ' ὅσον ὅλα εὑρίσκονται εἰς ἐσένα τὸν κύριόν μας. Τίποτε λοιπὸν ἄλλο δὲν μᾶς ὑπολείπεται, παρὰ μόνον τὸ σῶμα μας καὶ ἡ γῆ μας. Διὰ νὰ μὴ πεθάνωμεν λοιπὸν ἀγόρασε ἐμᾶς καὶ τὴν γῆν μας ἔναντι τῶν ἄρτων καὶ θὰ γίνωμεν ἐμεῖς καὶ ἡ γῆ μας δοῦλοι τοῦ Φαραώ. Δῶσε μας σπόρον διὰ νὰ σπείρωμεν καὶ νὰ ζήσωμεν καὶ νὰ μὴ πεθάνωμεν καὶ ἡ γῆ νὰ μὴ ἐρημωθῇ». Ὑπεδούλωσαν τοὺς ἑαυτούς των καὶ ἔδωσαν τὴν γῆν των, ὥστε νὰ ἠμπορέσουν νὰ διατραφοῦν· τόσον μεγάλη εἶχε γίνει ἡ ἀνάγκη τῆς πείνας. «Καὶ ἠγόρασεν ὁ Ἰωσὴφ τὴν γῆν τῶν Αἰγυπτίων διὰ τὸν Φαραώ. Διότι τὴν ἔδωσαν λόγῳ τῆς μεγάλης ἀνάγκης τῆς πείνας. Καὶ ἔγινε ἡ γῆ τοῦ Φαραώ. Καὶ ἀκόμη ὑπεδούλωσε καὶ τὸν λαὸν εἰς αὐτὸν ἀπὸ τὸ ἕνα ἄκρον τῆς Αἰγύπτου μέχρι τοῦ ἄλλου, ἐκτὸς ἀπὸ τὴν γῆν τῶν ἱερέων. Διότι ὁ Φαραὼ ἔδωσεν εἰς ἐκείνους τροφὴν καὶ ἔτρωγαν· διὰ τοῦτο αὐτοὶ δὲν ἔδωσαν τὴν γῆν των».

Πρόσεχε πόσον μεγάλη ὑπῆρξεν ἡ σύνεσις καὶ ἡ σοφία τοῦ Ἰωσήφ. Οὔτε ἐπέτρεψεν εἰς αὐτοὺς νὰ δοκιμάσουν τὴν αἴσθησιν τῆς πείνας, ἀλλὰ καὶ ὅλην τὴν γῆν ἔκαμε κτῆμα τοῦ Φαραὼ καὶ μαζὶ δὲ ἔκαμε δούλους αὐτοῦ καὶ ὅλους τοὺς Αἰγυπτίους. Ἀλλὰ πρόσεχε σὲ παρακαλῶ ἐδῶ πάλιν τὴν ὑπερβολικὴν φροντίδα αὐτοῦ, τὴν ὁποίαν δείχνει πρὸς αὐτούς. Διότι εἶπεν εἰς τοὺς Αἰγυπτίους· νά, σήμερα κατέστησα σᾶς καὶ τὴν γῆν σας κτῆμα τοῦ Φαραώ. Πάρετε λοιπὸν σπόρον διὰ τὸν ἑαυτόν σας καὶ σπείρετε τὴν γῆν, καὶ ἂν δώσῃ αὐτὴ καρπὸν δώσετε εἰς τὸν Φαραὼ τὸ ἕνα πέμπτον τῶν καρπῶν, τὰ δὲ τέσσερα μέρη θὰ εἶναι ἰδικά σας διὰ νὰ ἔχετε νὰ σπείρετε τὴν γῆν, διὰ τὴν τροφήν σας καὶ δι' ὅλην τὴν οἰκογένειάν σας. Μεγά-

μία, πολλὴ ἡ πρόνοια, ἄφατος ἡ κηδεμονία. Διὸ κἀκεῖνοι αἴσθησιν λαβόντες τῆς εὐεργεσίας, φασί· «Σέσωκας ἡμᾶς, εὕρομεν χάριν ἐναντίον τοῦ κυρίου ἡμῶν· καὶ ἐσόμεθα παῖδες τῷ Φαραώ».

Εἶδες φιλοτιμίαν; Ἐπειδὴ ἑώρα αὐτοὺς κατειργασμένους ὑπὸ τῆς ἐνδείας, λογιζόμενος ὅσον μέλλουσιν ὑπομένειν κάματον γεωργοῦντες καὶ ταλαιπωρούμενοι, φησί· τὸ μὲν σπέρμα ὑμῖν ἐγὼ χορηγήσω, ὑμεῖς δὲ τὴν ἐπιμέλειαν τὴν ἄλλην ἅπασαν ἐπιδείκνυσθε. Καὶ ἐὰν γένηται τὰ γεννήματα, δώσετε μέρος ἕν· τὰ δὲ τέσσαρα ὑμῖν ἔσται, καὶ μισθὸς τῶν πόνων, καὶ πρὸς διατροφὴν αὐτάρκεια. Καὶ τοῦτο δὲ ἔθετο αὐτοῖς τὸ πρόσταγμα Ἰωσήφ, ὥστε ἀποπεμπτοῦν τῷ Φαραώ, χωρὶς τῆς γῆς τῶν ἱερέων μόνης. Ἀκουέτωσαν οἱ νῦν, ὅσην τοῖς ἱερεῦσι τῶν εἰδώλων προνομίαν παρεῖχον τὸ παλαιόν· καὶ παιδευέσθωσαν κἂν γοῦν τὴν ἴσην παρέχειν τιμὴν τοῖς τοῦ τῶν ὅλων Θεοῦ τὴν λειτουργίαν ἐγκεχειρισμένοις. Εἰ γὰρ ἐκεῖνοι πλανώμενοι, καὶ τὴν περὶ τὰ εἴδωλα θεραπείαν ἐπιδεικνύμενοι, ὅτι ἐνόμιζον διὰ τούτου μάλιστα πλείονα τὴν ἀμοιβὴν ἀπονέμειν τοῖς εἰδώλοις, τοσαύτης ἠξίουν τιμῆς τοὺς τούτων θεραπευτάς, πόσης οὐκ ἂν εἶεν καταγνώσεως ἄξιοι οἱ νῦν τὴν εἰς τούτους θεραπείαν παρατεμνόμενοι; Ἢ οὐκ ἴστε, ὅτι εἰς τὸν τῶν ὅλων Δεσπότην ἡ τιμὴ διαβαίνει;

Μὴ τοίνυν πρὸς τὸν τὴν τιμὴν δεχόμενον ἀφόρα. Οὐ γὰρ διὰ τοῦτον ὀφείλεις ποιεῖν τὰ παρὰ σαυτοῦ, ἀλλὰ δι᾽ ἐκεῖνον, ᾧ ἱερᾶται, ἵνα καὶ παρ᾽ ἐκείνου τὰς ἀμοιβὰς μετὰ δαψιλείας κομίσῃ. Διὰ τοῦτο καὶ ἔλεγεν, «Ὁ ποιήσας ἑνὶ τούτων, ἐμοὶ

λη ἡ γενναιοδωρία του, μεγάλη ἡ πρόνοιά του, ἀπερίγραπτη ἡ φροντίδα του. Διὰ τοῦτο καὶ ἐκεῖνοι ἀντιληφθέντες τὴν εὐεργεσίαν, λέγουν· «Μᾶς ἔχεις σώσει· εὕρομεν μεγάλην χάριν ἀπὸ τὸν κύριόν μας καὶ θὰ γίνωμεν δοῦλοι τοῦ Φαραώ».

Εἶδες γενναιοδωρίαν; Ἐπειδὴ ἔβλεπεν αὐτοὺς νὰ ὑποφέρουν ἀπὸ τὴν πεῖναν, σκεπτόμενος πόσον κόπον θὰ ὑπομείνουν καλλιεργοῦντες τὴν γῆν καὶ ταλαιπωρούμενοι μὲ αὐτήν, λέγει· τὸν μὲν σπόρον θὰ σᾶς τὸν χορηγήσω ἐγώ, σεῖς ὅμως θά ἀναλάβετε ὅλην τὴν ἄλλην φροντίδα. Καὶ ἐὰν δώση καρπὸν ἡ γῆ, δώσετε τὸ ἕνα μέρος, ἐνῷ τὰ τέσσερα μέρη θὰ εἶναι ἰδικά σας, μισθὸς διὰ τοὺς κόπους σας καὶ ἐπαρκὴς διατροφή σας. Καὶ αὐτὸ τὸ πρόσταγμα τὸ ἔδωσεν ὁ Ἰωσὴφ εἰς αὐτούς, ὥστε νὰ δίνουν τὸ ἕνα πέμπτον τῶν καρπῶν εἰς τὸν Φαραὼ ὅλοι, ἐκτὸς μόνον ἀπὸ τὴν γῆν τῶν ἱερέων. Ἂς τό ἀκούσουν οἱ σημερινοί, πόσα δηλαδὴ προνόμοια ἔδιναν τὴν παλαιὰν ἐποχὴν εἰς τοὺς ἱερεῖς τῶν εἰδώλων, καὶ ἂς διδαχθοῦν λοιπὸν νὰ παρέχουν ἔστω καὶ τὴν ἰδίαν τιμὴν εἰς ἐκείνους ποὺ ἔχει ἀνατεθῆ τὸ ἔργον τῆς διακονίας τοῦ Θεοῦ τῶν ὅλων. Διότι, ἐὰν ἐκεῖνοι, ἂν καὶ ἐζοῦσαν μέσα εἰς τὴν πλάνην καὶ ἐλάτρευαν τὰ εἴδωλα, ἐπειδὴ ἐνόμιζαν μὲ αὐτὸ ὅτι ἀπονέμουν πολὺ μεγαλυτέραν ἀμοιβὴν εἰς τὰ εἴδωλα, ἀπέδιδαν διὰ τοῦτο εἰς τοὺς ὑπηρέτας τῶν εἰδώλων τόσον μεγάλας τιμάς, πόσης κατακρίσεως ἄξιοι δὲν θὰ ἦσαν οἱ σημερινοὶ ποὺ ἀποστεροῦν τὴν ὑπηρεσίαν αὐτὴν πρὸς τοὺς ἱερεῖς; Ἢ δὲν γνωρίζετε, ὅτι ἡ τιμὴ μεταβαίνει εἰς τὸν Κύριον τῶν ὅλων;

Μὴ λοιπὸν συγκεντρώνης τὴν προσοχήν σου πρὸς ἐκεῖνον ποὺ δέχεται τὴν τιμήν. Διότι δὲν ὀφείλεις νὰ κάμνης δι' αὐτὸν ἐκεῖνα ποὺ ἠμπορεῖς νὰ κάμης, ἀλλὰ δι' ἐκεῖνον ποὺ ὑπηρετεῖ, διὰ νὰ λάβης πλουσιοπάροχα καὶ τὰς ἀμοιβὰς ἀπὸ ἐκεῖνον. Διὰ τοῦτο καὶ ἔλεγεν, «Ἐκεῖνος ποὺ ἔκαμε κάτι εἰς ἕνα ἀπὸ αὐτούς, τὸ ἔκαμεν εἰς ἐμέ-

ἐποίησεν· καί, «Ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται». Μὴ γὰρ ἀπὸ τῆς ἀξίας, ἢ ἀπὸ τῆς εὐτελείας τῶν θεραπευομένων τὰς ἀμοιβάς σοι παρέχει ὁ Δεσπότης; Ἀπὸ τῆς προθυμίας τῆς σῆς ἢ στεφανοῖ ἢ κατακρίνει. Καὶ ὥσπερ ἡ τιμὴ ἡ δι' αὐτῶν γινομένη πολλὴν προξενεῖ τὴν παρρησίαν (οἰκειοῦται γὰρ τὰ εἰς τοὺς αὐτοῦ θεράποντας γινόμενα), οὕτω καὶ ἡ ὑπεροψία ἡ εἰς τούτους πολλὴν οἴσει τὴν ἄνωθεν δίκην. Ὥσπερ γὰρ τὰ τῆς τιμῆς οἰκειοῦται, οὕτω καὶ τὰ τῆς καταφρονήσεως· ὅπερ εἰδότες, μηδέποτε ἀμελῶμεν τῆς θεραπείας τῶν τοῦ Θεοῦ ἱερέων. Καὶ ταῦτα λέγω, οὐχὶ ἐκείνων τοσοῦτον ἀντεχόμενος, ὅσον τῆς ὑμετέρας ἀγάπης, καὶ βουλόμενος ὑμᾶς διὰ πάντων κερδαίνειν. Τί γὰρ τοσοῦτον δίδως, ὅσον λαμβάνεις παρὰ τοῦ Δεσπότου; πόσην θεραπείαν εἰσάγεις; Ἀλλ' ὅμως καὶ ὑπὲρ ἐκείνης τῆς εὐτελοῦς καὶ ἐν τῷ παρόντι βίῳ συγκαταλυομένης ἀθανάτους κομίσῃ ἀμοιβάς, καὶ τὰ ἀπόρρητα ἀγαθά.

5. Ἅπερ λογιζόμενοι, ἐπιτρέχωμεν ταῖς τοιαύταις διακονίαις, μὴ τὴν δαπάνην λογιζόμενοι, ἀλλὰ τὸ κέρδος καὶ τὴν πρόσοδον τὴν ἐντεῦθεν τικτομένην. Εἰ γὰρ ἀνθρώπῳ τινὶ τῶν ὑπερεχόντων ἐν ἀξιώματι βιωτικοῖς οἰκειούμενόν τινα θεασαίμεθα, πᾶσαν θεραπείαν εἰς αὐτὸν ἐπιδείκνυσθαι σπουδάζομεν, ἐννοοῦντες ὅτι τὰ εἰς ἐκεῖνον γινόμενα εἰς τὸν προστάτην διαβήσεται τὸν αὐτοῦ, καὶ ὅτι ἐκεῖνος γνωρίσας ἐκείνῳ, ὃν προστάτην ἐπιγράφεται, πλείονος ἡμῖν ἀπολαῦσαι παρασκευάσει τῆς παρ' αὐτοῦ εὐνοίας· πολλῷ μᾶλλον ἐπὶ τοῦ Δεσπότου τῶν ὅλων τοῦτο ἔσται. Εἰ γάρ, καὶ ἐπὶ τῶν τυχόντων καὶ ἐπὶ τῆς ἀγορᾶς ἐρριμμένων εἰ ἐπεδείξατό τίς τινα

---

10. Ματθ. 25, 40.
11. Ματθ. 10, 41.

να»[10]· καὶ «Ἐκεῖνος ποὺ δέχεται προφήτην, ἐπειδὴ εἶναι προφήτης, θὰ λάβῃ μισθὸν προφήτου»[11]. Διότι μήπως ὁ Κύριος σοῦ παρέχει τὰς ἀμοιβὰς ἀπὸ τὴν ἀξίαν ἢ ἀπὸ τὴν εὐτέλειαν ἐκείνων ποὺ ὑπηρετοῦνται; Ἀπὸ τὴν ἰδικήν σου προθυμίαν ἢ σὲ στεφανώνει ἢ σὲ καταδικάζει. Καὶ ὅπως ἀκριβῶς ἡ τιμὴ ποὺ γίνεται δι' αὐτῶν γίνεται πρόξενος μεγάλης παρρησίας (διότι θεωρεῖ ὡσὰν νὰ γίνωνται εἰς αὐτὸν τὰ ὅσα γίνονται εἰς τοὺς λειτουργοὺς αὐτοῦ), ἔτσι καὶ ἡ περιφρόνησις αὐτῶν θὰ γίνῃ αἰτία μεγάλης καταδίκης ἐκ μέρους τοῦ Θεοῦ. Διότι, ὅπως ἀκριβῶς θεωρεῖ ὡς ἰδικήν του τὴν τιμήν, ἔτσι καὶ τὴν περιφρόνησιν, καὶ γνωρίζοντες αὐτό, ποτὲ νὰ μὴ ἀδιαφοροῦμεν νὰ ὑπηρετοῦμεν τοὺς ἱερεῖς τοῦ Θεοῦ. Καὶ αὐτὰ τὰ λέγω, φροντίζων ὄχι τόσον δι' ἐκείνους, ὅσον διὰ τὴν ἰδικήν σας ἀγάπην, καὶ ἐπειδὴ θέλω νὰ κερδίζετε ἀπὸ ὅλα. Διότι ποῖο εἶναι αὐτὸ ποὺ δίδεις τόσον μεγάλο, ὅσον μεγάλο εἶναι ἐκεῖνο πού παίρνεις ἀπὸ τὸν Κύριον; πόσην ὑπηρεσίαν προσφέρεις; Ἀλλ' ὅμως καὶ δι' ἐκείνην τὴν ἀσήμαντον ὑπηρεσίαν, καὶ ποὺ τελειώνει εἰς τὴν παροῦσαν ζωήν, θὰ λάβῃς ἀθανάτους ἀμοιβὰς καὶ τὰ ἀπόρρητα ἀγαθά.

5. Αὐτὰ ἀκριβῶς σκεπτόμενοι, ἂς δείχνωμεν προθυμίαν πρὸς τέτοιου εἴδους διακονίας, σκεπτόμενοι ὄχι τὴν δαπάνην, ἀλλὰ τὸ κέρδος καὶ τὴν ὠφέλειαν ποὺ γεννᾶται ἀπὸ ἐδῶ. Διότι, ἐάν, ὅταν συμβαίνει νὰ ἰδοῦμεν κάποιον νὰ γίνεται στενὸς φίλος κάποιου ἀνθρώπου ποὺ κατέχει ὑψηλὰ κοσμικὰ ἀξιώματα, φροντίζωμεν νὰ προσφέρωμεν εἰς αὐτὸν κάθε ὑπηρεσίαν, σκεπτόμενοι ὅτι τὰ ὅσα γίνονται εἰς ἐκεῖνον, θὰ μεταβιβασθοῦν εἰς τὸν προστάτην αὐτοῦ, καὶ ὅτι ἐκεῖνος, ἀφοῦ τὰ γνωστοποιήσῃ εἰς ἐκεῖνον ποὺ τὸν παρουσιάζει ὡς προστάτην του, θὰ μᾶς βοηθήσῃ νὰ ἀπολαύσωμεν μεγαλυτέραν εὔνοιαν ἐκ μέρους ἐκείνου, πολὺ περισσότερον θὰ συμβῇ αὐτὸ εἰς τὴν περίπτωσιν τοῦ Κυρίου τῶν ὅλων. Ἐὰν λοιπὸν κάποιος ἤθελεν ἐπιδείξει κάποιαν φιλοφροσύνην καὶ συμπάθειαν

φιλοφροσύνην καὶ συμπάθειαν, οἰκειούμενος τὰ γενόμενα ὁ Δεσπότης ἐπαγγέλλεται εἰς τὴν βασιλείαν εἰσάγειν τοὺς ἀγαθόν τι εἰς ἐκείνους εἰργασμένους, καὶ ἐρεῖν, «Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, ὅτι ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν», πολλῷ μᾶλλον τοὺς διὰ τὸν Θεὸν θλιβομένους, καὶ ἱερωσύνῃ τετιμημένους εἰ θεραπεύσειέ τις, οὐ τῆς τοσαύτης ἀπολαύσεται τῆς ἀμοιβῆς, ἀλλὰ πολυπλασίονος, τοῦ φιλανθρώπου Θεοῦ ἐκ πολλοῦ τοῦ περιόντος νικῶντος ἀεὶ τὰ παρ' ἡμῶν γινόμενα.

Μὴ τοίνυν γινώμεθα χείρους τῶν ἀπίστων, τῶν διὰ τὴν περὶ τὰ εἴδωλα πλάνην ἔτι καὶ τοσαύτην θεραπείαν ἐπιδεικνυμένων περὶ τοὺς τούτων θεραπευτάς, ἀλλ' ὅση ἡ διαφορὰ τῆς πλάνης πρὸς τὴν ἀλήθειαν, καὶ τῶν ἐκείνων ἱερέων πρὸς τοὺς τοῦ Θεοῦ ἱερεῖς, τοσαύτην διαφορὰν καὶ περὶ τὴν τιμὴν ἐπιδειξώμεθα, ἵνα πολυπλασίους τὰς ἄνωθεν ἀμοιβὰς κομίσασθαι δυνηθῶμεν. «Κατῴκησε δέ», φησίν, «Ἰακὼβ ἐν Αἰγύπτῳ, καὶ ηὐξήθησαν καὶ ἐπληθύνθησαν σφόδρα». Αὕτη γὰρ ἦν καὶ τοῦ Θεοῦ ἡ ὑπόσχεσις πρὸς αὐτὸν γεγενημένη, ὅτι «Ποιήσω σε εἰς ἔθνος μέγα». Καὶ ἐπέζησεν Ἰακὼβ δεκαεπτὰ ἔτη. Καὶ ἐγένοντο αἱ ἡμέραι Ἰακὼβ ἑκατὸν τεσσαράκοντα ἑπτὰ ἔτη». Διὰ τοῦτο τῆς ζωῆς αὐτῷ **τὸν χρόνον** τοῦτον ἐπεμέτρησεν ὁ Θεός, ἵνα τῆς ταλαιπωρίας, ἧς ἐν παντὶ τῷ χρόνῳ τῆς ζωῆς ὑπέμεινεν, ἀρκοῦσαν παραμυθίαν κομισάμενος, οὕτω τὸν βίον καταλύσῃ.

Ἀλλ' εἰ βούλεσθε, ἵνα μὴ τῷ πλήθει τῶν εἰρημένων καταχώσωμεν ὑμῶν τὴν μνήμην, τὰ λειπόμενα εἰς τὴν ἑξῆς ταμιευσάμενοι, ἐνταῦθα καταπαύσομεν τὸν λόγον, ἐκεῖνο παρακαλέσαντες ὑμῶν τὴν ἀγάπην, ὥστε μετὰ ἀκριβείας προσέ-

12. Ματθ. 25, 34-35.
13. Γεν. 46, 3.

πρὸς τοὺς τυχόντας καὶ πρὸς ἐκείνους ποὺ εὑρίσκονται περιφρονημένοι εἰς τὴν ἀγοράν, θεωρῶν ὁ Κύριος ὡσὰν νὰ γίνωνται εἰς αὐτὸν τὰ ὅσα γίνονται, ὑπόσχεται νὰ ὁδηγήσῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν ἐκείνους ποὺ πράττουν κάποιο καλὸν εἰς ἐκείνους, καὶ λέγει, «Ἐλᾶτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, διότι ἐπείνασα καὶ μοῦ ἐδώσατε νὰ φάγω»[12], πολὺ περισσότερον ἐὰν ἤθελε κάποιος προσφέρει ὑπηρεσίαν εἰς ἐκείνους ποὺ δοκιμάζουν θλίψεις χάριν τοῦ ὀνόματος τοῦ Θεοῦ καὶ ἔχουν τιμηθῆ μὲ τὴν ἱερωσύνην, δὲν θ' ἀπολαύσῃ τόσης μόνον τιμῆς, ἀλλὰ πολλαπλασίας, διότι ὁ φιλάνθρωπος Θεὸς ὑπερέχει κατὰ πολὺ ἐκείνου ποὺ πράττει εἰς ὑπερβολικὸν βαθμὸν τὰ ὅσα καλὰ γίνονται ἀπὸ ἐμᾶς τοὺς ἀνθρώπους.

Ἂς μὴ γινώμεθα λοιπὸν χειρότεροι ἀπὸ τοὺς ἀπίστους, ποὺ ἐξ αἰτίας τῆς πλάνης των πρὸς τὰ εἴδωλα, περιβάλλουν ἀκόμη μὲ τόσην τιμὴν τοὺς ὑπηρέτας αὐτοὺς τῶν εἰδώλων, ἀλλ' ὅση εἶναι ἡ διαφορὰ τῆς πλάνης πρὸς τὴν ἀλήθειαν καὶ τῶν ἱερέων ἐκείνων πρὸς τοὺς ἱερεῖς τοῦ Θεοῦ, τόσην διαφορὰν ἂς ἐπιδείξωμεν καὶ ὡς πρὸς τὴν τιμήν, διὰ νὰ ἠμπορέσωμεν νὰ ἀποκομίσωμεν πολλαπλασίας τὰς οὐρανίους ἀμοιβάς. «Ὁ δὲ Ἰακὼβ ἐγκατεστάθη εἰς τὴν Αἴγυπτον καὶ ηὐξήθησαν καὶ ἐπληθύνθησαν πάρα πολύ». Αὐτὴ δηλαδὴ ἦτο καὶ ἡ ὑπόσχεσις τοῦ Θεοῦ ποὺ ἐδόθη εἰς αὐτόν, ὅτι «Θὰ σὲ κάνω ἔθνος μέγα»[13]. «Καὶ ἔζησεν ὁ Ἰακὼβ ἀκόμη δέκα πέντε ἔτη. Καὶ ἔγιναν συνολικὰ αἱ ἡμέραι τοῦ Ἰακὼβ ἑκατὸν σαράντα ἑπτὰ ἔτη». Διὰ τοῦτο ὁ Θεὸς τοῦ ἐχάρισεν αὐτὸν τὸν χρόνον τῆς ἐπὶ πλέον ζωῆς, ὥστε, ἀφοῦ λάβῃ ἀρκετὴν παρηγορίαν διὰ τὴν ταλαιπωρίαν ποὺ ὑπέμεινεν εἰς ὅλον τὸν χρόνον τῆς ζωῆς του, νὰ τερματίσῃ ἔτσι τὴν ζωήν του.

Ἀλλ' ἐὰν θέλετε, διὰ νὰ μὴ παραφορτώσωμεν τὴν μνήμην σας μὲ τὸ πλῆθος τῶν λόγων, ἀφοῦ ἐπιφυλάξωμεν τὰ ὑπόλοιπα διὰ τὴν ἑπομένην ὁμιλίαν, ἂς τερματίσωμεν ἐδῶ τὸν λόγον, ἀφοῦ παρακαλέσωμεν εἰς τὴν ἀγά-

χειν τοῖς λεγομένοις, καὶ τὴν μνήμην διηνεκῆ τούτων κεκτῆσθαι, καὶ ταῦτα διηνεκῶς στρέφειν ἐπὶ τῆς διανοίας, καὶ λογίζεσθαι τὴν ὑπομονήν, ἣν οἱ δίκαιοι οὗτοι ὑπέμενον, τὴν μακροθυμίαν, τὴν πίστιν, ἣν ἐπεδείκνυντο περὶ τὰς τοῦ Θεοῦ ὑποσχέσεις, οὐ παρασαλευσάμενοι τὸν λογισμὸν διὰ τὰ μετὰ τὴν ὑπόσχεσιν συμπίπτοντα· ἀλλὰ θαρροῦντες τῇ τοῦ ἐπαγγειλαμένου δυνάμει, οὕτως ἅπαντα πράως ἔφερον, καὶ διὰ τούτων εὐδοκίμουν. Ἰδοὺ γὰρ καὶ ὁ δίκαιος οὗτος μετὰ τὸ ἐν ἔτεσι τοσούτοις πενθῆσαι τὸν Ἰωσὴφ ὡς ἀποτεθνηκότα, εἶδεν αὐτὸν τὴν βασιλείαν τῆς Αἰγύπτου κατέχοντα· καὶ ὁ θαυμάσιος Ἰωσὴφ μετὰ τὴν δουλείαν, μετὰ τὸ δεσμωτήριον, μετὰ τὰ ἄλλα πάντα, ἅπερ ὑπέμεινε, τὴν ἀρχὴν ἅπασαν ἐδέχετο τῆς χώρας. Καὶ εἰ βουλοίμεθα ἐπιέναι πάσας τὰς ἐν τῇ Γραφῇ κειμένας ἱστορίας, εὑρήσομεν τοὺς ἐπ' ἀρετῇ ἅπαντας διὰ πειρασμῶν ὁδεύσαντας, καὶ οὕτω δυνηθέντας πολλὴν τὴν ἄνωθεν ἐπισπάσασθαι ῥοπήν.

Εἰ τοίνυν βουλόμεθα καὶ ἡμεῖς τῆς εὐνοίας ἀξιωθῆναι τῆς παρὰ τοῦ Θεοῦ, μὴ ἀσχάλλωμεν ἐν τοῖς πειρασμοῖς, μηδὲ δυσχεραίνωμεν πρὸς τὰ ἐπιόντα· ἀλλὰ μᾶλλον χαίρωμεν καὶ εὐφραινώμεθα τῇ πίστει νευρούμενοι, εἰδότες ὅτι ταύτῃ μάλιστα πολλῆς ἀπολαυσόμεθα τῆς προνοίας, εἰ μετ' εὐχαριστίας ἅπαντα φέρειν μελετήσωμεν. Γένοιτο δὲ πάντας ἡμᾶς καὶ τὸν παρόντα βίον ἐν ἀρετῇ διάγοντας τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

πην σας ἐκεῖνο, ὥστε νὰ προσέχετε μὲ ἀκρίβειαν τὰ λεγόμενα καὶ νὰ τὰ ἔχετε διαρκῶς εἰς τὴν μνήμην σας καὶ νὰ τὰ περιστρέφετε συνεχῶς εἰς τὴν σκέψιν σας καὶ νὰ σκέπτεσθε τὴν ὑπομονὴν ποὺ ἐπέδειξαν αὐτοὶ οἱ δίκαιοι, τὴν μακροθυμίαν, τὴν πίστιν ποὺ ἔδειχναν εἰς τὰς ὑποσχέσεις τοῦ Θεοῦ, χωρὶς νὰ κλονίζεται ὁ λογισμός των ἐξ αἰτίας τῶν ὅσων συνέβαιναν μετὰ τὴν ὑπόσχεσιν, ἀλλά στηρίζοντες τὸ θάρρος των εἰς τὴν δύναμιν ἐκείνου ποὺ ἔδιδε τὰς ὑποσχέσεις, ἔτσι ὑπέφερον ὅλα μὲ πραότητα καὶ μὲ αὐτὰ προώδευαν εἰς τὴν ἀρετήν. Διότι νὰ καὶ αὐτὸς ὁ δίκαιος, μετὰ ἀπὸ τὰ τόσα ἔτη ποὺ ἐπένθησε τὸν Ἰωσὴφ ὡσὰν πεθαμένον, εἶδεν αὐτὸν νὰ κατέχῃ τὴν βασιλείαν τῆς Αἰγύπτου· καὶ ὁ θαυμάσιος Ἰωσὴφ μετὰ τὴν δουλείαν, μετὰ τὴν φυλάκισίν του, μετὰ ἀπὸ ὅλα τὰ ἄλλα, ποὺ ὑπέμεινεν, ἐλάμβανε τὴν ἐξουσίαν ὁλοκλήρου τῆς χώρας. Καὶ ἐὰν θὰ ἠθέλαμεν νὰ ἐξετάσωμεν ὅλας τὰς ἱστορίας ποὺ εὑρίσκονται μέσα εἰς τὴν Γραφήν, θὰ εὕρωμεν νὰ ἔχουν βαδίσει διὰ μέσου τῶν δοκιμασιῶν ὅλους ἐκείνους ποὺ διέπρεψαν εἰς τὴν ἀρετήν, καὶ ποὺ ἠμπόρεσαν ἔτσι ν᾽ ἀποσπάσουν μεγάλην βοήθειαν ἀπὸ τὸν οὐρανόν.

Ἐὰν λοιπὸν θέλωμεν καὶ ἡμεῖς νὰ ἀξιωθοῦμεν τῆς εὐνοίας ἐκ μέρους τοῦ Θεοῦ, ἂς μὴ στενοχωρούμεθα διὰ τὰς δοκιμασίας, οὔτε νὰ δυσανασχετοῦμεν δι᾽ ἐκεῖνα τὰ κακὰ ποὺ μᾶς εὑρίσκουν εἰς τὴν ζωήν, ἀλλὰ μᾶλλον νὰ χαιρώμεθα καὶ νὰ εὐφραινώμεθα ἐνισχυόμενοι ἀπὸ τὴν πίστιν, γνωρίζοντες, ὅτι ἔτσι πρὸ πάντων θ᾽ ἀπολαύσωμεν μεγάλης προνοίας, ἐὰν φροντίσωμεν ὅλα νὰ τὰ ὑποφέρωμεν μὲ εὐχαριστίαν. Εἴθε δὲ νὰ συμβῇ ὅλοι ἡμεῖς καὶ τὴν παροῦσαν ζωὴν νὰ περάσωμεν ἀσκοῦντες τὴν ἀρετὴν καὶ νὰ ἐπιτύχωμεν τὰ μελλοντικὰ ἀγαθά, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα, συγχρόνως δὲ καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΞΣΤ΄

(Γεν. 47, 29 - 48, 20)

«Ἤγγισαν δέ», φησίν, «αἱ ἡμέραι Ἰσραὴλ τοῦ ἀποθανεῖν, καὶ ἐκάλεσε τὸν υἱὸν αὐτοῦ τὸν Ἰωσήφ, καὶ εἶπεν αὐτῷ· εἰ εὕρηκα χάριν ἐναντίον σου, ὑπόθες τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου, καὶ ποιήσεις ἐπ' ἐμὲ ἐλεημοσύνην καὶ ἀλήθειαν, τοῦ μή με θάψαι ἐν Αἰγύπτῳ· ἀλλὰ κοιμηθήσομαι μετὰ τῶν πατέρων μου· καὶ ἀρεῖς με ἐξ Αἰγύπτου, καὶ θάψεις με ἐν τάφῳ αὐτῶν. Ὁ δὲ εἶπεν· ἐγὼ ποιήσω κατὰ τὸ ῥῆμά σου. Εἶπε δέ· ὄμοσόν μοι. Καὶ ὤμοσεν αὐτῷ. Καὶ προσεκύνησεν Ἰσραὴλ ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ».

1. Φέρε καὶ σήμερον τὸ τέλος ἐπιθῶμεν τῇ κατὰ τὸν Ἰακὼβ διηγήσει, καὶ ἴδωμεν τίνα ἐστίν, ἃ μέλλων καταλύειν τὸν βίον διατάττεται. Ἀλλὰ μηδεὶς πρὸς τὴν νῦν τῶν πραγμάτων κατάστασιν ἀφορῶν ταῦτα ἀπαιτείτω παρὰ τῶν τότε δικαίων, ἅπερ νῦν τοὺς πιστοὺς φιλοσοφεῖν προσῆκεν· ἀλλὰ πρὸς τοὺς καιροὺς καὶ τὰ πράγματα κρινέτω. Ταῦτα δὲ ἐπίτηδες ἐπροοιμιασάμην διὰ τὰ μέλλοντα ὑπὸ τοῦ πατριάρχου τῷ Ἰωσὴφ λέγεσθαι. Τίνα δέ ἐστιν, ἀκούσωμεν. «Ἤγγισαν δέ», φησίν, «αἱ ἡμέραι Ἰσραὴλ τοῦ ἀποθανεῖν, καὶ ἐκάλεσε τὸν υἱὸν αὐτοῦ τὸν Ἰωσήφ, καὶ εἶπεν αὐτῷ· εἰ εὕρηκα χάριν ἐναντίον σου, ὑπόθες τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου, καὶ ποιήσεις ἐπ' ἐμὲ ἐλεημοσύνην καὶ ἀλήθειαν, τοῦ μή με θάψαι ἐν Αἰγύπτῳ· ἀλλὰ κοιμηθήσομαι μετὰ τῶν πατέρων μου· καὶ ἀρεῖς με ἐξ Αἰγύπτου, καὶ θάψεις με ἐν τῷ τάφῳ

ΟΜΙΛΙΑ ΞΣΤ΄
(Γεν. 47, 29 - 48, 20)

«Ἐπλησίασαν δὲ αἱ ἡμέραι», λέγει, «ν' ἀποθάνῃ ὁ Ἰσραὴλ καὶ ἐκάλεσε τὸν υἱόν του τὸν Ἰωσὴφ καὶ εἶπεν εἰς αὐτόν· ἐὰν ηὗρα χάριν ἐνώπιόν σου βάλε τὸ χέρι σου κάτω ἀπὸ τὸν μηρόν μου καὶ ὀρκίσου ὅτι θὰ μοῦ κάνῃς τὴν χάριν καὶ ὅτι πράγματι δὲν θὰ μὲ θάψῃς εἰς τὴν Αἴγυπτον, ἀλλὰ θὰ ἐνταφιασθῶ μαζὶ μὲ τοὺς πατέρας μου· θὰ μὲ μεταφέρῃς ἀπὸ τὴν Αἴγυπτον καὶ θὰ μὲ θάψῃς εἰς τὸν τάφον των. Ἐκεῖνος δὲ εἶπεν· θὰ κάνω ὅ,τι μοῦ εἶπες. Εἶπε δὲ ὁ Ἰακώβ· ὀρκίσου. Καὶ ὠρκίσθη ἔμπροσθέν του. Καὶ ἐπροσκύνησεν ὁ Ἰσραὴλ εἰς τὸ ἄκρον τῆς ῥάβδου του».

1. Ἂς τερματίσωμεν σήμερα τὴν διήγησιν περὶ τοῦ Ἰακὼβ καὶ ἂς ἰδοῦμεν ποῖαι εἶναι αἱ ἐντολαὶ ἐκεῖναι ποὺ δίδει πρὶν ἀπὸ τὸν θάνατόν του. Ἀλλὰ κανείς, λαμβάνων ὑπ' ὄψιν τὴν σημερινὴν κατάστασιν τῶν πραγμάτων, ἂς μὴ ζητῇ ἀπὸ τοὺς τότε δικαίους, ἐκεῖνα ποὺ τώρα ταιριάζει νὰ σκέπτωνται καὶ νὰ κάμνουν οἱ πιστοί, ἀλλ' ἀνάλογα μὲ τὶς περιστάσεις νὰ κρίνῃ καὶ τὰ πράγματα. Αὐτὰ δὲ σκόπιμα τὰ ἀνέφερα εἰς τὸ προοίμιον ἐξ αἰτίας ἐκείνων ποὺ πρόκειται νὰ λεχθοῦν ἀπὸ τὸν πατριάρχην εἰς τὸν Ἰωσήφ. Ἂς ἀκούσωμεν δὲ ποῖα εἶναι αὐτά. «Ἐπλησίασαν δὲ», λέγει, «αἱ ἡμέραι ν' ἀποθάνῃ ὁ Ἰσραὴλ καὶ ἐκάλεσε τὸν υἱόν του τὸν Ἰωσὴφ καὶ εἶπεν εἰς αὐτόν· ἐὰν ηὗρα χάριν ἐνώπιόν σου, βάλε τὸ χέρι σου κάτω ἀπὸ τὸν μηρόν μου καὶ εἰλικρινὰ θὰ μοῦ κάνῃς μεγάλην χάριν νὰ μὴ μὲ θάψῃς εἰς τὴν Αἴγυπτον, ἀλλ' ὅτι θὰ ἐνταφιασθῶ μαζὶ μὲ τοὺς πατέρας μου· θὰ μὲ μεταφέρῃς ἀπὸ τὴν Αἴγυπτον

αὐτῶν. Ὁ δὲ εἶπε· ποιήσω κατὰ τὸ ῥῆμά σου. Εἶπε δέ· ὄμοσόν μοι. Καὶ ὤμοσεν αὐτῷ. Καὶ προσεκύνησεν Ἰσραὴλ ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ». Πολλοὶ τῶν μικροψύχων, ἐπειδὰν παραινῶμεν αὐτοῖς μὴ πολὺν ποιεῖσθαι λόγον περὶ ταφῆς, μηδὲ περισπούδαστον πρᾶγμα ἡγεῖσθαι τὸ ἀπὸ τῆς ἀλλοτρίας ἐπὶ τὴν οἰκείαν πατρίδα τῶν τετελευτηκότων τὰ λείψανα ἐπανάγειν, ταύτην ἡμῖν προβάλλονται τὴν ἱστορίαν, φάσκοντες, καὶ τὸν πατριάρχην τοσαύτην ὑπὲρ τούτου πεποιῆσθαι τὴν φροντίδα.

Ἀλλὰ πρῶτον μέν, ὅπερ ἔφθην εἰπών, τοῦτο δεῖ λογίζεσθαι, ὅτι οὐ τοσαύτην τότε τὴν φιλοσοφίαν ἀπῃτοῦντο, ὅσην οἱ νῦν· ἔπειτα ὅτι καὶ τοῦτο αὐτὸ οὐχ ἁπλῶς ὁ δίκαιος ἐβουλήθη γενέσθαι, ἀλλ' ἐλπίδας αὐτοῖς χρηστὰς ὑποφαίνων, ὡς καὶ αὐτοὶ ὀψέ ποτε ἐπανήξουσιν εἰς τὴν γῆν τῆς ἐπαγγελίας. Καὶ ὅτι ταύτης ἕνεκεν τῆς αἰτίας τοῦτο διετάξατο, φανερώτερον ἡμᾶς διδάσκει ὁ τούτου παῖς φάσκων· «Ἐπισκοπῇ ἐπισκέψεται ὁ Θεὸς ὑμᾶς, καὶ συνανοίσετε τὰ ὀστᾶ μου ἐντεῦθεν». Ὅτι γὰρ τοῖς τῆς πίστεως ὀφθαλμοῖς τὰ μέλλοντα ἐφαντάζοντο, ἄκουε αὐτοῦ ἤδη κοίμησιν τὸν θάνατον λέγοντος· φησὶ γάρ, «Κοιμηθήσομαι μετὰ τῶν πατέρων μου». Διὰ τοῦτο καὶ Παῦλος ἔλεγε, «Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ κομισάμενοι τὰς ἐπαγγελίας, ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες καὶ ἀσπασάμενοι. Πῶς; Τοῖς τῆς πίστεως ὀφθαλμοῖς.

Μηδεὶς τοίνυν νομιζέτω μικροψυχίας εἶναι τὴν διάταξιν, ἀλλὰ καὶ ἀπὸ τοῦ καιροῦ καὶ ἀπὸ τοῦ προορᾶν τὴν μέλλουσαν αὐτῶν ἔσεσθαι ἐπάνοδον, πάσης αἰτίας ἀπολυέτω τὸν

---

1. Γεν. 50, 24 - 25.
2. Ἑβρ. 11, 13.

καὶ θὰ μὲ θάψῃς εἰς τὸν τάφον αὐτῶν. Ὁ δὲ Ἰωσὴφ εἶπε· θὰ κάνω αὐτὸ ποὺ μοῦ λέγεις. Εἶπε δὲ ὁ Ἰακώβ· ὁρκίσου ἐμπρός μου. Καὶ ὡρκίσθη ἐμπρός του. Καὶ ἐπροσκύνησεν ὁ Ἰσραὴλ εἰς τό ἄκρον τῆς ράβδου του». Πολλοὶ ἀπὸ τοὺς μικροψύχους, ὅταν τοὺς συμβουλεύωμεν νὰ μὴ καταβάλλουν πολλὴν φροντίδα διὰ τὴν ταφήν, οὔτε νὰ θεωροῦν περισπούδαστον πρᾶγμα τὴν μετακόμισιν τῶν λειψάνων τῶν ἀποθανόντων ἀπὸ τὴν ξένην χώραν εἰς τὴν ἰδικήν των πατρίδα, αὐτὴν τὴν ἱστορίαν μᾶς προβάλλουν, λέγοντες, ὅτι καὶ ὁ πατριάρχης τόσον μεγάλην φροντίδα ἔδειξε δι' αὐτό τὸ πρᾶγμα.

Ἀλλὰ πρῶτον μέν, ὅπως προανέφερα, αὐτὸ πρέπει νὰ σκεπτώμεθα, ὅτι δηλαδὴ τότε δὲν ἐχρειάζοντο τόσον μεγάλην φιλοσοφίαν, ὅσην χρειάζονται οἱ σημερινοί· ἔπειτα ὅτι καὶ αὐτὸ τό πρᾶγμα τὸ ἐζήτησεν ὁ δίκαιος νὰ γίνῃ ὄχι ἔτσι τυχαῖα, ἀλλ' ἀφήνων νὰ διαφανοῦν εἰς αὐτούς κατὰ κάποιον τρόπον ἀγαθαὶ ἐλπίδες, ὅτι καὶ αὐτοὶ κάποτε μετὰ ἀπὸ πολὺν χρόνον θὰ ἐπιστρέψουν εἰς τὴν γῆν τῆς ἐπαγγελίας. Καὶ ὅτι δι' αὐτὴν τὴν αἰτίαν ἔδωσεν αὐτὴν τὴν παραγγελίαν μᾶς τὸ διδάσκει μὲ πιὸ φανερὸν τρόπον ὁ υἱός αὐτοῦ ποὺ λέγει· «Ὅταν ὁ Θεὸς θὰ σᾶς ἐπισκεφθῇ καὶ θὰ σᾶς ὁδηγήσῃ εἰς τὴν γῆν τῆς ἐπαγγελίας, θὰ μεταφέρετε ἀπὸ ἐδῶ καὶ τὰ ὀστᾶ μου»[1]. Τό ὅτι δὲ ἔβλεπον μὲ τοὺς ὀφθαλμοὺς τῆς πίστεως τὰ μέλλοντα νὰ συμβοῦν, ἄκουε αὐτὸν τὸν ἴδιον ποὺ ὀνομάζει ἤδη τὸν θάνατον κοίμησιν· διότι λέγει, «Θὰ κοιμηθῶ μαζὶ μὲ τοὺς πατέρας μου». Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγε· «Ὅλοι αὐτοὶ ἀπέθαναν μὲ πίστιν, χωρὶς νὰ ἔλαβαν τὰς ὑποσχέσεις, ἀλλὰ τὰς εἶδαν ἀπό πολὺ μακρυὰ καὶ τὰς ἐχαιρέτησαν καὶ τὰς ἀπεδέχθησαν»[2]. Πῶς; Μὲ τοὺς ὀφθαλμούς τῆς πίστεως.

Κανεὶς λοιπὸν ἂς μὴ νομίζῃ ὅτι ἡ παραγγελία αὐτὴ εἶναι δεῖγμα μικροψυχίας. ἀλλ' ἐξ αἰτίας καὶ τῶν περιστάσεων καὶ τῆς προβλέψεως τῆς ἐπανόδου των εἰς τὴν

δίκαιον. Νῦν μὲν γάρ, ἐπειδὴ τὰ τῆς φιλοσοφίας ἐπετάθη μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν, εἰκότως ἄν τις μέμψοιτο τῷ τὰ τοιαῦτα ἐπισκήπτοντι. Καὶ μὴ ταλανιζέτω τὸν ἐπ' ἀλλοτρίας τὸν βίον καταλύσαντα, μηδὲ τὸν ἐπ' ἐρημίας τῆς παρούσης ζωῆς μεθιστάμενον. Οὐδὲ γὰρ ὁ τοιοῦτος ταλανισμοῦ ἄξιος, ἀλλ' ὁ ἐν ἁμαρτίαις τεθνηκώς, κἂν ἐπὶ τῆς κλίνης, κἂν ἐπὶ τῆς οἰκίας, κἂν τῶν ἐπιτηδείων παρόντων τὸν βίον καταλύσῃ. Καὶ μή μοι τὰ ψυχρὰ ἐκεῖνα ῥήματα καὶ γέλωτος γέμοντα καὶ ἀνοίας μεστὰ λεγέτω τις· ὁ δεῖνα κυνὸς ἀτιμότερον τετελεύτηκεν, οὐδενὸς τῶν γνωρίμων αὐτῷ παρόντος, οὐδὲ τὰ τῆς ταφῆς αὐτῷ παρασχεῖν δυνηθέντος, ἀλλ' ἐξ ἐράνου καὶ πολλῶν τινων συνεισενεγκόντων, οὕτω τὰ πρὸς τὴν κηδείαν αὐτῷ παρεσχέθη. Οὐ τοῦτό ἐστιν, ἄνθρωπε, κυνὸς ἀτιμότερον τετελευτηκέναι. Τί γὰρ ὁ τοιοῦτος παρεβλάβη; Μόνον εἰ τὸ τῆς ἀρετῆς ἔνδυμα μὴ εἶχε περιστέλλον αὐτόν.

Ὅτι γὰρ οὐδὲν τοῦτο λυμαίνεται τὸν ἐνάρετον, μάνθανε ὅτι οἱ πλείους τῶν δικαίων, τῶν προφητῶν λέγω καὶ τῶν ἀποστόλων, πλὴν ὀλίγων, οὐδὲ ἴσμεν ὅπου κατετέθησαν. Οἱ μὲν γὰρ τὴν κεφαλὴν ἀπετμήθησαν, οἱ δὲ καταλευσθέντες οὕτω τοῦ βίου μετέστησαν, καὶ ἕτεροι μυρίαις καὶ διαφόροις τιμωρίαις ἑαυτοὺς ἐκδόντες διὰ τὴν εὐσέβειαν, πάντες ὑπὲρ Χριστοῦ ἐμαρτύρησαν· καὶ οὐδεὶς ἂν τολμήσειε περὶ τῶν τοιούτων εἰπεῖν, ὅτι ἄτιμος αὐτῶν γέγονεν ὁ θάνατος, ἀλλὰ ἀκολουθήσει τῇ θείᾳ Γραφῇ λεγούσῃ, «Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ». Καὶ ὥσπερ τὸν τῶν ὁσίων θάνατον τίμιον ἐκάλεσεν, οὕτως ἄκουε καὶ τὸν τῶν ἁμαρτω-

3. Ψαλμ. 115, 6.

Χαναὰν ποὺ ἐπρόκειτο νὰ γίνη εἰς τὸ μέλλον, ἂς ἀπαλλάσση τὸν δίκαιον ἀπὸ κάθε κατηγορίαν. Διότι τώρα μέν, ἐπειδὴ τὰ κίνητρα τῆς εὐσεβείας ηὐξήθησαν μετὰ τὸν ἐρχομὸν τοῦ Χριστοῦ, πολὺ εὔλογα θὰ ἠμποροῦσε κανεὶς νὰ κατηγορήση ἐκεῖνον ποὺ δίνει τέτοιου εἴδους παραγγελίας. Καὶ ἂς μὴ ταλανίζη ἐκεῖνον ποὺ ἐτερμάτισε τὴν ζωήν του, ἐνῷ εἶναι ὁλομόναχος. Διότι οὔτε αὐτὸς εἶναι ἄξιος ταλανισμοῦ, ἀλλ' ἐκεῖνος ποὺ ἔχει πεθάνει μέσα εἰς τὴν ἁμαρτίαν, καὶ ἂν ἀκόμη τελειώση τὴν ζωήν του ἐπάνω εἰς τὴν κλίνην, καὶ ἂν ἀκόμη μέσα εἰς τὴν οἰκίαν του καὶ ἂν ἀκόμη εἶναι παρόντες οἱ συγγενεῖς καὶ φίλοι του. Καὶ ἂς μὴ μοῦ λέγη κανεὶς τὰ ψυχρὰ ἐκεῖνα λόγια, ποὺ εἶναι γεμᾶτα ἀπὸ γέλωτα καὶ ἀπὸ ἀνοησίας· ὁ τάδε ἐπέθανε χειρότερα καὶ ἀπὸ σκύλον, χωρὶς νὰ εἶναι κανεὶς ἀπὸ τοὺς γνωστούς του παρών, καὶ οὔτε ἠμπόρεσε νὰ τοῦ παράσχη κανεὶς τὰ ἀπαραίτητα διὰ τὴν ταφήν, ἀλλ' ἀφοῦ ἐσυγκέντρωσαν μὲ ἔρανον καὶ ἐπρόσφεραν καὶ πολλοὶ ἄλλοι, ἔτσι τοῦ παρεσχέθησαν τὰ τῆς κηδείας. Δὲν εἶναι αὐτὸς ὁ τρόπος θανάτου, ἄνθρωπε, χειρότερος τοῦ θανάτου τοῦ σκύλου. Διότι εἰς τί ἐβλάβη αὐτός; Μόνον ἐὰν δὲν εἶχε τὸ ἔνδυμα τῆς ἀρετῆς νὰ τὸν νεκροστολίση.

Πράγματι τὸ ὅτι αὐτὸ καθόλου δὲν βλάπτει τὸν ἐνάρετον, γνώριζε ὅτι οἱ περισσότεροι ἀπὸ τοὺς δικαίους, ἐννοῶ ἀπὸ τοὺς προφήτας καὶ τοὺς ἀποστόλους, ἐκτὸς ἀπὸ ὀλίγους, δὲν γνωρίζομεν οὔτε ποὺ ἐτοποθετήθησαν. Διότι ἄλλοι μὲν ἀπεκεφαλίσθησαν, ἄλλοι δὲ ἐλιθοβολίσθησαν καὶ ἔτσι ἔφυγαν ἀπὸ τὴν ζωήν, καὶ ἄλλοι, ἀφοῦ παρέδωσαν τοὺς ἑαυτούς των εἰς διαφόρους καὶ ἀμετρήτους τιμωρίας, ἔτσι ὅλοι ἐμαρτύρησαν ὑπὲρ τοῦ Χριστοῦ· καὶ κανεὶς δὲν θὰ ἠμποροῦσε νὰ τολμήση νὰ εἰπῇ δι' αὐτούς, ὅτι ὑπῆρξεν ἄτιμος ὁ θάνατός των, ἀλλὰ θ' ἀκολουθήση τὴν θείαν Γραφὴν ποὺ λέγει· «Εἶναι τίμιος ἐνώπιον τοῦ Κυρίου ὁ θάνατος τῶν ἀφωσιωμένων εἰς αὐτόν»[3]. Καὶ ὅπως ἀκριβῶς ὠνόμασε τίμιον τὸν θάνατον τῶν ὁσίων, ἔτσι

λῶν πονηρὸν καλοῦντος τὸν θάνατον. «Θάνατος» γάρ, φησίν, «ἁμαρτωλῶν πονηρός». Ὥστε κἂν ἐπὶ τῆς οἰκίας τις καταλύσῃ τὸν βίον, καὶ γυναικὸς καὶ παιδίων παρόντων, καὶ ἐπιτηδείων καὶ γνωρίμων παρεστώτων, ἀρετῆς δὲ ἔρημος τυγχάνῃ, πονηρὸς ἂν εἴη ὁ τούτου θάνατος. Οὕτω κἂν ἐπ' ἀλλοτρίας, κἂν ἐπὶ τοῦ ἐδάφους κείμενος· καὶ τί λέγω ἐπ' ἀλλοτρίας, καὶ τοῦ ἐδάφους; κἂν λῃσταῖς περιπέσῃ, κἂν θηρίων κατάβρωμα γένηται ὁ τὴν ἀρετὴν κεκτημένος, τίμιος ἂν εἴη ὁ θάνατος τούτου. Εἰπὲ γάρ μοι, ὁ τοῦ Ζαχαρίου παῖς οὐ τὴν κεφαλὴν ἀπετμήθη; Στέφανος δὲ ὁ πρῶτος τοῦ μαρτυρίου τὸν στέφανον ἀναδησάμενος, οὐχὶ καταλευσθεὶς οὕτω τὸν βίον κατέλυσε; Παῦλος δὲ καὶ Πέτρος οὐχὶ ὃς μὲν ἀποτμηθείς, ὃς δὲ ἀπ' ἐναντίας τῷ Δεσπότῃ τοῦ σταυροῦ τὴν τιμωρίαν δεξάμενος, οὕτω μετέστη τῆς παρούσης ζωῆς; Οὐχὶ διὰ τοῦτο μάλιστα πανταχοῦ τῆς οἰκουμένης ᾄδονται καὶ ἀνακηρύττονται;

2. Ταῦτα δὲ ἅπαντα ἀναλογιζόμενοι, μήτε τοὺς ἐπὶ τῆς ξένης τελευτῶντας ταλανίζωμεν, μήτε τοὺς ἐπὶ τῆς οἰκίας καταλύοντας τὸν βίον μακαρίζωμεν, ἀλλὰ τῷ τῆς θείας Γραφῆς κανόνι κατακολουθοῦντες, καὶ τοὺς ἐν ἀρετῇ βεβιωκότας καὶ οὕτω μεθισταμένους μακαρίζωμεν, καὶ τοὺς ἐν ἁμαρτίαις τελευτῶντας ταλανίζωμεν. Ὥσπερ γὰρ ὁ ἐνάρετος εἰς βελτίονα ζωὴν μεθίσταται τῶν πόνων τὰς ἀμοιβὰς κομιζόμενος, οὕτως ὁ ταύτης ἔρημος ὤν, ἀρχὰς καὶ προοίμια τῶν τιμωριῶν ἤδη δεχόμενος, καὶ τὰς εὐθύνας τῶν πεπραγμέ-

---

4. Ψαλμ. 33, 22.

ἄκουε ποὺ ὀνομάζει πονηρὸν τὸν θάνατον τῶν ἁμαρτωλῶν. Διότι λέγει, «Ὁ θάνατος τῶν ἁμαρτωλῶν εἶναι πονηρός»[4]. Ὥστε καὶ ἂν ἀκόμη κανεὶς τελειώσῃ τὴν ζωήν του εἰς τὴν οἰκίαν του καὶ εἶναι παρόντες ἡ γυναῖκα του καὶ τὰ παιδιά του καὶ παρευρίσκονται οἱ συγγενεῖς καὶ οἱ γνωστοί του, ἀλλ' εἶναι γυμνὸς ἀπὸ ἀρετήν, ὁ θάνατος αὐτοῦ θὰ ἠμποροῦσε νὰ θεωρηθῇ ἄτιμος. Κατὰ τὸν ἴδιον τρόπον καὶ ἂν ἀκόμη τελειώσῃ κανεὶς τὴν ζωήν του εἰς ξένην χώραν, καὶ ἂν ἀκόμη ξαπλωμένος ἐπάνω εἰς τὸ ἔδαφος· καὶ διατί λέγω εἰς ξένην χώραν καὶ ἐπάνω εἰς τὸ ἔδαφος; καὶ ἂν ἀκόμη περιπέσῃ εἰς ληστάς, καὶ ἂν ἀκόμη καταβροχθισθῇ ἀπὸ τὰ θηρία ἐκεῖνος ποὺ εἶναι ἐνάρετος, τίμιος θεωρεῖται ὁ θάνατος αὐτοῦ. Διότι εἰπέ μου, δὲν ἀπεκεφαλίσθη ὁ υἱὸς τοῦ Ζαχαρίου; Ὁ Στέφανος δέ, ποὺ ἐφόρεσε πρῶτος τὸν στέφανον τοῦ μαρτυρίου, δὲν ἐλιθοβολήθη καὶ ἐτερμάτισεν ἔτσι τὴν ζωήν του; Ὁ Παῦλος δὲ καὶ ὁ Πέτρος δὲν ἔφυγαν ἀπὸ τὴν παροῦσαν ζωήν, ἀφοῦ ὁ μὲν ἕνας ἀπεκεφαλίσθη, ὁ δὲ δεύτερος ἐδέχθη τὴν τιμωρίαν τοῦ διὰ σταυροῦ θανάτου κατὰ τρόπον ἀντίθετον μὲ τὸν θάνατον τοῦ Κυρίου; Δὲν συμβαίνει δι' αὐτὸ πρὸ πάντων νὰ ἐξυμνοῦνται καὶ νὰ ἀνακηρύσσωνται εἰς ὅλα τὰ μέρη τῆς οἰκουμένης;

2. Σκεπτόμενοι λοιπὸν ὅλα αὐτά, ἂς μὴ ταλανίζωμεν οὔτε ἐκείνους ποὺ πεθαίνουν εἰς ξένην χώραν, οὔτε νὰ μακαρίζωμεν ἐκείνους ποὺ τελειώνουν τὴν ζωήν των εἰς τὴν οἰκίαν, ἀλλ' ἀκολουθοῦντες τὸν κανόνα τῆς θείας Γραφῆς καὶ νὰ μακαρίζωμεν ἐκείνους ποὺ ἔζησαν ἐνάρετα καὶ ἔφυγαν ἔτσι ἀπὸ τὴν ἐδῶ ζωὴν εἰς τὴν ἄλλην, καὶ νὰ ταλανίζωμεν ἐκείνους ποὺ πεθαίνουν ἁμαρτωλοί. Διότι, ὅπως ἀκριβῶς ὁ ἐνάρετος μεταβαίνει εἰς καλυτέραν ζωὴν λαμβάνων ὡς βραβεῖον τὰς ἀμοιβὰς τῶν κόπων του, ἔτσι καὶ ἐκεῖνος ποὺ εἶναι γυμνὸς ἀπὸ τὰ ἔργα τῆς ἀρετῆς, δεχόμενος ἤδη τὰς ἀρχὰς καὶ τὰ προοίμια τῶν τιμωριῶν καὶ λογοδοτῶν διὰ τὰς πράξεις του, περιβάλλεται μὲ ἀ-

νων ἀπαιτούμενος, ἀνηκέστοις περιβάλλεται κακοῖς. Διὸ χρὴ ταῦτα ἐννοοῦντας ἀρετῆς ἐπιμελεῖσθαι, καὶ καθάπερ ἐν παλαίστρᾳ ἐπὶ τοῦ παρόντος βίου ἀγωνίζεσθαι, ἵνα μετὰ τὸ λυθῆναι τὸ θέατρον, λαμπρὸν ἀναδήσασθαι δυνηθῶμεν τὸν στέφανον καὶ μὴ ἀνόνητα μεταμελώμεθα. Ἕως γὰρ ὅτου ἐνέστηκεν ὁ ἀγών, δυνατόν ἐστιν, εἰ βουληθείημεν, καὶ τὴν ῥᾳθυμίαν ἀποτινάξασθαι, καὶ τῆς ἀρετῆς ἀντέχεσθαι, ἵνα καὶ τῶν ἀποκειμένων στεφάνων ἐπιτυχεῖν δυνηθῶμεν. Ἀλλ' εἰ δοκεῖ, λοιπὸν ἐπανέλθωμεν ἐπὶ τὴν ἀκολουθίαν τοῦ λόγου.

Ἐπιδὴ γὰρ ἐπέσκηψε τῷ παιδὶ περὶ τῆς ταφῆς καὶ εἶπεν Ἰωσήφ, «Ἐγὼ ποιήσω κατὰ τὸ ῥῆμά σου», φησίν, «Ὄμοσόν μοι. Καὶ ὤμοσεν αὐτῷ. Καὶ προσκύνησεν Ἰσραὴλ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ». Ὅρα τὸν γέροντα, τὸν πρεσβύτην, τὸν πατριάρχην διὰ τῆς προσκυνήσεως τὴν εἰς τὸν Ἰωσὴφ τιμὴν ἐπιδεικνύμενον, καὶ διὰ τῶν ἔργων αὐτῶν πληροῦντα νῦν τοῦ ὁράματος τὴν ἔκβασιν. «Ἡνίκα» γὰρ «διηγήσατο αὐτῷ ὁ Ἰωσὴφ τὸ ὅραμα, Εἶπε», φησίν, «ἆρά γε ἐλθόντες ἐγώ τε καὶ ἡ μήτηρ σου προσκυνήσομέν σοι ἐπὶ τὴν γῆν;». Ἀλλ' ἴσως εἴποι τις ἄν· καὶ πῶς ἐξῆλθε τὸ ὄναρ τῆς μητρὸς προαπελθούσης, καὶ μὴ προσκυνησάσης τὸν παῖδα; Ἔθος ἀεὶ τῇ Γραφῇ ἀπὸ τοῦ κυριωτέρου τὸ πᾶν δηλοῦν. Ἐπεὶ οὖν «Κεφαλὴ τῆς γυναικὸς ὁ ἀνήρ», «Καὶ ἔσονται», φησίν, «οἱ δύο εἰς σάρκα μίαν», τῆς κεφαλῆς προσκυνησάσης, δηλονότι καὶ τὸ σῶμα ἅπαν ταύτῃ εἵπετο. Εἰ γὰρ ὁ πατὴρ τοῦτο πεποίηκε, πολλῷ μᾶλλον κἀκείνη, εἰ μὴ τῆς ζωῆς προεξηρπάσθη, τοῦτο πεποίηκεν ἄν. «Καὶ προσεκύνησε», φησίν, ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγε· «Πίστει Ἰακὼβ ἀποθνήσκων ἕκαστον τῶν υἱῶν Ἰωσὴφ εὐλόγησε, καὶ

5. Γεν. 37, 10.
6' Α' Κορ. 11, 3.
7. Γεν. 2, 24.

θεράπευτα κακά. Διὰ τοῦτο πρέπει, ἀναλογιζόμενοι αὐτά, νὰ φροντίζωμεν ν' ἀσκοῦμεν τὴν ἀρετήν, καὶ ν' ἀγωνιζώμεθα εἰς τὴν παροῦσαν ζωὴν ὡσὰν ἀκριβῶς εἰς παλαίστραν, ὥστε μετὰ τὴν διάλυσιν τοῦ θεάτρου, νὰ ἠμπορέσωμεν νὰ φορέσωμεν λαμπρὸν τὸν στέφανον καὶ νὰ μὴ μετανοιώσωμεν ἀνώφελα. Διότι ἐν ὅσῳ συνεχίζεται ὁ ἀγών, εἶναι δυνατόν, ἐάν θελήσωμεν, καὶ τήν ραθυμίαν ν' ἀποτινάξωμεν καὶ νὰ ἐπιδοθοῦμεν εἰς τὴν ἀρετήν, διὰ νὰ ἠμπορέσωμεν νὰ ἐπιτύχωμεν καὶ τούς στεφάνους ποὺ ἐπιφυλάσσονται διὰ τοὺς ἐναρέτους. Ἀλλ' ἐὰν θέλετε ἂς ἐπανέλθωμεν πλέον εἰς τὴν συνέχειαν τοῦ λόγου.

Ὅταν λοιπὸν ἔδωσεν εἰς τὸν υἱόν του τὰς παραγγελίας τὰς σχετικὰς μὲ τὴν ταφὴν καὶ εἶπεν ὁ Ἰωσήφ, «Θὰ κάνω αὐτὸ ποὺ μοῦ εἶπες», λέγει ὁ Ἰακώβ, «Ὁρκίσου εἰς ἐμένα. Καὶ ὡρκίσθη εἰς αὐτόν. Καὶ ἐπροσκύνησεν ὁ Ἰσραὴλ τὸ ἄκρον τῆς ῥάβδου του». Πρόσεχε τὸν γέροντα, τὸν πρεσβύτην, τὸν πατριάρχην νὰ ἐκδηλώνῃ τὴν τιμὴν εἰς τὸν Ἰωσὴφ μὲ τὴν προσκύνησίν του καὶ μὲ τὰς ἐνεργείας του αὐτὰς νὰ ἐκπληρώνῃ τώρα τὴν ἔκβασιν τοῦ ὁράματος. Διότι, «Ὅταν ὁ Ἰωσὴφ διηγήθη εἰς αὐτὸν τὸ ὅραμα, εἶπε», λέγει ὁ Ἰακώβ· «μήπως λοιπὸν θὰ ἔλθωμεν ἐγὼ καὶ ἡ μητέρα σου νὰ σὲ προσκυνήσωμεν μέχρις ἐδάφους;»[5]. Ἀλλ' ἴσως θὰ ἠμποροῦσε κάποιος νὰ εἴπῃ· καὶ πῶς ἐπαληθεύθη τὸ ὄνειρον, ἀφοῦ ἡ μητέρα του εἶχεν πεθάνει ἀπὸ πρὶν καὶ δὲν ἐπροσκύνησε τὸν υἱόν της; Συνηθίζει πάντοτε ἡ Γραφὴ νὰ δηλώνῃ τὸ πᾶν ἀπὸ τὸ κυριώτερον. Ἐπειδὴ λοιπὸν «Κεφαλὴ τῆς γυναικὸς εἶναι ὁ ἄνδρας»[6], «καὶ θὰ εἶναι», λέγει, «οἱ δύο ἕνα σῶμα»[7], ἀφοῦ ἐπροσκύνησεν ἡ κεφαλή, φυσικὸν εἶναι ὅτι ἠκολούθησεν αὐτὴν καὶ ὅλον τὸ σῶμα. Διότι, ἐὰν ὁ πατέρας τὸ ἔκαμεν αὐτό, πολὺ περισσότερον καὶ ἐκείνη θὰ τὸ ἔκαμνεν, ἐὰν δὲν προηρπάζετο ἀπὸ τὴν ζωήν. «Καὶ ἐπροσκύνησε», λέγει, «εἰς τὸ ἄκρον τῆς ῥάβδου του». Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγε· «Μὲ πίστιν ὁ Ἰακὼβ ὅταν ἐπέθαινεν ηὐλόγησε τὸν καθένα

προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ». Ὁρᾷς ὅτι καὶ τοῦτο αὐτὸ πίστει ἐποίει, προορῶν ὅτι βασιλικοῦ γένους γενήσεται ὁ ἐκ τοῦ σπέρματος αὐτοῦ τεχθείς;

Ἐπεὶ οὖν ἐπέταξεν, ἅπερ ἐβούλετο, τῷ παιδί, μετ' οὐ πολύ, φησί, «μαθὼν Ἰωσήφ, ὅτι ἐνοχλεῖται ὁ πατὴρ αὐτοῦ», ὅτι ἐπὶ θύραις ἐστὶ τοῦ θανάτου, ὅτι ἤγγισαν τῆς τελευτῆς αἱ ἡμέραι, «Λαβὼν τοὺς δύο υἱούς, ἦλθε πρὸς Ἰακώβ. Ἀπηγγέλη δὲ τοῦτο τῷ Ἰακώβ, καὶ ἐνισχύσας Ἰσραὴλ ἐκάθισεν ἐπὶ τὴν κλίνην». Ὅρα πῶς ἡ περὶ τὸν παῖδα φιλοστοργία τὸν πρεσβύτην ἀνεύρου, καὶ ἡ προθυμία ἐνίκα τὴν ἀσθένειαν. Ἀκούσας γὰρ αὐτοῦ τὴν παρουσίαν, φησίν, «Ἐκάθισεν ἐπὶ τὴν κλίνην». Καὶ ἰδὼν αὐτόν, τὴν πατρικὴν φιλοστοργίαν περὶ αὐτὸν ἐπιδείκνυται, καὶ ἐπειδὴ ἔμελλε τελευτᾶν, τῇ εὐλογίᾳ τῇ παρ' αὐτοῦ τειχίζει τοὺς παίδας, μεγίστην αὐτοῖς ταύτην περιουσίαν καταλιμπάνων, καὶ πλοῦτον μηδέποτε δαπανηθῆναι δυνάμενον. Καὶ ὅρα πῶς ἄρχεται. Πρῶτον διηγεῖται τὴν παρὰ τοῦ Θεοῦ γεγενημένην εἰς αὐτὸν εὔνοιαν, καὶ τότε τὰς εἰς τοὺς παῖδας εὐλογίας ποιεῖται, καί φησιν· «Ὁ Θεός μου ὤφθη μοι ἐν Λουζᾷ ἐν γῇ Χαναάν, καὶ εὐλόγησέ με, καὶ εἶπέ μοι· ἐγὼ αὐξανῶ σε καὶ πληθυνῶ σε καὶ ποιήσω σε εἰς συναγωγὰς ἐθνῶν, καὶ δώσω σοι τὴν γῆν ταύτην καὶ τῷ σπέρματί σου μετὰ σὲ εἰς κατάσχεσιν αἰώνιον».

Ἐπήγγελταί μοι, φησίν, ὁ Θεός, ἡνίκα ἐν Λουζᾷ ὤφθη μοι, τοσοῦτον πληθῦναί μοι τὸ σπέρμα, ὡς συναγωγὰς ἐθνῶν γενέσθαι ἐξ αὐτοῦ, καὶ τὴν γῆν δὲ ταύτην ἐμοὶ καὶ τῷ σπέρματί μου δώσειν ὑπέσχετο. «Νῦν οὗτοι οἱ δύο υἱοί σου, οἱ

8. Ἑβρ. 11, 21.

ἀπὸ τοὺς υἱοὺς τοῦ Ἰωσήφ, καὶ ἐπροσκύνησεν εἰς τὸ ἄκρον τῆς ῥάβδου του»[8]. Βλέπεις ὅτι καὶ αὐτὸ ἀκόμη τὸ ἔκαμνε μὲ πίστιν, προβλέπων ὅτι θὰ εἶναι βασιλικοῦ γένους αὐτὸς ποὺ θὰ γεννηθῇ ἀπὸ τοὺς ἀπογόνους αὐτοῦ;

Ἀφοῦ λοιπὸν παρήγγειλεν ὁ Ἰακὼβ εἰς τὸ παιδί του ἐκεῖνα ποὺ ἤθελε, μετὰ ἀπὸ πολὺν χρόνον, λέγει, «ὅταν ἔμαθεν ὁ Ἰωσήφ, ὅτι ὁ πατέρας του ἀσθενεῖ πολὺ βαριά, ὅτι εὑρίσκεται εἰς τὰ πρόθυρα τοῦ θανάτου, ὅτι ἐπλησίασεν ἡ ἡμέρα τοῦ τέλους του, «Ἀφοῦ ἔλαβε τοὺς δύο υἱούς του, ἦλθε πρὸς τὸν Ἰακώβ. Ἀνηγγέλθη αὐτὸ εἰς τὸν Ἰακώβ, καὶ ἐνδυναμωθεὶς ὁ Ἰσραὴλ ἐσηκώθη καὶ ἐκάθισεν εἰς τὴν κλίνην του». Πρόσεχε πῶς ἡ φιλοστοργία πρὸς τὸν υἱὸν ἐνδυνάμωσε τὸν γέροντα καὶ ἡ προθυμία ἐνικοῦσε τὴν ἀσθένειαν. Διότι, λέγει, ὅταν ἤκουσεν ὅτι ἦτο ἐκεῖ παρών, «ἐσηκώθη καὶ ἐκάθισεν εἰς τὴν κλίνην του». Καὶ ὅταν τὸν εἶδεν, φανερώνει τὴν πατρικὴν φιλοστοργίαν του πρὸς αὐτόν, καὶ ἐπειδὴ ἐπρόκειτο νὰ πεθάνῃ, περιτειχίζει τὰ παιδιά του μὲ τὴν εὐλογίαν του, ἀφήνων αὐτὴν εἰς αὐτοὺς ὡς τὴν πιὸ μεγάλην περιουσίαν καὶ πλοῦτον, ποὺ δὲν εἶναι δυνατὸν ποτὲ νὰ δαπανηθῇ. Καὶ πρόσεχε πῶς ἀρχίζει. Πρῶτα διηγεῖται τὴν εὔνοιαν ποὺ ἐξεδήλωσεν ὁ Θεὸς πρὸς αὐτὸν καὶ μετὰ εὐλογεῖ τὰ παιδιά του, καὶ λέγει· «Ὁ Θεός μου ἐφανερώθη εἰς ἐμένα εἰς τὴν Λουζᾶ τῆς γῆς Χαναὰν καὶ μὲ εὐλόγησε καὶ μοῦ εἶπε· θὰ σὲ αὐξήσω καὶ θὰ σὲ πληθύνω καὶ θὰ σέ κάνω γενάρχην πολλῶν ἐθνῶν, καὶ θὰ σοῦ δώσω αὐτὴν τὴν γῆν καὶ μετὰ ἀπὸ ἐσένα εἰς τοὺς ἀπογόνους σου διὰ νὰ τὴν ἔχουν αἰώνια».

Μοῦ ὑπεσχέθη, λέγει, ὁ Θεός, ὅταν ἐφανερώθη εἰς ἐμένα ἐνῷ εὑρισκόμουν εἰς τὴν Λουζᾶ, ὅτι τόσον πολὺ θὰ πληθύνῃ τοὺς ἀπογόνους μου, ὥστε νὰ προέλθουν ἀπὸ αὐτοὺς πλῆθος ἐθνῶν, καὶ ὑπεσχέθη νὰ δώσῃ αὐτὴν τὴν γῆν εἰς ἐμένα καὶ εἰς τοὺς ἀπογόνους μου. «Τώρα αὐτοὶ οἱ δύο υἱοί σου, ποὺ τοὺς ἀπέκτησες εἰς τὴν Αἴγυπτον,

γενόμενοί σοι ἐν Αἰγύπτῳ, ἐμοί εἰσιν· Ἐφραΐμ καὶ Μανασσῆς, ὡς Ῥουβὴν καὶ Συμεών, ἔσονταί μοι». Τούτους, φησίν, οὓς ἔσχες πρὸ τῆς παρουσίας τῆς ἐμῆς, ἐγὼ εἰς τὸν τῶν ἐμῶν τέκνων ἀριθμὸν εἰσποιοῦμαι, καὶ ὁμοίως τοῖς ἐξ ἐμοῦ τεχθεῖσι τῆς παρ' ἐμοῦ εὐλογίας ἀπολαύσουσι. «Τὰ δὲ εἰς τὸ ἑξῆς ἔκγονα, ὅσα ἂν γεννήσῃς μετὰ ταῦτα, σοὶ ἔσονται· ἐπὶ τῷ ὀνόματι τῶν ἀδελφῶν αὐτῶν κληθήσονται ἐν τοῖς ἐκείνων κλήροις. Ἴσθι δὲ ὅτι καὶ ἡ μήτηρ σου Ῥαχήλ, ἡνίκα ἤγγισα εἰς τὴν Βηθλεέμ, ἀπέθανε, καὶ κατώρυξα αὐτὴν ἐν τῇ ὁδῷ τοῦ ἱπποδρόμου. Καὶ ἰδὼν τοὺς υἱοὺς Ἰωσὴφ εἶπε· τίνες σοι οὗτοι; Καὶ εἶπεν· υἱοί μου, οὓς ἔδωκέ μοι ὁ Θεός. Καὶ εἶπεν Ἰακώβ· προσάγαγέ μοι αὐτούς, ἵνα εὐλογήσω αὐτούς. Καὶ ἤγγισεν αὐτοὺς πρὸς αὐτόν. Καὶ ἐφίλησεν αὐτοὺς καὶ περιέλαβεν αὐτούς».

Ὅρα μοι τὸν πρεσβύτην, ὅπως σπεύδει καὶ ἐπείγεται εὐλογῆσαι τοὺς παῖδας τοῦ Ἰωσήφ. «Καὶ ἤγγισεν αὐτούς», φησί, «πρὸς αὐτόν. Καὶ ἐφίλησεν αὐτούς, καὶ περιέλαβεν αὐτούς, καὶ εἶπε πρὸς Ἰωσήφ· ἰδοὺ τοῦ προσώπου σου οὐκ ἐστερήθην, καὶ ἰδοὺ ἔδειξέ μοι ὁ Θεὸς καὶ τὸ σπέρμα σου». Μεγάλα μοι, φησί, παρέσχεν ἡ τοῦ Θεοῦ φιλανθρωπία, καὶ πλέον ἢ προσεδόκησα· μᾶλλον δὲ ἅπερ οὐδέποτε προσεδόκησα. Οὐ γὰρ μόνον τοῦ προσώπου σου οὐκ ἐστερήθην, ἀλλ' ἰδοὺ καὶ τοὺς ἐκ σοῦ τεχθέντας ἐθεασάμην. «Καὶ ἐξήγαγεν αὐτούς», φησίν, «Ἰωσὴφ ἀπὸ τῶν γονάτων αὐτοῦ, καὶ προσεκύνησαν αὐτῷ ἐπὶ πρόσωπον ἐπὶ τῆς γῆς». Ὅρα καὶ τοὺς παῖδας πῶς ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων ἐπαίδευσε τὴν ὀφειλομένην τιμὴν ἀπονέμειν τῷ πρεσβύτῃ. Καὶ λαβών, φησίν, Ἰω-

εἶναι ἰδικοί μου· ὁ Ἐφραὶμ καὶ ὁ Μανασσῆς θὰ εἶναι εἰς ἐμένα ὡσὰν ὁ Ρουβὴν καὶ Συμεών». Αὐτούς, λέγει, ποὺ τοὺς ἀπέκτησες πρὶν ἀπὸ τὸν ἐρχομόν μου ἐδῶ, ἐγὼ τοὺς ἀπαριθμῶ μεταξὺ τῶν ἰδικῶν μου τέκνων καὶ θ' ἀπολαύσουν τὰς εὐλογίας μου ὅμοια μὲ ἐκεῖνα ποὺ ἐγεννήθησαν ἀπὸ ἐμένα. «Τὰ δὲ ἐν συνεχείᾳ τέκνα ὅσα θὰ γεννήσῃς μετὰ ἀπὸ αὐτά, θὰ εἶναι ἰδικά σου· θὰ ἔχουν τὸ ὄνομα αὐτῶν τῶν ἀδελφῶν καὶ θὰ κληθοῦν νὰ λάβουν μέρος εἰς τοὺς κλήρους αὐτῶν. Γνώριζε δὲ ὅτι καὶ ἡ μητέρα σου ἡ Ραχὴλ ἀπέθανε ὅταν ἐπλησίασα εἰς τὴν Βηθλεέμ, καὶ τὴν ἔθαψα εἰς τὴν ὁδὸν τοῦ ἱπποδρόμου. Καὶ ὅταν εἶδε τοὺς υἱοὺς τοῦ Ἰωσὴφ εἶπε· Τί σχέσιν ἔχουν αὐτοὶ μὲ ἐσένα; Καὶ εἶπεν· εἶναι υἱοί μου, ποὺ μοῦ τοὺς ἔδωσεν ὁ Θεός. Καὶ εἶπεν ὁ Ἰακώβ· Ὁδήγησέ τους πλησίον μου διὰ νὰ τοὺς εὐλογήσω. Καὶ τοὺς ὡδήγησε πλησίον του. Ἐφίλησεν αὐτοὺς καὶ τοὺς ἀγκάλιασε».

Πρόσεχε σὲ παρακαλῶ τὸν γέροντα, πῶς βιάζεται καὶ ἐπείγεται νὰ εὐλογήσῃ τὰ παιδιὰ τοῦ Ἰωσήφ. «Καὶ τοὺς ἐπλησίασε», λέγει, «πρὸς αὐτόν. Ἐφίλησεν αὐτοὺς καὶ τοὺς ἀγκάλιασε καὶ εἶπε πρὸς τὸν Ἰωσήφ· Νὰ δὲν ἐστερήθην τοῦ προσώπου σου καὶ ἀκόμη ὁ Θεὸς μοῦ ἔδειξε καὶ τοὺς ἀπογόνους σου». Μεγάλα, λέγει, πράγματα μοῦ ἐχάρισεν ἡ φιλανθρωπία τοῦ Θεοῦ καὶ περισσότερα ἀπὸ ἐκεῖνα ποὺ ἐπερίμενα· μᾶλλον δὲ ἐκεῖνα ποὺ δὲν τὰ ἐπερίμενα ποτέ. Διότι ὄχι μόνον δὲν ἐστερήθην τοῦ προσώπου σου, ἀλλὰ νὰ εἶδα καὶ αὐτοὺς ποὺ ἐγεννήθησαν ἀπὸ ἐσένα. «Καὶ ἐπῆρε», λέγει, «ὁ Ἰωσὴφ αὐτοὺς ἀνάμεσα ἀπὸ τὰ γόνατα αὐτοῦ καὶ ἐπροσκύνησαν τὸν Ἰακὼβ κλίνοντες τὸ πρόσωπον μέχρι τοῦ ἐδάφους». Πρόσεχε καὶ τὰ παιδιὰ πῶς ἀπὸ τὴν ἀρχὴν καὶ ἀπὸ τὰ πρῶτα βήματα τῆς ζωῆς των τὰ ἐδίδαξε νὰ ἀπονέμουν τὴν ὀφειλομένην τιμὴν εἰς τὸν γέροντα. Καὶ τοὺς ἐπῆρε, λέγει, ὁ Ἰωσὴφ καὶ τοὺς ὡδήγησε πλησίον του, σύμφωνα μὲ τὴν σειρὰν

σὴφ κατὰ τὴν τῶν πρωτοτόκων προεδρίαν προσήγαγε τὸν Μανασσῆ, καὶ τότε τὸν Ἐφραΐμ.

3. Ἐνταῦθά μοι ὅρα τὸν δίκαιον τοὺς μὲν τοῦ σώματος ὀφθαλμοὺς ἤδη ὑπὸ τοῦ γήρως λοιπὸν ἀσθενεῖς κεκτημένον («Ἐβαρυώπησαν» γὰρ «οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ τοῦ γήρως, καὶ οὐκ ἠδύνατο βλέπειν»), τοὺς δὲ τῆς διανοίας ὀφθαλμοὺς ἐρρωμένους ἔχοντα, καὶ τῇ πίστει τὰ μέλλοντα ἤδη προορῶντα. Οὐδὲ γὰρ ἀνασχόμενος τοῦ Ἰωσήφ, ἀλλὰ ἐναλλάξας τὰς χεῖρας εὐλογῶν, τὴν προεδρίαν εἰς τὸν νέον ἐποιήσατο, προτάξας τὸν Ἐφραΐμ τοῦ Μανασσῆ. Καί φησιν «ὁ Θεός, ᾧ εὐηρέστησαν οἱ πατέρες μου». Σκόπει ταπεινοφροσύνην τοῦ πατριάρχου, ὅρα ψυχὴν φιλόθεον. Οὐκ ἐτόλμησεν εἰπεῖν 'ὁ Θεὸς ᾧ εὐηρέστησα'· ἀλλὰ τί; «ᾯ εὐηρέστησαν οἱ πατέρες μου». Εἶδες εὐγνώμονα ψυχήν; καίτοι πρὸ μικροῦ διηγούμενος ἔλεγεν, ὅτι «Ἐν Λουζᾷ ὤφθη μοι, καὶ ὑπέσχετο δώσειν ἐμοὶ καὶ τῷ σπέρματί μου πᾶσαν τὴν γῆν, καὶ εἰς συναγωγὰς ἐθνῶν ποιήσειν τὸ σπέρμα μου». Καὶ οὕτως ἐναργῆ ἔχων τὰ δείγματα τῆς περὶ αὐτὸν τοῦ Θεοῦ εὐνοίας, ἔτι κατεσταλμένην εἶχε τὴν διάνοιαν, καὶ φησιν· «Ὁ Θεός, ᾧ εὐηρέστησαν οἱ πατέρες μου ἐνώπιον αὐτοῦ, Ἀβραὰμ καὶ Ἰσαάκ». Εἶτα πάλιν «Ὁ Θεὸς ὁ τρέφων με ἐκ νεότητός μου».

Σκόπει καὶ διὰ τούτου πάλιν τῆς εὐγνωμοσύνης αὐτοῦ τὴν ὑπερβολήν. Οὐ λέγει τὴν οἰκείαν ἀρετὴν ἀλλὰ τὰ παρὰ τοῦ Θεοῦ εἰς αὐτὸν γεγενημένα διηγεῖται, καί φησιν· «Ὁ τρέφων με ἐκ νεότητός μου ἕως τῆς ἡμέρας ταύτης». Αὐτὸς γάρ ἐστιν ὁ ἐξ ἀρχῆς μέχρι τοῦ παρόντος τὰ κατ' ἐμὲ οἰκονομήσας. Οὕτω καὶ πρῴην ἔλεγεν· «Ἐν γὰρ τῇ ῥάβδῳ μου ταύτῃ διέβην τὸν Ἰορδάνην, καὶ ἰδοὺ νῦν γέγονα εἰς δύο

τῆς γεννήσεώς των, πρῶτα τόν Μανασσῆ καὶ εἰς τὴν συνέχειαν τὸν Ἐφραΐμ.

3. Ἐδῶ σὲ παρακαλῶ πρόσεχε τὸν δίκαιον, ποὺ ἔχει μὲν ἤδη ἐξησθενημένους τοὺς ὀφθαλμοὺς τοῦ σώματος ἐξ αἰτίας τῶν γηρατειῶν (Διότι λέγει, «ἐξησθένησαν οἱ ὀφθαλμοί του ἐξ αἰτίας τῶν γηρατειῶν καὶ δέν ἠμποροῦσε νὰ βλέπῃ»), ἀλλ' ἔχει ὑγιεστάτους τοὺς ὀφθαλμοὺς τῆς διανοίας καὶ μὲ τὴν πίστιν προβλέπει ἤδη τὰ μέλλοντα νὰ συμβοῦν. Διότι δὲν ἐτήρησε τὴν σειρὰν μὲ τὴν ὁποίαν τοὺς ὡδήγησεν ὁ Ἰωσήφ, ἀλλὰ διασταυρώσας τὰ χέρια του καὶ εὐλογήσας αὐτοὺς ἔδωσε τὰ πρωτεῖα εἰς τὸν νέον, προτάξας τὸν Ἐφραΐμ τοῦ Μανασσῆ. Καὶ λέγει· «Ὁ Θεός, τὸν ὁποῖον εὐηρέστησαν οἱ πατέρες μου». Πρόσεχε ταπεινοφροσύνην τοῦ πατριάρχου, πρόσεχε ψυχήν φιλόθεον. Δὲν ἐτόλμησε νὰ εἰπῇ, ὁ Θεός, τὸν ὁποῖον εὐηρέστησα· ἀλλὰ τί λέγει; «Τὸν ὁποῖον εὐηρέστησαν οἱ πατέρες μου». Εἶδες εὐγνώμονα ψυχήν; ἂν καὶ βέβαια πρό ὀλίγου διηγούμενος ἔλεγεν, ὅτι «ἐφανερώθη εἰς ἐμένα εἰς τὴν Λουζᾶ καὶ ὑπεσχέθη νὰ δώσῃ ὅλην τὴν γῆν εἰς ἐμένα καὶ εἰς τοὺς ἀπογόνους μου καὶ ὅτι θ' αὐξήσῃ τοὺς ἀπογόνους μου εἰς πλῆθος ἐθνῶν». Καὶ ἂν καὶ εἶχε τόσον καθαρὰ τὰ δείγματα τῆς εὐνοίας τοῦ Θεοῦ πρὸς αὐτόν, ὅμως εἶχεν ἀκόμη συνεσταλμένην τὴν διάνοιάν του, καὶ λέγει· «Ὁ Θεός, εἰς τὸν ὁποῖον ἐφάνησαν εὐάρεστοι οἱ πατέρες μου, ὁ Ἀβραὰμ καὶ Ἰσαάκ». Ἔπειτα πάλιν· «Ὁ Θεὸς ποὺ μὲ τρέφει ἀπὸ τὴν νεότητά μου».

Πρόσεχε πάλιν καὶ μέ αὐτό τὴν ὑπερβολικὴν εὐγνωμοσύνην του. Δὲν ἀναφέρει τὴν ἰδικήν του ἀρετήν, ἀλλὰ διηγεῖται τὰ ὅσα ἔκαμεν ὁ Θεός εἰς αὐτὸν καὶ λέγει· «Ὁ ὁποῖος μὲ τρέφει ἀπό τὴν νεότητά μου ἕως αὐτὴν τὴν ἡμέραν». Αὐτὸς δηλαδὴ εἶναι ἐκεῖνος ποὺ ἐρρύθμισε τὰ τῆς ζωῆς μου ἀπὸ τὴν ἀρχὴν μέχρι σήμερα. Ἔτσι καὶ προηγουμένως ἔλεγε· «Μὲ αὐτὴν λοιπὸν τὴν ράβδον μου ἐπέρασα τὸν Ἰορδάνην, καὶ νὰ τώρα ἔγινα κύριος δύο

παρεμβολάς». Καὶ νῦν τὸ αὐτὸ πάλιν ἑτέροις ῥήμασί φησιν· «Ὁ τρέφων με ἐκ νεότητός μου ἕως τῆς ἡμέρας ταύτης, ὁ ἄγγελος ὁ ῥυόμενός με ἐκ πάντων τῶν κακῶν». Εὐχαρίστου γνώμης τὰ ῥήματα, φιλοθέου ψυχῆς καὶ ἐχούσης ἐναύλους τὰς τοῦ Θεοῦ εὐεργεσίας τῇ μνήμῃ. Ἐκεῖνος, φησίν, ᾧ οἱ πατέρες μου εὐηρέστησαν, ὁ ἐμὲ διαθρέψας ἐκ νεότητος ἕως τοῦ παρόντος, ὁ ἐξ ἀρχῆς πάντων με τῶν κακῶν ῥυσάμενος, ὁ τοσαύτην περὶ ἐμὲ κηδεμονίαν ἐπιδειξάμενος, αὐτὸς «Εὐλογήσει τὰ παιδία ταῦτα· καὶ ἐπικληθήσεται ἐν αὐτοῖς τὸ ὄνομά μου, καὶ τὸ ὄνομα τῶν πατέρων μου Ἀβραὰμ καὶ Ἰσαάκ, καὶ πληθυνθείησαν εἰς πλῆθος πολὺ ἐπὶ τῆς γῆς.

Εἶδες ὁμοῦ καὶ σύνεσιν καὶ ταπεινοφροσύνην; Σύνεσιν μέν, ὅτι τοῖς τῆς πίστεως ὀφθαλμοῖς προορῶν τὸν Ἐφραῒμ προσέταξε τοῦ Μανασσῆ· ταπεινοφροσύνην δέ, ὅτι οὐδαμοῦ τῆς οἰκείας ἀρετῆς μνήμην ἐποιήσατο, ἀλλ' ἀπὸ τῆς τῶν πατέρων εὐαρεστήσεως. καὶ ἀπὸ τῶν εἰς αὐτὸν γεγενημένων εὐεργεσιῶν τὴν εὐχὴν καὶ τὴν εὐλογίαν αὐτοῖς ἐπηύξατο. Ἀλλ' ὁ μὲν Ἰακὼβ προορῶν τὰ μέλλοντα, οὕτως εἰς αὐτοὺς εὐλογίαν πεποίηται, ὁ δὲ Ἰωσὴφ ὁρῶν τὸν νεώτερον προκριθέντα τοῦ πρωτοτόκου, καὶ βαρὺ αὐτὸ λογισάμενος, εἶπε, φησίν, «οὗτος ὁ πρωτότοκος· ἐπίθες τὴν δεξιάν σου ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. Καὶ οὐκ ἠθέλησεν, ἀλλ' εἶπεν· οἶδα, τέκνον, οἶδα. Καὶ οὗτος ἔσται εἰς λαόν, καὶ οὗτος ὑψωθήσεται, ἀλλ' ὁ ἀδελφὸς αὐτοῦ ὁ νεώτερος μείζων αὐτοῦ ἔσται, καὶ τὸ σπέρμα αὐτοῦ ἔσται εἰς πλῆθος ἐθνῶν». Μὴ νομίσῃς με, φησίν, ἁπλῶς συντυχίᾳ τινὶ τοῦτο πεποιηκέναι, μηδὲ δι' ἄγνοιαν. Οἶδα γάρ, καὶ προορῶν τὰ ὕστερον ἐσόμενα, οὕτω τὴν εἰς

---

9. Γεν. 32, 10.

στρατοπέδων»*. Καὶ τώρα τὸ ἴδιον πάλιν λέγει μὲ ἄλλα λόγια· «Ὁ ὁποῖος μὲ τρέφει ἀπὸ τὴν νεότητά μου ἕως αὐτὴν τὴν ἡμέραν, ὁ ἄγγελος ποὺ μὲ ἔσωσεν ἀπὸ ὅλα τὰ κακά». Τὰ λόγια αὐτὰ εἶναι λόγια ψυχῆς γεμάτης ἀπὸ εὐγνωμοσύνην, εἶναι λόγια φιλοθέου ψυχῆς, ποὺ ἔχει εἰς τὴν μνήμην της ζωηρὰ ἐντυπωμένας τὰς εὐεργεσίας τοῦ Θεοῦ. Ἐκεῖνος, λέγει, εἰς τὸν ὁποῖον ἐφάνησαν εὐάρεστοι οἱ πατέρες μου, ὁ ὁποῖος μὲ διέθρεψεν ἀπὸ τὴν νεότητά μου μέχρι σήμερα, ὁ ὁποῖος ἀπὸ τὴν ἀρχὴν μὲ ἔσωσεν ἀπὸ ὅλα τὰ κακά, ὁ ὁποῖος ἔδειξεν εἰς ἐμένα τόσην φροντίδα, αὐτὸς «ἂς εὐλογήσῃ αὐτὰ τὰ παιδιά· καὶ ἂς λάβουν αὐτὰ τὸ ὄνομά μου καὶ τὸ ὄνομα τῶν πατέρων μου τοῦ Ἀβραὰμ καὶ τοῦ Ἰσαάκ, καὶ ἂς γίνουν μέγα πλῆθος ἐπάνω εἰς τὴν γῆν».

Εἶδες μαζὶ καὶ σύνεσιν καὶ ταπεινοφροσύνην; Σύνεσιν μέν, διότι προβλέπων μὲ τοὺς ὀφθαλμοὺς τῆς πίστεως ἔθεσε τὸν Ἐφραὶμ πρὶν ἀπὸ τὸν Μανασσῆ· ταπεινοφροσύνην δέ, διότι πουθενὰ δὲν ἐμνημόνευσε τὴν ἰδικήν του ἀρετήν, ἀλλὰ παρακαλεῖ τὸν Θεὸν καὶ δίδει εἰς αὐτοὺς τὴν εὐχὴν καὶ τὴν εὐλογίαν ἐπικαλούμενος τὴν εὐαρέστησιν τῶν πατέρων του εἰς τὸν Θεὸν καὶ τὰς εὐεργεσίας τὰς γενομένας εἰς αὐτόν. Ἀλλ' ὁ μὲν Ἰακὼβ προβλέπων τὰ μέλλοντα νὰ συμβοῦν, ἔτσι εὐλογεῖ αὐτούς, ὁ δὲ Ἰωσήφ, βλέπων τὸν νεώτερον νὰ προτιμᾶται ἀπὸ τὸν πρωτότοκον, ἐπειδὴ τὸ ἐθεώρησεν αὐτὸ βαρύ, εἶπε, λέγει· «αὐτὸς εἶναι ὁ πρωτότοκος· θέσε τὴν δεξιὰν εἰς τὴν κεφαλήν. Καὶ δὲν ἠθέλησεν, ἀλλ' εἶπε· τὸ γνωρίζω, τέκνον μου, τὸ γνωρίζω. Καὶ αὐτὸς θὰ γίνῃ σπουδαῖος εἰς τὸν λαόν του, καὶ αὐτὸς θὰ ὑψωθῇ, ἀλλ' ὁ ἀδελφός του ὁ νεώτερος θὰ γίνῃ ἀνώτερος ἀπὸ αὐτόν, καὶ οἱ ἀπόγονοί του θ' αὐξηθοῦν εἰς πλῆθος ἐθνῶν». Νὴ νομίσῃς, λέγει, ὅτι αὐτὸ τὸ ἔκανα ἔτσι ἁπλῶς καὶ εἰς τὴν τύχην, οὔτε ὅτι τὸ ἔκανα ἀπὸ ἄγνοιαν. Διότι τὸ γνωρίζω, καὶ ἐπειδὴ προβλέπω ἐκεῖνα ποὺ θὰ συμβοῦν εἰς τὸ μέλλον, διὰ

αὐτὸν εὐλογίαν ἐποιησάμην. Εἰ γὰρ καὶ ἀπὸ τῆς φύσεως ἔχει τὴν προεδρίαν ὁ Μανασσῆς, ἀλλ' «Ὁ νεώτερος μείζων αὐτοῦ ἔσται, καὶ τὸ σπέρμα αὐτοῦ εἰς πλῆθος ἐθνῶν». Τοῦτο δὲ ὅλον ἐγίνετο, ἐπειδὴ ἐντεῦθεν ἔμελλεν ἡ βασιλεία ἀναδείκνυσθαι. Διὰ τοῦτο ἤδη προαναφωνῶν τὰ μέλλοντα, οὕτω τὴν εἰς αὐτὸν εὐλογίαν ἐποιήσατο.

«Καὶ εὐλόγησεν αὐτοὺς λέγων· ἐν ὑμῖν εὐλογηθήσεται Ἰσραήλ, λέγοντες· ποιήσαι σε ὁ Θεὸς ὡς Ἐφραῒμ καὶ Μανασσῆ. Καὶ ἔθηκε τὸν Ἐφραῒμ ἔμπροσθεν τοῦ Μανασσῆ». Οὕτως ἔσονται, φησί, περιφανεῖς ἀμφότεροι, ὡς πάντας εὐχῆς ἔργον ποιεῖσθαι εἰς τὴν τούτων ἐλθεῖν περιφάνειαν· ὅμως ὁ Ἐφραῒμ πρότερος ἔσται τοῦ Μανασσῆ. Ὁρᾷς πῶς ἡ τοῦ Θεοῦ χάρις προεμήνυεν αὐτῷ κινούμενος Πνεύματι, οὕτω τοὺς παῖδας τοῦ Ἰωσὴφ εὐλόγει, τὰ μετὰ τοσοῦτον ἐσόμενα χρόνον, ὡς ἤδη παρόντα, καὶ ὑπὸ τοῖς ὀφθαλμοῖς ὁρώμενα, οὕτω προβλέπων; Τοιοῦτον γὰρ ἡ προφητεία. Καὶ καθάπερ οἱ τοῦ σώματος ὀφθαλμοὶ οὐδὲν πλέον τῶν ὁρωμένων φαντασθῆναι δύνανται, οὕτω καὶ οἱ τῆς πίστεως οὐ τὰ ὁρώμενα βλέπουσιν, ἀλλ' ἐκεῖνα φαντάζονται, ἃ μετὰ πολλὰς ὕστερον γενεὰς ἔσεσθαι μέλλει. Καὶ τοῦτο ἀκριβέστερον εἴσεσθε ἐκ τῶν εὐλογιῶν, ὧν εἰς τοὺς οἰκείους ποιεῖται παῖδας.

Ἀλλ' ἵνα μὴ μακρὸν ποιῶμεν τὸν λόγον, καὶ πολὺν ὑμῖν τὸν κόπον παρέχωμεν, ἀρκεσθέντες τοῖς εἰρημένοις, εἰς τὴν ἑξῆς τὴν πρὸς τοὺς παῖδας εὐλογίαν ταμιευσόμεθα, ἐκεῖνο παρακαλέσαντες ὑμῶν τὴν ἀγάπην, ζηλοῦν τὸν δίκαιον τοῦτον, καὶ τοιαύτας κληρονομίας τοῖς παισὶ καταλιμπάνειν τοῖς ἑαυ-

τοῦτο ἔδωσα εἰς αὐτὸν τὴν εὐλογίαν. Διότι, ἄν καὶ ὁ Μανασσῆς ἔχει τὰ πρωτεῖα ἐκ φύσεως, ἀλλ' ὅμως «Ὁ νεώτερος θὰ γίνῃ ἀνώτερος ἀπὸ αὐτὸν καὶ οἱ ἀπόγονοί του θ' αὐξηθοῦν εἰς πλῆθος ἐθνῶν». Ὅλα δὲ αὐτὰ συνέβαιναν, ἐπειδὴ ἀπὸ αὐτὸν ἐπρόκειτο ν' ἀναδειχθῇ ἡ βασιλεία. Διὰ τοῦτο προλέγων ἤδη ἐκεῖνα ποὺ ἐπρόκειτο νὰ συμβοῦν εἰς τὸ μέλλον, ἐνήργησεν ἔτσι καὶ ἔδωσε τὴν εὐλογίαν εἰς αὐτόν.

«Καὶ εὐλόγησεν αὐτούς, λέγων' εἰς τὸ πρόσωπόν σας θὰ εὐλογηθῇ ὁ Ἰσραηλιτικὸς λαός, καὶ ὅλοι θὰ λέγουν' μακάρι νὰ σὲ κάνῃ ὁ Θεὸς ὡσὰν τὸν Ἐφραΐμ καὶ τὸν Μανασσῆ. Καὶ ἔθεσε τὸν Ἐφραὶμ πρὶν ἀπὸ τὸν Μανασσῆ». Καὶ οἱ δύο, λέγει, θὰ γίνουν τόσον ἔνδοξοι, ὥστε ὅλοι νὰ εὔχωνται νὰ ἐπιτύχουν τὴν δόξαν αὐτῶν' ὅμως ὁ Ἐφραΐμ θὰ γίνῃ ἀνώτερος ἀπὸ τὸν Μανασσῆ. Βλέπεις πῶς ἡ χάρις τοῦ Θεοῦ προέλεγεν αὐτά, καὶ ὁδηγούμενος ἀπὸ προφητικὸν πνεῦμα ἐνεργοῦσεν ἔτσι καὶ εὐλογοῦσε τὰ παιδιὰ τοῦ Ἰωσήφ, καὶ προέβλεπεν ἤδη ὡσὰν παρόντα καὶ βλεπόμενα ὑπὸ τῶν ὀφθαλμῶν ἐκεῖνα ποὺ ἐπρόκειτο νὰ συμβοῦν μετὰ ἀπὸ τόσον πολὺν χρόνον; Διότι αὐτὴν τὴν δυνατότητα ἔχει ἡ προφητεία. Καὶ ὅπως ἀκριβῶς οἱ ὀφθαλμοὶ τοῦ σώματος δὲν ἠμποροῦν νὰ φαντασθοῦν τίποτε ἐπὶ πλέον ἀπὸ ἐκεῖνα ποὺ βλέπουν, ἔτσι καὶ οἱ ὀφθαλμοὶ τῆς πίστεως δὲν βλέπουν ἐκεῖνα ποὺ βλέπονται μὲ τοὺς σωματικοὺς ὀφθαλμούς, ἀλλὰ φαντάζονται ἐκεῖνα τὰ ὁποῖα πρόκειται νὰ συμβοῦν εἰς τὸ μέλλον μετὰ ἀπὸ πολλὰς γενεάς. Καὶ αὐτὸ θὰ τὸ γνωρίσετε ἀκριβέστερα ἀπὸ τὰς εὐλογίας ποὺ δίδει εἰς τὰ παιδιὰ τοῦ Ἰωσήφ.

Ἀλλὰ διὰ νὰ μὴ μακρύνωμεν τὸν λόγον καὶ σᾶς κουράζωμεν πάρα πολύ, ἀφοῦ ἀρκεσθοῦμεν εἰς τὰ ὅσα ἐλέχθησαν θὰ διαφυλάξωμεν τὴν εὐλογίαν τῶν τέκνων τοῦ Ἰωσὴφ διὰ τὴν ἐπομένην ὁμιλίαν, ἀφοῦ παρακαλέσωμεν τὴν ἀγάπην σας δι' αὐτὸ καὶ μόνον, νὰ μιμῆσθε αὐτὸν τὸν δίκαιον καὶ νὰ ἀφήνετε εἰς τὰ παιδιά σας τέτοιας

των, αἳ μηδέποτε παρά τινος βλάβην δέξασθαι δύνανται. Αἱ γὰρ τῶν χρημάτων πολλάκις καὶ ὄλεθρον ἔτεκον τοῖς διαδεξαμένοις, καὶ ἐπιβουλάς, καὶ πολὺν τὸν κίνδυνον, ἐνταῦθα δὲ οὐδὲν τοιοῦτόν ἐστιν ὑποπτεῦσαί ποτε. Θησαυρὸς γάρ ἐστι δαπανηθῆναι μὴ δυνάμενος, θησαυρός ἐστιν ἀνάλωτος, θησαυρός ἐστιν οὐκ ἀνθρώπων ἐπιβουλαῖς, οὐ λῃστῶν ἐφόδῳ, οὐκ οἰκετῶν κακουργίᾳ, οὐκ ἄλλῳ τοιούτῳ τινὶ ἐλαττωθῆναι δυνάμενος, ἀλλὰ διηνεκῶς μένει· πνευματικὸς γάρ ἐστι, καὶ οὐκ εἴκων ταῖς ἀνθρωπίναις ἐπιβουλαῖς· ἀλλ' ἐὰν οἱ δεξάμενοι νήφειν βούλωνται, καὶ εἰς τὴν μέλλουσαν συναποδημεῖ ζωὴν καὶ τὰς αἰωνίους προευτρεπίζει σκηνάς.

4. Μὴ τοίνυν χρήματα συλλέγειν σπουδάζωμεν, καὶ ταῦτα τοῖς παισὶ καταλιμπάνειν, ἀλλ' ἀρετὴν αὐτοὺς παιδεύωμεν, καὶ τὴν παρὰ τοῦ Θεοῦ εὐλογίαν αὐτοῖς ἐπευχώμεθα. Αὕτη γάρ, αὕτη ἡ μεγίστη περιουσία, οὗτος ὁ ἄφατος πλοῦτος, ὁ ἀδαπάνητος, ὁ καθ' ἑκάστην ἡμέραν τὴν περιουσίαν πλείονα ἐργαζόμενος. Οὐδὲν γὰρ ἀρετῆς ἴσον, οὐδὲν ταύτης ἰσχυρότερον· κἂν αὐτήν μοι τὴν βασιλείαν εἴποις, καὶ τὸν τὸ διάδημα περικείμενον, εἰ μὴ ταύτην ἔχοι, παντὸς πένητος ῥάκια περιβεβλημένου ἀθλιώτερος ἔσται. Τί γὰρ αὐτὸν τὸ διάδημα δυνήσεται ὠφελῆσαι, ἢ ἡ πορφυρίς, ὑπὸ τῆς οἰκείας ῥαθυμίας προδεδομένον; Μὴ γὰρ ἀξιωμάτων τῶν ἔξωθεν οἶδε διαφορὰν ὁ Δεσπότης; μὴ γὰρ προσώπων δυσωπεῖται περιφανείᾳ; Ἕν ἐστιν ἐκεῖ τὸ ζητούμενον, ἀπὸ τῆς ἐργασίας τῆς ἀρετῆς τὰς θύρας ἐστὶν εὑρεῖν ἠνεῳγμένας τῆς πρὸς αὐτὸν παῤῥη-

κληρονομίας, αἱ ὁποῖαι δὲν εἶναι δυνατὸν νὰ βλαβοῦν ποτὲ ἀπὸ κανένα. Διότι αἱ κληρονομίαι τῶν χρημάτων πολλὲς φορὲς καὶ καταστροφὴν ἐπροξένησαν εἰς ἐκείνους ποὺ τὰς ἐδέχθησαν καὶ ἐπιβουλὰς καὶ μεγάλον κίνδυνον, ἐνῷ εἰς τὴν περίπτωσιν αὐτὴν τίποτε παρόμοιον δὲν εἶναι δυνατὸν ποτὲ νὰ ὑποπτευθῇ. Διότι εἶναι θησαυρὸς ποὺ δὲν εἶναι δυνατὸν νὰ δαπανηθῇ, εἶναι θησαυρὸς ἀπόρθητος, εἶναι θησαυρὸς ποὺ δὲν εἶναι δυνατὸν νὰ ἐλαττωθῇ ἀπὸ ἐπιβουλὰς ἀνθρώπων, οὔτε ἀπὸ ἔφοδον ληστῶν, οὔτε ἀπὸ τὰς δολιότητας τῶν δούλων, οὔτε ἀπὸ κάποιο ἄλλο παρόμοιον, ἀλλὰ παραμένει αἰώνιος· διότι εἶναι πνευματικὸς θησαυρὸς καὶ δὲν προσβάλλεται ἀπὸ τὰς ἀνθρωπίνους ἐπιβουλάς· ἀλλ' ἐὰν θέλουν αὐτοὶ ποὺ τὸν ἐδέχθησαν νὰ χρησιμοποιήσουν αὐτὸν μὲ προσοχὴν καὶ σωφροσύνην, καὶ εἰς τὴν μέλλουσαν ζωὴν μεταβαίνει μαζὶ μὲ αὐτοὺς καὶ τὰς αἰωνίους σκηνὰς διακοσμεῖ.

4. Ἂς μὴ φροντίζωμεν λοιπὸν νὰ συγκεντρώνωμεν χρήματα καὶ νὰ τὰ ἀφήνωμεν αὐτὰ εἰς τὰ παιδιά μας, ἀλλ' ἂς τοὺς ἀσκοῦμεν εἰς τὴν ἀρετὴν καὶ ἂς παρακαλοῦμεν τὸν Θεὸν νὰ τοὺς δίδῃ τὴν εὐλογίαν του. Διότι αὐτή, αὐτὴ εἶναι ἡ πιὸ μεγάλη περιουσία, αὐτὸς εἶναι ὁ ἀπερίγραπτος πλοῦτος, ὁ ἀδαπάνητος, ποὺ καθημερινὰ κάμνει τὴν περιουσίαν μεγαλυτέραν. Διότι τίποτε δὲν ὑπάρχει ἴσον μὲ τὴν ἀρετήν, τίποτε ἰσχυρότερον ἀπὸ αὐτήν· καὶ ἂν ἀκόμη μοῦ ἀναφέρῃς τὴν ἰδίαν τὴν βασιλείαν καὶ ἐκεῖνον ποὺ φορεῖ τὸ βασιλικὸν διάδημα, ἐὰν δὲν ἔχῃ αὐτήν, θὰ εἶναι ἀθλιώτερος ἀπὸ ὁποιονδήποτε πτωχὸν ποὺ εἶναι ἐνδεδυμένος μὲ ράκια. Διότι τί θὰ ἠμπορέσῃ νὰ ὠφελήσῃ τὸ βασιλικὸν στέμμα αὐτόν, ἢ ἡ πορφύρα, τὴν στιγμὴν ποὺ θὰ ἔχῃ προδοθῇ ἀπὸ τὴν ραθυμίαν του; Μήπως δηλαδὴ ὁ Κύριος συνηθίζει νὰ ξεχωρίζῃ ἀπὸ τὰ ἐξωτερικὰ ἀξιώματα; μήπως ὑποχωρεῖ ἀπὸ τὰς παρακλήσεις τῶν προσώπων ποὺ περιβάλλονται ἀπὸ δόξαν; Ἕνα εἶναι τὸ ζητούμενον ἐκεῖ, ἀπὸ τὰς πράξεις τῆς ἀρετῆς εἶναι δυ-

σίας· ὡς ὁ μὴ ἐντεῦθεν τὴν παρρησίαν κτησάμενος, ἐν τοῖς ἠτιμωμένοις καὶ ἀπαρρησιάστοις γενήσεται.

Τοῦτο οὖν ἅπαντες σκοπῶμεν, καὶ τοὺς ἡμετέρους παῖδας διδάσκωμεν ταύτην πάντων προτιμᾶν, καὶ μηδὲν ἡγεῖσθαι τὴν τῶν χρημάτων περιουσίαν. Αὕτη γάρ, αὕτη πολλάκις καὶ κώλυμα πρὸς τὴν ἀρετὴν γίνεται, ὅταν μὴ εἰδῇ τοῖς χρήμασιν ὁ νέος εἰς δέον κεχρῆσθαι. Καὶ καθάπερ τὰ παιδία τὰ μικρά, ἐπειδὰν μαχαίρας ἐπιλάβηται ἢ ξίφους, διὰ τὸ μὴ εἰδέναι δεόντως κεχρῆσθαι, πολλάκις εἰς προὖπτον ἑαυτὰ κίνδυνον ἐμβάλλει, ὅθεν οὐδὲ ἀφιᾶσιν αἱ μητέρες ἀδεῶς τῶν τοιούτων ἐφάπτεσθαι, οὕτω δὴ καὶ οἱ νέοι, ἐπιδὰν χρημάτων περιουσίαν διαδέξωνται, διὰ τὸ μὴ θέλειν αὐτοῖς δεόντως κεχρῆσθαι, εἰς προφανῆ κίνδυνον ἑαυτοὺς περιπείρουσι, τὸν φόρτον τῶν ἁμαρτημάτων ἐντεῦθεν ἑαυτοῖς συλλέγοντες. Αἱ γὰρ τρυφαί, καὶ αἱ ἄτοποι ἡδοναί, καὶ τὰ μυρία κακὰ ἐντεῦθεν τίκτεται· οὐχ ἁπλῶς ἀπὸ χρημάτων λέγω, ἀλλ' ἀπὸ τοῦ μὴ εἰδέναι προσηκόντως αὐτοῖς κεχρῆσθαι τοὺς ταῦτα διαδεξαμένους. Διὰ τοῦτο καὶ σοφός τις ἔλεγεν· «Ἀγαθὸς ὁ πλοῦτος, ᾧ μή ἐστιν ἁμαρτία». Ἐπεὶ καὶ ὁ Ἀβραὰμ πλούσιος ἦν, καὶ ὁ Ἰὼβ πλούσιος ἦν, καὶ οὐ μόνον οὐδὲν ἀπὸ τοῦ πλούτου παρεβλάβησαν, ἀλλὰ καὶ μειζόνως εὐδοκίμησαν. Τίνος ἕνεκεν καὶ διὰ τί; Ὅτι οὐκ εἰς οἰκείαν ἀπόλαυσιν μόνον τούτῳ ἐκέχρηντο, ἀλλὰ πρὸς τὴν τῶν ἄλλων παραμυθίαν, καὶ τὰς τῶν δεομένων διορθούμενοι πενίας, καὶ ἡ οἰκία αὐτῶν παντὶ ξένῳ ἦν ἀνεῳγμένη. Ἄκουε γὰρ ἑνὸς αὐτῶν λέγοντος· «Εἰ δὲ καὶ ἐξῆλθέ τις ἐκ τοῦ οἴκου μου κόλπῳ κενῷ, καὶ ἀδύνατοι δέ,

---

10. Σοφ. Σειράχ 13, 14.

νατὸν νὰ εὕρῃ κανεὶς ἀνοιγμένας τὰς θύρας τῆς παρρησίας ἐνώπιον αὐτοῦ· διότι ἐκεῖνος ποὺ δὲν ἀπέκτησεν ἀπὸ ἐδῶ τὴν παρρησίαν, θὰ εὑρεθῇ ἀνάμεσα εἰς τοὺς ἀτιμασμένους καὶ εἰς ἐκείνους ποὺ δὲν ἔχουν παρρησίαν.

Αὐτὸ λοιπὸν ἂς φροντίζωμεν ὅλοι καὶ ἂς διδάσκωμεν εἰς τὰ παιδιά μας νὰ προτιμοῦν αὐτὴν ἀπὸ ὅλα, καὶ νὰ μὴ θεωροῦν ὡς τίποτε τὴν περιουσίαν τῶν χρημάτων. Διότι αὐτή, αὐτὴ πολλὲς φορὲς καὶ ἐμπόδιον γίνεται πρὸς τὴν ἀρετήν, ὅταν δὲν γνωρίζῃ ὁ νέος νὰ χρησιμοποιῇ τὰ χρήματα ὅπως πρέπει. Καὶ ὅπως ἀκριβῶς τὰ μικρὰ τὰ παιδιά, ὅταν λάβουν εἰς τὰ χέρια των μαχαίρι ἢ ξίφος, ἐπειδὴ δὲν γνωρίζουν νὰ τὰ χρησιμοποιήσουν ὅπως πρέπει, πολλὲς φορὲς ὁδηγοῦνται εἰς σίγουρον κίνδυνον, καὶ διὰ τοῦτο δὲν τὰ ἀφήνουν αἱ μητέρες των ἐλεύθερα νὰ τὰ ἐγγίζουν, ἔτσι λοιπὸν καὶ οἱ νέοι, ὅταν κληρονομήσουν περιουσίαν χρημάτων, ἐπειδὴ δὲν θέλουν νὰ τὴν χρησιμοποιήσουν ὅπως πρέπει, ὁδηγοῦν τοὺς ἑαυτούς των εἰς ὁλοφάνερον κίνδυνον, συγκεντρώνοντες ἀπὸ ἐδῶ διὰ τοὺς ἑαυτούς των τὸ φορτίον τῶν ἁμαρτιῶν. Διότι ἀπὸ ἐδῶ γεννῶνται αἱ τρυφαὶ καὶ αἱ παράλογοι ἡδοναὶ καὶ τὰ ἀμέτρητα κακά· δὲν ἐννοῶ ἁπλῶς ἀπὸ τὰ χρήματα, ἀλλ' ἐπειδὴ δὲν γνωρίζουν νὰ τὰ χρησιμοποιήσουν ὅπως πρέπει ἐκεῖνοι ποὺ τὰ κληρονομοῦν. Διὰ τοῦτο καὶ κάποιος σοφὸς ἔλεγε· «Καλὸς εἶναι ὁ πλοῦτος, ἀλλ' εἰς ἐκεῖνον ποὺ δὲν ὑπάρχει ἁμαρτία»[10]. Διότι καὶ ὁ Ἀβραὰμ ἦτο πλούσιος, καὶ ὁ Ἰὼβ ἦτο πλούσιος, καὶ ὄχι μόνον δὲν ἐβλάβησαν εἰς τίποτε ἀπὸ τὸν πλοῦτον, ἀλλὰ καὶ εὐδοκίμησαν περισσότερον. Διὰ ποῖον λόγον καὶ διατί; Διότι δὲν ἐχρησιμοποίησαν αὐτὸν μόνον διὰ τὴν ἰδικήν των ἀπόλαυσιν, ἀλλὰ διὰ τὴν παρηγορίαν τῶν ἄλλων, ἀπήλλασσον τοὺς πτωχοὺς ἀπὸ τὴν πεῖναν καὶ ἡ οἰκία των ἦτο ἀνοικτὴ διὰ κάθε ξένον. Διότι ἄκουε ἕνα ἀπὸ αὐτοὺς ποὺ λέγει· «Κανένας δὲν ἔφυγεν ἀπὸ τὴν οἰκίαν μου μὲ ἄδεια χέρια, καὶ οἱ ἀδύνατοι δέ, ἐὰν κάποτε εἶχαν ἀνάγκην, ἔλαβον τὴν βοή-

εἴ ποτε εἶχον χρείαν, οὐκ ἀπέτυχον». Καὶ οὐ μόνον τὴν διὰ χρημάτων ἐπικουρίαν εἰς τοὺς δεομένους ἐπεδείκνυντο, ἀλλὰ καὶ τὴν διὰ τῆς προστασίας πρόνοιαν. «Ἐγὼ γὰρ ἤμην», φησί, «ποὺς χωλῶν, ὀφθαλμὸς δὲ τυφλῶν, καὶ ἐκ μέσου ὀδόντων ἐξέσπασα ἅρπαγμα».

Ὁρᾷς αὐτὸν καὶ προνοοῦντα τῶν ἀδικουμένων, καὶ ἀντὶ τῶν πεπηρωμένων μελῶν ἅπασι γινόμενον; Τοῦτον ἅπαντας ἐχρῆν ζηλοῦν τὸν πρὸ τοῦ νόμου, τὸν πρὸ τῆς χάριτος τοσαύτην φιλοσοφίαν ἐπιδειξάμενον, καὶ ταῦτα οὐδὲ διδάσκαλον ἐσχηκότα, οὔτε προγόνους ἐναρέτους, ἀλλὰ οἴκοθεν καὶ ἀπὸ γνώμης ὀρθῆς ἐπὶ τὴν χρηστὴν ταύτην πολιτείαν ἐλθόντα. Καὶ γὰρ ἕκαστος ἡμῶν ἐν αὐτῇ τῇ φύσει ἐναποκειμένην ἔχει τὴν γνῶσιν τῆς ἀρετῆς· καὶ εἰ μή τις βουληθῇ ἀπὸ ῥαθυμίας τὴν οἰκείαν προδοῦναι εὐγένειαν, οὐκ ἄν ποτε ταύτης ἀμοιρήσειε. Γένοιτο δὲ πάντας ἡμᾶς ταύτην ἑλομένους, καὶ μετὰ ἀκριβείας ταύτην κατορθώσαντας καὶ τῶν ἐν ἐπαγγελίαις κειμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

11. Ἰώβ. 31, 34 καὶ 31, 16.
12. Ἰώβ. 29, 15· 17.

θειάν μου»[11]. Καὶ ὄχι μόνον ἐπρόσφεραν τὴν διὰ τῶν χρημάτων βοήθειάν των εἰς ἐκείνους ποὺ εἶχαν ἀνάγκην, ἀλλὰ ἐφρόντιζαν καὶ διὰ τὴν προστασίαν των. Διότι λέγει· «Ἐγὼ ἤμουν στήριγμα τῶν χωλῶν, ὀφθαλμὸς τῶν τυφλῶν καὶ μέσα ἀπὸ τὰ δόντια τῶν ἀδίκων ἥρπαξα ἐκεῖνο ποὺ εἶχον ἁρπάξει αὐτοί»[12].

Βλέπεις αὐτόν καὶ νὰ φροντίζῃ τοὺς ἀδικουμένους καὶ νὰ παίρνῃ εἰς ὅλους τὴν θέσιν τῶν ἀναπήρων μελῶν των; Αὐτόν ἔπρεπε ὅλοι νὰ μιμούμεθα ποὺ ἔζησε πρὶν ἀπὸ τὸν νόμον, ποὺ ἐπέδειξε τόσην μεγάλην εὐσέβειαν πρὶν ἀπὸ τὴν Χάριν, καὶ ὅλα αὐτὰ ἂν καὶ δὲν εἶχε διδάσκαλον, οὔτε προγόνους ἐναρέτους, ἀλλ' ἀπὸ μόνος του καὶ μὲ τὴν ὀρθὴν κρίσιν του ἠκολούθησεν αὐτὸν τόν ἐνάρετον τρόπον ζωῆς. Καθ' ὅσον ὁ καθένας ἀπὸ ἡμᾶς ἔχει μέσα εἰς τὴν ἰδίαν τὴν φύσιν του τὴν γνῶσιν τῆς ἀρετῆς· καὶ ἐὰν κάποιος δὲν θελήσῃ νὰ προδώσῃ τὴν εὐγένειάν του αὐτὴν μὲ τὴν ραθυμίαν του, ποτὲ δὲν θὰ συνέβαινε νὰ στερηθῇ αὐτήν. Εἴθε δὲ νὰ συμβῇ ὅλοι μας νὰ προτιμήσωμεν αὐτὴν καὶ νὰ τὴν ἐφαρμόσωμεν μὲ κάθε ἀκρίβειαν, ὥστε νὰ ἐπιτύχωμεν καὶ τὰ ὑποσχεθέντα ἀγαθὰ ποὺ ἐπιφυλάσσονται δι' αὐτοὺς ποὺ ἀγαποῦν αὐτόν, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τόν Πατέρα, συγχρόνως δὲ καὶ εἰς τὸ ἅγιον Πνεῦμα, ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΞΖ΄

(Γεν. 48, 21 - 50, 26)

«Εἶπε δέ», φησίν, «Ἰσραὴλ τῷ Ἰωσήφ· ἰδοὺ ἐγὼ ἀποθνήσκω, καὶ ἔσται ὁ Θεὸς μεθ' ὑμῶν, καὶ ἀποστρέψει ὑμᾶς ὁ Θεὸς ἐκ τῆς γῆς ταύτης εἰς τὴν γῆν τῶν πατέρων ὑμῶν. Ἐγὼ δὲ δίδωμί σοι Σήκιμα ἐξαίρετον παρὰ τοὺς ἀδελφούς σου, ἣν ἔλαβον ἐν μαχαίρᾳ μου καὶ τόξῳ».

1. Πρώην ἐπαγγειλάμενος τέλος ἐπιθεῖναι τῇ κατὰ τὸν Ἰακὼβ ὑποθέσει, εἰς μῆκος ἡμῖν ἐκταθέντος τοῦ λόγου, τὴν ὑπόσχεσιν πᾶσαν εἰς πέρας ἀγαγεῖν οὐκ ἰσχύσαμεν. Διὸ βούλομαι σήμερον τὰ πρώην ἡμῖν ἐκεῖθεν ἀπολειφθέντα εἰς μέσον προθεῖναι. ἵνα οὕτω καὶ νῦν, Θεοῦ διδόντος, τὸ τέλος ἐπιθῶμεν. Ἀναγκαῖον δὲ πρότερον ὑπομνῆσαι τὴν ὑμετέραν ἀγάπην, καὶ δεῖξαι μέχρι τίνος τότε τὸν λόγον στήσαντες, οὕτω τὴν διδασκαλίαν κατελύσαμεν. Ἴστε δήπου καὶ μέμνησθε, ὅτι ἡνίκα τοὺς τοῦ Ἰωσὴφ παῖδας μέλλων ὁ δίκαιος εὐλογεῖν, τὸν Ἐφραῒμ τοῦ Μανασσῆ προέθηκε, καὶ ταῦτα τοῦ πατρὸς δυσχεράναντος, πρὸς ὃν καὶ εἶπεν, «Οἶδα, τέκνον· καὶ οὗτος ἔσται εἰς λαόν, καὶ οὗτος ὑψωθήσεται· ἀλλ' ὁ ἀδελφὸς αὐτοῦ ὁ νεώτερος μείζων αὐτοῦ ἔσται, καὶ τὸ σπέρμα αὐτοῦ ἔσται εἰς πλῆθος ἐθνῶν. Καὶ εὐλόγησεν αὐτοὺς ἐν ἡμέρᾳ ἐκείνῃ λέγων· ἐν ὑμῖν εὐλογηθήσεται Ἰσραήλ, λέγοντες· ποιήσαι σε ὁ Θεὸς ὡς Ἐφραῒμ καὶ Μανασσῆ· καὶ ἔθηκε τὸν Ἐφραῒμ ἔμπροσθεν τοῦ Μανασσῆ». Μέχρι τούτου γενόμενοι,

ΟΜΙΛΙΑ ΞΖ'

(Γεν. 48, 21 - 50, 26)

«Εἶπε», λέγει, «ὁ Ἰακὼβ εἰς τὸν Ἰωσήφ· Νὰ ἐγὼ πεθαίνω καὶ ὁ Θεὸς θὰ εἶναι μαζί σας καὶ θὰ σᾶς ἐπαναφέρῃ ὁ Θεὸς ἀπὸ αὐτὴν τὴν χώραν εἰς τὴν γῆν τῶν πατέρων σας. Ἐγὼ δὲ δίνω εἰς ἐσένα τὰ Σήκιμα τὴν πιὸ ἐξαιρετικὴν μερίδα ἀπὸ ὅλους τοὺς ἀδελφούς σου καὶ ποὺ τὴν ἐπῆρα μὲ μάχαιραν καὶ τόξον».

1. Εἰς τὴν προηγουμένην ὁμιλίαν σᾶς ὑπεσχέθην νὰ τελειώσωμεν τὴν διήγησιν σχετικὰ μὲ τὸν Ἰακώβ, ἀλλ' ἐπειδὴ ἐπεξετάθη πολὺ ὁ λόγος, δὲν ἠμπορέσαμεν νὰ ἐκπληρώσωμεν τὴν ὑπόσχεσιν. Διὰ τοῦτο θέλω σήμερα νὰ σᾶς ἐκθέσω τὰ ὅσα παρελείψαμεν ἐκεῖ, ὥστε ἔτσι, μὲ τὴν βοήθειαν τοῦ Θεοῦ, νὰ τερματίσωμεν σήμερα τὴν διήγησιν. Ἀνάγκη δὲ εἶναι προηγουμένως νὰ ὑπενθυμίσω εἰς τὴν ἀγάπην σας καὶ νὰ σᾶς ἀναφέρω εἰς ποῖον σημεῖον ἐσταματήσαμεν ἐκεῖ τὸν λόγον καὶ ἐτερματίσαμεν ἔτσι τὴν διδασκαλίαν. Γνωρίζετε βέβαια καὶ ἐνθυμῆσθε, ὅτι, ὅταν ἐπρόκειτο ὁ δίκαιος νὰ εὐλογήσῃ τὰ παιδιὰ τοῦ Ἰωσήφ, ἔθεσε τὸν Ἐφραῒμ πρὶν ἀπὸ τὸν Μανασσῆ, καὶ ἐπειδὴ ὁ πατέρας των ἐδυσανασχέτησε, εἶπε πρὸς αὐτόν· «Τὸ γνωρίζω, τέκνον μου· καὶ αὐτὸς θ' ἀποκτήσῃ πολλοὺς ἀπογόνους καὶ θὰ ὑψωθῇ καὶ αὐτός, ἀλλ' ὁ νεώτερος ἀδελφός του θὰ γίνῃ ἀνώτερος ἀπὸ αὐτόν, καὶ οἱ ἀπόγονοί του θ' αὐξηθοῦν εἰς πλῆθος ἐθνῶν. Καὶ εὐλόγησεν αὐτοὺς κατὰ τὴν ἡμέραν ἐκείνην, λέγων· Μὲ ἐσᾶς θὰ εὐλογηθῇ ὁ λαὸς τοῦ Ἰσραὴλ καὶ ὅλοι θὰ λέγουν· Εἴθε ὁ Θεὸς νὰ σὲ κάνῃ ὡσὰν τὸν Ἐφραῒμ καὶ τὸν Μανασσῆ· καὶ ἔθεσε τὸν Ἐφραῒμ πρὶν ἀπὸ τὸν Μανασσῆ». Μέχρις ἐδῶ ἐφθάσαμεν καὶ ἐσταματήσαμεν τὴν διδασκαλίαν, διὰ νὰ μὴ κουράσω-

ὥστε μὴ τῷ πλήθει καταχῶσαι ὑμῶν τὴν μνήμην, ἐπαυσάμεθα τῆς διδασκαλίας· ἀλλ' εἰ δοκεῖ, σήμερον ἴδωμεν τὰ ἑξῆς.

«Εἶπε» γάρ, φησίν, «Ἰσραὴλ τῷ Ἰωσήφ· ἰδοὺ ἐγὼ ἀποθνήσκω, καὶ ἔσται ὁ Θεὸς μεθ' ὑμῶν, καὶ ἀποστρέψει ὑμᾶς ὁ Θεὸς ἐκ τῆς γῆς ταύτης εἰς τὴν γῆν τῶν πατέρων μου. Ἐγὼ δὲ δίδωμί σοι Σήκιμα ἐξαίρετον ὑπὲρ τοὺς ἀδελφούς σου, ἣν ἔλαβον ἐν μαχαίρᾳ μου καὶ τόξῳ». Ἐπειδὴ τοὺς υἱοὺς εὐλόγησε, καὶ τὰ μέλλοντα προορῶν προέθηκε τὸν νεώτερον τοῦ πρεσβυτέρου, βουλόμενος πεῖσαι τὸν Ἰωσήφ, ὅτι οὐχ ἁπλῶς οὐδὲ εἰκῇ τοῦτο πεποίηκεν, ἀλλὰ προφητεύων τὰ μλλοντα ἔσεσθαι, προλέγει αὐτῷ καὶ τὴν οἰκείαν τελευτήν, καὶ ὅτι ἐπανήξουσιν ἐκ τῆς ἀλλοτρίας εἰς τὴν Χαναάν, εἰς τὴν γῆν τῶν πατέρων αὐτῶν, καὶ χρηστὰς αὐτοῖς ἐλπίδας ὑποτείνει, ὥστε τῇ προσδοκίᾳ κουφίζεσθαι. Ἡ γὰρ τῶν χρηστῶν ἐλπὶς ὑποτέμνεται ἀεὶ τοὺς ἐν τῷ παρόντι βίῳ πόνους. Καὶ δεικνὺς λοιπὸν καὶ ἐν τῷ τῆς τελευτῆς καιρῷ τὴν φιλοστοργίαν, ἣν περὶ τὸν Ἰωσὴφ ἐκέκτητο, φησὶ πρὸς αὐτόν· «Ἐγὼ δὲ δίδωμί σοι Σήκιμα ἐξαίρετον ὑπὲρ τοὺς ἀδελφούς σου»· μονονουχὶ διὰ τούτου δηλῶν, ὅτι οὕτω πάντως ἔσται τοῦτο, καὶ κατὰ τὴν ἐμὴν πρόρρησιν ἐπανελεύσεσθε, καὶ κληρονομήσετε τὴν γῆν τῶν πατέρων ὑμῶν, ὅτι καὶ τὴν Σηκίμων πόλιν σοι δίδωμι κληρονομίαν. «Ἐξαίρετον ὑπὲρ τοὺς ἀδελφούς σου, ἣν ἔλαβον ἐκ χειρὸς Ἀμορραίων ἐν μαχαίρᾳ μου καὶ τόξῳ».

Τί δὴ τοῦτό ἐστι; Τὰ παρὰ τοῦ Συμεὼν καὶ Λευὶ γεγενημένα εἰς τοὺς ἐν Σηκίμοις οἰκειοῦται, καὶ διὰ τοῦτο λέγει· «Ἣν ἔλαβον ἐν μαχαίρᾳ μου καὶ τόξῳ». Ἀλλ' ἐνταῦθα εὐ-

μεν τὴν μνήμην σας μὲ τὸ πλῆθος τῶν λόγων· ἀλλ᾽ ἐὰν θέλετε ἂς ἰδοῦμεν σήμερα τὴν συνέχειαν.

«Εἶπε λοιπόν», λέγει, «ὁ Ἰακὼβ εἰς τὸν Ἰωσήφ· Νὰ ἐγὼ πεθαίνω καὶ θὰ εἶναι ὁ Θεὸς μαζί σας καὶ θὰ σᾶς ἐπαναφέρῃ ὁ Θεὸς ἀπὸ αὐτὴν τὴν χώραν εἰς τὴν γῆν τῶν πατέρων σας. Ἐγὼ δὲ δίνω εἰς ἐσένα τὰ Σήκιμα, τὴν πιὸ ξεχωριστὴν μερίδα ἀπὸ ὅλους τοὺς ἀδελφούς σου καὶ ποὺ τὴν ἀπέκτησα μὲ μάχαιραν καὶ τόξον». Ἐπειδὴ εὐλόγησε τοὺς υἱούς του καὶ προβλέπων τὰ μέλλοντα νὰ συμβοῦν, ἔθεσε τὸν νεώτερον πρὶν ἀπὸ τὸν μεγαλύτερον, θέλων νὰ πείσῃ τὸν Ἰωσήφ, ὅτι αὐτὸ δὲν τὸ ἔκαμεν ἔτσι ἁπλῶς καὶ εἰς τὴν τύχην, ἀλλὰ προφητεύων ἐκεῖνα ποὺ πρόκειται νὰ συμβοῦν εἰς τὸ μέλλον, προλέγει εἰς αὐτὸν τὸν θάνατόν του, καὶ ὅτι θὰ ἐπιστρέψουν ἀπὸ τὴν ξένην χώραν εἰς τὴν Χαναάν, εἰς τὴν γῆν τῶν πατέρων των, καὶ δίδει εἰς αὐτοὺς ἀγαθὰς ἐλπίδας, ὥστε ν᾽ ἀνακουφίζωνται μὲ τὴν ἀναμονήν. Διότι ἡ ἐλπὶς τῶν ἀγαθῶν ἐλαττώνει πάντοτε τοὺς πόνους τῆς παρούσης ζωῆς. Καὶ διὰ νὰ δείξῃ ἐν συνεχείᾳ καὶ κατὰ τὴν ὥραν τοῦ θανάτου του τὴν φιλοστοργίαν ποὺ ἔτρεφε διὰ τὸν Ἰωσήφ, λέγει πρὸς αὐτόν· «Ἐγὼ δὲ δίνω εἰς ἐσένα τὰ Σήκιμα, ποὺ εἶναι ἡ πιὸ ξεχωριστὴ μερίδα ἀπὸ ὅλας τὰς ἄλλας μερίδας τῶν ἀδελφῶν σου», ὡσὰν μὲ αὐτὸ νὰ ἤθελε νὰ δηλώσῃ, ὅτι αὐτὸ ὁπωσδήποτε ἔτσι θὰ συμβῇ, καὶ σύμφωνα μὲ τὴν ἰδικήν μου πρόρρησιν θὰ ἐπιστρέψετε καὶ θὰ κληρονομήσετε τὴν γῆν τῶν πατέρων σας, δι᾽ αὐτὸ καὶ σοῦ δίνω ὡς κληρονομίαν καὶ τὴν πόλιν τῶν Σηκίμων, «ποὺ εἶναι ἡ πιὸ ξεχωριστὴ μεράδα ἀπὸ τὰς μερίδας ὅλων τῶν ἄλλων ἀδελφῶν σου καὶ ποὺ τὴν ἐπῆρα ἀπὸ τὰ χέρια τῶν Ἀμορραίων μὲ μάχαιραν καὶ τόξον».

Τί σημαίνει λοιπὸν αὐτό; Τὰ ὅσα εἶχαν συμβῇ ἀπὸ τὸν Συμεὼν καὶ τὸν Λευῒ εἰς τὰ Σήκιμα τὰ θεωρεῖ ὡς ἰδικά του, καὶ διὰ τοῦτο λέγει· «Τὴν ὁποίαν ἐπῆρα μὲ τὴν μάχαιράν μου καὶ τὸ τόξον μου». Ἀλλ᾽ ἐδῶ πολὺ εὔλογα

καίρως ζητήσειεν ἄν τις, τίνος ἕνεκεν οἰκειωσάμενος τὸ γεγενημένον, ὁ μετὰ ταῦτα μέλλων διατάσσεσθαι, ἀνάγραπτον τὴν κατ' αὐτῶν ποιεῖται κατηγορίαν; Οὐχ ἑαυτῷ ἐναντιούμενος ὁ δίκαιος, ἀλλὰ δεικνὺς τὸ ἥμερον αὐτοῦ τῆς γνώμης, καὶ ὅτι παρὰ τὴν αὐτοῦ γνώμην τοῦτο διεπράττετο· οὐ γὰρ μόνον οὐκ ἠρέσθη τοῖς γινομένοις, ἀλλὰ καὶ ἐμέμψατο, ἐπειδὴ γέγονε. Διὰ τοῦτο θέλων δεῖξαι τὴν περὶ τὸν Ἰωσὴφ φιλοστοργίαν, αὐτῷ παραχωρεῖ τὰ Σήκιμα, καί φησιν· «Ἣν ἔλαβον ἐν μαχαίρᾳ μου καὶ τόξῳ». Εἰ γὰρ καὶ ἐκείνων τὸ ἔργον γέγονεν, ἀλλ' ἐν τῇ ἐμῇ κεῖται ἐξουσίᾳ. Εἰ γὰρ τῶν παίδων δεσπότης ὁ πατήρ, πολλῷ μᾶλλον τῶν ὑπ' αὐτῶν κτηθέντων κύριος ἂν εἴη· εἰ δὲ Κύριος, καὶ ὃ βούλεται διανέμειν ἂν δύναιτο. Ἐπεὶ οὖν ἐβούλετο δεῖξαι τὴν περὶ τὸν Ἰωσὴφ εὔνοιαν, οὐ μόνον διὰ τῆς τοῦ Ἐφραῒμ καὶ τοῦ Μανασσῆ εὐλογίας τοῦτο πεποίηκεν, ἀλλὰ καὶ διὰ τοῦ τὴν Σήκιμα ἐξαίρετον κληρονομίαν καταλιπεῖν τῷ παιδί.

«Καὶ ἐκάλεσε», φησί, «τοὺς υἱοὺς αὐτοῦ Ἰακώβ, καὶ εἶπε· συνάχθητε, ἵνα ἀναγγείλω ὑμῖν τί ἀπαντήσεται ὑμῖν ἐπ' ἐσχάτων τῶν ἡμερῶν. Ἀθροίσθητε, καὶ ἀκούσατε Ἰσραὴλ τοῦ πατρὸς ὑμῶν». Ὅρα τοῦ δικαίου τὴν σύνεσιν. Ἐπειδὴ προῄδει τῆς τελευτῆς τὸν καιρόν, καλεῖ τοὺς παῖδας πρὸς ἑαυτόν, καί φησι· «Συνάχθητε, ἵνα ὑμῖν ἤδη προαναφωνήσω τί ὑμῖν ἀπαντήσεται ἐπ' ἐσχάτων τῶν ἡμερῶν. Ἀθροίσθητε, καὶ ἀκούσατε Ἰσραὴλ τοῦ πατρὸς ὑμῶν». Δεῦτε, φησί, καὶ μάθετε παρ' ἐμοῦ, οὐ τὰ παρόντα, οὐ τὰ μετὰ βραχὺν ἐσόμενα χρόνον, ἀλλὰ τὰ ἐν ἐσχάταις ἡμέραις γενησόμενα. Καὶ ταῦτα ὑμῖν οὐκ ἀπ' ἐμαυτοῦ μηνύω, ἀλλ' ὑπὸ τοῦ Πνεύματος ἐνηχούμενος· διὰ τοῦτο καὶ τὰ μετὰ πολλὰς ὕστερον ἐσόμενα γενεὰς ἤδη

1. Γεν. 49, 7.

θὰ ἠμποροῦσε κανεὶς νὰ ἐρωτήσῃ, διὰ ποῖον λόγον παρουσιάζει ὡς ἰδικήν του πρᾶξιν αὐτὸ ποὺ συνέβη ἐκεῖ, αὐτὸς ποὺ ἐπρόκειτο εἰς τὴν συνέχειαν νὰ δώσῃ ἐντολὴν νὰ εἶναι ἄσβεστος ἡ ἐναντίον αὐτῶν κατηγορία[1]; Δὲν ἔρχεται ὁ δίκαιος εἰς ἀντίθεσιν μὲ τὸν ἑαυτόν του, ἀλλὰ διὰ νὰ δείξῃ τὸ πρᾶον τοῦ χαρακτῆρος του καὶ ὅτι αὐτὸ ἔγινε χωρὶς τὴν θέλησίν του˙ διότι ὄχι μόνον δὲν ἐχάρη μὲ τὰ ὅσα ἔγιναν, ἀλλὰ καὶ τὰ κατηγόρησεν ἐπειδὴ ἔγιναν. Διὰ τοῦτο θέλων νὰ δείξῃ τὴν φιλοστοργίαν του πρὸς τὸν Ἰωσήφ, παραχωρεῖ εἰς αὐτὸν τὰ Σήκιμο, καὶ λέγει˙ «Τὴν ὁποίαν ἐπῆρα μὲ τὴν μάχαιραν καὶ τὸ τόξον μου». Δηλαδή, ἂν καὶ ἡ πρᾶξις ἦτο ἐκείνων, ἀλλ' ὅμως εὑρίσκεται ὑπὸ τὴν ἐξουσίαν μου. Διότι, ἐὰν ὁ πατέρας εἶναι κύριος τῶν παιδιῶν του, πολὺ περισσότερον θὰ ἠμποροῦσε νὰ εἶναι κύριος αὐτῶν ποὺ ἀπεκτήθησαν ἀπὸ αὐτά˙ ἐὰν δὲ εἶναι κύριος θὰ ἠμποροῦσε καὶ νὰ διανέμῃ ὅποιο θέλει. Ἐπειδὴ λοιπὸν ἤθελε νὰ δείξῃ τὴν εὔνοιάν του πρὸς τὸν Ἰωσήφ, τὸ ἔκαμεν αὐτὸ ὄχι μόνον μὲ τὴν εὐλογίαν τοῦ Ἐφραὶμ καὶ τοῦ Μανασσῆ, ἀλλὰ καὶ μὲ τὸ ὅτι ἄφησεν εἰς τὸ παιδί του τὴν πιὸ ἐξαίρετον κληρονομίαν, τὰ Σήκιμα.

«Καὶ ἐκάλεσε», λέγει, «ὁ Ἰακὼβ τοὺς υἱούς του καὶ εἶπε˙ Συγκεντρωθῆτε, διὰ νὰ σᾶς ἀναγγείλω τί θὰ σᾶς συμβῇ κατὰ τὰς τελευταίας ἡμέρας. Μαζευθῆτε καὶ ἀκούσατε τὸν πατέρα σας Ἰακώβ». Πρόσεχε τὴν σύνεσιν τοῦ δικαίου. Ἐπειδὴ προεῖδε τὸν χρόνον τοῦ θανάτου του, καλεῖ τὰ παιδιά του πλησίον του καὶ λέγει˙ «Συγκεντρωθῆτε, διὰ νὰ σᾶς προείπω τί θὰ σᾶς συμβῇ κατὰ τὰς τελευταίας ἡμέρας. Μαζευθῆτε καὶ ἀκούσατε τὸν πατέρα σας Ἰακώβ». Ἐλᾶτε, λέγει, καὶ μάθετε ἀπὸ ἐμένα, ὄχι τὰ παρόντα, οὔτε ἐκεῖνα ποὺ θὰ συμβοῦν μετὰ ἀπὸ σύντομον χρόνον, ἀλλ' ἐκεῖνα ποὺ θὰ συμβοῦν κατὰ τὰς τελευταίας ἡμέρας. Καὶ αὐτὰ δὲν σᾶς τὰ λέγω ἀπὸ τὸν ἑαυτόν μου, ἀλλὰ κινούμενος ὑπὸ τοῦ Πνεύματος˙ διὰ τοῦτο καὶ προλέγω ἐκεῖνα ποὺ θὰ συμβοῦν μετὰ ἀπὸ πολλὰς γενεάς.

1. Οἱ μὲν βασιλεῖς εἰς τοὺς νικητὰς στρατηγοὺς ἀφιερώνουν ἐπινικίους ἀνδριάντας, οἱ δὲ ἄρχοντες ἀνεγείρουν εἰς τοὺς ὁδηγοὺς ἁρμάτων καὶ καὶ εἰς τοὺς ἀθλητὰς νικηφόρους ἀναπαραστάσεις καὶ στήλας καὶ μὲ τὸ ἐπίγραμμα ὡσὰν στόμα καθιστοῦν τὴν ὕλην κήρυκα τῆς νίκης. Ἄλλοι πάλιν γράφουν τοὺς ἐπαίνους διὰ τοὺς νικητὰς εἰς βιβλία καὶ γράμματα, διότι θέλουν νὰ δείξουν τὴν δύναμίν των, ποὺ περιέχεται εἰς τὸν ἔπαινον, ἰσχυροτέραν ἀπὸ τοὺς ἐπαινουμένους. Καὶ οἱ λογογράφοι καὶ οἱ ζωγράφοι καὶ οἱ χαλκουργοὶ καὶ οἱ λιθογλύπται καὶ οἱ λαοὶ καὶ οἱ ἄρχοντες καὶ οἱ πόλεις καὶ αἱ χῶραι θαυμάζουν τοὺς νικητάς, κανεὶς ὅμως δὲν περιέγραψε τὴν εἰκόνα δραπέτου καὶ ἀνθρώπου ποὺ δὲν ἐπολέμησεν, ὅπως κάμνει τώρα ὁ Δαυίδ. Διότι λέγει «εἶναι ψαλμὸς ποὺ ἐγράφη ἀπὸ τὸν Δαυίδ, ὅταν ἔφευγεν ὡσὰν δραπέτης καταδιωκόμενος ἀπὸ τὸν υἱόν του τὸν Ἀβεσσαλώμ». Καὶ πότε συνέβη νὰ ἐγκωμιάζεται ὁ δραπέτης; πότε δὲ ὁ φυγὰς ἀνεγράφη εἰς ἐπιγράμματα; Τοὺς δραπέτας τοὺς συλλαμβάνουν μὲ γράμματα καὶ δὲν τοὺς θαυμάζουν μὲ ἐπιγράμματα. Ἀλλὰ μάθε, ἀδελφέ, τὴν αἰτίαν τῆς ἐπιγραφῆς καὶ ἀσφάλισε τὴν ψυχήν σου· ἂς σοῦ γίνῃ ἡ ἱστορία διόρθωσις τῆς ζωῆς σου, ἂς σοῦ γίνῃ ὁ διωγμὸς τοῦ δικαίου στήριγμα τοῦ νοῦ σου. Μάθε λοιπὸν διατί κατεδιώκετο ὁ Δαυὶδ ἀπὸ τὸν Ἀβεσσαλώμ, ὥστε, ἀφοῦ θεωρήσῃς τὴν ὑπόθεσιν ὡσὰν θεμέ-

μηθῇς τῷ φόβῳ τοῦ Θεοῦ. Ὡς γὰρ ἄνευ θεμελίου σαθρὰ ἡ οἰκοδομή, οὕτως ἄνευ τῆς εὑρέσεως τοῦ σκοποῦ οὐκ ὠφελεῖ ἡ Γραφή.

Σκοπὸν εἶχεν ὁ μακάριος Δαυΐδ, διὰ τοῦ προκειμένου ψαλμοῦ παιδεῦσαι τὸν βίον καὶ σωφρονίσαι, μηδέποτε κακοποιεῖν καὶ καταφρονεῖν τῶν νόμων τοῦ Θεοῦ, ἵνα μὴ ὁ ἁμαρτήσας τοιαῦτα πάθῃ, οἷα καὶ αὐτὸς ἔπαθεν. Ἔφευγε τὸν υἱὸν αὐτοῦ ὁ Δαυΐδ, ἐπειδὴ τὴν ἁγνείαν ἔφυγεν· ἔφυγε τὸν υἱόν, ἐπειδὴ τὸν σώφρονα γάμον ἐνύβρισεν· ἔφυγε τὸν υἱόν, ἐπειδὴ τὸν νόμον τοῦ Θεοῦ τὸν λέγοντα, «Οὐ φονεύσεις», «οὐ μοιχεύσεις», ἔφυγεν. Ἐπειδὴ γὰρ ἀλλοτρίαν ἀμνάδα εἰς τὸν οἶκον αὐτοῦ εἰσήγαγε καὶ τὸν ταύτης ποιμένα ἀπέκτεινεν, ὁ ἐκ τοῦ οἴκου αὐτοῦ ἀμνὸς τὸν ποιμένα ἐκεράτιζεν. Ἀλλότριον οἶκον ἐπολέμησε καὶ ἐκ τοῦ ἰδίου οἴκου ἐπανέστη αὐτῷ ὁ πόλεμος. Οὐκ ἔστιν ἐμὸν τὸ νόημα, Θεοῦ ἐστι τὸ ἀπόφθεγμα· ὅπου δὲ Θεὸς ὁ ἑρμηνεύων, οὐδεὶς ὁ ἀντιλέγων. Ὅτι γὰρ διὰ τοῦτο ἐπανέστη τῷ Δαυὶδ ὁ υἱὸς αὐτοῦ, ἐπειδὴ τὸν Οὐρίαν ἐφόνευσε, καὶ τὴν γυναῖκα αὐτοῦ ἔλαβεν, ἄκουσον τοῦ Θεοῦ διὰ τοῦ προφήτου Νάθαν πρὸς τὸν Δαυὶδ λέγοντος. «Ἐγὼ ἔχρισά σε βασιλέα ἐπὶ τὸν Ἰσραήλ, καὶ ἐξειλόμην σε ἐκ χειρὸς Σαούλ, καὶ ἔδωκά σοι τὰ πάντα τοῦ κυρίου σου, τὸν οἶκον Σαούλ, καὶ Ἰούδα, καὶ εἰ ὀλίγα σοί ἐστι, προσθήσω σοι καθὼς ταῦτα. Καὶ τί ὅτι ἐξουδένωσας τὸν Κύριον, τοῦ ποιῆσαι τὸ πονηρὸν ἐνώπιόν μου; Τὸν Οὐρίαν τὸν Χετταῖον ἐπάταξας ἐν ῥομφαίᾳ καὶ τὴν γυναῖκα αὐτοῦ ἔλαβες ἑαυτῷ εἰς γυναῖκα. Καὶ νῦν οὐκ ἐξαρθήσεται ῥομφαία ἐκ τοῦ οἴκου σου εἰς τὸν αἰῶνα». Τὸν ἀλλότριον οἶκον ῥομφαίᾳ ἐδιχοτόμησας, τὴν κατὰ σοῦ ῥομφαίαν χαλκεύσω ἐν τῷ οἴκῳ σου. «Ἰδοὺ ἐγὼ ἐξεγερῶ

2. Ἐξ. 20, 13-14.
3. Β´ Βασ. 12, 7-10.

λιόν, νὰ οἰκοδομηθῆς ἐπάνω εἰς τὸν φόβον τοῦ Θεοῦ. Διότι ὅπως ἡ οἰκοδομὴ χωρὶς θεμέλια εἶναι σαθρά, ἔτσι χωρὶς τὴν ἀνεύρεσιν τοῦ σκοποῦ δὲν ὠφελεῖ ἡ Γραφή.

Σκοπὸν εἶχεν ὁ μακάριος Δαυὶδ μὲ αὐτὸν τὸν ψαλμὸν νὰ διαπαιδαγωγήσῃ καὶ νὰ σωφρονίσῃ τὸν βίον, ὥστε νὰ μὴ κακοποιῇ ποτὲ καὶ νὰ μὴ περιφρονῇ τοὺς νόμους τοῦ Θεοῦ, διὰ νὰ μὴ πάθῃ ἐκεῖνος ποὺ ἁμαρτάνει παρόμοια μὲ ἐκεῖνα ποὺ ἔπαθεν αὐτός. Ἔφευγεν ὁ Δαυὶδ μακριὰ ἀπὸ τὸν υἱόν του, ἐπειδὴ ἐξέφυγεν ἀπὸ τὴν ἁγνότητα· ἔφευγε μακριὰ ἀπὸ τὸν υἱόν του, ἐπειδὴ ἐπρόσβαλε τὸν τίμιον γάμον· ἔφευγε μακριὰ ἀπὸ τὸν υἱόν του, ἐπειδὴ ἐξέφυγεν ἀπὸ τὸν νόμον τοῦ Θεοῦ ποὺ λέγει, «Δὲν θὰ φονεύσῃς», «δὲν θὰ μοιχεύσῃς»[2]. Ἐπειδὴ δηλαδὴ ὡδήγησε μέσα εἰς τὴν οἰκίαν του ξένην ἀμνάδα καὶ ἐφόνευσε τὸν ποιμένα αὐτῆς, ὁ ἀμνὸς τῆς οἰκίας του ἐκτυποῦσε μὲ τὰ κέρατά του τὸν ποιμένα. Ἐπολέμησε ξένην οἰκίαν καὶ ἀπὸ τὴν οἰκίαν του ἐσηκώθη ἐναντίον του πόλεμος. Δὲν εἶναι δική μου ἡ σκέψις αὐτή, εἶναι λόγος τοῦ Θεοῦ· ὅπου δὲ ἑρμηνεύει ὁ ἴδιος ὁ Θεός, δὲν πρέπει κανεὶς νὰ ἀντιλέγῃ. Τὸ ὅτι δηλαδὴ διὰ τοῦτο ἐπαναστάτησεν ἐναντίον τοῦ Δαυὶδ ὁ υἱός, ἐπειδὴ ἐφόνευσε τὸν Οὐρίαν καὶ ἐπῆρε τὴν γυναῖκα του, ἄκουσε τὸν Θεὸν ποὺ λέγει πρὸς τὸν Δαυὶδ μέσῳ τοῦ προφήτου Νάθαν· «Ἐγὼ σὲ ἔχρισα βασιλέα τοῦ Ἰσραὴλ καὶ σὲ ἔσωσα ἀπὸ τὰ χέρια τοῦ Σαοὺλ καὶ σοῦ ἔδωσα ὅλα τὰ ὑπάρχοντα τοῦ Σαοὺλ καὶ τοῦ Ἰούδα, καὶ ἐὰν αὐτὰ σοῦ εἶναι ὀλίγα θὰ σοῦ προσθέσω καὶ ἄλλα ὡσὰν καὶ αὐτά. Διατί ὅμως περιεφρόνησες τὸν Κύριόν σου καὶ διέπραξες τὸ κακὸν ἐνώπιόν μου; Ἐφόνευσες μὲ μάχαιραν τὸν Οὐρίαν τὸν Χετταῖον καὶ ἔλαβες ὡς γυναῖκα σου τὴν γυναῖκα του. Ἀπὸ σήμερα δὲν θὰ παύσουν αἱ σφαγαὶ εἰς τὴν οἰκίαν σου»[3]. Ἔκοψες εἰς τὰ δύο μὲ τὴν μάχαιραν τὴν ξένην οἰκογένειαν καὶ ἐγὼ θὰ ἀκονίσω τὴν μάχαιραν μέσα εἰς τὴν οἰκογένειάν σου ἐναντίον σου. «Νὰ ἐγὼ θὰ δημιουργήσω κακὰ ἐναντίον σου μέσα ἀπὸ τὴν οἰκογέ-

ἐπὶ σὲ κακὰ ἐκ τοῦ οἴκου σου»· οὐκ ἔξωθέν ποθεν, ἀλλ' «Ἐκ τοῦ οἴκου σου». Ὅθεν ἡ πηγὴ τῆς ἁμαρτίας, ἐκεῖθεν ἡ πληγὴ τῆς τιμωρίας. Ἐπεὶ οὖν τῆς ἐντολῆς τοῦ Θεοῦ δραπέτης καὶ φυγὰς ἐγένετο, διὰ τοῦτο τὸν υἱὸν ἀπεδίδρασκε.

2. «Ψαλμὸς τῷ Δαυὶδ ἐν τῷ ἀποδιδράσκειν αὐτὸν ἀπὸ προσώπου Ἀβεσσαλὼμ τοῦ υἱοῦ αὐτοῦ». Καὶ κρείττων τῆς τοῦ πολέμου ἐξηγήσεως ἡ αἰτία τῆς τοῦ πολέμου ὑποθέσεως, ἵνα τὸν ὄλισθον τοῦ δικαίου θεασάμενοι ἀσφαλισώμεθα τὸ πτῶμα, καὶ φύγωμεν τὴν ὁμοίαν βάσανον. Πολλοὶ γὰρ καὶ εἰς τὴν σήμερον πολέμους ἐν τοῖς οἴκοις ἔχουσι, καὶ ὁ μὲν ὑπὸ γυναικὸς πολεμεῖται, ὁ δὲ ὑπὸ τέκνου πολιορκεῖται, ἄλλος ὑπὸ ἀδελφοῦ, καὶ ἕτερος ὑπὸ οἰκέτου δαμάζεται, καὶ ἕκαστος ἀκηδιᾷ καὶ δυσχεραίνει καὶ μάχεται καὶ πολεμεῖ καὶ πολεμεῖται, καὶ οὐδεὶς ἑαυτὸν λογοθετεῖ ἐννοῶν, ὅτι εἰ μὴ ἁμαρτίας ἔσπειρεν, οὐκ ἂν ἐν τῷ οἴκῳ αὐτοῦ ἄκανθαι καὶ τρίβολοι ἀνέβησαν εἰ μὴ σπινθῆρας ἁμαρτιῶν ἔκρυψεν, οὐκ ἂν ὁ οἶκος ἀνεπυρίζετο. Ὅτι γὰρ ἁμαρτιῶν εἰσι καρποὶ τὰ οἰκεῖα κακά, καὶ δημίους ἐμφυλίους κατὰ τοῦ ἁμαρτάνοντος χειροτονεῖ ὁ Θεός· μάρτυς ἡ θεία Γραφή, ἧς οὐδὲν ἰσχυρότερον. Πολεμεῖ σε ἡ γυνή, εἰσελθόντι ὡς θηρίον ἀπαντᾷ, τὴν γλῶσσαν ὡς μάχαιραν ἀκονᾷ; Λυπηρὸν μὲν τὸ πρᾶγμα, ὅτι ἡ βοηθὸς ἀντίπαλος γέγονεν, ὅμως ἑαυτὸν ἐρεύνησον, μή πως ἐν νεότητι εἰς γυναῖκα ἐνεωτέρισας, καὶ τὸ εἰς γυναῖκα τραῦμα διὰ γυναικὸς θεραπεύεται, καὶ τὴν ἀλλοτρίαν σηπεδόνα ἡ ἰδία χειρουργεῖ. Κἂν ἀγνοῇ ἡ τέμνουσα, ἀλλ' οἶδεν ὁ ἰατρὸς Θεός. Αὐτὸς γὰρ αὐτῇ ὡς σιδήρῳ κατὰ σοῦ ἐχρήσατο· καὶ ὥσπερ

4. Β' Βασ. 12, 11.

νειάν σου»[4]· ὄχι ἀπὸ κάπου ἔξω, ἀλλὰ «ἀπὸ τὴν οἰκογένειάν σου». Ἀπὸ ἐκεῖ ποὺ πηγάζει ἡ ἁμαρτία, ἀπὸ ἐκεῖ καὶ ἡ πληγὴ τῆς τιμωρίας. Ἐπειδὴ λοιπὸν ἐδραπέτευσε καὶ ἔφυγεν ἀπὸ τὸν νόμον τοῦ Θεοῦ, διὰ τοῦτο ἔφευγεν ὡσὰν δραπέτης ἀπὸ τὸν υἱόν του.

2. «Ψαλμὸς ποὺ ἐγράφη ἀπὸ τὸν Δαυὶδ ὅταν ἔφευγεν ὡσὰν δραπέτης διὰ νὰ σωθῇ ἀπὸ τὸν υἱόν του τὸν Ἀβεσσαλώμ». Καὶ εἶναι προτιμότερον νὰ ψάχνῃ κανεὶς νὰ εὕρῃ τὴν αἰτίαν τῆς ὑποθέσεως τοῦ πολέμου, παρὰ νὰ ἐκθέτῃ τὸν πόλεμον, ὥστε βλέποντες τὸ ὀλίσθημα τοῦ δικαίου νὰ ἀσφαλίσωμεν τὸν ἑαυτόν μας ἀπὸ τὴν πτῶσιν καὶ ν' ἀποφύγωμεν τὰ παρόμοια βάσανα. Διότι καὶ σήμερα πολλοὶ ἔχουν πολέμους εἰς τὴν οἰκίαν των καὶ ἄλλος μὲν πολεμεῖται ἀπὸ τὴν γυναῖκα του, ἄλλος πολιορκεῖται ἀπὸ τὸ τέκνον του, ἄλλος ἀπὸ τὸν ἀδελφόν του, καὶ ἄλλος ταπεινώνεται ἀπὸ τὸν ὑπηρέτην του καὶ ὁ καθένας λυπεῖται καὶ δυσανασχετεῖ καὶ μάχεται καὶ πολεμεῖ καὶ πολεμεῖται καὶ κανεὶς δὲν σκέπτεται, ὅτι, ἐὰν δὲν ἔσπειρεν ἁμαρτίας, δὲν θὰ ἦτο δυνατὸν νὰ φυτρώσουν εἰς τὴν οἰκίαν του ἀγκάθια καὶ τριβόλια· ἐὰν δὲν ἔκρυπτε σπινθῆρας ἁμαρτιῶν, δὲν θὰ ἥναπτε φωτιὰ εἰς τὴν οἰκίαν του. Τὸ ὅτι βέβαια τὰ κακὰ ποὺ μᾶς συμβαίνουν εἶναι καρποὶ τῶν ἁμαρτιῶν μας καὶ ὁ Θεὸς ὁρίζει συγγενεῖς δημίους ἐναντίον τοῦ ἁμαρτάνοντος, μάρτυς εἶναι ἡ θεία Γραφή, ἀπὸ τὴν ὁποίαν τίποτε δὲν ὑπάρχει ἰσχυρότερον. Σὲ πολεμεῖ ἡ γυναῖκα σου; σὲ ὑποδέχεται, ὅταν εἰσέρχεσαι εἰς τὴν οἰκίαν σου, ὡσὰν θηρίον; ἀκονίζει τὴν γλῶσσαν της ὡσὰν μάχαιραν; Εἶναι μὲν λυπηρὸν τὸ πρᾶγμα, διότι ὁ βοηθός σου ἔγινεν ἀντίπαλος, ὅμως ἐρεύνησε τὸν ἑαυτόν σου, μήπως κατὰ τὴν νεανικὴν ἡλικίαν σου ἔβλαψες γυναῖκα καὶ τὸ τραῦμα ποὺ ἐπροξένησες εἰς τὴν γυναῖκα θεραπεύεται μὲ γυναῖκα καὶ αὐτὴ χειρουργεῖ τὴν ξένην σαπίλαν. Καὶ ἂν ἀκόμη δὲν τὸ γνωρίζῃ αὐτὸ αὐτὴ ποὺ χειρουργεῖ, ἀλλὰ τὸ γνωρίζει ὁ ἰατρὸς Θεός. Διότι αὐτὸς ἐχρησι-

τὸ σίδηρον οὐκ οἶδεν ὃ ἐνεργεῖ, τὴν δὲ διὰ τοῦ σιδήρου θεραπείαν οἶδεν ὁ ἰατρός, οὕτω κἂν ἀγνοῇ ἡ γυνὴ ἡ πλήττουσα, καὶ ὁ ἀνὴρ ὁ πληττόμενος τὴν αἰτίαν τῆς πληγῆς, ἀλλ' ὁ Θεὸς ὡς ἰατρὸς οἶδε τὸ συμφέρον.

Ὅτι δὲ ἡ γυνὴ πονηρὰ ἁμαρτιῶν ἐστι κόνδυλος, μάρτυς ἡ θεία Γραφή. Τί γὰρ λέγει ἄκουσον· «Γυνὴ πονηρὰ ἀνδρὶ ἁμαρτωλῷ δοθήσεται». Ὡς πικρὰ ἀντίδοτος αὐτῷ δοθήσεται, τοὺς χυμοὺς τῶν ἁμαρτιῶν ἀναλίσκουσα. Ὅτι δὲ καὶ τὸ ὑπὸ τέκνων πολιορκεῖσθαι, ἁμαρτιῶν ἐστι βάσανος, μάρτυς ὁ Δαυίδ, διὰ τὴν παράνομον κοίτην ὑπὸ τοῦ υἱοῦ αὐτοῦ Ἀβεσσαλὼμ πολεμούμενος, ὡς ὁ λόγος ἔδειξεν. Ὅτι δὲ καὶ ἀδελφοὶ ἀδελφοὺς δι' ἁμαρτίας ἐπολέμησαν, μάρτυς ἡ βίβλος τῶν Κριτῶν. Ὅτε γὰρ εἰς τὴν παλλακίδα τοῦ ὁδοιπόρου οἱ τῆς φυλῆς Βενιαμὶν ἐξεπόρνευσαν, ἡ δὲ τὴν ἄμετρον ὕβριν μὴ ἐνεγκοῦσα ἀπέθανεν, αἱ ἕνδεκα φυλαὶ τὴν μίαν ἐπολέμησαν· καὶ ἐπειδὴ αἱ ἕνδεκα φυλαὶ ὑπὸ Θεοῦ ἀπέστησαν, καὶ εἰς τὰ εἴδολα ἐξεπόρνευσαν, ὑπὸ τῆς μιᾶς φυλῆς αἱ ἕνδεκα ἐνικήθησαν, καὶ πλεονάκις νικηθεῖσαι ὑπὸ τῆς μιᾶς, ἅπαξ αὐτὴν ἐνίκησαν, καὶ ἀδελφοὶ ἀδελφοὺς ἐπολέμησαν, ἐπειδὴ ὁ Θεὸς διὰ τὰς ἁμαρτίας αὐτῶν ἦρε τὸ τῆς ἁμαρτίας μεσότοιχον. Ἐπειδὴ γὰρ ἡ μία φυλὴ εἰς τὴν γυναῖκα ἐπόρνευσεν, αἱ δὲ ἕνδεκα φυλαὶ εἰς τὰ εἴδωλα ἐξεπόρνευσαν καὶ οὗτοι κἀκεῖνοι ὑπὸ Θεοῦ ἐξωλοθρεύθησαν, ὡς γέγραπται· «Ἐξωλόθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ». Ὥστε ἀδελφοὶ ἀδελφοὺς ἐπολέμησαν δι' ἁμαρτίας. Ὑπὸ ἀδελφῶν πολεμούμε-

5. Σοφ. Σειρ. 26, 23.
6. Κριτ. 1, 21.
7. Ψαλμ. 72, 27.

μοποίησεν αὐτὴν ἐναντίον σου ὡσὰν σίδηρον· καὶ ὅπως ἀκριβῶς τὸ σίδηρον δὲν γνωρίζει αὐτὸ ποὺ κάμνει, τὴν δὲ θεραπείαν διὰ τοῦ σιδήρου τὴν γνωρίζει ὁ ἰατρός, ἔτσι καὶ ἂν ἀκόμη δὲν τὸ γνωρίζῃ ἡ γυναῖκα ποὺ προξενεῖ τὰ πλήγματα, καὶ ὁ ἄνδρας ποὺ δέχεται τὰ πλήγματα δὲν γνωρίζει τὴν αἰτίαν τῶν πληγμάτων, ὅμως ὁ Θεὸς ὡσὰν ἰατρὸς γνωρίζει τὸ συμφέρον.

Τὸ ὅτι δὲ ἡ πονηρὰ γυναῖκα γίνεται τιμωρὸς διὰ τῆς ἁμαρτίας, μάρτυς εἶναι ἡ θεία Γραφή. Διότι ἄκουσε τί λέγει· «Εἰς τὸν ἁμαρτωλὸν ἄνδρα θὰ δοθῇ κακὴ γυναῖκα»[5]. Θὰ δοθῇ εἰς αὐτὸν ὡσὰν πικρὸν ἀντίδοτον, διὰ νὰ ἀπορροφήσῃ τοὺς χυμοὺς τῶν ἁμαρτιῶν. Τὸ ὅτι δὲ καὶ τὸ νὰ πολιορκῆται κανεὶς ἀπὸ τὰ τέκνα του ἀποτελεῖ τιμωρίαν διὰ τὰς ἁμαρτίας του, μάρτυς εἶναι ὁ Δαυίδ, ὁ ὁποῖος, ὅπως ἀπέδειξεν ὁ λόγος, ἐπολεμεῖτο ἀπὸ τὸν υἱόν του τὸν Ἀβεσσαλὼμ διὰ τὴν παράνομον σαρκικὴν μεῖξιν. Τὸ ὅτι δὲ καὶ ἀδελφοὶ ἐπολέμησαν ἀδελφοὺς ἐξ αἰτίας τῶν ἁμαρτιῶν, μάρτυς εἶναι τὸ βιβλίον τῶν Κριτῶν. Διότι, ὅταν διέπραξαν πορνείαν οἱ τῆς φυλῆς τοῦ Βενιαμὶν εἰς τὴν παλλακίδα τοῦ ὁδοιπόρου[6] καὶ ἐκείνη, μὴ ὑποφέρουσα τὴν ὑπερβολικὴν ὕβριν, ἀπέθανεν, αἱ ἕνδεκα φυλαὶ ἐπολέμησαν τὴν μίαν· καὶ ἐπειδὴ αἱ ἕνδεκα φυλαὶ ἀπεμακρύνθησαν ἀπὸ τὸν Θεὸν καὶ διέπραξαν πορνείαν λατρεύουσαι τὰ εἴδωλα, αἱ ἕνδεκα φυλαὶ ἐνικήθησαν ἀπὸ τὴν μίαν καὶ ἐνῷ πολλὲς φορὲς ἐνικήθησαν ἀπὸ τὴν μίαν, μίαν φορὰν ἐνίκησαν αὐτὴν καὶ ἀδελφοὶ ἐπολέμησαν τοὺς ἀδελφούς, ἐπειδὴ ὁ Θεός, ἐξ αἰτίας τῶν ἁμαρτιῶν αὐτῶν, ἀφήρησε τὸ μεσότοιχον τῆς ἁμαρτίας. Ἐπειδὴ δηλαδὴ ἡ μία φυλὴ διέπραξε πορνείαν εἰς μίαν γυναῖκα, αἱ δὲ ἕνδεκα φυλαὶ διέπραξαν πορνείαν μὲ τὸ νὰ λατρεύσουν τὰ εἴδωλα, καὶ αὐτοὶ καὶ ἐκεῖνοι ἐξωλοθρεύθησαν ἀπὸ τὸν Θεόν, ὅπως ἔχει γραφῇ· «Ἐξωλόθρευσες ἐμπρὸς ἀπὸ τὸ πρόσωπόν σου τὸν καθένα ποὺ πορνεύει»[7]. Ὥστε ἀδελφοὶ ἐπολέμησαν ἀδελφοὺς ἐξ αἰτίας τῆς ἁμαρτίας. Ὅταν πολεμῆ-

νος, μὴ τοσοῦτον κατ' ἐκείνων στέναζε, ὅσον ἑαυτὸν λογοθέτει, καὶ ἀνέταζε ζητῶν διὰ ποίας ἁμαρτίας οἱ ἀδελφοὶ πολέμιοι. Οὐχ ὅτι πάντες δι' ἁμαρτίας ὑπὸ ἀδελφῶν πολεμοῦνται, καὶ γὰρ ὁ Ἰωσὴφ ὑπὸ τῶν ἀδελφῶν ἐπολεμεῖτο, καὶ οὐ πάντως διὰ ἁμαρτήματα· καὶ ὁ Ἰὼβ ὑπὸ γυναικὸς ἐπεβουλεύετο, καὶ οὐ πάντως διὰ ἁμαρτήματα· ἀλλ' ὅτι οἱ πλείονες τῶν ἀνθρώπων διὰ ἁμαρτίας οἰκιακοὺς πολεμίους ἔχομεν. Ἔστιν ὅτε καὶ φίλοι εἰς ἐχθροὺς διὰ ἁμαρτίας τρέπονται, καὶ οἱ πάλαι ἀγαπῶντες μισοῦσι καὶ ἀποστρέφονται, τοῦ Θεοῦ τὸ τοιοῦτον μῖσος δι' οὓς οἶδε λόγους ἐμβάλλοντος. Οὕτω γὰρ ἐν τῷ ἑκατοστῷ ψαλμῷ γέγραπται περὶ τῶν Αἰγυπτίων· «Μετέστρεψε τὴν καρδίαν αὐτῶν τοῦ μισῆσαι τὸν λαὸν αὐτοῦ». Οὐκ ἂν δὲ τὸ μῖσος ἀπὸ Θεοῦ ἐδόθη, εἰ μὴ πρότερον κακῶς ἐφιλίαζον. Οἷς γὰρ ἡ φιλία ἀπωλείας πρόξενος, τούτοις τὸ μῖσος ἀρετῆς ὑπόθεσις.

Ἀλλὰ καὶ τὰ δοῦλα καὶ ὑπήκοα σώματα πολλάκις διὰ ἁμαρτίας τῇ δεσποτείᾳ ἐπανέστησαν. Βλέπε γὰρ τὸν Ἀδὰμ μηδέπω ἁμαρτήσαντα καὶ τὰ θηρία ὡς δοῦλα καὶ ὑπήκοα ἔχοντα, καὶ ὡς δούλοις αὐτοῖς καλοῦντα ὀνόματα, ὅτε δὲ τὴν ὄψιν τῇ ἁμαρτίᾳ ἐσπίλωσε, τότε τὰ θηρία αὐτὸν οὐκ ἐγνώριζεν, καὶ τὰ δοῦλα πολέμια κατ' αὐτοῦ γεγόνασι. Καὶ ὥσπερ ὁ ἐν τῇ οἰκίᾳ κύων δουλεύει τῷ τρέφοντι, καὶ φοβεῖται τοῦτον καὶ τέθηπεν, ἐὰν δὲ ἄφνω ἠσβολωμένην ἔχοντα τὴν ὄψιν θεάσηται, ἢ προσωπεῖον ἀλλότριον ἐν τῇ ὄψει φέροντα, ὡς ξένῳ ἐπέρχεται καὶ σπαράξαι βούλεται, οὕτως ὁ Ἀδὰμ ἐφ' ὅσον

8. Ψαλμ. 104, 25.

σαι ἀπὸ ἀδελφοὺς μὴ γογγύζῃς τόσον πολὺ ἐναντίον ἐκείνων, ὅσον πρέπει νὰ ἐξετάζῃς τὸν ἑαυτόν σου καὶ νὰ προσπαθῇς νὰ εὕρῃς διὰ ποίας ἁμαρτίας οἱ ἀδελφοί σου εἶναι ἐχθροί σου. Καὶ βέβαια δὲν πολεμοῦνται ὅλοι ἀπὸ τοὺς ἀδελφούς των ἐξ αἰτίας τῶν ἁμαρτιῶν των, καθ' ὅσον καὶ ὁ Ἰωσὴφ ἐπολεμεῖτο ἀπὸ τοὺς ἀδελφούς του, ὁπωσδήποτε ὅμως ὄχι δι' ἁμαρτήματά του, καὶ ὁ Ἰὼβ ἐδέχετο τὴν ἔχθραν τῆς γυναικός του, ὁπωσδήποτε ὅμως ὄχι ἐξ αἰτίας ἁμαρτημάτων του· πράγματι ὅμως οἱ περισσότεροι ἀπὸ τοὺς ἀνθρώπους ἔχομεν ἐχθροὺς τοὺς συγγενεῖς μας ἐξ αἰτίας τῶν ἁμαρτημάτων μας. Ἀκόμη δὲ καὶ φίλοι γίνονται ἐχθροὶ ἐξ αἰτίας τῶν ἁμαρτιῶν καὶ ἐκεῖνοι ποὺ παλαιότερα ἀγαποῦσαν μισοῦν καὶ ἀποστρέφονται, ἐπειδὴ ὁ Θεὸς βάζει μέσα των αὐτὸ τὸ μῖσος διὰ λόγους ποὺ ὁ ἴδιος γνωρίζει. Ἔτσι λοιπὸν καὶ εἰς τὸν ἑκατὸν τέσσαρα ψαλμὸν ἔχει γραφῆ διὰ τοὺς Αἰγυπτίους· «Ἐπέτρεψε νὰ μεταστραφῇ ἡ καρδία των διὰ νὰ μισήσουν τὸν λαὸν αὐτοῦ»[8]. Δὲν θὰ ἦτο δυνατὸν βέβαια νὰ ἐπιτραπῇ ἀπὸ τὸν Θεὸν τὸ μῖσος, ἐὰν προηγουμένως δὲν ἦσαν κακαὶ αἱ σχέσεις μεταξὺ των. Διότι εἰς ἐκείνους ποὺ ἡ φιλία γίνεται αἰτία καταστροφῆς, εἰς αὐτοὺς τὸ μῖσος γίνεται αἰτία ἀρετῆς.

Ἀλλὰ καὶ τὰ ὑπόδουλα καὶ τὰ ὑπάκουα σώματα πολλὲς φορὲς ἐξ αἰτίας τῆς ἁμαρτίας ἐπαναστάτησαν ἐναντίον τοῦ κυρίου των. Βλέπε δηλαδὴ τὸν Ἀδὰμ πρὶν ἀκόμη ἁμαρτήσῃ ὅτι εἶχεν ὡς ὑπόδουλα καὶ ὑπάκουα τὰ θηρία καὶ ἐφώναζεν αὐτὰ μὲ τὰ ὀνόματά των ὡσὰν νὰ ἦσαν δοῦλοι του, ὅταν ὅμως ἐλέρωσε τὸ πρόσωπόν του μὲ τὴν ἁμαρτίαν, τότε τὰ θηρία δὲν τὸν ἐγνώριζον καὶ αὐτὰ ποὺ ἦσαν πρὶν ὑπηρέται του ἔγιναν ἐχθροί του. Καὶ ὅπως ἀκριβῶς ὁ σκύλος τῆς οἰκίας ὑπηρετεῖ ἐκεῖνον ποὺ τὸν τρέφει καὶ φοβεῖται αὐτὸν καὶ κάνει διαφόρους χαϊδευτικὰς κινήσεις, ἐὰν ὅμως ἐξαφνικὰ τὸν ἰδῇ νὰ ἔχῃ μουντζουρωμένον τὸ πρόσωπόν του ἢ νὰ φορῇ εἰς τὸ πρόσωπόν του παράξενον προσωπίδα, ὁρμᾷ ἐπάνω του ὡσὰν νὰ εἶναι

τὸ κατ᾿ εἰκόνα Θεοῦ πρόσωπον καθαρὸν ἐτήρει, οἱ θῆρες αὐτῷ ὡς δοῦλοι ὑπέκειντο. ὅτε δὲ τὸ πρόσωπον τῇ παρακοῇ ἐσπίλωσε, μὴ γνωρίζοντα τὸν δεσπότην, ὡς ξένῳ ἤχθραινον. Ὥστε καὶ δούλων ἐπανάστασις ἁμαρτιῶν ἐστιν ἀντίδοσις. Δίκαιος ὁ Δανιήλ, καὶ οἱ λέοντες τὴν δεσποτείαν ἐγνώρισαν· εἶδον ἁμαρτίας ἄγευστον, καὶ ἀφῆκαν τιμωρίας ἄμορον. Ἥμαρτε προφήτης ψευσάμενος, καὶ εὗρεν αὐτὸν ὁ λέων ἐν τῇ ὁδῷ, καὶ ἐθανάτωσεν. Ἠσθολώθη τῷ ψεύδει καὶ ὁ λέων οὐκ ἐγνώρισεν. Εἰ προφήτην εἶδεν ἂν ὡς τὸν Δανιήλ, ἐτίμησε· ψευδοπροφήτην εὗρε, καὶ ὡς ξένῳ ἐπέδραμεν. Ὁ δεσπότης ἐψεύσατο, καὶ ὁ δοῦλος τὴν δεσποτείαν ἠρνήσατο. Καὶ τί λέγω περὶ τῶν οἰκιακῶν κακῶν, ὁπότε καὶ αὐτὸ ἡμῶν τὸ σῶμα, τὸ πάντων ἡμῖν οἰκειότερον καὶ προσφιλέστερον, ἔστιν ὅτε καὶ αὐτο ἁμαρτάνοντας ἡμᾶς πολεμεῖ, διὰ πυρετῶν καὶ νόσων καὶ ἀλγηδόνων ἀμυνόμενον, καὶ τὸ δοῦλον σῶμα τὴν δέσποιναν ψυχὴν μαστίζει ἁμαρτήσασαν, οὐχ ὅτι τοῦτο βούλεται, ἀλλ᾿ ὅτι τοῦτο ποιεῖν κελεύεται; Καὶ μάρυς ὁ Χριστὸς τῷ ἰαθέντι παραλυτικῷ λέγων· «Ἴδε, ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μή σοι χεῖρόν τι γένηται».

3. Μαθόντες οὖν, ἀδελφοί, ὅτι καὶ οἰκιακοὶ καὶ συγγενικοὶ καὶ δουλικοὶ πόλεμοι, καὶ αἱ τοῦ σώματος νόσοι τὰ πολλὰ διὰ ἁμαρτίας γίνονται, τὴν πηγὴν τῶν κακῶν τὴν ἁμαρτίαν ἀναστείλωμεν, καὶ εἰ χείμαρροι τῶν παθῶν οὐ ῥέουσιν, ἀλλ᾿ οἱ ποταμοὶ τῶν τοῦ Θεοῦ ὑδάτων τὴν ψυχὴν εὐφραίνουσιν. Ἐπεὶ οὖν καὶ ὁ Δαυὶδ ὡς ἀλλοτρίαν βασιλείαν τὴν ὕπανδρον ἔλαβε

9. Γ΄ Βασ. 13, 11 ἑ.
10. Ἰω. 5, 14.

ξένος καὶ θέλει νὰ τὸν κατασπαράξη, ἔτσι ὁ Ἀδὰμ ἐφ' ὅσον διετηροῦσε καθαρὸν τὸ κατ' εἰκόνα Θεοῦ πρόσωπόν του, τὰ θηρία ὑπετάσσοντο εἰς αὐτὸν ὡσὰν δοῦλοι, ὅταν ὅμως ἐλέρωσε τὸ πρόσωπόν του μὲ τὴν παρακοήν, ἐπειδὴ δὲν ἐγνώριζον τὸν Κύριόν των, τὸν ἐχθρεύοντο ὡσὰν ξένον. Ὥστε καὶ ἡ ἐπανάστασις τῶν δούλων ἀποτελεῖ ἀνταπόδωσιν ἁμαρτιῶν. Ἐν ὅσῳ ὁ Δανιὴλ ἦτο δίκαιος καὶ τὰ λεοντάρια ἀνεγνώρισαν τὴν ἐξουσίαν του· τὸν εἶδαν νὰ μὴ ἔχῃ γευθῆ τὴν ἁμαρτίαν καὶ τὸν ἀπήλλαξαν ἀπὸ τὴν τιμωρίαν. Ἄλλος προφήτης ἡμάρτησε μὲ τὸ νὰ εἰπῆ ψέματα καὶ τὸν ηὗρε τὸ λεοντάρι εἰς τὸν δρόμον καὶ τὸν ἐθανάτωσεν. Ἐμουντζουρώθη ἀπὸ τὸ ψεῦδος καὶ τὸ λεοντάρι δὲν τὸν ἐγνώρισεν. Ἐὰν ἔβλεπε προφήτην ὡσὰν τὸν Δανιὴλ θὰ τὸν ἐτιμοῦσεν, ἀλλ' ηὗρε ψευδοπροφήτην καὶ ὥρμησεν ἐπάνω του ὡσὰν νὰ ἦτο ξένος. Ὁ κύριος εἶπε ψέματα καὶ ὁ δοῦλος ἠρνήθη τὴν ἐξουσίαν. Καὶ διατί ὁμιλῶ διὰ τὰ συγγενικὰ κακά, ἀφοῦ καὶ τὸ ἴδιο τὸ σῶμο μας, ποὺ εἶναι ἀπὸ ὅλα τὸ πιὸ οἰκεῖον καὶ τὸ πιὸ ἀγαπητὸν εἰς ἡμᾶς, συμβαίνει κάποτε, ὅταν ἁμαρτάνωμεν, καὶ αὐτὸ νὰ μᾶς πολεμῇ ἀμυνόμενον μὲ πυρετοὺς καὶ ἀσθενείας καὶ πόνους φοβερούς, καὶ τὸ δοῦλον σῶμα μαστίζει τὴν κυρίαν ψυχὴν ποὺ ἡμάρτησεν, ὄχι ἐπειδὴ τὸ θέλει αὐτό, ἀλλ' ἐπειδὴ παίρνει ἐντολὴν νὰ πράξῃ αὐτό; Καὶ μάρτυς εἶναι ὁ Χριστός, ὁ ὁποῖος λέγει εἰς τὸν θεραπευθέντα παραλυτικόν· «Νά, ἐθεραπεύθης, μὴ ἁμαρτάνῃς πλέον, διὰ νὰ μὴ σοῦ συμβῇ κάτι χειρότερον»[10].

3. Ἀφοῦ λοιπὸν ἐμάθαμεν, ἀδελφοί, ὅτι συμβαίνουν πόλεμοι καὶ οἰκιακοὶ καὶ συγγενικοὶ καὶ δουλικοὶ καὶ ὅτι καὶ αἱ ἀσθένειαι τοῦ σώματος ὡς ἐπὶ τὸ πλεῖστον προκαλοῦνται ἀπὸ τὰς ἁμαρτίας, ἂς ἐξαφανίσωμεν τὴν ἁμαρτίαν, τὴν πηγὴν τῶν κακῶν, καὶ ἐὰν δὲν τρέχουν οἱ χείμαρροι τῶν παθῶν, τότε θὰ εὐφραίνουν τὴν ψυχὴν οἱ ποταμοὶ τῶν ὑδάτων τοῦ Θεοῦ. Ἐπειδὴ λοιπὸν καὶ ὁ Δαυὶδ ἔλαβε τὴν ὕπανδρον γυναῖκα ὡσὰν ξένην βασιλείαν (διότι διὰ κάθε

(βασιλεία γὰρ παντὶ ἀνδρὶ ἡ ὁμόψυχος γυνή, καὶ οὐχ οὕτως ὁ βασιλεὺς τὴν πορφύραν καὶ τὸ διάδημα, ὡς ὁ ἀνὴρ τὴν γυναῖκα ἀγαπᾷ), διὰ τοῦτο ὁ ἐκ τῆς γυναικὸς αὐτοῦ υἱὸς ἐπανέστη τύραννος, ἁρπάσαι θέλων τὴν βασιλείαν τοῦ πατρός. Βίᾳ ἥρπασε καὶ βίαν ὑπέμεινε, καὶ ὁ λάθρα ἁμαρτήσας, φανερῶς ἐθριαμβεύετο· καὶ ὁ ἐν κρυφῇ τραυματιζόμενος, ἐπὶ πάντων χειρουργούμενος διὰ τὸν εἰπόντα Θεόν, «Σὺ ἐποίησας ἐν κρυπτῷ, ἐγὼ δὲ ποιήσω ἐν τῷ φανερῷ, καὶ ἐνώπιον τοῦ ἡλίου τούτου». Ὅμως οὐκ εἰς τέλος προέβη τὰ τῆς κακίας τῷ Ἀβεσσαλώμ· καὶ δικαίως, ἵνα μὴ οἱ πατραλῷαι νόμον πατροκτονίας τὴν πρᾶξιν ἔχωσιν. Ὑπουργήσας δὲ ὡς δήμιος, ὡς κατάδικος ἐφονεύετο· καὶ ὥσπερ τὰ ἐν τοῖς θεάτροις θηρία ἄλλοις μὲν ἐπέρχονται, ὑπὸ ἄλλων δὲ φονεύονται, οὕτω καὶ ὁ Ἀβεσσαλὼμ τῷ Δαυὶδ ἐπελθών, ὑπὸ τοῦ Ἰωὰβ ἐφονεύετο, καὶ ἐπὶ δένδρου ὑψηλοῦ ἐκρέματο, ὁ κατὰ τοῦ πατρὸς ὑψούμενος· κατείχετο δὲ ὑπὸ φυτοῦ, ὁ τῇ ῥίζῃ μαχόμενος, καὶ ὁ κλάδος ὑπὸ τοῦ κλάδου ἐδέδετο, τῆς πατρικῆς διαθέσεως ἀποκλώμενος, καὶ ἀπὸ τῆς κεφαλῆς ἐκρατεῖτο, ὁ τὴν κεφαλὴν τοῦ γεννήσαντος λαβεῖν ἐπειγόμενος, καὶ ὡς καρπὸς ἀπὸ τοῦ φυτοῦ ἐκρέματο, ὁ τὸν γεωργὸν τῆς φύσεως τεμεῖν βουλόμενος, καὶ εἰς τὴν καρδίαν ἐτοξεύετο, ἐκεῖ φονευόμενος, ὅπου τὸν φόνον ἐμελέτησε.

Καὶ ἦν ἰδεῖν τότε παράδοξον θέαμα. Ὡς γὰρ ἐπὶ τὴν ἡμίονον ἐλαύνων, ἀπὸ τῆς κόμης τῶν τριχῶν, ἀπὸ τῆς κόμης τοῦ δένδρου κατείχετο, καὶ ἡ κόμη τῆς κόμης κατεῖχε τὸν τύραννον, ἐκεῖ αὐτὸν κονδυλίζουσα, ὅπου τὸ πατρικὸν διάδημα φορέσαι ἐσπούδαζεν. Ἦν οὖν θεάσασθαι μέσον οὐρανοῦ καὶ

11. Β΄ Βασ. 15, 1 ἑ.
12. Β΄ Βασ. 12, 12.
13. Β΄ Βασ. 18, 14.

ἄνδρα βασιλεία εἶναι ἡ γυναῖκα ποὺ συμφωνεῖ μὲ αὐτόν, καὶ δὲν ἀγαπᾷ ὁ βασιλεὺς τόσον πολὺ τὴν πορφύραν καὶ τὸ στέμμα, ὅσον ὁ ἄνδρας ἀγαπᾷ τὴν γυναῖκα), διὰ τοῦτο ὁ υἱός του, ποὺ ἐγεννήθη ἀπὸ τὴν γυναῖκα του, ἐπανεστάτησεν ὡσὰν τύραννος, θέλων ν' ἁρπάση τὴν βασιλείαν τοῦ πατρός του[11]. Μὲ βίαν ἥρπασε τὴν γυναῖκα καὶ βίαν ὑπέμεινε, καὶ ἐκεῖνος ποὺ ἡμάρτησε κρυφά, φανερὰ ἐνικᾶτο· καὶ ἐκεῖνος ποὺ ἐτραυματίζετο κρυφά, ἐχειρουργεῖτο παρουσίᾳ ὅλων ἐξ αἰτίας τῶν λόγων ἐκείνων τοῦ Θεοῦ, «Σὺ ἔκαμες τὸ κακὸν κρυφά, ἐγὼ ὅμως θὰ σὲ τιμωρήσω φανερὰ καὶ κάτω ἀπὸ τὸ φῶς τοῦ ἡλίου»[12]. Ἀλλ' ὅμως δὲν εἶχον καλὸν ἀποτέλεσμα τὰ τῆς κακίας τοῦ Ἀβεσσαλὼμ· καὶ δικαίως, διὰ νὰ μὴ ἔχουν οἱ πατροκτόνοι νόμον τὴν πρᾶξιν τῆς πατροκτονίας. Ἀφοῦ δὲ ἐνήργησεν ὡσὰν δήμιος, ἐφονεύετο ὡσὰν κατάδικος· καὶ ὅπως ἀκριβῶς εἰς τὰ θέατρα, τὰ θηρία εἰς ἄλλους μὲν ἐπιτίθενται, ἀπὸ ἄλλους δὲ φονεύονται, ἔτσι καὶ ὁ Ἀβεσσαλώμ, ἐπιτιθέμενος ἐναντίον τοῦ Δαυίδ, ἐφονεύετο ὑπὸ τοῦ Ἰωὰβ καὶ ἐκρεμᾶτο ἀπὸ ὑψηλὸν δένδρον, ἐκεῖνος ποὺ ὕψωσε τὸ ἀνάστημά του ἐναντίον τοῦ πατρός του· ἐσυλλαμβάνετο ἀπὸ φυτόν, ἐκεῖνος ποὺ ἐμάχετο τὴν ρίζαν, καὶ ὁ κλάδος ἐδένετο ἀπὸ κλάδον[13] ἀφοῦ ἀπεκόπη ἀπὸ τὴν πατρικὴν στοργήν, καὶ ἐκρατεῖτο ἀπὸ τὴν κεφαλήν, ἐκεῖνος ποὺ ἐβιάζετο νὰ πάρῃ τὴν κεφαλὴν ἐκείνου ποὺ τὸν ἐγέννησε, καὶ ὡσὰν καρπὸς ἐκρέμετο ἀπὸ τὸ δένδρον, ἐκεῖνος ποὺ ἤθελε νὰ τεμαχίσῃ τὸν γεωργὸν τῆς φύσεως, καὶ εἰς τὴν καρδίαν ἐτοξεύετο καὶ ἐφονεύετο ἐκεῖ, ὅπου ἐμελέτησε τὸν φόνον τοῦ πατρός του.

Καὶ ἔβλεπε κανεὶς τότε θέαμα παράξενον. Καθὼς δηλαδὴ ἔτρεχεν ἐπάνω εἰς τὴν ἡμίονον, ἐσυλλαμβάνοντο τὰ μαλλιά του ἀπὸ τὰ κλαδιὰ τοῦ δένδρου, καὶ ἡ κόμη τοῦ δένδρου ἐκρατοῦσε ἀπὸ τὴν κόμην τὸν τύραννον καὶ τὸν ἐβασάνιζεν ἐκεῖ ὅπου ἐσκέπτετο νὰ φορέσῃ τὸ πατρικὸν στέμμα. Ἔβλεπε λοιπὸν κανεὶς τὸν Ἀβεσσαλὼμ κρεμα-

χῆς Ἀβεσσαλὼμ κρεμάμενον. Ὁ οὐρανὸς αὐτὸν οὐκ ἐδέχετο· εἰ γὰρ τὸν πρῶτον ἀντάρτην ἔρριψε τὸν διάβολον, πῶς ἂν τὸν δεύτερον ἀντάρτην ἐδέξατο; Ἡ γῆ αὐτὸν ἀπεστρέφετο, μὴ φέρουσα μιαίνεσθαι πατραλῴου βήμασιν. Εἰ γὰρ τὸν Δαθὰν κατὰ Μωσέως λαλήσαντα κατέπιε, καὶ τὸ στόμα αὐτῆς ἤνοιξε κατὰ τοῦ κακῶς τὸ στόμα ἀνοίξαντος, πῶς εἶχε βαστάσαι πόδας κατὰ γονέως τρέχοντας; Ὡς οὖν ἐπὶ τοῦ δένδρου ὑψηλὸς ἐκρέματο, ἐπῆλθεν αὐτῷ Ἰωὰβ ὁ ἀρχιστράτηγος, καὶ τρεῖς ἀκίδας εἰς τὴν καρδίαν τοῦ ἀκαρδίου ἐνέπηξεν, ἐκεῖ αὐτὸν πλήττων, ὅπου τῆς ἀνομίας ἡ θήκη· καὶ ὡς ὑψηλὸς ἐπὶ τοῦ δένδρου ἐκρέματο, καλὸν ἐπιτάφιον αὐτῷ ὁ Δαυὶδ ὑπέψαλλεν· «Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον, ὡς τὰς κέδρους τοῦ Λιβάνου· καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν».

4. «Ψαλμὸς τῷ Δαυίδ, ὅτε ἀπεδίδρασκον ἀπὸ τοῦ προσώπου Ἀβεσσαλὼμ τοῦ υἱοῦ αὐτοῦ». Ἀπεδίδρασκε δὲ οὐχ ὡς δειλαινόμενος, ἀλλὰ φονεῦσαι τὸν υἱὸν εὐλαβούμενος· καὶ γὰρ αὐτὸς ὡς τέκνου ἐφείδετο, ἀλλ' οἱ σὺν αὐτῷ οὐκ ἂν ὡς ἀντάρτου ἐφείσαντο. Ὅθεν ὁ Δαυὶδ ὑπὸ τοῦ υἱοῦ διωκόμενος, καὶ ὑπὸ τοῦ Σεμεεὶ δι' αὐτὸν λοιδορούμενος, αὐτὸς μὲν ἐμακροθύμει, ἐπειδὴ δὲ πολλοὶ κατ' αὐτοῦ ἐσκανδαλίζοντο, καὶ μάλιστα οἱ τῷ Ἀβεσσαλὼμ συναιρόμενοι, καὶ λοιπὸν ὡς ἀπρονοήτου κατεπανίσταντο, λέγοντες, «Ἔρημος νῦν ὁ Δαυίδ, ἀβοήθητος πάντως, νῦν ἀπέστη ἀπ' αὐτοῦ ὁ Θεὸς ὡς καὶ ἀπὸ τοῦ Σαοὺλ ποτε· ὥσπερ γὰρ τότε ἀπὸ τοῦ Σαοὺλ ἀπέστη, καὶ γέγονε μετὰ τοῦ Δαυίδ, οὕτω νῦν ἀπὸ τοῦ Δαυὶδ ἀπέση, καὶ γέγονε

---

14. Ψαλμ. 36, 35 - 36.

σμένον μεταξὺ οὐρανοῦ καὶ γῆς. Ὁ οὐρανὸς δὲν τὸν ἐδέχετο· διότι, ἐὰν ἔρριψεν ἀπὸ ἐκεῖ ὑψηλὰ τὸν διάβολον, τὸν πρῶτον ἀντάρτην, πῶς θὰ ἠμποροῦσε νὰ δεχθῇ τὸν δεύτερον ἀντάρτην; Ἡ γῆ τὸν ἀπεστρέφετο, μὴ ἀνεχομένη νὰ μολύνεται ἀπὸ τὰ βήματα τοῦ πατροκτόνου. Διότι, ἐὰν κατέπιε τὸν Δάθαν καὶ ὡμίλησεν ἐναντίον τοῦ Μωϋσέως καὶ ἤνοιξε τὸ στόμα της ἐναντίον ἐκείνου ποὺ ἤνοιξε τὸ στόμα του διὰ νὰ εἰπῇ κακοὺς λόγους, πῶς θὰ ἠμποροῦσε νὰ βαστάσῃ τὰ πόδια ἐκεῖνα ποὺ ἔτρεχαν ἐναντίον τοῦ γονέως; Καθὼς λοιπὸν ἦτο κρεμασμένος ἐκεῖ ὑψηλὰ εἰς τὸ δένδρον, ὥρμησεν ἐναντίον του ὁ ἀρχιστράτηγος Ἰωὰβ καὶ ἔπηξε τρία βέλη εἰς τὴν καρδίαν τοῦ ἀκάρδου, πληγώνων αὐτὸν ἐκεῖ, ὅπου εὑρίσκετο ἡ θήκη τῆς ἀνομίας· καὶ ἐνῷ ἦτο κρεμασμένος ἐκεῖ ὑψηλὰ εἰς τὸ δένδρον, ἔψαλλεν ὁ Δαυὶδ δι' αὐτὸν ὡραῖον ἐπιτάφιον· «Εἶδα τὸν ἀσεβῆ νὰ ὑπερυψοῦται καὶ νὰ ἁπλώνῃ τὴν ἀλαζονείαν του ὡσὰν τοὺς κέδρους τοῦ Λιβάνου· καὶ ἐπέρασα ἀπὸ ἐκεῖ καὶ νά, αὐτὸς δὲν ὑπῆρχεν»[14].

4. «Ψαλμὸς γραφεὶς ἀπὸ τὸν Δαυίδ, ὅταν ἔφευγεν ὡσὰν δραπέτης διὰ νὰ σωθῇ ἀπὸ τὸν υἱόν του τὸν Ἀβεσσαλώμ». Ἔφευγε δὲ ὡσὰν δραπέτης ὄχι ἀπὸ φόβον, ἀλλ' ἐπειδὴ δὲν ἤθελε νὰ φονεύσῃ τὸν υἱόν του· καθ' ὅσον αὐτὸς τὸν ἐλυπεῖτο ὡσὰν τέκνον του, ἀλλ' οἱ σύντροφοί του δὲν ἦτο δυνατὸν νὰ λυπηθοῦν τὸν ἀντάρτην. Ὥστε λοιπὸν ὁ Δαυίδ, ἂν καὶ κατεδιώκετο ἀπὸ τὸν υἱόν του καὶ ἐχλευάζετο ἐξ αἰτίας αὐτοῦ ἀπὸ τὸν Σεμεεί, αὐτὸς μὲν ἔδειχνε μακροθυμίαν, ἐπειδὴ ὅμως πολλοὶ ἐσκανδαλίζοντο ἀπὸ τὴν ἐνέργειάν του αὐτὴν καὶ μάλιστα ἐκεῖνοι ποὺ ἐσηκώθησαν ἐναντίον του μαζὶ μὲ τὸν Ἀβεσσαλὼμ καὶ ἐξεγείροντο ἐναντίον του ὡσὰν νὰ ἐστερήθη πλέον τῆς προνοίας τοῦ Θεοῦ, λέγοντες, "Ὁ Δαυὶδ τώρα εἶναι ἔρημος καὶ ἐντελῶς ἀβοήθητος, τώρα ἔφυγεν ἀπὸ αὐτὸν ὁ Θεός, ὅπως κάποτε ἀπὸ τὸν Σαούλ· διότι ὅπως ἀκριβῶς τότε ἐγκατέλειψε τὸν Σαοὺλ καὶ ἐπῆγε μὲ τὸν Δαυίδ, ἔτσι τώρα ἀπεμα-

μετὰ τοῦ Ἀβεσσαλώμ, ἐπαναστῶμεν, καὶ ἐπιθώμεθα, οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ, ἐπειδὴ ταῦτα ἔλεγον, ἐπὶ τούτοις ὁ Δαυὶδ πλέον ἀλγήσας ἢ ἐπὶ τοῖς τοῦ παιδὸς σκιρτήμασιν, ἐπερωτᾷ τὸν Θεόν· «Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με;». Περιπέφραγμαι τοῖς πειρασμοῖς, περιέχομαι τοῖς χειμάρροις τῶν κακῶν, κατέβη ἡ ἐπικίνδυνος βροχή, ἦλθον οἱ τῶν πολεμίων ποταμοί, ἔπνευσαν οἱ ἄνεμοι τῶν πνευμάτων τῶν πονηρῶν, προσέρρηξάν μου τῇ οἰκίᾳ, μετακινῆσαι θέλοντες τὴν ψυχήν μου ἀπὸ σοῦ, ἀλλὰ τεθεμελιωμένος ἐπὶ τὴν πέτραν τῆς πίστεως, οὐ πίπτω, ἀλλὰ προσπίπτω, ἵνα μάθω· Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με;». Ὁ ἐξ ἐμοῦ, κατ' ἐμοῦ, ἀλλὰ σὺ ὑπὲρ ἐμοῦ. Τὰ ἐμὰ σπλάγχνα ἐμὲ πολεμεῖ· ὁ ἐμὸς λαὸς ὀπίσω Ἀβεσσαλώμ, τὸ ἐμὸν στρατόπεδον ὁπλίζεται κατ' ἐμοῦ. Τὰ πρόβατά μου λύκοι γεγόνασι, καὶ λέοντες οἱ ἀμνοί, καὶ κύνες λυσσῶντες οἱ ἀμνοί, καὶ ταῦροι κερατισταὶ οἱ κριοί· οὐ δι' ἐμαυτὸν λυποῦμαι, ἀλλὰ τὴν τούτων ἀπώλειαν θρηνῶ.

15. Ὅπως ἀντιλαμβάνεται κανεὶς ἡ παροῦσα ὁμιλία δὲν ὁλοκληρώνεται. Ὁπωσδήποτε ἀπωλέσθη τὸ ὑπόλοιπον καὶ μάλιστα τὸ μεγαλύτερον μέρος τῆς ὁμιλίας αὐτῆς εἰς ἕνα ἀπὸ τοὺς ὡραιοτέρους ψαλμοὺς τοῦ Δαυΐδ.

κρύνθη ἀπὸ τὸν Δαυὶδ καὶ ἐπῆγε μὲ τὸν Ἀβεσσαλώμ, διὰ τοῦτο ἄς ἐξεγερθῶμεν καὶ ἄς ἐπιτιθῶμεν ἐναντίον του, διότι δὲν ὑπάρχει δι' αὐτὸν σωτηρία ἐκ μέρους τοῦ Θεοῦ', ἐπειδὴ ἔλεγον αὐτά, πονέσας ὁ Δαυὶδ περισσότερον δι' αὐτὰ παρὰ διὰ τὴν ἀνυποταξίαν τοῦ παιδιοῦ του, ἐρωτᾷ τὸν Θεόν· «Κύριε, διατί ηὐξήθησαν τόσον πολὺ ἐκεῖνοι ποὺ μὲ θλίβουν;». Ἔχω φραχθεῖ ἀπὸ τοὺς πειρασμούς, εἶμαι περικυκλωμένος ἀπὸ τοὺς χειμάρρους τῶν κακῶν, κατέβη ἡ ἐπικίνδυνος βροχή, ἦλθον οἱ ποταμοὶ τῶν ἐχθρῶν, ἐφύσηξαν οἱ ἄνεμοι τῶν πονηρῶν πνευμάτων, προσέκρουσαν μὲ ὁρμὴν εἰς τὴν οἰκίαν μου, θέλοντες νὰ μετακινήσουν τὴν ψυχήν μου ἀπὸ ἐσένα, ὅμως καθὼς εἶμαι καλὰ θεμελιωμένος ἐπάνω εἰς τὴν πέτραν τῆς πίστεως, δὲν πίπτω, ἀλλὰ γονατίζω ἐμπρός σου διὰ νὰ μάθω· «Κύριε διατί ηὐξήθησαν τόσον πολὺ ἐκεῖνοι ποὺ μὲ θλίβουν;». Ὁ υἱός εἶναι ἐναντίον μου, ἀλλὰ σὺ εἶμαι μαζί μου. Τὰ σπλάγχνα μου μὲ πολεμοῦν, ὁ λαός μου τρέχει πίσω ἀπὸ τὸν Ἀβεσσαλώμ, ὁ στρατός μου ὁπλίζεται ἐναντίον μου. Τὰ πρόβατά μου ἔχουν γίνει λύκοι, τὰ ἀρνιὰ λεοντάρια, οἱ ἀμνοὶ σκυλιὰ λυσσασμένα καὶ τὰ κριάρια ταῦροι μὲ κέρατα· δὲν λυποῦμαι διὰ τὸν ἑαυτόν μου, ἀλλὰ θρηνῶ τὴν καταστροφὴν αὐτῶν[15].

ΟΜΙΛΙΑ
ΕΙΣ ΤΟΝ Δ΄ ΨΑΛΜΟΝ[1]

«Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσέ με ὁ Θεὸς τῆς δικαιοσύνης μου».

1. Οὐχ ἵνα ἁπλῶς μάθωμεν, ὅτι ἠκούσθη, ταῦτα φθέγγεται ὁ προφήτης, ἀλλ' ἵνα παιδευθῶμεν πῶς καὶ αὐτοὶ καλοῦντες τὸν Θεὸν ἀκουσθῆναι δυνησόμεθα ταχέως, καὶ πρὸ τοῦ τέλους τῆς εὐχῆς τὴν αἴτησιν λαβεῖν. Οὐ γὰρ εἶπε, μετὰ τὸ ἐπικαλέσασθαί με εἰσήκουσέ μου, ἀλλ', «Ἐν τῷ ἐπικαλεῖσθαί με». Καὶ γὰρ καὶ αὐτοῦ τοῦ Θεοῦ τοιαύτη τίς ἐστιν ὑπόσχεσις λέγοντός που πρὸς τὸν ἐπικαλούμενον· «Ἔτι λαλοῦντός σου ἐρῶ· ἰδοὺ πάρειμι». Οὐ γὰρ δὴ ῥημάτων πλῆθος πείθειν τὸν Θεὸν εἴωθεν, ἀλλὰ καθαρὰ ψυχὴ καὶ ἔργων ἀγαθῶν ἐπίδειξις. Πρὸς γοῦν τοὺς ἐν πονηρίᾳ μὲν ζῶντας, προσδοκῶντας δὲ τῷ μήκει τῶν ῥημάτων δυσωπεῖν αὐτόν, ὅρα τί φησιν· «Ὅταν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν. Ἐὰν ἐκτείνητε τὰς χεῖρας, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν». Ἄρα πρὸ τῶν ἄλλων ἁπάντων παρρησίαν δεῖ τὸν εὐχόμενον ἔχειν, καὶ πάντως ἕψεται τὰ τῆς αἰτήσεως. Διά τοι τοῦτο καὶ ὁ προφήτης οὐκ εἶπεν, 'εἰσήκουσεν ἐμοῦ', ἀλλά, «Τῆς δικαιοσύνης μου», τὴν πρὸς τὸν Θεὸν αὐτοῦ παρρησίαν δεικνύς, καὶ ὡς μετὰ ταύτης αὐτῷ προσήει διὰ παντός. Μηδεὶς δὲ αὐτὸν μεγαληγορεῖν ἡγείσθω ταῦτα λέγοντα. Οὐ γὰρ ἑαυτὸν ἐπᾶραι βουλόμενος ταῦτά φησιν, ἀλλὰ διδασκαλίαν τινὰ καὶ παραίνεσιν κοινὴν πολὺ κέρδος ἔχουσαν εἰσάγων.

---

1. Ὁ ψαλμὸς αὐτὸς εἶναι ποίημα τοῦ Δαυὶδ καὶ ἀποτελεῖ ἑσπερινὴν προσευχὴν («κοιμηθήσομαι καὶ ὑπνώσω»), ποὺ ἀπευθύνθη πρὸς τὸν Θεὸν μετὰ τὴν ἀπομάκρυνσιν τοῦ κινδύνου τοῦ προηγουμένου ψαλμοῦ. Εἰς τὸν στίχον 2 ἀπευθύνεται πρὸς τὸν Θεὸν ποὺ ἤκουσεν εἰς τὸ παρελθὸν τὰς ἐπικλήσεις του καὶ ἐπαρηγόρησεν αὐτὸν καὶ ζητεῖ νὰ τὸν βοηθήσῃ καὶ πάλιν. Εἰς τοὺς στίχ. 3—6 ἀπευθύνεται πρὸς τοὺς ἐχθρούς του ἐλέγχων αὐτοὺς διὰ τὴν συκοφαντίαν των καὶ καλῶν πρὸς μετάνοιαν, ὥστε νὰ παύσουν νὰ ἁμαρτάνουν καὶ νὰ προσφέρουν θυσίαν δικαιοσύνης. Εἰς τοὺς στίχ. 7—9 ἀπευθύνεται πρὸς τὸν Κύριον καὶ πάλιν καὶ ἐξαίρει μὲ εὐγνωμοσύνην τὰς εὐλογίας καὶ τὰ σωματι-

ΟΜΙΛΙΑ
ΕΙΣ ΤΟΝ Δ΄ ΨΑΛΜΟΝ

«Ὁ Θεὸς τῆς δικαιοσύνης εἰσήκουσε τὴν προσευχήν μου».

1. Δὲν τὰ λέγει αὐτὰ ὁ προφήτης ἁπλῶς διὰ νὰ μάθωμεν ὅτι εἰσηκούσθη ἡ προσευχή του, ἀλλὰ διὰ νὰ διδαχθῶμεν πῶς καὶ ἡμεῖς οἱ ἴδιοι θὰ ἠμπορέσωμεν νὰ ἀκουσθῶμεν ἀμέσως ἐπικαλούμενοι τὸν Θεὸν καὶ νὰ λάβωμεν ἐκεῖνο ποὺ ζητοῦμεν πρὶν ἀκόμη τελειώσῃ ἡ προσευχή μας. Διότι δὲν εἶπε 'ἤκουσε τὴν προσευχήν μου μετὰ τὴν ἐπίκλησιν', ἀλλ' «ἐνῷ ἀκόμη προσηυχόμην». Καθ' ὅσον ὑπάρχει παρομοία ὑπόσχεσις τοῦ ἰδίου τοῦ Θεοῦ ποὺ λέγει κάπου πρὸς τὸν προσευχόμενον· «Ἐνῷ ἀκόμη θὰ ὁμιλῇς πρὸς ἐμένα, θὰ σοῦ εἰπῶ· «νά ἐδῶ εἶμαι»[2]. Διότι πράγματι τὸν Θεὸν συνήθως δὲν τὸν πείθει τὸ πλῆθος τῶν λόγων, ἀλλ' ἡ καθαρὴ ψυχὴ καὶ ἡ ἐπίδειξις ἀγαθῶν ἔργων. Πρὸς ἐκείνους λοιπὸν ποὺ ζοῦν μέσα εἰς τὴν κακίαν, ἀλλὰ περιμένουν μὲ τὰ πολλὰ λόγια των νὰ τὸν συγκινήσουν, πρόσεχε τί λέγει· «Ὅταν λέγετε πολλὰ εἰς τὴν προσευχήν σας, δὲν θὰ σᾶς ἀκούσω. Ἐὰν ὑψώσετε τὰ χέρια σας, θὰ στρέψω τοὺς ὀφθαλμούς μου ἀπὸ σᾶς ἀλλοῦ»[3]. Ἄρα πρὶν ἀπὸ ὅλα τὰ ἄλλα πρέπει ὁ προσευχόμενος νὰ ἔχῃ παρρησίαν καὶ ὁπωσδήποτε θ' ἀκολουθήσουν ἐκεῖνα ποὺ ζητεῖ. Διὰ τοῦτο λοιπὸν καὶ ὁ προφήτης δὲν εἶπεν, «εἰσήκουσε τὴν προσευχήν μου», ἀλλὰ «τὴν δικαιοσύνην μου», διὰ νὰ δείξῃ τὴν παρρησίαν του πρὸς τὸν Θεὸν καὶ ὅτι μὲ αὐτὴν προσέρχεται πάντοτε πρὸς αὐτόν. Κανεὶς δὲ νὰ μὴ νομίσῃ ὅτι αὐτός, λέγων αὐτά, καυχᾶται. Διότι δὲν τὰ λέγει αὐτὰ ἐπειδὴ θέλει νὰ ὑπερηφανευθῇ, ἀλλὰ προβάλλει κάποιαν διδασκαλίαν καὶ νέαν παραίνεσιν περιέχουσαν μεγάλην ὠφέλειαν.

κὰ καὶ πνευματικὰ ἀγαθὰ ποὺ ἀπολαμβάνει ἀπὸ τὴν προστασίαν τοῦ Κυρίου.

2. Ἠσ. 58, 9.
3. Ἠσ. 1, 15.

Ἵνα γὰρ μή τις λέγῃ, ὅτι ἐκεῖνος ἠκούσθη, ἐπειδὴ Δαυὶδ ἦν, ἐγὼ δὲ οὐκ εἰσακουσθήσομαι, ἐπειδὴ μικρὸς καὶ εὐτελής εἰμι, δείκνυσιν ὅτι οὔτε ἐκείνου ἁπλῶς ἀκούει, οὔτε σοῦ παρακούει εἰκῇ καὶ ὡς ἔτυχεν, ἀλλὰ πανταχοῦ τῶν πραγμάτων ἐστὶν ἀκριβὴς θεωρός. Κἂν ταῦτα ἔχῃς τὰ δυνάμενά σοι συνηγορῆσαι, ἀκουσθήσῃ πάντως. Ὥσπερ ἂν μὴ ἔχῃς, οὐδ' ἂν Δαυὶδ ᾖς, πεῖσαι δυνήσῃ τὸν Θεόν. Καὶ καθάπερ οἱ φιλοχρήματοι οὔτε πρὸς ἀξίαν, οὔτε πρὸς ἕτερον οὐδὲν βλέπουσιν, ἀλλ' ἢ τοὺς ἀργύριον ἔχοντας μόνον, καὶ ὡς πάντα ἀνύσοντες ἀπίασι πρὸς αὐτούς, οὕτω καὶ ὁ Θεὸς ἐπειδὴ δικαιοσύνης ἐστὶν ἐραστής, ὃς ἂν μετὰ ταύτης ἔλθῃ πρὸς αὐτόν, οὐκ ἀπελεύσεται κενός, ὥσπερ οὖν ὁ ταύτης χωρίς, καὶ τοῖς ἐναντίοις ἐμφυρόμενος, κἂν μυρία παρακαλῇ, πλέον οὐδὲν ἐργάσεται, τὸ πείθειν οὐκ ἔχων μεθ' ἑαυτοῦ. Ὥστε εἰ βούλει τι παρὰ Θεῷ ἀνύειν, ταύτην προσλαβὼν ἄπιθι. Δικαιοσύνην δὲ ἐνταῦθα μὴ μέρος ἀρετῆς εἶναι νόμιζε, ἀλλ' ὁλόκληρον καὶ καθολικήν. Οὕτω καὶ ὁ Ἰὼβ δίκαιος ἦν, πᾶσαν ἀρετὴν ἔχων ἀνθρωπίνην· οὐ τούτου μὲν ἀπεχόμενος τοῦ πονηροῦ, ἑτέρου δὲ ἀντεχόμενος. Οὕτω καὶ ἡμεῖς δίκαιον στάθμιον τοῦτο λέγομεν τὸ πανταχοῦ ἴσον· οὐκ ἐὰν χρυσὸν μὲν ἐξίσου ἱστᾶν δύνηται, μόλυβδον δὲ ἐναντίως, ἀλλὰ τὸ ἐν ἁπάσαις ὕλαις τὴν ἰσότητα παρεχόμενον· καὶ μέτρον πάλιν, τὸ πανταχοῦ ἴσον. Οὕτω καὶ ὁ Ἰὼβ δίκαιος ἦν, πανταχοῦ ἴσος ὤν. Οὐδὲ γὰρ ἐν χρήμασι τὴν ἰσότητα ταύτην ἐφύλαττε μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν, οὐδαμοῦ τὸ μέτρον ὑπερβαίνων. Οὐδ' ἂν ἔχοι τις εἰ-

---

4. Ἰὼβ 31, 13-14.

Διὰ νὰ μὴ λέγῃ λοιπὸν κάποιος, ὅτι ἡ προσευχὴ ἐκείνου ἠκούσθη ἐπειδὴ ἦτο ὁ Δαυίδ, ἐνῷ ἐγὼ δὲν θὰ εἰσακουσθῶ, ἐπειδὴ εἶμαι μικρὸς καὶ ἀσήμαντος, δείχνει ὅτι οὔτε ἐκεῖνον ἀκούει χωρὶς λόγον, οὔτε ἐσένα παρακούει εἰς τὰ καλὰ καθούμενα, ἀλλὰ παντοῦ βλέπει καὶ ἐξετάζει τὰ πράγματα μὲ προσοχὴν καὶ ἀκρίβειαν. Καὶ ἐὰν ἔχῃς αὐτὰ ποὺ ἠμποροῦν νὰ συνηγορήσουν δι' ἐσένα, θ' ἀκουσθῇ ὁπωσδήποτε ἡ προσευχή σου. Ὅπως πάλιν, ἐὰν δὲν ἔχῃς, οὔτε ἐὰν εἶσαι ὁ Δαυίδ, θὰ ἠμπορέσῃς νὰ πείσῃς τὸν Θεόν. Καὶ ὅπως ἀκριβῶς οἱ φιλοχρήματοι δὲν ἀποβλέπουν οὔτε εἰς τὴν ἀξίαν, οὔτε εἰς τίποτε ἄλλο, παρὰ μόνον ἔχουν ἐστραμμένην τὴν προσοχὴν πρὸς ἐκείνους ποὺ ἔχουν χρήματα καὶ πλησιάζουν αὐτοὺς διὰ νὰ τὰ κερδίσουν ὅλα, ἔτσι καὶ ὁ Θεός, ἐπειδὴ εἶναι ἐραστὴς τῆς δικαιοσύνης, ὅποιος συμβῇ νὰ ἔλθῃ πρὸς αὐτὸν μαζὶ μὲ τὴν δικαιοσύνην, δὲν θὰ φύγῃ ἄδειος, ὅπως βέβαια ἐὰν ἔλθῃ, χωρὶς αὐτὴν καὶ εἶναι φορτωμένος μὲ ἀντίθετα πράγματα, καὶ ἂν ἀκόμη ἀπευθύνῃ πρὸς αὐτὸν ἀμετρήτους παρακλήσεις, δὲν θὰ ἐπιτύχῃ τίποτε ἐπὶ πλέον, ἐπειδὴ δὲν ἔχει μαζί του ἐκεῖνο ποὺ πείθει τὸν Θεόν. Ὥστε, ἐὰν θέλῃς νὰ κερδίσῃς κάτι ἀπὸ τὸν Θεόν, κατάφυγε πρὸς αὐτὸν ἀφοῦ λάβῃς μαζί σου αὐτήν. Μὴ θεωρῇς δὲ ἐδῶ δικαιοσύνην ἕνα μέρος τῆς ἀρετῆς, ἀλλ' ὁλόκληρον καὶ εἰς τὸ σύνολόν της. Ἔτσι καὶ ὁ Ἰὼβ ἦτο δίκαιος, ἔχων ὅλην τὴν ἀνθρωπίνην ἀρετήν· δὲν ἀπέφευγε δηλαδὴ τὸ ἕνα κακὸν καὶ ἀνήχετο τὸ ἄλλο. Ἔτσι καὶ ἡμεῖς δίκαιον ζύγι ὀνομάζομεν αὐτὸ ποὺ εἰς κάθε περίπτωσιν ἐξισώνει τὸ ἕνα μὲ τὸ ἄλλο· δὲν ἠμπορεῖ νὰ σταθῇ ἐὰν τὸν μὲν χρυσὸν ἐξισώνῃ, τὸ δὲ μόλυβδον ὄχι, ἀλλὰ δίκαιον εἶναι ἐκεῖνο τὸ ζύγι, ποὺ ἐξισώνει ὅλας τὰς ὕλας· καὶ μέτρον πάλιν δίκαιον εἶναι ἐκεῖνο ποὺ παντοῦ εἶναι ἴσον. Ἔτσι καὶ ὁ Ἰὼβ ἦτο δίκαιος, ἐπειδὴ ἦτο ἴσος ὡς πρὸς ὅλα. Διότι δὲν ἔδειχνεν αὐτὴν τὴν ἰσότητα μόνον εἰς τὰ χρήματα, ἀλλὰ καὶ εἰς ὅλα τὰ ἄλλα, χωρὶς νὰ ὑπερβαίνῃ πουθενὰ τὸ μέτρον. Δὲν θὰ

πεῖν, ὅτι ἐν χρήμασι μὲν τὴν ἰσοτιμίαν ἔστεργεν, ἐν δὲ τῇ πρὸς τοὺς πλησίον ὁμιλίᾳ τὸ μέτρον ὑπερέβαινεν, ἀλαζών τις καὶ ὑπεροπτικὸς ὤν. Καὶ γὰρ καὶ τοῦτο ἐκ πολλῆς τῆς ἐπιμελείας ἔφευγε. Διὸ καὶ ἔλεγεν· «Εἰ δὲ καὶ ἐφαύλισα κρίμα θεράποντός μου ἢ θεραπαίνης κρινομένων πρός με· ἢ οὐχ ὡς ἐγὼ ἐγενόμην, καὶ αὐτοὶ ἐγένοντο». Ἄρα καὶ τοῦτο ἀδικία μεγίστη, τὸ ἀλαζόνα εἶναι καὶ ὑπερήφανον.

2. Ὥσπερ γὰρ πλεονέκτην λέγομεν τὸν τὰ τῶν ἄλλων βουλόμενον λαβεῖν, καὶ τοῖς οἰκείοις οὐκ ἀρκούμενον, οὕτω καὶ ἀλαζονικὸν λέγομεν, ὅταν πλέον ἀπαιτῇ τῶν ὀφειλομένων αὐτῷ παρὰ τοῦ πλησίον· ὅταν τις ἑαυτὸν μὲν ἐν πάσῃ καθιστᾷ τιμῇ, ἕτερον δὲ ἀτιμάζῃ. Τοῦτο δὲ οὐδαμόθεν ἑτέρωθεν γίνεται ἢ ἐξ ἀδικίας. Ὅτι γὰρ ἀδικία τοῦτο, σκόπει ἐντεῦθεν. Καὶ σὲ ὁ Θεὸς κἀκεῖνον ἐποίησε, καὶ πάντα σοι κοινὰ καὶ ἴσα δέδωκε πρὸς αὐτόν. Πῶς οὖν αὐτὸν ἐκβάλλεις καὶ ἀποστερεῖς τῆς τιμῆς, ἥσπερ ἔδωκεν ὁ Θεός, καὶ οὐκ ἀφίῃς εἶναι κοινωνόν, ἀλλὰ τὸ πᾶν σὸν ποιῶν, οὐκ ἐν χρήμασι μόνον, ἀλλὰ καὶ ἐν δόξῃ ποιεῖς αὐτὸν πένητα; Μίαν ἑκατέροις ὁ Θεὸς οὐσίαν ἐχαρίσατο· τῆς αὐτῆς ἠξίωσε προεδρίας, τῆς ἴσης πλάσεως. Τὸ γάρ, «Ποιήσωμεν ἄνθρωπον», κοινὸν τοῦ γένους παντός. Πῶς οὖν αὐτὸν τῆς πατρῴας ἐκβάλλεις οὐσίας, εἰς ἐσχάτην εὐτέλειαν κατάγων, καὶ τὸ κοινὸν ἰδιοποιούμενος; Ἀλλ' οὐχ ὁ μακάριος προφήτης τοιοῦτος· διὸ καὶ μετὰ παρρησίας ἔλεγεν, «Εἰσήκουσε τῆς δικαιοσύνης μου». Οὕτω καὶ Παῦλος παράγει πολλάκις ἑαυτὸν εἰς τὸ μέσον, οὐκ ἐπαίρων,

---

5. Γεν. 1, 26.

ἠμποροῦσε νὰ εἰπῇ κανείς, ὅτι εἰς μὲν τὰ διάφορα ἀγαθὰ ἐφήρμοζε τὴν ἰσότητα, ἀλλ' ὅμως ὑπερέβαινε τὸ μέτρον εἰς τὴν συναναστροφήν του μὲ τοὺς ἄλλους, μὲ τὸ νὰ εἶναι ἀλαζὼν καὶ ὑπεροπτικός. Καθ' ὅσον καὶ αὐτὸ τὸ ἀπέφευγε μὲ πολλὴν φροντίδα καὶ προσοχήν. Διὰ τοῦτο καὶ ἔλεγε· «Μήπως ἐπεριφρόνησα καὶ ἀρνήθηκα τὸ δίκαιον τοῦ ὑπηρέτου μου ἢ τῆς ὑπηρετρίας μου ὅταν ἔχουν διαφορὰς μαζί μου· ἢ μήπως δὲν ἐγεννήθησαν καὶ αὐτοὶ ὅπως καὶ ἐγώ;». Ἄρα καὶ αὐτὸ εἶναι πολὺ μεγάλη ἀδικία τὸ νὰ εἶναι δηλαδὴ κανεὶς ἀλαζὼν καὶ ὑπερήφανος.

2. Ὅπως ἀκριβῶς λοιπὸν χαρακτηρίζομεν πλεονέκτην ἐκεῖνον ποὺ θέλει ν' ἁρπάξῃ ἐκεῖνα ποὺ ἀνήκουν εἰς τοὺς ἄλλους καὶ δὲν ἀρκεῖται εἰς τὰ ἰδικά του, ἔτσι καὶ ἀλαζονικὸν ὀνομάζομεν ἐκεῖνον ποὺ ζητεῖ ἀπὸ τὸν πλησίον του περισσότερα ἀπὸ ἐκεῖνα ποὺ τοῦ ὀφείλει· ὅταν κανεὶς διὰ μὲν τὸν ἑαυτόν του ἐπιδιώκει κάθε τιμήν, ἐνῷ τὸν ἄλλον τὸν ἀτιμάζει. Αὐτὸ δὲ δὲν προέρχεται ἀπὸ τίποτε ἄλλο, παρὰ ἀπὸ ἀδικίαν. Τὸ ὅτι βέβαια αὐτὸ εἶναι ἀδικία, κρίνε το ἀπὸ τὸ ἑξῆς. Καὶ ἐσένα καὶ ἐκεῖνον ὁ Θεὸς ἔπλασεν καὶ ὅλα τὰ ἔδωσεν εἰς ἐσένα καὶ εἰς ἐκεῖνον κοινὰ καὶ ἴσα. Πῶς λοιπὸν τὸν ἀπορρίπτεις αὐτὸν καὶ τοῦ ἀποστερεῖς τὴν τιμὴν ποὺ τοῦ ἔδωσεν ὁ Θεός, καὶ δὲν τὸν ἀφήνεις νὰ μετέχῃ εἰς αὐτήν, ἀλλὰ κάμνεις τὸ πᾶν ἰδικόν σου καὶ κάμνεις αὐτὸν πτωχὸν ὄχι μόνον ἀπὸ χρήματα, ἀλλὰ καὶ ἀπὸ δόξαν; Μίαν οὐσίαν ἐχάρισεν ὁ Θεὸς εἰς τὸν καθένα σας· σᾶς ἠξίωσε τῆς ἰδίας τιμῆς, καὶ σᾶς ἔπλασεν ἴσους. Διότι τὸ «ποιήσωμεν ἄνθρωπον»[5] ἀναφέρεται δι' ὅλον τὸ ἀνθρώπινον γένος. Πῶς λοιπὸν τοῦ στερεῖς τὴν πατρικὴν περιουσίαν, τὸν ὑποβιβάζεις εἰς τὴν πιὸ χειροτέραν μορφὴν ἐξευτελισμοῦ καὶ κάμνεις ἰδικόν σου αὐτὸ ποὺ ἀνήκει εἰς ὅλους; Ὅμως ὁ μακάριος προφήτης δὲν ἦτο τέτοιος· διὰ τοῦτο ἔλεγε μὲ παρρησίαν, «Εἰσήκουσε τὴν δικαιοσύνην μου». Ἔτσι καὶ ὁ Παῦλος ἀναφέρει πολλὲς φορὲς τὸν ἑαυτόν του, ὄχι διὰ νὰ καυχηθῇ, οὔτε διὰ νὰ

οὐδὲ φυσῶν, ἀλλὰ τοῖς ἄλλοις ὑπόδειγμα γινόμενος, ὡς ὅταν λέγῃ, «Θέλω πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτόν», ἐν ἐγκρατείᾳ. Οὕτω καὶ ὁ Δαυὶδ ἐν καιρῷ καλοῦντι, τὴν ἀνδρείαν τὴν ἑαυτοῦ, τὴν ἐκ τῆς τοῦ Θεοῦ γινομένην ῥοπῆς εἰς μέσον ἄγει λέγων, ὅτι καὶ ἄρκτους ἔπνιγε, καὶ λέοντας ἠγκαλίζετο, οὐκ ἐπαίρων ἑαυτὸν οὐδὲ οὗτος, μὴ γένοιτο, ἀλλ' οἰκονομῶν ἑαυτῷ ἐντεῦθεν τὸ ἀξιόπιστον.

Καὶ εἰ ἔχω δικαιοσύνην, φησίν, ἴσως ἐρεῖ τις, τίς χρεία εὐχῆς, ἀρκοῦντος τοῦ πράγματος ἅπαντα κατορθοῦν, καὶ τοῦ μέλλοντος διδόναι εἰδότος ὧν δεόμεθα; Ὅτι οὐ μικρὸς σύνδεσμος τῆς πρὸς τὸν Θεὸν ἀγάπης ἡ εὐχή, συνήθειαν ἡμῖν ἐμποιοῦσα τῆς πρὸς αὐτὸν ὁμιλίας, καὶ εἰς φιλοσοφίαν ἄγουσα. Εἰ γὰρ ἀνθρώπῳ τις συγγινόμενος θαυμαστῷ, πολλὰ καρποῦται ἐκ τῆς συνουσίας, πολλῷ μᾶλλον ὁ Θεῷ διηνεκῶς ὁμιλῶν. Ἀλλ' οὐκ ἴσμεν τῆς εὐχῆς τὸ κέρδος ὡς χρή, ἐπειδὴ μηδὲ προσέχομεν αὐτῇ μετὰ ἀκριβείας, μηδὲ χρώμεθα κατὰ τοὺς τοῦ Θεοῦ νόμους. Ἀλλ' ἀνθρώποις μὲν μέλλοντες διαλέγεσθαί τισι τῶν ὑπὲρ ἡμᾶς, καὶ σχῆμα, καὶ βάδισμα, καὶ στολήν, καὶ πάντα ῥυθμίσαντες εἰς τὸ δέον, οὕτω διαλεγόμεθα, Θεῷ δὲ προσιόντες χασμώμεθα, κνώμεθα, περιστρεφόμεθα, ῥᾳθυμοῦμεν· τῶν γονάτων χαμαὶ κειμένων, ἐπὶ τῆς ἀγορᾶς πλανώμεθα. Εἰ δὲ μετὰ τῆς προσηκούσης εὐλαβείας, καὶ ὡς Θεῷ διαλέξεσθαι μέλλοντες, οὕτω προσήειμεν, τότε ἂν ἔγνωμεν, καὶ πρὸ τοῦ λαβεῖν ἅπερ ᾐτοῦμεν, ἡλίκον κέρδος καρπούμεθα. Ἄνθρωπος γὰρ Θεῷ παιδευθεὶς διαλέγεσθαι, ὡς εἰκὸς τὸν τῷ Θεῷ διαλεγόμενον, ἄγγελος ἔσται λοιπόν· οὕτως ἀπολύε-

---

6. Α' Κορ. 7, 7.

ὑπερηφανευθῇ, ἀλλὰ διὰ νὰ γίνῃ παράδειγμα εἰς τοὺς ἄλλους, ὅπως ὅταν λέγῃ, «Θέλω ὅλοι οἱ ἄνθρωποι νὰ εἶναι ὅπως καὶ ἐγώ»[6]· δηλαδὴ ἐγκρατεῖς. Ἔτσι καὶ ὁ Δαυῒδ εἰς κατάλληλον περίστασιν προβάλλει τὴν ἀνδρείαν του, ποὺ ἦτο ἀποτέλεσμα τῆς βοηθείας τοῦ Θεοῦ, καὶ λέγει, ὅτι καὶ ἀρκοῦδες ἔπνιγε καὶ λεοντάρια ἐπάλευε, χωρὶς καὶ αὐτὸς νὰ θέλῃ νὰ καυχηθῇ, μὴ γένοιτο, ἀλλὰ διὰ νὰ δείξῃ μὲ αὐτὰ τὴν ἀξιοπιστίαν.

Ἀλλ᾿ ἐὰν εἶμαι ἐνάρετος, ἴσως εἰπῇ κάποιος, τί χρειάζεται ἡ προσευχή, ἀφοῦ καὶ μόνη της ἡ ἀρετὴ ἠμπορεῖ νὰ κατορθώσῃ τὰ πάντα, καὶ γνωρίζει αὐτός, ποὺ πρόκειται νὰ δώσῃ ἐκεῖνα ποὺ χρειαζόμεθα; Χρειάζεται διότι ἡ προσευχὴ δὲν εἶναι μικρὸς σύνδεσμος τῆς ἀγάπης μας πρὸς τὸν Θεόν, μᾶς συνηθίζει νὰ ὁμιλοῦμεν πρὸς αὐτὸν καὶ μᾶς ὁδηγεῖ εἰς τὴν εὐσέβειαν. Διότι, ἐὰν κανεὶς συναναστρεφόμενος κάποιον ἀξιοθαύμαστον ἄνθρωπον, ἀποκομίζῃ μεγάλην ὠφέλειαν ἀπὸ τὴν συναναστροφήν, πολὺ περισσότερον ὠφελεῖται ἐκεῖνος ποὺ συνομιλεῖ συνεχῶς μὲ τὸν Θεόν. Ἀλλὰ δὲν γνωρίζομεν τὸ κέρδος τῆς προσευχῆς ὅπως πρέπει, ἐπειδὴ δὲν κάμνομεν αὐτὴν μὲ ὅλην τὴν προσοχήν μας καὶ δὲν ἐφαρμόζομεν τοὺς νόμους τοῦ Θεοῦ, ὅταν προσευχώμεθα. Ἀλλ᾿ ὅταν πρόκειται νὰ συνομιλήσωμεν μὲ κάποιους ἀνωτέρους μας, συνομιλοῦμεν ἀφοῦ ρυθμίσωμεν κατάλληλα τὸ παρουσιαστικόν μας, τὸ βάδισμα, τὴν στολήν μας καὶ ὅλα τὰ ἄλλα, προσερχόμενοι δὲ εἰς τὸν Θεὸν χασμουρόμεθα, ξυνόμεθα, στριφογυρίζομεν καὶ δείχνομεν ἀδιαφορίαν· ἐνῷ εἴμεθα γονατισμένοι, ὁ νοῦς μας πλανᾶται εἰς τὴν ἀγοράν. Ἐὰν ὅμως προσερχόμεθα μὲ τὴν πρέπουσαν εὐλάβειαν καὶ ὡσὰν νὰ ἐπρόκειτο νὰ συνομιλήσωμεν μὲ τὸν Θεόν, τότε θὰ ἠμπορούσαμεν ν᾿ ἀντιληφθοῦμεν, καὶ πρὶν ἀκόμη λάβωμεν ἐκεῖνα ποὺ ζητοῦμεν, ποῖον κέρδος ἀποκομίζομεν. Διότι ἄνθρωπος ποὺ ἠξιώθη νὰ συνομιλῇ μὲ τὸν Θεόν, ὅπως ἁρμόζει νὰ συνομιλῇ κανεὶς μὲ τὸν Θεόν, θὰ γίνῃ εἰς τὸ ἑξῆς ἄγγελος·

ται τῶν δεσμῶν τοῦ σώματος ἡ ψυχή· οὕτω μετάρσιος αὐτῷ γίνεται ὁ λογισμός· οὕτω μετοικίζεται πρὸς τὸν οὐρανόν· οὕτως ὑπερορᾷ τῶν βιωτικῶν· οὕτω παρ' αὐτὸν ἵσταται τὸν θρόνον βασιλικόν, κἂν πένης ᾖ, κἂν οἰκέτης, κἂν ἰδιώτης, κἂν ἀμαθής. Οὐ γὰρ γλώττης ζητεῖ κάλλος ὁ Θεός, οὐδὲ ῥημάτων συνθήκην, ἀλλὰ ψυχῆς ὥραν· κἂν ἐκείνη φθέγγηται, τὰ αὐτῷ δοκοῦντα, τὸ πᾶν ἀνύσας ἄπεισιν.

Ὁρᾷς πόση εὐκολία; Ἐπὶ μὲν γὰρ τῶν ἀνθρώπων τὸν προσιόντα τινὶ καὶ ῥητορικὸν εἶναι χρή, καὶ κολακεῦσαι τοὺς περὶ τὸν ἄρχοντα πάντα ἱκανόν, καὶ πολλὰ ἕτερα ἐπινοῆσαι, ὥστε γενέσθαι εὐπαράδεκτον. Ἐνταῦθα δὲ οὐδενὸς δεῖται, ἀλλὰ γνώμης μόνης νηφούσης, καὶ οὐδὲν τὸ κωλῦον εἶναι ἐγγὺς τοῦ Θεοῦ. «Θεὸς γὰρ ἐγγίζων ἐγώ εἰμι, καὶ οὐ Θεὸς πόρρωθεν». Ὥστε τὸ μακρὰν γενέσθαι, ἀφ' ἡμῶν γίνεται· αὐτὸς γὰρ ἀεὶ πλησίον ἐστί. Καὶ τί λέγω ὅτι ῥητορείας οὐ δεόμεθα; Πολλάκις οὐδὲ φωνῆς δεόμεθα. Κἂν γὰρ ἐν τῇ καρδίᾳ φθέγξῃ, καὶ καλέσῃς αὐτὸν ὡς χρή, ῥαδίως ἐπινεύσει καὶ τότε. Οὕτω καὶ Μωϋσέως ἤκουσεν· οὕτω καὶ Ἄννης. Οὐ παρέστηκε στρατιώτης ἀποσοβῶν, οὐ δορυφόρος τὸν καιρὸν διακόπτων· οὐκ ἔστιν εἰπών, νῦν οὐ δυνατὸν προσελθεῖν, μετὰ ταῦτα παραγενοῦ· ἀλλ' ὅταν ἔλθῃς, ἕστηκεν ἀκούων, κἂν ἐν καιρῷ ἀρίστου, κἂν ἐν καιρῷ δείπνου, κἂν ἐν αὐτῇ τῇ ἀωρίᾳ, κἂν ἐν ἀγορᾷ, κἂν ἐν ὁδῷ, κἂν ἐν θαλάμῳ, κἂν ἔνδον ἐν δικαστηρίῳ ἄρχοντι παραστῇς, καὶ καλέσῃς αὐτόν, τὸ κωλῦον οὐδὲν ἐπινεῦσαι τῇ αἰτήσει, ἂν ὡς χρὴ καλέσῃς. Οὐκ ἔστιν εἰπεῖν, δέδοικα προσελθεῖν, καὶ δεηθῆναι· ὁ ἐχθρός

7. Ἰερ. 23, 23.

ἔτσι ἐλευθερώνεται ἡ ψυχὴ ἀπὸ τὰ δεσμὰ τοῦ σώματος· ἔτσι ἐξυψώνεται ὁ λογισμός του· ἔτσι μεταφέρεται εἰς τὸν οὐρανόν· ἔτσι περιφρονεῖ τὰ κοσμικὰ πράγματα. Ἔτσι ἵσταται πλησίον τοῦ βασιλικοῦ θρόνου, εἴτε εἶναι πτωχός, εἴτε δοῦλος, εἴτε ἁπλὸς πολίτης, εἴτε ἀγράμματος. Διότι ὁ Θεὸς δὲν ζητεῖ κάλλος γλώσσης, οὔτε κομψὰ λόγια, ἀλλὰ ψυχῆς ὀμορφιάν· καὶ ἐὰν ἐκείνη λέγῃ ἐκεῖνα ποὺ ἀρέσουν εἰς αὐτόν, φεύγει, ἀφοῦ ἐπέτυχε τὸ πᾶν.

Βλέπεις πόση εὐκολία ὑπάρχει; Διότι εἰς τὴν περίπτωσιν μὲν τῶν ἀνθρώπων πρέπει, ἐκεῖνος ποὺ πλησιάζει κάποιον, νὰ εἶναι καὶ ρητορικὸς καὶ ἱκανὸς νὰ κολακεύσῃ ὅλους ποὺ περιβάλλουν τὸν ἄρχοντα καὶ νὰ σκεφθῇ καὶ πολλὰ ἄλλα, ὥστε νὰ γίνῃ εὐπρόσδεκτος. Ἐδῶ ὅμως δὲν χρειάζεται τίποτε ἀπὸ αὐτά, ἀλλὰ μόνον διάθεσις νηφάλιος καὶ τίποτε δὲν ἐμποδίζει νὰ εἶναι κανεὶς κοντὰ εἰς τὸν Θεόν. «Διότι ἐγὼ εἶμαι Θεὸς ποὺ εὑρίσκεται πλησίον σας καὶ ὄχι Θεὸς ποὺ εὑρίσκεται μακριά σας»[7]. Ὥστε τὸ νὰ εὑρίσκεται μακριά μας, ὀφείλεται εἰς ἡμᾶς· διότι αὐτὸς εὑρίσκεται *πάντοτε πλησίον μας*. Καὶ διατί λέγω ὅτι δὲν χρειαζόμεθα ρητορείαν; Πολλὲς φορὲς δὲν χρειαζόμεθα οὔτε φωνήν. Διότι καὶ ἂν ἀκόμη ὁμιλήσῃς μαζί του μέσα εἰς τὴν καρδίαν σου καὶ καλέσῃς αὐτὸν ὅπως πρέπει, ἀμέσως καὶ τότε θὰ δώσῃ τὴν συγκατάθεσίν του. Ἔτσι ἤκουσε καὶ τὸν Μωϋσῆν· ἔτσι καὶ τὴν Ἄνναν. Δὲν ἵσταται ἐκεῖ στρατιώτης διὰ νὰ σὲ ἀπομακρύνῃ, οὔτε σωματοφύλακας ποὺ νὰ κάνῃ διακρίσεις εἰς τὸν καιρόν· δὲν πρόκειται νὰ σοῦ εἰπῇ, ὅτι δὲν εἶναι δυνατὸν νὰ προσέλθῃς, ἔλα ἀργότερα, ἀλλ' ὅταν ἔλθῃς, στέκεται καὶ σὲ ἀκούει, καὶ εἴτε εἶναι ὥρα μεσημβρινοῦ φαγητοῦ, εἴτε ὥρα δείπνου, εἴτε ὥρα ἀκατάλληλος, εἴτε εὑρίσκεσαι εἰς τὴν ἀγοράν, εἴτε καθ' ὁδόν, εἴτε εἰς θάλαμον, εἴτε μέσα εἰς τὸ δικαστήριον ἐνώπιον τοῦ ἄρχοντος, ἐὰν καλέσῃς αὐτόν, δὲν ὑπάρχει κανένα ἐμπόδιον διὰ νὰ σοῦ δώσῃ τὴν συγκατάθεσίν του, ἐὰν τὸν καλέσῃς ὅπως πρέπει. Δὲν ἠμπορεῖς νὰ

μου παρέστηκεν· ἀλλὰ καὶ τοῦτο ἀνῄρηται τὸ κώλυμα· οὔτε γὰρ ἐχθρῷ προσέχει, καὶ διακόπτει σου τὴν αἴτησιν, ἀλλ' ἀεὶ καὶ διηνεκῶς ἐντυγχάνειν δύνασαι, καὶ δυσκολία οὐδεμία πρόσεστιν· οὔτε γὰρ χρεία τῶν προσαγαγόντων θυρωρῶν, οἰκονόμων, ἐπιτρόπων, φυλάκων, ἢ φίλων, ἀλλ' ὅταν αὐτὸς δι' ἑαυτοῦ προσέλθῃς, τότε μάλιστα ἀκούσεταί σου, τότε, ὅταν μηδενὸς δεηθῇς.

Οὐχ οὕτως οὖν αὐτὸν δυσωποῦμεν δι' ἑτέρων ἀξιοῦντες, ὡς δι' ἡμῶν αὐτῶν. Ἐπειδὴ γὰρ τῆς ἡμετέρας ἐρᾷ φιλίας, καὶ πάντα ποιεῖ, ὥστε ἡμᾶς αὐτῷ θαρρεῖν· ὅταν ἴδῃ δι' ἑαυτῶν τοῦτο ποιοῦντας, τότε μάλιστα ἐπινεύσει. Οὕτω καὶ ἐπὶ τῆς Χαναναίας ἐποίησε· καὶ Πέτρου μὲν καὶ Ἰακώβου προσιόντων ὑπὲρ αὐτῆς, οὐκ ἐπένευσεν, ἐπιμενούσης δὲ ταύτης, τὸ αἰτηθὲν ταχέως ἔδωκεν. Εἰ γὰρ καὶ μικρὸν ἔδοξεν ἀναβάλλεσθαι, οὐχ ἵνα ὑπερθῆται τὸ γύναιον, ἀλλ' ἵνα μειζόνως στεφανώσῃ, καὶ μᾶλλον αὐτῆς οἰκειώσηται τὴν προσεδρίαν, τοῦτο πεποίηκε. Μελετήσωμεν τοίνυν καὶ ἡμεῖς ἐντυγχάνειν Θεῷ· μάθωμεν πῶς δεῖ ταύτην ποιεῖσθαι τὴν ἐντυχίαν. Οὐκ εἰς μουσεῖον ἀπιέναι δεῖ, οὐδὲ χρήματα ἀναλίσκειν, οὐδὲ παιδαγωγοὺς μισθοῦσθαι, καὶ ῥήτορας, καὶ σοφιστάς, οὐδὲ χρόνον πολὺν δαπανᾶν, ὥστε μαθεῖν τὴν ῥητορείαν ταύτην, ἀλλ' ἀρκεῖ θελῆσαι μόνον, καὶ τὰ τῆς τέχνης ἀπήρτισται. Καὶ οὐχ ὑπὲρ σεαυτοῦ δυνήσῃ μόνον ἐν τῷ δικαστηρίῳ τούτῳ λέγειν, ἀλλὰ καὶ ὑπὲρ ἑτέρων πολλῶν. Καὶ τίς ὁ τῆς δικανικῆς ταύ-

εἰπῇς, φοβᾶμαι νὰ προσέλθω καὶ νὰ τὸν παρακαλέσω· διότι ὁ ἐχθρός μου εἶναι παρών, ἀλλὰ καὶ αὐτὸ τὸ ἐμπόδιον παρεμερίσθη· διότι οὔτε τὸν ἐχθρὸν προσέχει καὶ σοῦ διακόπτει τὴν αἴτησιν, ἀλλὰ πάντοτε καὶ συνεχῶς ἠμπορεῖς νὰ τὸν παρακαλῇς καὶ δὲν ὑπάρχει καμμία δυσκολία· διότι οὔτε θυρωροὶ χρειάζονται διὰ νὰ σὲ ὁδηγήσουν ἐμπρός του, οὔτε οἰκονόμοι, οὔτε ἐπίτροποι, οὔτε φύλακες ἢ φίλοι, ἀλλ᾽ ὅταν προσέλθῃς μόνος σου, τότε πρὸ πάντων θὰ σ᾽ ἀκούσῃ, τότε, ὅταν δὲν χρειασθῇς κανένα ἄλλον.

Πράγματι δὲν τὸν συγκινοῦμεν τόσον ὅταν τοῦ ζητοῦμεν κάτι μέσῳ ἄλλων, ὅσον ὅταν τὸ ζητοῦμεν μόνοι μας. Διότι, ἐπειδὴ ἀγαπᾷ τὴν φιλίαν μας, κάμνει τὸ πᾶν, ὥστε νὰ μᾶς κάνῃ νὰ ἔχωμεν θάρρος ἀπέναντί του· ὅταν ἰδῇ νὰ τὸ κάμνωμεν αὐτὸ μόνοι μας, τότε πρὸ πάντων δίνει τὴν συγκατάθεσίν του. Ἔτσι ἔκαμε καὶ εἰς τὴν περίπτωσιν τῆς Χαναναίας· ὅταν τὸν ἐπλησίασαν ὁ Πέτρος καὶ ὁ Ἰάκωβος καὶ τὸν παρεκάλεσαν πρὸς χάριν της, δὲν ἔδωσε τὴν συγκατάθεσίν του, ὅταν ὅμως ἐπέμεινεν αὐτὴ ἡ ἰδία, ἀμέσως ἔδωσεν ἐκεῖνο ποὺ τοῦ ἐζήτησεν. Ἐὰν βέβαια ἐφάνη δι᾽ ὀλίγον νὰ ἀναβάλλῃ, τὸ ἔκαμεν αὐτὸ ὄχι διὰ νὰ περιφρονήσῃ τὴν γυναῖκα, ἀλλὰ διὰ νὰ τὴν στεφανώσῃ μὲ μεγαλύτερον στέφανον καὶ διὰ νὰ ἀποδειχθῇ περισσότερον ἡ ἐπιμονή της. Ἄς φροντίσωμεν λοιπὸν καὶ ἡμεῖς νὰ συναντῶμεν καὶ νὰ συνομιλῶμεν μὲ τὸν Θεόν· ἄς μάθωμεν πῶς πρέπει νὰ κάμνωμεν αὐτὴν τὴν συνάντησιν καὶ συνομιλίαν. Δὲν χρειάζεται νὰ ὑπάγωμεν εἰς μουσεῖον, οὔτε νὰ ἐξοδεύωμεν χρήματα, οὔτε νὰ πληρώνωμεν παιδαγωγοὺς καὶ ῥήτορας καὶ σοφιστάς, οὔτε νὰ σπαταλοῦμεν πολὺν χρόνον, διὰ νὰ μάθωμεν αὐτὴν τὴν ῥητορείαν, ἀλλ᾽ ἀρκεῖ μόνον νὰ θελήσωμεν καὶ εἶναι ὁλοκληρωμένα τὰ τῆς τέχνης. Καὶ θὰ ἠμπορέσῃς εἰς αὐτὸ τὸ δικαστήριον ὄχι μόνον διὰ τὸν ἑαυτόν σου νὰ ὁμιλῇς, ἀλλὰ καὶ διὰ πολλοὺς ἄλλους. Καὶ ποῖος ὁ σκοπὸς αὐτῆς τῆς ῥητορικῆς

της σκοπός; Ὁ τῆς εὐχῆς τρόπος. Τὸ νηφούσῃ διανοίᾳ, τὸ συντετριμμένῃ ψυχῇ, τὸ μετὰ πηγῶν δακρύων αὐτῷ προσιέναι, τὸ μηδὲν αἰτεῖν βιωτικόν, τὸ τῶν μελλόντων ἐρᾶν, τὸ ὑπὲρ τῶν πνευματικῶν ποιεῖσθαι τὴν ἔντευξιν, τὸ μὴ κατεύχεσθαι τῶν ἐχθρῶν, τὸ μηδενὶ μνησικακεῖν, τὸ πάντα ἐκβάλλειν ἀπὸ τῆς ψυχῆς τὰ πάθη, τὸ συντρίβοντα τὴν καρδίαν οὕτω προσιέναι, τὸ συνεστάλθαι, τὸ πολλὴν τὴν ἐπιείκειαν μελετᾶν, καὶ τὴν γλῶτταν πρὸς εὐφημίαν τρέπειν, τὸ μηδενὶ τῶν πονηρῶν συνίστασθαι πραγμάτων, τὸ μηδὲν κοινὸν ἔχειν πρὸς τὸν κοινὸν τῆς οἰκουμένης ἐχθρόν, λέγω δὴ τὸν διάβολον. Τὸν γὰρ ὑπὲρ ἑτέρων λέγοντα βασιλεῖ, καὶ τοῖς ἐχθροῖς ἐκείνου κοινολογούμενον, καὶ οἱ ἔξωθεν νόμοι τιμωροῦσι. Καὶ σὺ τοίνυν, εἰ βούλει καὶ ὑπὲρ σεαυτοῦ καὶ ὑπὲρ ἑτέρων λέγειν, τοῦτο δὴ μάλιστα κατόρθωσον, τὸ μηδὲν κοινὸν ἔχειν πρὸς τὸν κοινὸν τῆς οἰκουμένης ἐχθρόν. Οὕτω γὰρ ἔσῃ δίκαιος· καὶ δίκαιος ὤν, ἀκουσθήσῃ, τοιαύτην ἔχων συνήγορον.

«Ἐν θλίψει ἐπλάτυνάς μοι». Οὐκ εἶπε, 'παρήγαγες τὰς θλίψεις', οὐδέ, 'ἀνεῖλες τοὺς πειρασμούς', ἀλλ' ἀφῆκας ἑστάναι, καὶ «Ἐπλάτυνάς μοι». Τὸ γὰρ εὐμήχανον τοῦ Θεοῦ καὶ τὸ εὔπορον κἀντεῦθεν μάλιστα δείκνυται, οὐκ ἐν τῷ παρενεγκεῖν τὰς θλίψεις μόνον, ἀλλὰ καὶ ἐν τῷ μενουσῶν αὐτῶν πολλὴν παρέχειν τὴν ῥᾳστώνην. Τοῦτο καὶ τοῦ Θεοῦ δείκνυσι τὴν ἰσχύν, καὶ τοὺς ἐμπίπτοντας φιλοσοφωτέρους ἐργάζεται, ὅταν καὶ εὐρυχωρία ᾖ παραμυθουμένη τὴν θλιβομένην ψυχήν, καὶ ἡ θλῖψις μὴ καταλύηται σφίγγουσα ταύτην ῥαθυμοῦσαν, καὶ

τέχνης; Εἶναι ὁ τρόπος τῆς προσευχῆς. Τὸ νὰ προσέρχεται κανεὶς πρὸς αὐτὸν μὲ πνευματικὴν καθαρότητα, μὲ ψυχὴν συντετριμμένην μὲ πηγὰς δακρύων, τὸ νὰ μὴ ζητῇ τίποτε τὸ κοσμικόν, τὸ νὰ ἀγαπᾷ τὰ μελλοντικὰ πράγματα, τὸ νὰ κάμνῃ τὴν προσευχὴν ὑπὲρ τῶν πνευματικῶν ἀγαθῶν, τὸ νὰ μὴ προσεύχεται ἐναντίον τῶν ἐχθρῶν του, τὸ νὰ μὴ δείχνῃ μνησικακίαν διὰ κανένα, τὸ νὰ διώχνῃ ἀπὸ τὴν ψυχὴν ὅλα τὰ πάθη, τὸ νὰ προσέρχεται μὲ πάρα πολὺ συντετριμμένην καρδίαν, νὰ εἶναι συνεσταλμένος, νὰ δείχνῃ πολλὴν ἐπιείκειαν καὶ νὰ κατευθύνῃ τὴν γλῶσσαν πρὸς ἐπαινετικὰ λόγια, τὸ νὰ μὴ ἀσχολῆται μὲ κανένα πονηρὸν πρᾶγμα, τὸ νὰ μὴ ἔχῃ καμμίαν σχέσιν πρὸς τὸν κοινὸν ἐχθρὸν τῆς οἰκουμένης, ἐννοῶ βέβαια τὸν διάβολον. Διότι, ἐκεῖνον, ποὺ ὁμιλεῖ εἰς τὸν βασιλέα δι' ἄλλους καὶ διαλαλεῖ αὐτὰ εἰς τοὺς ἐχθροὺς ἐκείνου, τὸν τιμωροῦν καὶ οἱ κοσμικοὶ νόμοι. Καὶ σὺ λοιπόν, ἐὰν θέλῃς νὰ ὁμιλῇς καὶ διὰ τὸν ἑαυτόν σου καὶ διὰ τοὺς ἄλλους, αὐτὸ πρὸ πάντων προσεπάθησε νὰ ἐπιτύχῃς, τὸ νὰ μὴ ἔχῃς καμμίαν σχέσιν μὲ τὸν κοινὸν ἐχθρὸν τῆς οἰκουμένης. Διότι ἔτσι θὰ γίνῃς δίκαιος καὶ ἀφοῦ θὰ εἶσαι δίκαιος θὰ εἰσακουσθῇ ἡ προσευχή σου, ἔχων τέτοιαν συνήγορον (τὴν δικαιοσύνην).

«Ὅταν εὑρισκόμουν μέσα εἰς τὰς θλίψεις μὲ ἐπαρηγόρησες». Δὲν εἶπε, 'ἀφήρησες τὰς θλίψεις', οὔτε 'ἔδιωξες τοὺς πειρασμούς', ἀλλὰ τὰς ἄφησες νὰ ὑπάρχουν καὶ «μὲ ἐπαρηγόρησες». Διότι ἀπὸ ἐδῶ πρὸ πάντων φανερώνεται ἡ ἱκανότης τοῦ Θεοῦ πρὸς ἐπινόησιν μέσων καὶ ἡ ἀφθονία αὐτῶν τῶν μέσων, ὄχι μόνον ἀπαλλάσσει ἀπὸ τὰς θλίψεις, ἀλλὰ καὶ ὅταν ἐξακολουθοῦν νὰ ὑπάρχουν αὐταὶ παρέχει μεγάλην ἀνακούφισιν ἀπὸ αὐτάς. Αὐτὸ καὶ τὴν δύναμιν τοῦ Θεοῦ δείχνει καὶ κάμνει περισσότερον εὐσεβεῖς ἐκείνους ποὺ ὑποπίπτουν εἰς τὰς θλίψεις, ὅταν καὶ ἀφθονία μέσων ὑπάρχῃ πρὸς παρηγορίαν τῆς θλιβομένης ψυχῆς, καὶ ἡ θλῖψις δὲν ἀφαιρεῖται διὰ νὰ πιέζῃ αὐτὴν ποὺ δείχνει ραθυμίαν, ὥστε νὰ τὴν ἀπαλλάξῃ ἀπὸ κάθε

πάσης ἀπαλλάττουσα ὀλιγωρίας. Καὶ πῶς, φησίν, ἐν θλίψει γένοιτ' ἂν πλατυσμός; Ὡς ἐν τῇ καμίνῳ τῶν τριῶν παίδων, ὡς ἐν τῷ λάκκῳ τῶν λεόντων. Οὐ γὰρ ἔσβεσε τὴν φλόγα, καὶ τότε ἐποίησεν αὐτοὺς ἐν εὐρυχωρίᾳ εἶναι· οὐδὲ ἀπέκτεινε τοὺς λέοντας, καὶ τὸ τηνικαῦτα αὐτὸν κατέσησεν ἐν ἀδείᾳ· ἀλλὰ κἀκεῖ τῆς καμίνου σφοδρῶς ἀναπτομένης, καὶ ἐνταῦθα τῶν θηρίων παραμενόντων, οἱ δίκαιοι πολλῆς ἀπέλαυον τῆς ῥαστώνης. Ἔστι δὲ καὶ ἑτέρως εὐρυχωρίαν εἰπεῖν· οἷον ὅταν ὑπὸ τῶν πειρασμῶν ἡ ψυχὴ θλιβομένη τῶν παθῶν ἀπαλλάττηται, καὶ τῶν νοσημάτων τῶν πολλῶν· τότε γὰρ μάλιστα τῆς εὐρυχωρίας ἀπολαύει. Πολλοὶ γὰρ ἐν εὐημερίᾳ μένοντες ἔρωτας ἔχουσιν ἀτοπωτάτους, θλίβοντας αὐτῶν τὴν ψυχήν, καὶ χρημάτων, καὶ σωμάτων, καὶ ἑτέρων τοιούτων ἀτόπων, εἰς θλῖψιν δὲ ἐμπεσόντες πάντων ἐλευθεροῦνται ἐκείνων, καὶ γίνονται ἐν εὐρυχωρίᾳ. Καὶ καθάπερ οἱ ἐν πυρετοῖς ὄντες, ἕως μὲν ἀπολαύουσι τῶν ἐπιθυμιῶν τῶν ἀκαίρων, τραπέζης λέγω πληθούσης, καὶ ἀκράτου, καὶ τοιούτων ἑτέρων, μειζόνως στενοχωροῦνται, εἰ δὲ βουληθεῖεν ἑαυτοὺς ὀλίγον θλίψαντες καρτερῆσαι, πολλῆς ἀπολαύουσι τῆς εὐρυχωρίας, καὶ τὸ πνῖγον ἀποθέμενοι καθαρᾷ λοιπὸν ἐντρυφῶσιν ὑγείᾳ· οὕτω καὶ ἐπὶ τῶν πραγμάτων συμβαίνει. Οὐδὲν γὰρ οὕτω ποιεῖν ἄνεσιν εἴωθεν, ὡς θλῖψις τῶν βιωτικῶν ἀπάγουσα πάντων.

Πῶς οἴει τοὺς Ἰουδαίους γεγενῆσθαι ἐν θλίψει, καὶ ὅτε ἦσαν ἐν εὐημερίᾳ; Ἢ οὐχὶ πυρεττούσης ταῦτα ψυχῆς καὶ ἀλυούσης καὶ ῥιπταζομένης, τὸ λέγειν, «Ποίησον ἡμῖν θεούς, οἳ προπορεύσονται ἡμῶν· ὁ γὰρ Μωϋσῆς οὗτος, ὃς ἐξήγαγεν

ἀδιαφορίαν. Καὶ πῶς, λέγει, θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ παρηγορία εἰς τὴν θλῖψιν; Ὅπως εἰς τὴν κάμινον τῶν τριῶν παιδιῶν, ὅπως εἰς τὸν λάκκον τῶν λεονταριῶν. Διότι δὲν ἔσβησε τὴν φλόγα καὶ ὅμως τοὺς ἔκαμε νὰ νοιώθουν ἄνεσιν· δὲν ἐφόνευσε τὰ λεοντάρια, καὶ ὅμως τὸν κατέστησεν ἀσφαλῆ. Ἔτσι λοιπὸν καὶ εἰς τὴν πρώτην περίπτωσιν ποὺ ἡ κάμινος ἦτο πυρακτωμένη καὶ εἰς τὴν ἄλλην ποὺ τὰ θηρία παρέμειναν ἐκεῖ, οἱ δίκαιοι ἀπελάμβανον πολλῆς ἀνακουφίσεως. Ἠμποροῦμεν δὲ ν' ἀναφέρωμεν καὶ ἄλλο εἶδος ἀνακουφίσεως, ὅπως ἐπὶ παραδείγματι ὅταν ἡ ψυχή, ἐνῷ νοιώθει θλῖψιν ἐξ αἰτίας τῶν πειρασμῶν, ἀπαλλάσσεται ἀπὸ τὰ πάθη καὶ ἀπὸ πολλὰ νοσήματα· διότι τότε πρὸ πάντων ἀπολαμβάνει τὴν ἀνακούφισιν. Πολλοὶ βέβαια ποὺ εὐημεροῦν ἔχουν παρανόμους ἐρωτικὰς σχέσεις, ποὺ θλίβουν τὴν ψυχήν των, καὶ ἐξοδεύουν χρήματα, καταπονοῦν τὰ σώματά των καὶ κάνουν πολλὰ ἄλλα παρόμοια ἀνάρμοστα πράγματα, ὅταν ὅμως ὑποπέσουν εἰς θλῖψιν ἐλευθερώνονται ἀπὸ ὅλα αὐτὰ καὶ νοιώθουν ἀνακούφισιν. Καὶ ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ ἔχουν πυρετόν, ἐν ὅσῳ μὲν ἀπολαμβάνουν τὰς ἀκαίρους ἐπιθυμίας, ἐννοῶ τὰ πολλὰ φαγητά, τὸ κρασὶ καὶ ἄλλα παρόμοια, ὑποφέρουν περισσότερον, ἐὰν ὅμως θελήσουν νὰ κάνουν ὀλίγην ὑπομονὴν θλίβοντες τὸν ἑαυτόν των, ἀπολαμβάνουν πολλὴν ἀνακούφισιν, καὶ ἀπαλλασσόμενοι ἀπὸ τὴν δυσφορίαν, ἀπολαμβάνουν πλέον τὰ ἀγαθὰ τελείως ὑγιεῖς· τὸ ἴδιο συμβαίνει καὶ μὲ τὰς διαφόρους ἄλλας καταστάσεις τῆς ζωῆς. Διότι συνήθως τίποτε δὲν μᾶς ἀνακουφίζει τόσον πολύ, ὅσον ἡ θλῖψις ποὺ μᾶς ἀπομακρύνει ἀπὸ ὅλα τὰ κοσμικὰ πράγματα.

Πῶς νομίζεις ὅτι οἱ Ἰουδαῖοι, ἐνῷ ἦσαν κυριευμένοι ἀπὸ θλίψεις, παρ' ὅλα ταῦτα εὐημεροῦσαν; Ἢ δὲν εἶναι λόγια ψυχῆς ἀρρωστημένης, ὑπερβολικὰ θλιμμένης καὶ ταρασσομένης αὐτὰ ποὺ λέγουν, «Δῶσε μας θεούς, οἱ ὁποῖοι θὰ βαδίζουν ἐμπρὸς ἀπὸ ἡμᾶς καὶ θὰ μᾶς ὁδηγοῦν, διότι δὲν γνωρίζομεν τί συνέβη μὲ αὐτὸν τὸν Μωυσῆν,

ἡμᾶς ἐκ τῆς Αἰγύπτου, οὐκ οἴδαμεν τί γέγονεν αὐτῷ»; Ἢ οὐχὶ ἐκεῖνα φιλοσοφούσης ψυχῆς καὶ ἀναπνεούσης ἐκ τῶν βιωτικῶν παθῶν τὰ ῥήματα, ὅτε τοσαύτην ἐπεδείξαντο τὴν εὐχήν, θλιβόμενοι, ὡς αὐτὴν ἐπισπάσασθαι τοῦ Θεοῦ τὴν ῥοπήν; Αὐτὸς δὲ ὁ προφήτης οὗτος, ὅτε ἦν ἐν ἀνέσει, πῶς ἐθλίβη ὑπὸ τῆς πονηρᾶς ἐπιθυμίας στενοχωρούμενος καὶ σπαρασσόμενος; ὅτε δὲ ἐν θλίψει γέγονεν, ἴστε πῶς γέγονεν ἐν ἀνέσει. Οὔτε γὰρ ἥπτετο αὐτοῦ τὸ πῦρ, ἀλλὰ καὶ ἡ φλὸξ ἅπασα κατεσβέσθη. Οὐδὲν γὰρ οὕτω ποιεῖ θλῖψιν, ὡς τὸ πολιορκεῖσθαι τὴν ψυχὴν ὑπὸ τῶν παθῶν. Αἱ μὲν γὰρ ἄλλαι ἔξωθεν προσπίπτουσιν, αἱ δὲ ἔνδοθεν φύονται, καὶ αὕτη μάλιστά ἐστιν ἡ πολλὴ θλῖψις. Κἂν ὁ κόσμος ἡμᾶς λυπῇ, ἡμεῖς δὲ ἑαυτοὺς μὴ λυπῶμεν, οὐδὲν ἔσται ἡμῖν δεινόν. Ἄρα ἐν ἡμῖν τὸ θλίβεσθαι, καὶ μὴ θλίβεσθαι.

3. Ἵνα δὲ μάθῃς καὶ ἀπὸ τῆς ἀποστολικῆς φωνῆς, πόση ἀπὸ τῆς θλίψεως εὐρυχωρία γίνεται, ἄκουσον αὐτοῦ τοῦ Παύλου τὸν καρπὸν λέγοντος τῆς θλίψεως· «Ἡ δὲ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει». Εἶδες εὐρυχωρίαν ἄφατον; εἶδες λιμένα εὐφροσύνης; «Ὑπομονήν», φησίν, «ἡ θλῖψις κατεργάζεται». Τί γὰρ ἀνδρὸς καρτερικωτάτου, καὶ πάντα δυναμένου ῥᾳδίως φέρειν, ἀνεκτότερον; τί δὲ δοκίμου γένοιτ' ἂν ἰσχυρότερον; τί δὲ τῆς ἐντεῦθεν τρυφῆς ἴσον; Τρεῖς γὰρ ἡμῖν ἡδονὰς ἐντεῦθεν λέγει τικτομένας, τὴν ὑπομονήν, τὴν δοκιμήν, καὶ τὴν ἐλπίδα τῶν μελλόντων ἀγαθῶν. Περὶ τούτων νῦν φιλοσοφῶν ὁ προφήτης ἔλεγεν· «Ἐν θλίψει ἐπλάτυνάς μοι». Ἐπειδὴ γὰρ εἶπεν, «Εἰσήκουσέ μου ὁ Θεός», λέγει

8. Ἔξ. 32, 1.
9. Ρωμ. 5, 3 - 5.

ὁ ὁποῖος μᾶς ἔβγαλεν ἀπὸ τὴν Αἴγυπτον»[8]; Ἢ δὲν εἶναι αὐτὰ λόγια εὐσεβοῦς ψυχῆς καὶ ἀπηλλαγμένης ἀπὸ τὰς κοσμικὰς φροντίδας τὴν στιγμὴν ποὺ ἐλέχθησαν μὲ τόσην θερμὴν προσευχὴν ἐν ὥρᾳ θλίψεων, ὥστε νὰ ἀποσπάσουν τὴν βοήθειαν τοῦ Θεοῦ; Αὐτὸς δὲ ὁ ἴδιος ὁ προφήτης, ὅταν εὑρίσκετο εἰς ἄνεσιν, πόσην θλῖψιν ἔννοιωσε καταπιεζόμενος καὶ κατασπαρασσόμενος ἀπὸ τὴν πονηρὰν ἐπιθυμίαν; Ὅταν ὅμως ἐκυριεύθη ἀπὸ θλῖψιν, γνωρίζετε πῶς ἀνεκουφίσθη. Καθ' ὅσον δὲν τὸν ἤγγιζεν ἡ φωτιά, καὶ ὅλη ἡ φλόγα ἔσβησε. Διότι τίποτε δὲν προξενεῖ τόσην θλῖψιν, ὅσον τὸ νὰ πολιορκῆται ἡ ψυχὴ ἀπὸ τὰ πάθη. Καθ' ὅσον αἱ μὲν ἄλλαι θλίψεις ἔρχονται καὶ μᾶς κυριεύουν ἀπὸ ἔξω, ἐνῷ αἱ θλίψεις τῶν παθῶν φυτρώνουν ἀπὸ μέσα μας, καὶ αὐτὴ πρὸ πάντων εἶναι ἡ μεγάλη θλῖψις. Καὶ ἐὰν συμβαίνῃ ὁ κόσμος νὰ μᾶς λυπῇ, ἀλλ' ἡμεῖς δὲν λυποῦμεν τὸν ἑαυτόν μας, δὲν θὰ πάθωμεν τίποτε τὸ φοβερόν. Ἄρα ἀπὸ ἐμᾶς ἐξαρτᾶται τὸ νὰ θλιβώμεθα ἢ νὰ μὴ θλιβώμεθα.

3. Ἀλλὰ διὰ νὰ μάθῃς καὶ ἀπὸ τὰ ἀποστολικὰ λόγια, πόση ἀνακούφισις προέρχεται ἀπὸ τὴν θλῖψιν, ἄκουσε τὸν ἴδιον τὸν Παῦλον ποὺ ὁμιλεῖ διὰ τὸν καρπὸν τῆς θλίψεως· «Ἡ θλῖψις δημιουργεῖ ὑπομονήν, ἡ ὑπομονὴ δοκιμασμένον χαρακτῆρα, ὁ δοκιμασμένος χαρακτήρας ἐλπίδα, ἡ δὲ ἐλπὶς δὲν ἐντροπιάζει»[9]. Εἶδες ἀνακούφισιν ἀπερίγραπτον; εἶδες λιμάνι εὐφροσύνης; «Ἡ θλῖψις», λέγει, παράγει ὑπομονήν». Τί λοιπὸν ὑπάρχει ἀνεκτότερον ἀπὸ ἄνδρα μὲ πάρα πολὺ ἰσχυρὰν ὑπομονὴν καὶ ποὺ ὅλα ἠμπορεῖ νὰ τὰ ὑποφέρῃ μὲ εὐκολίαν; τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ ἰσχυρότερον ἀπὸ ἄνθρωπον δοκιμασμένον; τί δὲ ἠμπορεῖ νὰ ἐξισωθῇ μὲ τὴν ἀπόλαυσιν ποὺ πηγάζει ἀπὸ αὐτήν; Διότι λέγει τρεῖς ἡδοναὶ γεννιῶνται ἀπὸ ἐδῶ, ἡ ὑπομονή, ὁ δοκιμασμένος χαρακτὴρ καὶ ἡ ἐλπὶς διὰ τὰ μελλοντικὰ ἀγαθά. Δι' αὐτὰ φιλοσοφῶν τώρα ὁ προφήτης, ἔλεγεν· «Εἰς τὰς θλίψεις μὲ ἐπαρηγόρησεν». Ἐπειδὴ δηλαδὴ εἶπε, «Μὲ ἠ-

ἐν ποίῳ τρόπῳ εἰσήκουσεν. Οὐκ ἐν χρήμασιν· οὐδὲν γὰρ ἐζήτει τοιοῦτον· οὐχ ἵνα ἐχθρῶν κρατήσῃ· οὐδὲ γὰρ ταῦτα ᾔτει· ἀλλ' ἐν ἀνέσει τῇ ἐν μέσῳ τῆς θλίψεως γενομένῃ.

«Οἰκτείρησόν με, καὶ εἰσάκουσον τῆς προσευχῆς μου». Τί λέγεις; Ἄνω δικαιοσύνης μέμνησαι, ἐνταῦθα οἰκτιρμοῦ καὶ ἐλέου· καὶ ποῦ ταῦτα ἀκολουθίαν σχοίη; Πολλὴν μὲν οὖν, καὶ σφόδρα τοῖς προτέροις συνημμένην. Κἂν γὰρ μυρία κατορθώσωμεν, ἀπὸ οἰκτιρμῶν ἀκουόμεθα καὶ φιλανθρωπίας. Κἂν πρὸς αὐτὴν ἀνέλθωμεν τῆς ἀρετῆς τὴν κορυφήν, ἀπὸ ἐλέους σωζόμεθα. Ἐντεῦθεν μανθάνομεν, ὅτι μετὰ τῆς δικαιοσύνης χρεία καὶ γνώμης συντετριμμένης. Κἂν γὰρ ἁμαρτωλός τις ὢν μετὰ ταπεινοφροσύνης εὔξηται, ὅπερ ἐστὶ μέρος ἀρετῆς, μεγάλα ἀνύσαι δυνήσεται· κἂν δίκαιος ὢν μετὰ ἀλαζονείας προσίῃ, πάντων ἐκπεσεῖται τῶν ἀγαθῶν. Ἀμφότερα τὰ ὑποδείγματα ὁ τελώνης καὶ ὁ Φαρισαῖος ἐδίδαξαν. Δεῖ τοίνυν καὶ τρόπον εὐχῆς εἰδέναι. Τίς δὲ ὁ τρόπος τῆς εὐχῆς; Μάθε ἀπὸ τοῦ τελώνου, καὶ μὴ αἰσχυνθῇς τοῦτον λαβεῖν διδάσκαλον, τὸν οὕτω τοῦτο κατορθώσαντα, ὡς ἀπὸ ψιλῶν ῥημάτων τὸ πᾶν ἀνύσαι. Ἐπειδὴ γὰρ ἡ διάνοια αὐτῷ καλῶς παρεσκευασμένη ἦν, ἤρκεσε καὶ ῥῆμα ἓν ἀνοῖξαι αὐτῷ τὸν οὐρανόν. Πῶς δὲ ἦν παρεσκευασμένη; Ἐταλάνιζεν ἑαυτόν, τὸ στῆθος ἔτυπτεν, οὐδὲ ἀναβλέψαι εἰς τὸν οὐρανὸν ἠνείχετο. Ἂν οὕτω καὶ σὺ μέλλῃς εὔχεσθαι, πτεροῦ κουφοτέραν ἐργάσῃ τὴν εὐχήν. Εἰ γὰρ ὁ ἁμαρτωλὸς δίκαιος γέγονεν ἀπὸ τῆς εὐ-

κουσεν ὁ Θεός», λέγει μὲ ποῖον τρόπον τὸν ἤκουσεν. Ὄχι μὲ τὸ νὰ τοῦ δώσῃ πράγματα, καθ' ὅσον τίποτε παρόμοιον δὲν ἐζητοῦσεν· ὄχι μὲ τὸ νὰ τὸν βοηθήσῃ νὰ ὑπερισχύσῃ τῶν ἐχθρῶν του, διότι οὔτε αὐτὸ ἐζητοῦσεν, ἀλλὰ μὲ τὸ νὰ τοῦ προσφέρῃ ἀνακούφισιν μέσα εἰς τὴν θλῖψιν του.

«Εὐσπλαγχνίσου με καὶ κάμε δεκτὴν τὴν προσευχήν μου». Τί λέγεις; Προηγουμένως ὡμίλησες διὰ τὴν δικαιοσύνην σου, ἐνῷ ἐδῶ ὁμιλεῖς διὰ εὐσπλαγχνίαν καὶ ἔλεος· καὶ ποία σχέσις θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ μεταξὺ αὐτῶν; Ἔχουν βέβαια μεγάλην σχέσιν καὶ συνδέονται πάρα πολὺ μὲ τὰ προηγούμενα. Διότι καὶ ἂν ἀκόμη ἐπιτύχωμεν ἀμέτρητα κατορθώματα, εἰσακουόμεθα ἀπὸ εὐσπλαγχνίαν καὶ φιλανθρωπίαν τοῦ Θεοῦ. Καὶ ἂν ἀκόμη ἀνεβοῦμεν εἰς τὴν κορυφὴν τῆς ἀρετῆς, σωζόμεθα ἀπὸ εὐσπλαγχνίαν. Ἀπὸ ἐδῶ μαθαίνομεν, ὅτι μαζὶ μὲ τὴν δικαιοσύνην χρειάζεται καὶ διάθεσις ποὺ νὰ πηγάζῃ ἀπὸ συντετριμμένην καρδίαν. Διότι καὶ ἂν ἀκόμη κανεὶς εἶναι ἁμαρτωλὸς καὶ προσευχηθῇ μὲ ταπεινοφροσύνην, ποὺ εἶναι μέρος τῆς ἀρετῆς, θὰ ἠμπορέσῃ νὰ ἐπιτύχῃ μεγάλα πράγματα, ἐὰν ὅμως εἶναι δίκαιος καὶ προσέλθῃ μὲ ἀλαζονείαν, θὰ στερηθῇ ὅλων τῶν ἀγαθῶν. Καὶ τὰ δύο παραδείγματα τὰ ἐδίδαξαν ὁ Τελώνης καὶ ὁ Φαρισαῖος. Πρέπει λοιπὸν νὰ γνωρίζωμεν καὶ τὸν τρόπον προσευχῆς. Ποῖος δὲ εἶναι ὁ τρόπος τῆς προσευχῆς; Μάθε τον ἀπὸ τὸν τελώνην καὶ μὴ ἐντραπῇς νὰ πάρῃς αὐτὸν διὰ διδάσκαλόν σου, ὁ ὁποῖος εἰς τέτοιον βαθμὸν κατώρθωσεν αὐτό, ὥστε μὲ ἁπλᾶ λόγια νὰ ἐπιτύχῃ τὸ πᾶν. Ἐπειδὴ δηλαδὴ ἡ σκέψις του ἦτο καλὰ προετοιμασμένη, ἤρκεσε καὶ ἕνας μόνον λόγος νὰ ἀνοίξῃ εἰς αὐτὸν τὸν οὐρανόν. Πῶς δὲ ἦτο προετοιμασμένη; Ἐλεεινολογοῦσε τὸν ἑαυτόν του, ἐκτυποῦσε τὸ στῆθος του, δὲν εἶχε τὴν δύναμιν οὔτε νὰ ὑψώσῃ τὸ βλέμμα του πρὸς τὸν οὐρανόν. Ἐὰν θὰ συμβῇ καὶ σὺ ἔτσι νὰ προσεύχεσαι, θὰ κάμῃς τὴν προσευχήν σου ἐλαφροτέραν ἀπὸ πτερόν. Διότι

χῆς, ἐννόησον ὁ δίκαιος ἡλίκος ἔσται, εἰ τοιαύτην προσάγειν μάθοι δέησιν. Διὰ δὴ τοῦτο οὐδὲ ἐνταῦθα ἁπλῶς ἑαυτὸν τίθησιν, ἀλλὰ τὴν προσευχὴν αὐτοῦ. Ἄνω τὴν δικαιοσύνην, ἐνταῦθα τὴν προσευχὴν λέγων· «Οἰκτείρησόν με, καὶ εἰσάκουσον τῆς προσευχῆς μου».

Οὕτω καὶ ὁ Κορνήλιος ἠκούσθη, ἐπειδὴ ταύτην εἶχε συνήγορον. «Αἱ προσευχαί σου, καὶ αἱ ἐλεημοσύναι σου», φησίν, «ἀνέβησαν ἐνώπιον τοῦ Θεοῦ». Εἰκότως· τὰ γὰρ ἔργα ἐστὶ τὰ ἀκουόμενα, καὶ τὰ κατορθώματα· οὐχ ἁπλῶς δὲ αἱ εὐχαί, ἀλλ' αἱ κατὰ νόμον τοῦ Θεοῦ γινόμεναι εὐχαί. Καὶ τίνες εἰσὶν αὗται; Αἱ ταῦτα αἰτοῦσαι, ἃ τῷ Θεῷ πρέπει διδόναι, αἱ μὴ τἀναντία τοῖς αὐτοῦ νόμοις αὐτὸν παρακαλοῦσαι. Καὶ τίς οὕτω τολμηρός, φησίν, ὡς τὸν Θεὸν ἀξιοῦν τἀναντία τοῖς αὐτοῦ νόμοις ποιεῖν; Ὁ κατὰ τῶν ἐχθρῶν αὐτὸν παρακαλῶν· τοῦτο γὰρ παρὰ τὸν νόμον τὸν ὑπ' αὐτοῦ κείμενον. Αὐτὸς γάρ φησιν, «Ἄφετε τοῖς ὀφειλέταις ὑμῶν». Σὺ δὲ αὐτὸν τὸν κελεύοντά σοι συγχωρῆσαι κατὰ τῶν ἐχθρῶν καλεῖς; Καὶ τί γένοιτ' ἂν τῆς ἀνοίας ταύτης χεῖρον; Ἱκέτου σχῆμα καὶ γνώμην καὶ φρόνημα τὸν εὐχόμενον ἔχειν δεῖ· τί τοίνυν ἕτερον προσωπεῖον σεαυτῷ περιτίθης, τὸ τῆς κατηγορίας; Πῶς γὰρ δυνήσῃ τῶν οἰκείων ἁμαρτημάτων λαβεῖν συγγνώμην, ὅταν τῶν τοῖς ἑτέροις πεπλημμελημένων τιμωρὸν τὸν Θεὸν ἀξιοῖς εἶναι; Ἔστω τοίνυν ἡ εὐχὴ ἥμερος, γαληνή, χαρίεν ἔχουσα πρόσωπον, καὶ ἁπαλόν. Τοιαύτη γὰρ ἡ μετὰ

10. Πρ. 10, 4.
11. Ματθ. 6, 12.

ἐάν ὁ ἁμαρτωλὸς ἐδικαιώθη ἐξ αἰτίας τῆς προσευχῆς του, σκέψου ὁ δίκαιος πόσον μέγας θὰ γίνῃ, ἐὰν μάθῃ τέτοιαν προσευχὴν νὰ κάμνῃ. Διὰ τοῦτο βέβαια οὔτε ἐδῶ ἀναφέρει ἁπλῶς τὸν ἑαυτόν του, ἀλλὰ τὴν προσευχήν του. Προηγουμένως ἀνέφερε τὴν δικαιοσύνην του, ἐνῷ ἐδῶ τὴν προσευχήν του, λέγων· «Εὐσπλαγχνίσου με καὶ εἰσάκουσε τὴν προσευχήν μου».

Ἔτσι εἰσηκούσθη καὶ ὁ Κορνήλιος, ἐπειδὴ εἶχεν αὐτὴν συνήγορον. «Αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι σου», λέγει, «ἀνέβησαν ἐνώπιον τοῦ Θεοῦ»[10]. Καὶ κατὰ φυσικὸν λόγον· διότι τὰ ἔργα καὶ τὰ κατορθώματα εἶναι ἐκεῖνα ποὺ εἰσακούονται· ὄχι ἁπλῶς δὲ αἱ προσευχαί, ἀλλὰ αἱ προσευχαὶ ποὺ γίνονται σύμφωνα μὲ τὸν νόμον τοῦ Θεοῦ. Καὶ ποῖαι εἶναι αὐταί; Εἶναι ἐκεῖναι μὲ τὰς ὁποίας ζητεῖ κανεὶς αὐτὰ ποὺ πρέπει νὰ δώσῃ ὁ Θεός, ἐκεῖναι ποὺ δὲν παρακαλοῦν αὐτὸν ἀντίθετα μὲ τοὺς νόμους αὐτοῦ. Καὶ ποῖος, λέγει, εἶναι τόσον τολμηρός, ὥστε νὰ ἔχῃ τὴν ἀξίωσιν ἀπὸ τὸν Θεὸν νὰ κάμῃ ἀντίθετα ἀπὸ τοὺς νόμους του; Εἶναι αὐτὸς ποὺ παρακαλεῖ τὸν Θεὸν κατὰ τῶν ἐχθρῶν· καθ' ὅσον αὐτὸ εἶναι ἀντίθετον πρὸς τὸν νόμον του ποὺ μᾶς ἔδωσε. Διότι αὐτὸς λέγει, «Συγχωρήσατε ἐκείνους ποὺ σᾶς ἔβλαψαν»[11]. Σὺ ὅμως καλεῖς ἐναντίον τῶν ἐχθρῶν σου αὐτὸν ποὺ σὲ προτρέπει νὰ τὸν συγχωρήσῃς; Καὶ τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ χειρότερον ἀπὸ αὐτὴν τὴν ἀνοησίαν; Ὁ προσευχόμενος πρέπει νὰ ἔχῃ στάσιν, διάθεσιν καὶ φρόνημα δούλου· διατί λοιπὸν καλύπτεις τὸν ἑαυτόν σου μὲ ἄλλο προσωπεῖον, τὸ προσωπεῖον τῆς κατηγορίας; Διότι πῶς θὰ ἠμπορέσῃς νὰ λάβῃς συγχώρησιν τῶν ἁμαρτημάτων σου, ὅταν ἔχῃς τὴν ἀξίωσιν ἀπὸ τὸν Θεὸν νὰ γίνῃ τιμωρὸς τῶν ἁμαρτημάτων τῶν ἄλλων; Ἂς εἶναι λοιπὸν ἡ προσευχὴ ἥμερη, γαλήνια, καὶ νὰ ἔχῃ πρόσωπον χαρούμενον καὶ ἤπιον. Τέτοια λοιπὸν εἶναι ἡ προσευχὴ ποὺ γίνεται μὲ πραότητα, καὶ ὄχι ἐναντίον τῶν ἐχθρῶν· διότι, ἡ ἀντίθετη προσευχὴ ὁμοιάζει μὲ κάποια μεθυσμένη ποὺ δὲν

πραότητος, καὶ μὴ κατ' ἐχθρῶν γινομένη· ὡς ἥ γε ἐναντία μεθυούσῃ τινὶ καὶ παραπαιούσῃ ἔοικε γυναικί, συώδει τινὶ καὶ ἀγρίᾳ. Διὸ καὶ ἄβατος αὐτῇ ὁ οὐρανός.

Ἀλλ' οὐχ ἡ μετὰ πραότητος τοιαύτη, ἀλλ' ἔχει τι λιγυρόν, καὶ προσηνές, καὶ βασιλικῶν ἄξιον ἀκοῶν, ἡδὺ καὶ παναρμόνιον καὶ ἐμμελές. Διὸ δὴ οὐκ ἐκβάλλεται τοῦ θεάτρου, ἀλλ' ἐστεφανωμένη ἄπεισι· καὶ γὰρ χρυσῆν ἔχει κιθάραν, χρυσῆν τὴν στολήν. Διὸ καὶ τέρπει τὸν δικαστήν, καὶ τῷ σχήματι, καὶ τῷ βλέμματι, καὶ τῇ φωνῇ. Διὰ ταῦτα οὐδεὶς αὐτὴν ἀπελαύνει τῶν οὐρανίων ἀψίδων. Ἅπαν γὰρ ἐκεῖνο τὸ θέατρον ἀνίσταται τῇ εὐφροσύνῃ. Αὕτη τῶν οὐρανῶν ἀξία ἡ εὐχή· αὕτη τῶν ἀγγέλων ἡ γλῶττα, ὅταν μηδὲν πικρόν, πᾶν δὲ προσηνὲς φθέγγηται· ὅταν ὑπὲρ τῶν ἀδικούντων καὶ ἐπηρεαζόντων προσέρχηται τὴν ἱκετηρίαν ποιουμένη, τότε καὶ οἱ ἄγγελοι παρεστήκασι μετὰ πολλῆς ἀκούοντες τῆς σιγῆς, καὶ μετὰ τὸ παύσασθαι, κροτοῦντες αὐτήν, ἐπαινοῦντες, θαυμάζοντες οὐ διαλιμπάνουσι.

Τοιαύτην καὶ ἡμεῖς προσαγάγωμεν εὐχήν, καὶ πάντως ἀκουσθησόμεθα. Καὶ ὅταν προσίωμεν τῷ Θεῷ, μὴ νομίσωμεν εἶναι θέατρον τοιοῦτον, ἀλλ' ἐκ τῆς οἰκουμένης ἁπάσης, μᾶλλον δὲ καὶ ἐκ τῶν ἄνω δήμων τῶν οὐρανίων συνειλεγμένον, καὶ ἐν μέσῳ τὸν βασιλέα καθῆσθαι, βουλόμενον ἡμῶν ἐπακοῦσαι τῆς εὐχῆς. Καὶ ἐπίδειξιν τὸ πρᾶγμα ποιήσωμεν. Μηδεὶς ἔστω κιθαριστής, μηδὲ λυρῳδὸς οὕτως ἐναγώνιος, μέλλων ἐν σκηναῖς εἰσιέναι, καὶ δεδοικὼς μή τι ἀπηχὲς ἀνακρούσηται, ὡς ἡμεῖς μέλλοντες εἰσιέναι εἰς τὸ τῶν ἀγγέλων θέατρον. Πλῆκτρον δὲ ἡμῖν ἔστω ἡ γλῶττα, μηδὲν ἀηδὲς φθεγγομένη, ἀλλ' ἐμμελὲς καὶ παναρμόνιον μετὰ διανοίας τῆς προσηκού-

ἠμπορεῖ νὰ σταθῇ εἰς τὰ πόδια της καὶ νὰ βαδίσῃ, μὲ κάποιαν ρυπαρὰν καὶ ἀγρίαν. Διὰ τοῦτο εἶναι ἀδιάβατη εἰς αὐτὴν ὁ οὐρανός.

Ἀλλ' ὅμως δὲν εἶναι τέτοια ἐκείνη ποὺ λέγεται μὲ πραότητα, ἀλλ' εἶναι εὐάρεστος, γεμάτη φιλοφροσύνην, ἀξίζει ν' ἀκουσθῇ εἰς βασιλικὰ αὐτιά, εἶναι εὐχάριστος, ἁρμονικὴ καὶ μελωδική. Διὰ τοῦτο βέβαια καὶ δέν ὁδηγεῖται ἔξω ἀπὸ τὸ θέατρον, ἀλλ' εἰσέρχεται στεφανωμένη· καθ' ὅσον ἔχει χρυσῆν κιθάρον καὶ χρυσῆν στολήν. Διὰ τοῦτο καὶ εὐχαριστεῖ τὸν δικαστὴν καὶ μὲ τὴν στάσιν της καὶ μὲ τὸ βλέμμα της καὶ μὲ τὴν φωνήν της. Διὰ τοῦτο κανεὶς δὲν τὴν ἀπομακρύνει ἀπὸ τὰς οὐρανίους ἁψῖδας. Διότι ὅλο ἐκεῖνο τὸ θέατρον σηκώνεται ὄρθιον ἀπὸ εὐφροσύνην. Αὐτὴ ἡ προσευχὴ εἶναι ἀξία τῶν οὐρανῶν· αὐτὴ εἶναι ἡ γλῶσσα τῶν ἀγγέλων, ὅταν δὲν λέγῃ τίποτε τὸ πικρόν, ἀλλ' εἶναι εὐχάριστα τὰ ὅσα λέγει· ὅταν προσεύχεται ὑπὲρ ἐκείνων ποὺ τὴν ἀδικοῦν καὶ τὴν βλάπτουν, τότε καὶ οἱ ἄγγελοι στέκονται καὶ τὴν ἀκούουν μὲ πολλὴν σιωπὴν καὶ ὅταν τελειώσῃ, δὲν παύουν νὰ τὴν χειροκροτοῦν, νὰ τὴν ἐπαινοῦν καὶ νὰ τὴν θαυμάζουν.

Τέτοιαν προσευχὴν ἂς κάμνωμεν καὶ ἡμεῖς καὶ ὁπωσδήποτε θὰ εἰσακουσθοῦμεν. Καὶ ὅταν προσερχώμεθα εἰς τὸν Θεὸν ἂς μὴ νομίσωμεν ὅτι εἶναι ἕνα θέατρον ὡσὰν τὰ τοῦ κόσμου, ἀλλ' ὅτι εἶναι θέατρον ποὺ ἀποτελεῖται ἀπὸ ὁλόκληρον τὴν οἰκουμένην, μᾶλλον δὲ ἀποτελούμενον καὶ ἀπὸ τοὺς οὐρανίους κόσμους, μὲ τὸν βασιλέα καθήμενον εἰς τὸ μέσον καὶ περιμένοντα ν' ἀκούσῃ τὴν προσευχήν μας. Καὶ ἂς θεωρήσωμεν τὸ πρᾶγμα ὡς τρόπον ἐπιδείξεως. Δὲν ὑπάρχει κανένας κιθαρῳδὸς καὶ κανένας λυρῳδὸς ποὺ νὰ εἶναι τόσον πολὺ ἀνήσυχος ὅταν πρόκειται νὰ εἰσέλθῃ εἰς θεατρικὴν σκηνὴν καὶ φοβεῖται μήπως ἀκουσθῇ κάτι τὸ ἀνάρμοστον, ὅσον ἡμεῖς ποὺ πρόκειται νὰ εἰσέλθωμεν εἰς τὸ θέατρον τῶν ἀγγέλων. Πλῆκτρον δὲ ἂς γίνῃ ἡ γλῶσσα μας καὶ ἂς μὴ λέγῃ τίποτε τὸ

σης· καὶ προσιόντες τῷ Θεῷ, καὶ παρακαλοῦντες καὶ δεόμενοι, ὑπὲρ τῶν ἐχθρῶν ἀνακρουώμεθα τὴν νευράν· οὕτω γὰρ καὶ ὑπὲρ ἡμῶν αὐτῶν ἀκουσθησόμεθα.

4. Αὕτη ἡ φωνὴ καταισχύνει δαίμονας, αὕτη παρρησίαν ἡμῖν δίδωσιν, αὕτη καταισχύνει τὸν διάβολον καὶ ἀναχωρεῖν ποιεῖ. Οὐ γὰρ οὕτως ἄνθρωπον φρίττει ὁ δαίμων τὸν ἐκβάλλοντα αὐτὸν καὶ ἐλαύνοντα ἐξ ἑτέρου ἀνθρώπου, ὡς ἄνθρωπον ὀργῆς, κρατοῦντα, καὶ θυμοῦ περιγενόμενον· ἐπεὶ καὶ τοῦτο δαίμων ἐστὶ χαλεπός, καὶ τούτους μᾶλλον ἢ τοὺς δαιμονῶντας ταλανίζειν χρή. Τὸ μὲν γὰρ δαιμονᾶν εἰς γέενναν οὐκ ἐμβάλλει, τὸ δὲ ὀργίζεσθαι καὶ μνησικακεῖν, αὐτῆς ἐκβάλλει τῆς βασιλείας τῶν οὐρανῶν. Ἂν οὕτω ρυθμίσωμεν τὴν εὐχήν, δυνησόμεθα μετὰ παρρησίας λέγειν καὶ ἡμεῖς τῷ Θεῷ, «Εἰσάκουσον τῆς προσευχῆς μου». Ὥστε οὐχ ἑαυτὸν ὠφελήσεις μόνον, καὶ προσοδοποιήσεις σου τῇ ἱκετηρίᾳ, ἀλλὰ καὶ τὸν ἀκούοντα Θεὸν εὐφρανεῖς, ἄξιόν τι τῶν αὐτοῦ ἐπιταγμάτων αἰτῶν· διὸ καὶ ῥαδίως ἐπινεύσει. Τοῦτο ἄξιον τῆς υἱοθεσίας ἐκείνης, τοῦτο μάλιστα τὸν χαρακτῆρα ἐκεῖνον δείκνυσι. «Γίνεσθε», φησίν, «οἰκτίρμονες, ὡς ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς»· καὶ πάλιν, «Εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς, ὅπως γένησθε ὅμοιοι τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς». Τί τοίνυν ταύτης τῆς εὐχῆς ἴσον; Αὕτη οὐκ ἀγγέλοις, οὔτε ἀρχαγγέλοις, ἀλλ' αὐτῷ τῷ βασιλεῖ ὅμοιον ποιεῖ. Ὁ δὲ τῷ βασιλεῖ ὅμοιος γενόμενος κατὰ τὸ ἐγχωροῦν, ἐννόησον ὅσης ἀπολαύσεται τῆς παρρησίας ἐν ταῖς εὐχαῖς.

«Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; Ἵνα τί ἀγα-

12. Λουκᾶ 6, 36.
13. Λουκᾶ 6, 28

ἀνάρμοστον, ἀλλ' ἂς εἶναι τὰ λόγια γεμᾶτα μελωδίαν καὶ ἁρμονίαν καὶ πρέπουσαν διάνοιαν καὶ προσερχόμενοι εἰς τὸν Θεὸν καὶ παρακαλοῦντες καὶ δεόμενοι ἂς κτυπῶμεν τὴν χορδὴν ὑπὲρ τῶν ἐχθρῶν, διότι ἔτσι θὰ εἰσακουσθοῦν αἱ παρακλήσεις μας καὶ δι' ἡμᾶς τοὺς ἰδίους.

4. Αὐτὴ ἡ φωνὴ κατεντροπιάζει δαίμονας, αὐτὴ μᾶς δίδει παρρησίαν, αὐτὴ κατεντροπιάζει τὸν διάβολον καὶ τὸν τρέπει εἰς φυγήν. Διότι ὁ δαίμων δὲν τρέμει τόσον πολὺ τὸν ἄνθρωπον ποὺ τὸν βγάζει καὶ τὸν ἐκδιώκει ἀπὸ ἄλλον ἄνθρωπον, ὅσον τὸν ἄνθρωπον ποὺ συγκρατεῖ τὴν ὀργήν του καὶ νικᾷ τὸν θυμόν του· καθ' ὅσον καὶ αὐτὸ εἶναι δαίμων φοβερὸς καὶ πρέπει αὐτοὺς μᾶλλον νὰ ταλανίζωμεν παρὰ τοὺς δαιμονισμένους. Διότι τὸ νὰ εἶναι κανεὶς δαιμονισμένος δὲν ὁδηγεῖ εἰς τὴν γέενναν, ἐνῷ τὸ νὰ ὀργίζεται καὶ νὰ μνησικακῇ ὁδηγεῖ ἔξω ἀπὸ τὴν βασιλείαν τῶν οὐρανῶν. Ἐὰν ἔτσι ρυθμίσωμεν τὴν προσευχήν μας, θὰ ἠμπορέσωμεν καὶ ἡμεῖς νὰ λέγωμεν μὲ παρρησίαν πρὸς τὸν Θεόν, «Εἰσάκουσε τὴν προσευχήν μου». Ὥστε δὲν θὰ ὠφελήσῃς μόνον τὸν ἑαυτόν σου καὶ θὰ προετοιμάσῃς τὴν ὁδὸν μὲ τὴν προσευχήν σου, ἀλλὰ καὶ τὸν Θεὸν ποὺ σὲ ἀκούει θὰ γεμίσῃς μὲ εὐφροσύνην, ζητῶν κάτι ἄξιον ἀπὸ τὰ προστάγματά του· διὰ τοῦτο καὶ εὔκολα θὰ εἴπῃ τὸ ναί. Αὐτὸ εἶναι ἰσάξιον τῆς υἱοθεσίας ἐκείνης, αὐτὸ πρὸ πάντων δείχνει τὸν χαρακτῆρα ἐκεῖνον. «Γίνεσθε», λέγει, «εὐσπλαγχνικοί, καθὼς ὁ Πατὴρ ὁ οὐράνιος»[12]. Καὶ πάλιν· «Νὰ προσεύχεσθε δι' ἐκείνους ποὺ σᾶς βλάπτουν, ὥστε νὰ γίνετε ὅμοιοι μὲ τὸν Πατέρα σας τὸν οὐράνιον»[13]. Τί ἠμπορεῖ λοιπὸν νὰ ἐξισωθῇ μὲ αὐτὴν τὴν προσευχήν; Αὐτὴ σὲ κάμνει ὅμοιον ὄχι μὲ ἀγγέλους, οὔτε μὲ ἀρχαγγέλους, ἀλλὰ μὲ τὸν ἴδιον τὸν βασιλέα. Ἐκεῖνος δὲ ποὺ γίνεται κατὰ δύναμιν ὅμοιος μὲ τὸν βασιλέα, σκέψου πόσην παρρησίαν θὰ ἀπολαύσῃ κατὰ τὰς προσευχάς.

«Υἱοὶ τῶν ἀνθρώπων, μέχρι πότε θὰ εἶσθε βαρυκάρ-

πᾶτε ματαιότητα καὶ ζητεῖτε ψεῦδος;». Πρὸς τίνας ἀποτείνει τὸν λόγον καὶ ποιεῖται τὴν ἐπιτίμησιν, καὶ ἐπάγει τὴν συμβουλήν; τίνας υἱοὺς ἀνθρώπων καλεῖ; Τοὺς ἐν πονηρίᾳ ζῶντας, τοὺς πρὸς κακίαν ἐπιρρεπεῖς. Τί δή ποτε; ἡμεῖς γὰρ οὐχ υἱοὶ ἀνθρώπων; Τῇ φύσει μὲν ἀνθρώπων υἱοί, τῇ χάριτι δὲ οὐκ ἔτι, ἀλλ' υἱοὶ Θεοῦ. Εἰ γοῦν καὶ τὴν εἰκόνα τὴν κατ' ἀρετὴν τὴν πρὸς αὐτὸν διατηρήσαιμεν, ἀκέραιον ἡμῖν ἔσται τὸ δῶρον· τοὺς γὰρ γενομένους υἱοὺς Θεοῦ διὰ τῆς χάριτος, καὶ διὰ τῆς πολιτείας ταύτην δεῖ χαρακτηρίζειν τὴν εἰκόνα. Ὅτι δὲ τοὺς βιωτικωτέρους καὶ πρὸς κακίαν ῥέποντας, υἱοὺς ἀνθρώπων καλεῖ, ἄκουσον· «Ἰδόντες δὲ οἱ υἱοὶ τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων». Καὶ μὴν τὸ ἐναντίον, φησίν, εἴρηκας. Οὐδαμῶς· υἱοὺς γὰρ Θεοῦ ἐνταῦθα ἐκάλεσε τοὺς πρὸ τούτου ἐξ ἐναρέτων ὄντας ἀνδρῶν, καὶ τῆς τοῦ Θεοῦ τιμῆς ἀπολελαυκότας, εἶτα μεαβαλλομένους καὶ γεγονότας χείρους καὶ προδεδωκότας αὐτῶν τὴν τιμήν. Ὥστε γὰρ αὐξῆσαι αὐτῶν τὴν κατηγορίαν, ἀνεμνήσθη αὐτῶν τῆς τιμῆς, μέγιστον εἰς ἐγκλήματος ὑπόθεσιν δεικνὺς ὄν, τὸ τοιούτους ὄντας, καὶ ἐκ τοιούτων, πρὸς τοιαύτην κατενεχθῆναι κακίαν. Καὶ πάλιν ὁ Θεός· «Ἐγὼ εἶπα, θεοί ἐστε καὶ υἱοὶ Ὑψίστου πάντες. Ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε».

Καὶ θέα τοῦ προφήτου τὴν σύνεσιν. Δείξας πρότερον τοῦ Θεοῦ τὴν ἰσχὺν καὶ τὸ εὔπορον, καὶ τὸ εὐμήχανον καὶ τὸ χρηστόν, καὶ τὸ φιλάνθρωπον, ὅτι ἐν θλίψει πλατύνει, ὅτι ἐλεῶν ἐπινεύει, εἶτα ἐννοῶν τὴν κεχυμένην ἐν ἀνθρώποις κακίαν,

14. Γεν. 6, 2.
15. Ψαλμ. 81. 67.

διοι; Διατί ἀγαπᾶτε τὴν ματαιότητα καὶ θέλετε νὰ διαδίδετε ψεύδη;». Πρὸς ποίους ἀπευθύνει τὰ λόγια αὐτὰ καὶ τοὺς ἐπιτιμᾷ καὶ τοὺς συμβουλεύει; Ποίους ὀνομάζει υἱοὺς ἀνθρώπων; Ἐκείνους ποὺ ζοῦν μέσα εἰς τὴν κακίαν, ποὺ κλίνουν πρὸς τὴν κακίαν. Καὶ διατί τέλος πάντων; ἡμεῖς δηλαδὴ δὲν εἴμεθα υἱοὶ ἀνθρώπων; Ὡς πρὸς τὴν φύσιν μὲν εἴμεθα υἱοὶ ἀνθρώπων, ὡς πρὸς τὴν χάριν ὅμως δὲν εἴμεθα πλέον, ἀλλ' εἴμεθα υἱοὶ τοῦ Θεοῦ. Ἐὰν λοιπὸν ἠθέλαμεν διατηρήσει καὶ τὴν εἰκόνα πρὸς αὐτὸν ὡς πρὸς τὴν ἀρετήν, τὸ δῶρον μας θὰ εἶναι ἀκέραιον· διότι ἐκεῖνοι, ποὺ ἔγιναν υἱοὶ τοῦ Θεοῦ διὰ τῆς χάριτος, πρέπει καὶ μὲ τὸν τρόπον τῆς ζωῆς των νὰ δίδουν τὴν ἰδίαν εἰκόνα. Τὸ ὅτι δὲ ὀνομάζει υἱοὺς τῶν ἀνθρώπων τοὺς ἀσχολουμένους περισσότερον μὲ τὰ κοσμικὰ πράγματα καὶ ποὺ ρέπουν πρὸς τὴν κακίαν, ἄκουσε· «Ὅταν δὲ εἶδαν οἱ υἱοὶ τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων»[14]. Καὶ ὅμως, λέγει, εἶπες τὸ ἀντίθετον. Καθόλου· διότι υἱοὺς τοῦ Θεοῦ ἐδῶ ὠνόμασεν ἐκείνους ποὺ ἐγεννήθησαν πρὶν ἀπὸ αὐτὸ τὸ γεγονὸς ἀπὸ ἐναρέτους ἄνδρας καὶ εἶχαν ἀπολαύσει τῆς τιμῆς τοῦ Θεοῦ καὶ ἔπειτα ἤλλαξαν τρόπον ζωῆς καὶ ἔγιναν χειρότεροι καὶ ἐπρόδωσαν τὴν τιμὴν ποὺ τοὺς ἔκαμεν ὁ Θεός. Διὰ νὰ αὐξήσῃ λοιπὸν τὴν εἰς βάρος των κατηγορίαν, ἀνέφερε τὴν πρὸς αὐτοὺς τιμὴν τοῦ Θεοῦ, δεικνύων ὅτι ἀποτελεῖ μεγίστην κατηγορίαν τὸ νὰ εἶναι υἱοὶ τοῦ Θεοῦ καί, ἀπὸ τέτοιοι ποὺ ἦσαν, νὰ ὁδηγηθοῦν πρὸς τέτοιου εἴδους κακίαν. Καὶ πάλιν λέγει ὁ Θεός· «Ἐγὼ εἶπα, εἴσασθε ὅλοι θεοὶ καὶ υἱοὶ τοῦ Ὑψίστου. Σεῖς ὅμως πεθαίνετε ὡσὰν ἄνθρωποι»[15].

Καὶ πρόσεχε τὴν σύνεσιν τοῦ προφήτου. Ἀφοῦ ἔδειξε προηγουμένως τὴν δύναμιν τοῦ Θεοῦ, τὴν εὐφευρικότητα, τὴν ἐπινοηκότητα, τὴν ἀγαθότητα καὶ τὴν φιλανθρωπίαν του, διότι παρηγορεῖ μέσα εἰς τὰς θλίψεις, διότι δέχεται καὶ ἐλεεῖ, εἰς τὴν συνέχειαν σκεπτόμενος τὴν διάχυτον μεταξὺ τῶν ἀνθρώπων κακίαν καὶ τὴν τυραννικὴν ἐξου-

καὶ τῆς ἀσεβείας τὴν τυραννίδα, καθάπερ ἀποπνιγόμενος ἀπὸ τῆς ἀθυμίας, τρέπει τὸν λόγον πρὸς τοὺς ἐν πονηρίᾳ ζῶντας, μονονουχὶ λέγων, ὅτι τοιοῦτον ἔχοντες Θεόν, οὕτω χρηστόν, οὕτω φιλάνθρωπον, οὕτω δυνατόν, πῶς εἰς ἀσέβειαν ἐξεκλίνατε; Καὶ ὅρα τὴν παραίνεσιν, πόσης μετὰ τοῦ θυμοῦ γέμει καὶ τῆς προσηνείας, πόσης τῆς φιλοσοφίας. Τί γάρ φησιν; «Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι;». Ἐνταῦθα σφόδρα ἐστὶ καθαπτομένου καὶ ἀπὸ τοῦ χρόνου. Εἰ γὰρ τὸ ἐξ ἀρχῆς μὴ συνιδεῖν τοῦ Θεοῦ τὴν εὐεργεσίαν ἔγκλημα, ποίαν ἕξει συγγνώμην τὸ μέχρι τοσούτου πρὸς τὴν ἀλήθειαν τυφλώττειν; Τί δέ ἐστι, «Βαρυκάρδιοι»; Παχυκάρδιοι, σαρκικοί, τῇ γῇ προσηλωμένοι, κακίαν διώκοντες, πονηρίαν μετιόντες, ταῖς ἡδυπαθείαις κατασηπόμενοι· τοιοῦτος γὰρ ὁ σαρκικὸς ἄνθρωπος. Καὶ διαβάλλων αὐτῶν τὸν βίον, δείκνυσι τὴν πηγὴν τῆς ἀσεβείας, δηλῶν ὅτι τοῦτο μάλιστά ἐστι τὸ πρὸς τὰ δόγματα αὐτοῖς ἐμποδίζον τὰ ὑψηλά. Οὐδὲν γὰρ οὕτω βαρεῖαν καρδίαν ποιεῖ, ὡς ἐπιθυμία πονηρὰ καὶ ἡ πρὸς τὰ βιωτικὰ συμπάθεια, καὶ τὸ προσηλῶσθαι τῇ γῇ. Τὴν τοιαύτην οὐκ ἄν τις ἁμάρτοι πηλίνην καρδίαν προσειπών· διὸ καὶ βαρεῖαν αὐτὴν ἐκάλεσε· καὶ τῶν κακῶν αἴτιον τοῦτο ἔφησεν εἶναι, ὅτι ἡνιόχου τάξιν ἐπέχουσα, οὐ μόνον οὐ κατέχει τὸν ἵππον ταῖς ἡνίαις ἀλλὰ καὶ αὐτὴ καταφέρεται συρομένη· καὶ δέον πτεροῦν τὴν σάρκα, καὶ μετάρσιον ἐργάζεσθαι, καὶ πρὸς τὸν οὐρανὸν ἀνάγειν, ἡ δὲ συγκαθέλκεται τῷ βαρυτάτῳ τῶν νοσημάτων φορτίῳ. Ὅταν οὖν ὁ ἡνίοχος τοιοῦτος ᾖ, ἢ ὁ κυβερνήτης, ποία σωτηρίας ἐλπίς; Ὥσπερ ὅταν λέγῃ, «Εἰ τὸ φῶς τὸ ἐν σοὶ

σίαν τῆς ἀσεβείας, ὡσὰν νὰ τόν ἔπνιξεν ἡ ὑπερβολικὴ λύπη, μεταφέρει τὸν λόγον πρὸς ἐκείνους ποὺ ζοῦν μέσα εἰς τὴν κακίαν, καὶ εἶναι ὡσὰν νὰ τοὺς λέγῃ, ὅτι, ἐνῷ ἔχετε τέτοιον Θεόν, τόσον ἀγαθόν, τόσον φιλάνθρωπον, τόσον δυνατόν, πῶς ἐστράφητε πρὸς τὴν κακίαν; Καὶ πρόσεχε τὴν συμβουλήν, μὲ πόσην, μαζὶ μὲ θυμόν, πραότητα εἶναι γεμάτη καὶ μὲ πόσην εὐσέβειαν. Τί δηλαδὴ λέγει; «Υἱοὶ τῶν ἀνθρώπων, μέχρι πότε θὰ εἶσθε βαρυκάρδιοι;». Ἐδῶ τοὺς κατηγορεῖ πάρα πολὺ καὶ ἐξ αἰτίας τοῦ χρόνου. Διότι, ἐὰν εἶναι ἄξιον κατηγορίας τὸ νὰ μὴ γνωρίζῃ κανεὶς ἀπὸ τὴν ἀρχὴν τὴν εὐεργεσίαν τοῦ Θεοῦ, ποίαν συγχώρησιν θὰ ἔχῃ τὸ νὰ εἶναι τυφλωμένος πρὸς τὴν ἀλήθειαν ἐπὶ τόσον πολὺν χρόνον; Τί σημαίνει δέ, «βαρυκάρδιοι»; Σημαίνει ἀναίσθητοι, σαρκικοί, προσκολλημένοι εἰς τὴν γῆν, αὐτοὺς ποὺ ἐπιδιώκουν τὴν κακίαν, ποὺ μεταχειρίζονται τὴν πονηρίαν, ποὺ καταφθείρονται μὲ τὰς κοσμικὰς ἀπολαύσεις· διότι τέτοιος εἶναι ὁ σαρκικὸς ἄνθρωπος. Καὶ κατηγορῶν τὸν τρόπον ζωῆς αὐτῶν, δείχνει τὴν πηγὴν τῆς ἀσεβείας, δηλώνων ὅτι αὐτὸ πρὸ πάντων εἶναι ἐκεῖνο ποὺ τοὺς ἐμποδίζει νὰ στραφοῦν πρὸς τὰ ὑψηλὰ δόγματα. Διότι τίποτε δὲν κάμνει τὴν καρδίαν τόσον ἀναίσθητον, ὅσον ἡ πονηρὰ ἐπιθυμία καὶ ἡ συμπάθεια πρὸς τὰ κοσμικὰ πράγματα καὶ ἡ προσκόλλησις εἰς τὴν γῆν. Τὴν καρδίαν αὐτοῦ τοῦ εἴδους δὲν θὰ ἤθελεν ἁμαρτήσει κανεὶς ἐὰν τὴν ὀνομάσῃ πηλίνην· διὰ τοῦτο καὶ τὴν ὠνόμασεν ἀναίσθητον· καὶ εἶπεν ὅτι αὐτὸ εἶναι αἰτία τοῦ κακοῦ, τὸ ὅτι ἐνῷ κατέχει τὴν θέσιν τοῦ ἡνιόχου, ὄχι μόνον δὲν συγκρατεῖ τὸν ἵππον μὲ τὰ χαλινάρια, ἀλλὰ καὶ ἡ ἰδία πίπτει κάτω καὶ σύρεται· καὶ ἐνῷ πρέπει νὰ ἀναπτερώνῃ τὴν σάρκα καὶ νὰ τὴν κάνῃ νὰ πετᾷ καὶ νὰ τὴν ὁδηγῇ πρὸς τὸν οὐρανόν, αὐτὴ σύρεται πρὸς τὰ κάτω ἀπὸ τὸ βαρύτατον φορτίον τῶν νοσημάτων. Ὅταν λοιπὸν ὁ ἡνίοχος εἶναι τέτοιος ἢ ὁ κυβερνήτης, ποία ἐλπὶς σωτηρίας ὑπάρχει; Ὅπως ἀκριβῶς ὅταν λέγῃ «Ἐὰν τὸ φῶς ποὺ

σκότος ἐστί, τὸ σκότος πόσον;». Ὅταν ὁ κυβερνήτης μεθύῃ καὶ τῶν κυμάτων καὶ τῶν πνευμάτων τὸ ἄτακτον μιμῆται, πῶς σωθήσεται ἡ ναῦς;

5. Τί οὖν δύναται κούφην τὴν ψυχὴν ποιεῖν; Βίος θαυμαστός, τὸ πρὸς μηδὲν τῶν ἐνταῦθα κεχηνέναι, μηδὲ τοῖς ποσὶν αὐτοῦ προσδεσμεῖν τὰ κάτω φερόμενά τε καὶ φέροντα. Τῶν γὰρ σωμάτων τὰ μὲν κάτω φέρεσθαι εἴωθεν, οἷον λίθοι, καὶ ξύλα, καὶ πάντα τὰ τοιαῦτα, τὰ δὲ ἄνω, οἷον πῦρ, καὶ πνεῦμα, καὶ πτερῶν φύσις κούφων. Ἂν οὖν τι τῶν κάτω φερόντων τῷ κούφῳ προσδήσῃς, οὐδὲν τῶν πτερῶν ὄφελος, οὐδὲ τοῦ πνεύματος, τοῦ βάρους ὑπερβαίνοντος τὴν συμμετρίαν, καὶ νικῶντος καὶ περιγινομένου. Οὕτω καὶ πόδας ἂν ἔχῃ τις βεβαρημένους, ἢ χυμοῦ πονηροῦ ἐπεισρέοντος, ἢ ἑτέρου τινὸς νοσήματος, οὐδὲν ὄφελος αὐτῷ τοῦ λοιποῦ σώματος ὄντος κούφου. Εἰ δὲ ἐπὶ σωμάτων τοῦτο, πολλῷ μᾶλλον ἐπὶ καρδίας. Μὴ τοίνυν ποιῶμεν αὐτὴν βαρεῖαν, ἵνα μὴ κατὰ τὰ πλοῖα τὴν πολλὴν ἔχοντα τὴν ψάμμον καταποντίζηται. Ἐν ἡμῖν γὰρ τοῦτο. Οὐ γὰρ τῇ φύσει τοιαύτη ἐστίν, ἀλλὰ τῇ φύσει γέγονε κούφη καὶ ἀνωφερής, ἡμεῖς δὲ αὐτὴν παρὰ φύσιν βαρεῖαν ποιοῦμεν· διὸ καὶ ὁ προφήτης ἐγκαλεῖ· εἰ δὲ φυσικὸν ἦν, οὐκ ἂν ἐνεκάλεσεν. Ὥσπερ οὖν κατὰ φύσιν ἡμῖν τὸ βαδίζειν, ἂν δὲ βαρῶμεν τὰ γόνατα, παρὰ φύσιν γίνεται τὸ πρᾶγμα, πεπεδημένων ἡμῶν, οὕτω καὶ ἐπὶ τῶν ποδῶν τῆς διανοίας, λέγω δὴ τῶν λογισμῶν, συμβαίνειν εἴωθεν.

«Ἵνα τί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖτε ψεῦδος;». ***Ἐν-***

---

16. Ματθ. 6, 23.

ὑπάρχει μέσα σου εἶναι σκότος, πόσον εἶναι τὸ σκότος;»[18]. Ὅταν ὁ κυβερνήτης μεθᾷ καὶ μιμῆται τὴν ἀταξίαν τῶν κυμάτων καὶ τῶν ἀνέμων, πῶς θὰ σωθῇ τὸ πλοῖον;

5. Ποῖο λοιπὸν εἶναι αὐτὸ ποὺ ἠμπορεῖ νὰ κάμῃ τὴν ψυχὴν ἀνάλαφρον; Τρόπος ζωῆς θαυμαστός, τὸ νὰ μὴ ἀπορροφᾶται κανεὶς ἀπὸ κανένα κοσμικὸν πρᾶγμα, οὔτε νὰ προσδένῃ εἰς τὰ πόδια του ἐκεῖνα ποὺ ὁδηγοῦνται καὶ ὁδηγοῦν πρὸς τὰ κάτω. Διότι ἀπὸ τὰ σώματα ἄλλα μὲν ἀπὸ τὴν φύσιν των πίπτουν κάτω, ὅπως ἐπὶ παραδείγματι οἱ λίθοι, τὰ ξύλα καὶ ὅλα τὰ παρόμοια, ἄλλα δὲ ὑψώνονται πρὸς τὰ ἐπάνω, ὅπως ἡ φωτιά, ὁ ἀέρας καὶ τὰ ἐκ φύσεως ἀνάλαφρα πτερά. Ἂν λοιπὸν δέσῃς κάτι ἀπὸ αὐτὰ ποὺ πίπτουν πρὸς τὰ κάτω, εἰς τὸ ἀνάλαφρον πτερόν, δὲν θὰ ὠφελήσουν εἰς τίποτε τὰ πτερά, οὔτε ὁ ἀέρας, ἀφοῦ τὸ βάρος ὑπερβαίνει τὴν συμμετρίαν, τὴν νικᾷ καὶ τὴν ἐκμηδενίζει. Ἔτσι ἐὰν ἔχῃ κανεὶς καὶ πόδια βαριὰ ἢ ἐξ αἰτίας πύου ποὺ τρέχει μέσα των ἢ ἐξ αἰτίας κάποιου ἄλλου νοσήματος, δὲν ὠφελεῖται αὐτὸς εἰς τίποτε ἂν τὸ ὑπόλοιπον σῶμα του εἶναι ἀνάλαφρον. Ἐὰν δὲ αὐτὸ συμβαίνῃ εἰς τὰ σώματα πολὺ περισσότερον συμβαίνει εἰς τὴν περίπτωσιν τῆς καρδίας. Ἂς μὴ τὴν καθιστῶμεν λοιπὸν βαρεῖαν, διὰ νὰ μὴ καταβυθίζεται ὅπως τὰ πλοῖα ποὺ εἶναι φορτωμένα μὲ πολλὴν ἄμμον. Αὐτὸ βέβαια ἐξαρτᾶται ἀπὸ ἡμᾶς. Διότι δὲν εἶναι τέτοια ἀπὸ τὴν φύσιν της, ἀλλ' ἐκ φύσεως ἔγινεν ἀνάλαφρη καὶ μὲ τὴν τάσιν νὰ φέρεται πρὸς τὰ ἐπάνω, ἡμεῖς ὅμως ἀντίθετα μὲ τὴν φύσιν της τὴν κάμνομεν βαρεῖαν· διὰ τοῦτο καὶ ὁ προφήτης τοὺς κατηγορεῖ· ἐὰν ἦτο ἐκ φύσεως τέτοια, δὲν θὰ τοὺς ἐκατηγοροῦσεν. Ὅπως ἀκριβῶς λοιπὸν ἐκ φύσεως ὑπάρχει ἡ δυνατότης νὰ βαδίζωμεν, ἐὰν ὅμως ἀναισθητοποιήσωμεν τὰ γόνατα, αὐτὸ γίνεται παρὰ φύσιν, διότι ἀκινητοποιήσαμεν τὰ πόδια μας, ἔτσι συμβαίνει συνήθως καὶ μὲ τὰ πόδια τῆς διανοίας μας, ἐννοῶ δηλαδὴ τοὺς λογισμούς.

«Διατί ἀγαπᾶτε τὴν ματαιότητα καὶ ἐπιζητεῖτε τὸ ψέ-

ταῦθα καὶ τὰ εἰδωλικά μοι δοκεῖ λέγειν, καὶ τὸν ἐν πονηρίᾳ βίον. Μάταιον γὰρ ἐκεῖνο λέγεται τὸ κενόν, ὅταν ὄνομα μὲν ᾖ, πρᾶγμα δὲ μὴ ᾖ. Οὕτω παρὰ τοῖς Ἕλλησιν ὀνόματα μὲν θεῶν πολλά, πράγματα δὲ οὐδαμοῦ· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· ὄνομα πλούτου, πρᾶγμα δὲ οὐδαμοῦ· καὶ ὄνομα δόξης, πρᾶγμα δὲ οὐδαμοῦ· ὄνομα δυναστείας, καὶ μένει ψιλὸν τὸ ὄνομα. Τίς οὖν οὕτως ἀνόητος, ὡς ὀνόματα ζητεῖν πραγμάτων ἔρημα, καὶ τὰ διάκενα διώκειν, ἃ φεύγειν δεῖ; Ἢ οὐ τοιαῦται καὶ αἱ ἡδοναὶ τοῦ βίου καὶ αἱ εὐπραγίαι; οὐ πάντα ψεύδεται καὶ ἀπατᾷ; Κἂν δόξαν εἴπῃς, κἂν πλοῦτον, κἂν δυναστείαν, πάντα ματαιότης. Διὸ καὶ ὁ Ἐκκλησιαστὴς ἔλεγε· «Ματαιότης ματαιοτήτων· τὰ πάντα ματαιότης». Διὰ δὴ ταῦτα ὀδυνᾶται ὁ προφήτης, τοσαύτην ἀλογίαν ὁρῶν ἐν τῷ βίῳ. Ὥσπερ γὰρ ἂν εἴ τις ἰδών τινα φεύγοντα φῶς, διώκοντα δὲ σκότος, λέγῃ· ἵνα τί τοῦτο ποιεῖς τὸ παράλογον; οὕτω καὶ αὐτός. Ἵνα τί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖτε ψεῦδος; Καὶ γνῶτε ὅτι ἐθαυμάστωσε Κύριος τὸν ὅσιον αὐτοῦ». Ἕτερος ἑρμηνευτής φησιν, «Ἀλλὰ γνῶτε ὅτι ἐθαυμάστωσεν».

Εἶδες σοφίαν προφήτου; Πόθεν αὐτοὺς ἀνάγει πρὸς τὴν θεογνωσίαν; Ἀπὸ σαφεστάτου μέρους τινὸς καὶ τρόπου γνωριμωτέρου, ἑαυτὸν εἰς μέσον παρατιθείς. Ἐγὼ δοῦλός εἰμι, φησί, τοῦ Θεοῦ τοῦ ἀληθοῦς· ἀπ' ἐμοῦ τοίνυν μάθετε αὐτοῦ τὴν δύναμιν, τὴν ἰσχύν, τὴν κηδεμονίαν. Οὐ μικρὸν

17. Ἐκκλ. 1, 2.

μα;». Ἐδῶ νομίζω ὁμιλεῖ καὶ διὰ τὰ εἴδωλα καὶ διὰ τὸν κακὸν τρόπον ζωῆς. Διότι μάταιον ὀνομάζεται ἐκεῖνο τὸ κενόν, ὅταν ἔχῃ μὲν ὄνομα, ἀλλὰ δὲν ὑπάρχει εἰς τὴν πραγματικότητα. Ἔτσι καὶ εἰς τοὺς Ἕλληνας ὑπῆρχαν μὲν πολλὰ ὀνόματα θεῶν, εἰς τὴν πραγματικότητα ὅμως δὲν ὑπῆρχαν θεοὶ πουθενά· τὸ ἴδιο συμβαίνει καὶ μὲ τὰ ἄλλα πράγματα· ὑπάρχει ὄνομα τοῦ πλούτου, εἰς τὴν πραγματικότητα ὅμως δὲν ὑπάρχει· καὶ ὄνομα δόξης ὑπάρχει, δὲν εἶναι ὅμως ἡ δόξα κάτι τὸ ὑπαρκτόν· ὑπάρχει ὄνομα ἐξουσίας, παραμένει ὅμως ἕνα ἁπλὸν ὄνομα. Ποῖος λοιπὸν εἶναι τόσον ἀνόητος, ὥστε νὰ ζητῇ ἐπίμονα πράγματα ποὺ ὑπάρχουν μόνον κατ' ὄνομα καὶ ὄχι εἰς τὴν πραγματικότητα, καὶ νὰ ἐπιδιώκῃ τὰ κακὰ πράγματα, τὰ ὁποῖα πρέπει νὰ ἀποφεύγῃ; Ἢ μήπως δὲν εἶναι τέτοιαι αἱ ἡδοναὶ τοῦ βίου καὶ αἱ εὐτυχίαι; δὲν εἶναι ὅλα ψεύτικα καὶ ἀπατηλά; Εἴτε ἀναφέρεις τὴν δόξαν, εἴτε τὸν πλοῦτον, εἴτε τὴν ἐξουσίαν, ὅλα εἶναι ματαιότης. Διὰ τοῦτο καὶ ὁ Ἐκκλησιαστὴς ἔλεγε· «Ματαιότης ματαιοτήτων· τὰ πάντα εἶναι ματαιότης»[17]. Διὰ τοῦτο λοιπὸν καὶ ὁ προφήτης νοιώθει τρομερὰν λύπην, βλέπων τόσον παραλογισμὸν εἰς τὴν ζωήν. Διότι ὅπως ἀκριβῶς ἐὰν κάποιος ἰδῇ κάποιον ἄλλον νὰ ἀποφεύγῃ τὸ φῶς καὶ νὰ ἐπιδιώκῃ τὸ σκότος, ἠμπορεῖ νὰ εἰπῇ, 'διατί τὸ κάμνεις αὐτὸ τὸ παράλογον;' ἔτσι καὶ αὐτός· «Διατί ἀγαπᾶται τὴν ματαιότητα καὶ ζητεῖτε ἐπίμονα τὸ ψεῦδος; Μάθετε ὅμως ὅτι ὁ Κύριος ἔκαμεν ἄξιον θαυμασμοῦ ἐκεῖνον ποὺ εἶναι ἀφωσιωμένος εἰς αὐτόν». Ἄλλος ἑρμηνευτὴς λέγει, «Ἀλλὰ μάθετε ὅτι ἔκαμε θαυμαστόν».

Εἶδες σοφίαν προφήτου; Ἀπὸ ποῦ τοὺς ὁδηγεῖ εἰς τὴν θεογνωσίαν; Ἀπὸ κάποιο πολὺ εὐκολοκατανόητον μέρος καὶ μὲ τρόπον πολὺ γνώριμον, προβάλλων εἰς τὴν μέσην τὸν ἑαυτόν του. Ἐγώ, λέγει, εἶμαι δοῦλος τοῦ ἀληθινοῦ Θεοῦ· ἀπὸ ἐμένα λοιπὸν μάθετε τὴν δύναμιν αὐτοῦ, τὴν ἰσχύν, τὴν φροντίδα. Διότι αὐτὸ τὸ πρᾶγμα δὲν ὁδη-

γὰρ τοῦτο τὸ κεφάλαιον εἰς θεογνωσίαν ἄγον. Ποιεῖ μὲν γὰρ τοῦτο φανερὸν καὶ ἀπὸ τῶν κτισμάτων ὁ προφήτης, ὅταν περὶ τῆς προνοίας αὐτοῦ διαλέγηται, ἐπὶ τὸν ἥλιον, καὶ τὸν οὐρανόν, καὶ τὴν γῆν, καὶ τὸν ἀέρα φερόμενος, καὶ ἀπὸ τῆς ἐν τοῖς ὁρωμένοις εὐταξίας τὸν δημιουργὸν ἀνακηρύττων· κινεῖ δὲ καὶ τὸν ἀπὸ τῶν δούλων αὐτοῦ λόγον, καὶ τῶν ἀπ' αὐτοῦ συμβαινόντων· ὃ δὴ καὶ ἐπὶ τοῦ Ἀβραὰμ γέγονεν. Ἔλεγον γὰρ αὐτῷ, «Οἴδαμεν», φησίν, «ὅτι ἀπὸ τοῦ Θεοῦ ἡμῖν ἥκεις βασιλεύς». Πόθεν οἴδατε; Ἀπὸ τῆς νίκης, ἀπὸ τῶν τροπαίων, ἀπὸ τῶν πολέμων. Τοῦτο καὶ ἐπὶ τῶν Ἰουδαίων συνέβη. Τὰ γὰρ θαύματα τὰ ὑπὲρ αὐτῶν γινόμενα, πᾶσαν τὴν γῆν εἰς φόβον ἐνέβαλεν· ὅπερ καὶ ἡ πόρνη τότε ἡ Ἰεριχουντία ἔλεγεν, ὅτι «Ἐπέπεσεν ἐφ' ἡμᾶς ὁ φόβος ὑμῶν καὶ ὁ τρόμος». Μία τοίνυν ὁδὸς ἡ διὰ τῶν κτισμάτων, ἑτέρα καὶ σαφεστέρα ἡ διὰ τῶν δούλων· καὶ ταύτην ἄνωθεν ὁ Θεὸς κατέσπειρε καθ' ἑκάστην γενεὰν τὴν διδασκαλίαν. Τοὺς γοῦν Αἰγυπτίους ἐπαίδευσεν ἀπὸ τοῦ Ἀβραάμ, τοὺς Πέρσας ἀπὸ τοῦ αὐτοῦ πάλιν, τοὺς Ἰσραηλίτας ἀπὸ τῶν ἐκγόνων, καὶ ἑτέρους μυρίους, καὶ διὰ τοῦ Ἰακὼβ ἑτέρους, τοὺς ἐν τῇ Μέσῃ τῶν ποταμῶν.

Εἶδες ἅπασαν τὴν οἰκουμένην παιδευομένην, εἴγε ἤθελον, ἀπὸ τῶν ἁγίων; Καὶ πρὸ τούτων δὲ ὁ κατακλυσμός, ἡ τῶν γλωσσῶν διάχυσις, ἱκανὰ διαναστῆναι αὐτῶν τὴν διάνοιαν. Ἵνα γὰρ μὴ διὰ τὸν χρόνον εἰς λήθην ἐμπέσῃ τὸ συμβάν, ὁ τόπος λαμβάνει τὴν προσηγορίαν, καὶ Βαβυλὼν ἐντεῦθεν λέγεται, ἀπὸ τῆς συγχύσεως τῶν γλωττῶν, ἵνα ὁ ἀκροατὴς ἀπὸ τῆς προσηγορίας ὁδηγούμενος, ἐπὶ τὴν ἀρχὴν ἔλθῃ τῶν συμβάντων, καὶ μάθῃ τοῦ Θεοῦ τὴν ἰσχύν. Οὕτω καὶ οἱ τὴν δύσιν οἰκοῦντες πάντες πάντα ἐμάνθανον, κατ' ἐμπορίαν Αἰγυπτί-

18. Γεν. 23, 6.
19. Ἰησ. Ναυῆ 2, 9.

γεῖ ὀλίγον εἰς τὴν θεογνωσίαν. Τὸ κάμνει βέβαια ὁ προφήτης αὐτὸ φανερὸν καὶ ἀπὸ τὰ κτίσματα, ὅταν ὁμιλῇ διὰ τὴν πρόνοιαν αὐτοῦ, ἀναφερόμενος εἰς τὸν ἥλιον, τὸν οὐρανόν, τὴν γῆν, τὸν ἀέρα, καὶ διακηρύσσων τὸν δημιουργὸν ἀπὸ τὴν ἁρμονικὴν τάξιν αὐτῶν ποὺ βλέπομεν, κινεῖ ὅμως τὸν λόγον καὶ ἀπὸ τοὺς δούλους τοῦ Θεοῦ καὶ ἀπὸ αὐτὰ ποὺ συμβαίνουν εἰς αὐτόν· πρᾶγμα ποὺ συνέβη καὶ εἰς τὴν περίπτωσιν τοῦ Ἀβραάμ. Διότι ἔλεγον εἰς αὐτόν· «Γνωρίζομεν», λέγει, «ὅτι ἀπὸ τὸν Θεὸν ἐστάλης εἰς ἡμᾶς βασιλεύς»[18]. Ἀπὸ ποῦ τὸ γνωρίζετε; Ἀπὸ τὴν νίκην, ἀπὸ τὰ τρόπαια, ἀπὸ τοὺς πολέμους. Αὐτὸ συνέβη καὶ εἰς τὴν περίπτωσιν τῶν Ἰουδαίων. Διότι τὰ θαύματα ποὺ ἔγιναν πρὸς χάριν των, ἔκαναν ὅλην τὴν γῆν νὰ φοβῆται· καὶ αὐτὸ ἀκριβῶς τότε ἔλεγεν ἡ πόρνη ἀπὸ τὴν Ἰεριχώ, ὅτι δηλαδὴ «Ἐκυρίευσεν ἡμᾶς ὁ ἰδικός σας φόβος καὶ τρόμος»[19]. Μία ὁδὸς λοιπὸν ὁδηγεῖ εἰς θεογνωσίαν διὰ τῶν κτισμάτων, ἄλλη περισσότερον εὐδιάκριτος εἶναι ἡ ὁδὸς διὰ τῶν δούλων· καὶ αὐτὴν τὴν διδασκαλίαν τὴν ἔσπειρεν ὁ Θεὸς ἀπὸ τὴν ἀρχὴν εἰς κάθε γενεάν, τοὺς Αἰγυπτίους δηλαδὴ τοὺς ἐδίδαξε μὲ τὸν Ἀβραάμ, τοὺς Πέρσας ἀπὸ τὸν ἴδιον πόλιν, τοὺς Ἰσραηλίτας ἀπὸ τοὺς ἀπογόνους του, καὶ ἀπείρους ἄλλους, καὶ μὲ τὸν Ἰακὼβ ἐδίδαξεν ἄλλους, τοὺς κατοίκους τῆς Μεσοποταμίας.

Εἶδες ὁλόκληρον τὴν οἰκουμένην διδασκομένην, ἐφ' ὅσον βέβαια ἤθελον, ἀπὸ τοὺς ἁγίους; Καὶ πρὶν ἀπὸ αὐτοὺς δὲ ὁ κατακλυσμὸς καὶ ἡ σύγχυσις τῶν γλωσσῶν ἦσαν ἱκανὰ νὰ διεγείρουν τὴν σκέψιν των. Διὰ νὰ μὴ λησμονηθῇ δὲ τὸ γεγονὸς ἀπὸ τὸ πέρασμα τοῦ χρόνου, ὁ τόπος παίρνει τὴν ὀνομασίαν ἀπὸ τὸ συμβὰν καὶ ἀπὸ τότε ὀνομάζεται Βαβυλών, ἀπὸ τὴν σύγχυσιν δηλαδὴ τῶν γλωσσῶν, ὥστε, ὁδηγούμενος ὁ ἀκροατὴς ἀπὸ τὴν ὀνομασίαν, νὰ φθάσῃ εἰς τὴν ἀρχὴν τῶν συμβάντων καὶ νὰ μάθῃ τὴν δύναμιν τοῦ Θεοῦ. Ἔτσι καὶ ὅλοι ἐκεῖνοι ποὺ ἐκατοικοῦσαν εἰς τὴν δύσιν τὰ ἐμάθαιναν ὅλα, ἐρχόμενοι εἰς συναναστρο-

οις συγγινόμενοι. Ἄλλως δὲ ἐν ἀρχαῖς καὶ ἐν προοιμίοις οὐδὲ πολλὰ ἔθνη κατὰ τὸ μέρος τῆς οἰκουμένης ἐκεῖνο ἦν· ἀλλ' ἡ πολυανθρωπία καὶ ἡ πολυοχλία ἐν τοῖς μέρεσι τοῖς κατὰ τὴν ἀνατολὴν συνειστήκει. Καὶ γὰρ καὶ ὁ Ἀδὰμ ἐκεῖθεν ἐξῆλθε, καὶ τὰ γένη τοῦ Νῶε ἐκεῖ διέτριβε, καὶ μετὰ τὸν πύργον ἐκεῖ ἦσαν, καὶ ἀνεστρέφοντο ἐπὶ πλεῖον κατὰ ἀνατολάς. Ἀλλ' ὅμως καθ' ἑκάστην γενεὰν διδασκάλους αὐτοῖς κατέστησεν ὁ Θεός, τὸν Νῶε, τὸν Ἀβραάμ, τὸν Ἰσαάκ, τὸν Ἰακώβ, τὸν Μελχισεδέκ. Διὸ καὶ ὁ προφήτης οὗτος ἀπὸ τῶν εἰς τοὺς ἁγίους γενομένων ἀνάγει τοὺς ἐν πονηρίᾳ ζῶντας, λέγων· «Γνῶτε ὅτι ἐθαυμάστωσε Κύριος τὸν ὅσιον αὐτοῦ». Τί ἐστιν, «Ἐθαυμάστωσε»; Θαυμαστὸν ἐποίησεν, ἐπίσημον, λαμπρόν, περιφανῆ τὸν ἀνακείμενον αὐτῷ. Ἀπὸ τοῦ δούλου τοίνυν καὶ τῶν εἰς αὐτὸν συμβαινόντων μάθετε τοῦ Δεσπότου τὴν δύναμιν. Οὐκ εἶπε, δέδωκεν ἀγαθόν, μόνον, ἀλλ', «Ἐθαυμάστωσε», δηλῶν ὅτι δέδωκε μετὰ πολλοῦ τοῦ θαύματος, μετὰ πολλῆς τῆς παραδοξοποιίας. Οὕτω καὶ ἐπὶ τοῦ Ἀβραὰμ γέγονεν. Οὐ γὰρ μόνον τὴν γυναῖκα ἔδωκεν ἀνέπαφον, ἀλλὰ καὶ θαυμαστὸν αὐτὸν παρεσκεύασεν, ὡς μὴ μόνον ἐν τῷ μὴ παθεῖν τι δεινὸν εἶναι αὐτῷ τὴν δωρεάν, ἀλλὰ καὶ ἐν τῷ λαμπρὸν γενέσθαι κατὰ τὴν Αἴγυπτον. Τὸ μὲν γὰρ διὰ τὴν αὐτοῦ δικαιοσύνην ἐγένετο, τὸ μηδὲν ἀηδὲς παθεῖν, τὸ δὲ διὰ τὴν ἐκείνων ὠφέλειαν, τὸ μετὰ παραδοξοποιίας ἐκεῖθεν ἐπανελθεῖν. Τοῦτο ἐπὶ τῶν τριῶν παίδων, τοῦτο ἐπὶ τῶν λεόντων συνέβη, τοῦτο ἐπὶ τοῦ κήτους καὶ τοῦ Ἰωνᾶ, καὶ πανταχοῦ μετὰ θαύματος σώζει, οὐχ ἁπλῶς πάντας, ἀλλὰ τὸν ὅσιον.

6. Εἶδες πῶς μετὰ τῆς θεογνωσίας, καὶ βίου ἀκριβοῦς παραίνεσιν ποιεῖται, παιδεύων μὴ μόνον ἐν τῇ χρηστότητι τοῦ

φὴν μέσῳ τῶν Αἰγυπτίων ἐμπόρων. Ἄλλωστε δὲ εἰς τὴν ἀρχὴν δὲν ἦσαν πολλὰ τὰ ἔθνη πού ἐκατοικοῦσαν εἰς ἐκεῖνο τὸ μέρος, ἀλλ' ἡ πολυανθρωπία καὶ τὸ πολὺ πλῆθος ὑπῆρχε συγκεντρωμένον εἰς τὴν ἀνατολήν. Καθ' ὅσον καὶ ὁ Ἀδὰμ ἀπὸ ἐκεῖ ἐξῆλθεν, καὶ αἱ φυλαὶ τοῦ Νῶε ἐκεῖ ἐζοῦσαν καὶ μετὰ τὸ γεγονὸς τοῦ πύργου Βαβὲλ ἐκεῖ ἐζοῦσαν καὶ συνανεστρέφοντο ὡς ἐπὶ τὸ πλεῖστον τοὺς ἀνατολικοὺς λαούς. Ἀλλ' ὅμως εἰς κάθε μίαν γενεὰν ὥρισεν ὁ Θεὸς διδασκάλους δι' αὐτούς, τὸν Νῶε, τὸν Ἀβραάμ, τὸν Ἰσαάκ, τὸν Ἰακώβ, τὸν Μελχισεδέκ. Διὰ τοῦτο καὶ ὁ προφήτης αὐτὸς ὁδηγεῖ ἐκείνους ποὺ ἐζοῦσαν μέσα εἰς τὴν κακίαν, ἀπὸ τὰ ὅσα συνέβησαν εἰς τοὺς ἁγίους, λέγων· «Μάθετε ὅμως ὅτι ὁ Κύριος κατέστησε θαυμαστὸν τὸν ἀφωσιωμένον εἰς αὐτόν». Τί σημαίνει, «ἐθαυμάστωσε»; Τὸν ἔκαμε θαυμαστόν, ἐπίσημον, λαμπρόν, ἔνδοξον τὸν ἀφωσιωμένον εἰς αὐτόν. Ἀπὸ τὸν δοῦλον λοιπὸν καὶ τὰ ὅσα συμβαίνουν εἰς αὐτὸν μάθετε τὴν δύναμιν τοῦ Κυρίου. Δὲν εἶπε μόνον, ὅτι τοῦ ἔδωσεν ἀγαθά, ἀλλὰ «τὸν ἔκαμε θαυμαστόν», διὰ νὰ δείξῃ ὅτι τοῦ τὰ ἔδωσε κατὰ τρόπον πολὺ θαυμαστὸν καὶ μὲ πάρα πολὺ παράδοξον τρόπον. Ἔτσι συνέβη καὶ μὲ τὸν Ἀβραάμ. Ὄχι μόνον δηλαδὴ τοῦ ἔδωσε τὴν γυναῖκα του ἀνέπαφον, ἀλλὰ καὶ τὸν ἔκαμε θαυμαστόν, ὥστε ἡ δωρεά του πρὸς αὐτὸν νὰ μὴ περιορίζεται μόνον εἰς τὸ ὅτι δὲν ἔπαθε κανένα κακόν, ἀλλὰ καὶ νὰ γίνῃ ἔνδοξος εἰς τὴν Αἴγυπτον. Διότι τὸ μὲν ἕνα συνέβη ἐξ αἰτίας τῆς δικαιοσύνης του, δηλαδὴ τὸ νὰ μὴ πάθῃ τίποτε τὸ ἀτιμωτικόν, τὸ δὲ ἄλλο, ἡ παράδοξος δηλαδὴ ἐπάνοδός του ἀπὸ ἐκεῖ, συνέβη διὰ τὴν ὠφέλειαν ἐκείνων. Αὐτὸ συνέβη καὶ μὲ τὰ τρία παιδιά, αὐτὸ καὶ μὲ τὰ λεοντάρια, αὐτὸ καὶ μὲ τὸ κῆτος τοῦ Ἰωνᾶ, καὶ παντοῦ σώζει κατὰ τρόπον θαυμαστόν, ὄχι ὅλους γενικῶς, ἀλλὰ τὸν ἀφωσιωμένον εἰς αὐτόν.

6. Εἶδες πῶς μαζὶ μὲ τὴν θεογνωσίαν συμβουλεύει καὶ τρόπον ζωῆς ὀρθόν, διδάσκων νὰ στηρίζωμεν τὰς ἐλ-

Θεοῦ, ἀλλὰ καὶ ἐν τῇ τῶν οἰκείων ἔργων ἀρετῇ τὰς ἐλπίδας ἔχειν τῆς σωτηρίας; «Κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν». Εἰπὼν ὅτι ἐθαυμάστωσεν, οὐχ ἵσταται μέχρι τούτων, ἀλλὰ καὶ ἕτερον εὐημερίας εἶδος λέγει. Ποῖον δὴ τοῦτο; Τὸ διηνεκῶς ἔχειν τὸν Θεὸν σύμμαχον καὶ βοηθόν, καὶ πανταχοῦ παριστάμενον. Οὐ γὰρ ἅπαξ τοῦτο ποιεῖ καὶ δὶς καὶ τρίς, ἀλλὰ διηνεκῶς, φησίν, ἐὰν αὐτὸν καλῶμεν. Καὶ ὅρα πάλιν κἀνταῦθα τὸ τάχος. Ὥσπερ γὰρ ἄνω ἔλεγεν, «Ἐν τῷ ἐπικαλεῖσθαί με, εἰσήκουσέ μου ὁ Θεὸς τῆς δικαιοσύνης μου», οὕτω καὶ ἐνταῦθα. «Ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν». Πῶς οὖν οὐκ ἀκούονται πολλοί, φησί; Διὰ τὸ ἀσύμφορα αἰτεῖν. Ἐνταῦθα γὰρ τὸ μὴ ἀκουσθῆναι τοῦ ἀκουσθῆναι βέλτιον. Ὥστε κἂν ἀκουώμεθα, μὴ διὰ τοῦτο χαίρωμεν, ἀλλὰ καὶ ὅταν μὴ ἀκουώμεθα, καὶ διὰ τοῦτο δοξάζωμεν. Ἢ γὰρ ἀσύμφορα αἰτοῦντες οὐκ ἀκουόμεθα, καὶ τῷ μὴ λαβεῖν κερδαίνομεν, ἢ ῥαθύμως αἰτοῦμεν, καὶ τῇ μελλήσει τῆς δόσεως τὴν προσεδρίαν ἡμῖν ὁ Θεὸς σοφίζεται· καὶ τοῦτο δὲ οὐ μικρὸν κέρδος. «Εἰ γὰρ ὑμεῖς», φησίν, «οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν», πολλῷ μᾶλλον ὁ Θεὸς ἡμῶν, ἐπιστάμενος τὸ δοῦναι, καὶ τὸ πότε δοῦναι, καὶ τὸ τί δοῦναι. Ἐπεὶ καὶ Παῦλος ἤτησε, καὶ οὐκ ἔλαβεν· ἀσύμφορον γὰρ ᾔτει· καὶ Μωϋσῆς, καὶ οὐδὲ ἐκείνῳ ἐπένευσεν ὁ Θεός. Μὴ τοίνυν ἀποστῶμεν, ὅταν μὴ ἀκουώμεθα, μηδὲ ἀλύωμεν καὶ ναρκῶμεν, ἀλλ'

20. Ματθ. 7, 11.

πίδας διὰ τὴν σωτηρίαν μας ὄχι μόνον εἰς τὴν ἀγαθότητα τοῦ Θεοῦ, ἀλλὰ καὶ εἰς τὴν ἀρετὴν τῶν ἰδικῶν μας ἔργων; «Ὁ Κύριος θὰ εἰσακούσῃ τὴν προσευχήν μου ὅταν μὲ πόθον θὰ φωνάζω πρὸς αὐτόν». Ἀφοῦ εἶπεν ὅτι τὸν ἔκαμε θαυμαστόν, δὲν σταματᾷ μέχρις ἐδῶ, ἀλλ' ἀναφέρει καὶ ἄλλο εἶδος εὐτυχίας. Ποῖον λοιπὸν εἶναι αὐτό; Τὸ ὅτι ἔχει διαρκῶς τὸν Θεὸν σύμμαχον καὶ βοηθὸν καὶ παντοῦ συμπαραστάτην. Διότι δὲν τὸ κάνει αὐτὸ μίαν καὶ δύο καὶ τρεῖς φοράς, ἀλλὰ συνεχῶς, λέγει, ἐὰν τὸν καλῶμεν. Καὶ πρόσεχε πάλιν καὶ ἐδῶ τὴν ταχεῖαν βοήθειαν. Διότι ὅπως ἀκριβῶς προηγουμένως ἔλεγεν, «Κάθε φορὰν ποὺ σὲ ἐπεκαλέσθην εἰσήκουσες τὴν προσευχήν μου καὶ ἐπροστάτευσες, Θεέ μου, τὸ δίκαιόν μου», ἔτσι καὶ ἐδῶ λέγει, «Ὅταν θὰ φωνάζω μὲ πόθον πρὸς αὐτόν». Πῶς λοιπόν, λέγει, πολλοὶ δὲν εἰσακούονται; Ἐπειδὴ ζητοῦν ἀσύμφορα πράγματα. Διότι εἰς τὴν περίπτωσιν αὐτὴν εἶναι καλύτερα νὰ μὴ εἰσακουσθοῦν παρὰ νὰ εἰσακουσθοῦν. Ὥστε καὶ ὅταν εἰσακουώμεθα, δὲν πρέπει νὰ χαιρώμεθα δι' αὐτό, ἀλλὰ καὶ ὅταν δὲν εἰσακουώμεθα, καὶ δι' αὐτὸ πρέπει νὰ δοξάζωμεν τὸν Θεόν. Διότι ἢ δὲν εἰσακουόμεθα ἐπειδὴ ζητοῦμεν ἀσύμφορα, καὶ ὠφελούμεθα μὲ τὸ νὰ μὴ λαμβάνωμεν αὐτὰ ποὺ ζητοῦμεν, ἢ ζητοῦμεν μὲ ἀδιαφορίαν καὶ μὲ τὸ νὰ καθυστερῇ νὰ μᾶς τὰ δώσῃ ἐκεῖνα ποὺ ζητοῦμεν, βοηθεῖ ὁ Θεὸς εἰς τὴν αὔξησιν τῆς ἐπιμονῆς μας εἰς τὸ αἴτημά μας, καὶ αὐτὸ δὲν εἶναι μικρὸν κέρδος. Διότι, «ἐὰν σεῖς», λέγει, «γνωρίζετε νὰ δίδετε ὠφέλιμα πράγματα εἰς τὰ παιδιά σας»[20], πολὺ περισσότερον ὁ Θεός μας γνωρίζει νὰ δίδῃ, πότε νὰ δίδῃ καὶ τί νὰ δίδῃ. Καθ' ὅσον καὶ ὁ Παῦλος ἐζήτησε καὶ δὲν ἔλαβε· διότι ἐζήτει ἀσύμφορον πρᾶγμα· καὶ ὁ Μωυσῆς ἐζήτησε καὶ οὔτε εἰς ἐκεῖνον ἔδωσε τὴν ἔγκρισιν ὁ Θεός. Ἂς μὴ ἐγκαταλείπωμεν λοιπὸν τὴν προσπάθειάν μας ὅταν δὲν εἰσακουώμεθα, οὔτε νὰ κυριευώμεθα ἀπὸ ἀτονίαν καὶ νὰ διακόπτωμεν κάθε ἐνέργειάν μας, ἀλλὰ νὰ ἐπιμένωμεν εἰς τὴν προσπά-

ἐπιμένωμεν τῇ προσεδρίᾳ καὶ τῇ αἰτήσει. Πάντα γὰρ συμφερόντως ὁ Θεὸς ἐργάζεται.

«Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε· ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε». Ὅπερ ἔμπροσθεν εἶπον, τοῦτο καὶ νῦν λέγω. Ἐπειδὴ γὰρ πρὸς θεογνωσίαν αὐτοὺς μέλλει χειραγωγεῖν, ἀπαλλάττει τὴν ψυχὴν τῶν νοσημάτων. «Οἶδε γάρ, ὅτι βίος διεφθαρμένος κώλυμα τῆς τῶν ὑψηλῶν δογμάτων ἀκριβείας γίνεται. Ὅπερ οὖν καὶ Παῦλος αἰνιττόμενος ἔλεγεν· «Οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς, ἀλλ' ὡς σαρκικοῖς». Καὶ πάλιν· «Ὡς νηπίοις ἐν Χριστῷ, γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα». Καὶ πάλιν· «Περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος καὶ δυσερμήνευτος, ἐπεὶ νωθροί ἐστε τὴν ἀκοήν». Καὶ ὁ Ἠσαΐας πάλιν· «Ζητεῖ με ὁ λαὸς οὗτος καὶ γνῶναί μου τὰς ὁδοὺς ἐπιθυμοῦσιν, ὡς λαὸς δικαιοσύνην πεποιηκώς, καὶ κρίσιν Θεοῦ μὴ ἐγκαταλελοιπώς». Καὶ Ὠσηέ· «Σπείρατε ἑαυτοῖς εἰς δικαιοσύνην, φωτίσατε φῶς γνώσεως». Καὶ ὁ Χριστὸς διδάσκων ἔλεγε· «Πᾶς ὁ φαῦλα πράσσων, μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς». Καὶ πάλιν, «Πῶς δύνασθε πιστεύειν, δόξαν παρ' ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες;». Καὶ πάλιν· «Ταῦτα εἶπον οἱ γονεῖς αὐτοῦ, ὅτι ἐφοβοῦντο τοὺς Ἰουδαίους, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται». Καὶ πάλιν· «Πολλοὶ δὲ ἐπίστευσαν εἰς αὐτόν, καὶ διὰ τοὺς Φαρισαίους οὐχ ὡμολόγουν». Καὶ πανταχοῦ ἴδοι τις ἂν τὸν διεφθαρμένον βίον πρὸς δογμάτων ἀκρίβειαν ἐμπόδιον γινόμενον. Ὥσπερ γὰρ λήμη τῇ τῶν

21. Α΄ Κορ. 3, 1.
22. Α΄ Κορ. 3, 2.
23. Ἑβρ. 5, 11.
24. Ἠσ. 58, 2.
25. Ὠσ. 10, 12.
26. Ἰω. 3, 20.
27. Ἰω. 5, 44.
28. Ἰω. 9, 22.
29. Ἰω. 12, 42.

θειάν μας καὶ εἰς τὸ αἴτημά μας. Διότι ὅλα ὁ Θεὸς τὰ κάμνει πρὸς τὸ συμφέρον μας.

«Ὀργίζεσθε ἐναντίον μου, ἀλλὰ μὴ ἁμαρτάνετε· ἐκεῖνα ποὺ μελετᾶτε εἰς τὴν καρδίαν σας, νὰ τὰ ἐξετάζετε τὴν νύκτα εἰς τὴν κλίνην σας καὶ νὰ μετανοῆτε». Ἐκεῖνο ποὺ εἶπα προηγουμένως, αὐτὸ καὶ τώρα θὰ εἰπῶ. Ἐπειδὴ δηλαδὴ πρόκειται νὰ τοὺς ὁδηγήσῃ εἰς τὸ νὰ γνωρίσουν τὸν Θεόν, ἀπαλλάσσει τὴν ψυχὴν ἀπὸ τὰ νοσήματα. Διότι γνωρίζει ὅτι ὁ διεφθαρμένος βίος γίνεται ἐμπόδιον εἰς τὴν ἀκριβῆ γνῶσιν τῶν ὑψηλῶν δογμάτων. Αὐτὸ ἀκριβῶς λοιπὸν ὑπαινισσόμενος καὶ ὁ Παῦλος, ἔλεγε· «Δὲν ἠμπόρεσα νὰ σᾶς ὁμιλήσω ὅπως θὰ ἐταίριαζεν εἰς πνευματικοὺς ἀνθρώπους, ἀλλ᾿ ὅπως ἐταίριαζεν εἰς σαρκικούς»[21]. Καὶ πάλιν· «Ὡσὰν νήπια ἐν Χριστῷ, σᾶς ἐπότισα γάλα καὶ δὲν σᾶς ἔδωσα στερεὰν τροφήν»[22]. Καὶ πάλιν· «Δι᾿ αὐτὸ τὸ θέμα ἔχομεν πολλὰ νὰ εἰποῦμεν, ποὺ ὅμως δύσκολα ἐξηγοῦνται, ἐπειδὴ ἐγίνατε νωθροὶ εἰς τὸ νὰ τὰ ἐννοῆτε»[23]. Καὶ ὁ Ἠσαΐας πάλιν λέγει· «Μὲ ζητεῖ αὐτὸς ὁ λαὸς καὶ ἐπιθυμεῖ νὰ γνωρίσῃ τὰς ὁδούς μου, ὡσὰν λαὸς ποὺ ἔζησε μὲ δικαιοσύνην καὶ δὲν ἐγκατέλειψε τὰ προστάγματα τοῦ Θεοῦ»[24]. Καὶ ὁ Ὠσηέ· «Σπείρατε διὰ τὸν ἑαυτόν σας δικαιοσύνην, φωτίσατε τὸν ἑαυτόν σας μὲ φῶς γνώσεως»[25]. Καὶ ὁ Χριστὸς διδάσκων ἔλεγε· «Ὁ καθένας ποὺ πράττει κακὰ ἔργα μισεῖ τὸ φῶς καὶ δὲν ἔρχεται πρὸς τὸ φῶς»[26]. Καὶ πάλιν· «Πῶς ἠμπορεῖτε νὰ ἔχετε πίστιν, ἀφοῦ λαμβάνετε τιμὰς ὁ ἕνας ἀπὸ τὸν ἄλλον, καὶ δὲν ζητᾶτε τὴν τιμὴν ποὺ προέρχεται ἀπὸ τὸν μόνον Θεόν;»[27]. Καὶ πάλιν· «Αὐτὰ τὰ εἶπαν οἱ γονεῖς του, διότι ἐφοβοῦντο τοὺς Ἰουδαίους, διὰ νὰ μὴ τοὺς διώξουν ἀπὸ τὴν συναγωγήν»[28]. Καὶ πάλιν· «Πολλοὶ δὲ ἐπίστευσαν εἰς αὐτόν, ἀλλ᾿ ἐξ αἰτίας τῶν Φαρισαίων δὲν τὸ ἐφανέρωναν»[29]. Καὶ παντοῦ θὰ ἠμποροῦσε κανεὶς νὰ ἰδῇ τὸν διεφθαρμένον βίον νὰ γίνεται ἐμπόδιον εἰς τὸ νὰ γνωρίσουν πλήρως τὰς ἀληθείας. Διότι ὅπως ἀκριβῶς ἡ τσίμπλα προσκολλημένη εἰς τὴν

ὀφθαλμῶν διειδεῖ κόρῃ προσινάζουσα ἐπισκοπεῖ καὶ θολοῖ τὸ φωτίζον, οὕτω δὴ καὶ λογισμὸς ὑπὸ πονηρίας κατειλημμένος σκοτοῖ καὶ πηροῖ τὴν διάνοιαν. Διὸ καὶ ὁ προφήτης τοῦτο εἰδὼς λέγει· «Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε». Οὐ γὰρ τὴν ὀργὴν ἀναιρεῖ, χρησίμη γάρ, οὐδὲ τὸν θυμὸν ἐκκόπτει, καὶ γὰρ ὠφέλιμος κατὰ τῶν ἀδικούντων γινόμενος καὶ κατὰ τῶν ῥαθύμων, ἀλλὰ τὴν ἄδικον ὀργήν, τὸν ἄλογον θυμόν. Καὶ καθάπερ ὁ Μωϋσῆς εἰ τὸν ἠθικὸν ἐμπεσὼν λόγον, ὑπὸ τούτου πρῶτον τῆς νομοθεσίας τὴν ἀρχὴν ποιεῖται, λέγων, «Οὐ φονεύσεις», οὕτω δὴ καὶ οὗτος· ἀλλὰ καὶ πλεῖον οὗτος, ὅσῳ καὶ μᾶλλον τὰ τῆς εὐσεβείας γνωριμώτερα ἦν. Ὁ μὲν γὰρ τὸν φόνον ἐκκόπτει, οὗτος δὲ καὶ τὴν μητέρα τοῦ φόνου, τὴν ὀργήν, καὶ τὴν ῥίζαν, καὶ τὴν πηγὴν οὖσαν τοῦ κακοῦ ἀναστέλλει. Διὸ καὶ ὁ Χριστὸς καταστέλλων τὴν ὀργήν, ἔλεγεν· «Ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός».

Εἶδες πανταχοῦ μέτρα· «Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε». Ὁ ὀργιζόμενος εἰκῇ· ἔστι γὰρ καὶ δικαίως ὀργίζεσθαι· ἐπεὶ καὶ Παῦλος ὠργίσθη τῷ Ἐλύμᾳ, καὶ Πέτρος τῇ Σαπφείρῃ. Ἀλλ' οὐκ ἂν εἴποιμι τοῦτο ὀργὴν ἁπλῶς, ἀλλὰ φιλοσοφίαν, καὶ κηδεμονίαν, καὶ οἰκονομίαν. Ὀργίζεται καὶ πατὴρ υἱῷ, ἀλλὰ κηδόμενος. Ἐκεῖνός ἐστιν ὁ ὀργιζόμενος εἰκῇ, ὁ ἑαυτὸν ἐκδικῶν· ὁ δὲ τὰ ἑτέρων διορθῶν, οὗτος πάντων ἐστὶν ἡμερώτερος. Ἐπειδὴ καὶ ὁ Θεός, ἐπὰν λέγηται ὀργίζεσθαι, οὐχ ἑαυτῷ ἀμύνων ὀργίζεται, ἀλλ' ἡμᾶς διορθούμενος. Τοῦτον τοίνυν καὶ ἡμεῖς μιμώμεθα. Τὸ μὲν γὰρ οὕτως ἐπεξιέναι,

30. Ἐξ. 20, 15.
31. Ματθ. 5, 22.
32. Πράξ. 13, 6-12.
33. Πράξ. 5, 1-11.

διαλάμπουσαν κόρην τῶν ὀφθαλμῶν ἐπισκοτίζει καὶ θολώνει ἐκεῖνο ποὺ φωτίζει, ἔτσι λοιπὸν καὶ ὁ λογισμὸς κυριευμένος ἀπὸ κακίαν σκοτίζει καὶ βλάπτει τὸν νοῦν. Διὰ τοῦτο καὶ ὁ προφήτης γνωρίζων αὐτὸ λέγει· «Ὀργίζεσθε ἐναντίον μου, ἀλλ' μὴ ἁμαρτάνετε». Βέβαια δὲν ἀπορρίπτει τὴν ὀργήν, διότι εἶναι χρήσιμη, οὔτε ἐκριζώνει τὸν θυμόν, καθ' ὅσον ἀποβαίνει πρὸς ὠφέλειαν ὅταν ἐκδηλώνεται ἐναντίον ἐκείνων ποὺ ἀδικοῦν καὶ ἐναντίον ἐκείνων ποὺ εἶναι ἀδιάφοροι, ἀλλὰ ἐννοεῖ τὴν ἄδικον ὀργὴν καὶ τὸν παράλογον θυμόν. Καὶ ὅπως ἀκριβῶς ὁ Μωϋσῆς, ἀρχίζων τὴν ἠθικὴν νομοθεσίαν του, ἀπὸ ἐδῶ κάμνει ἀρχὴν αὐτῆς λέγων «Δὲν θὰ φονεύσῃς»[30], ἔτσι καὶ αὐτός, ἀλλὰ καὶ τόσον περισσότερον, ὅσον περισσότερον ἦσαν γνωστότερα τὰ τῆς εὐσεβείας. Διότι ὁ μὲν Μωϋσῆς ἐκριζώνει τὸν φόνον, ἐνῷ αὐτὸς καταστρέφει καὶ τὴν μητέρα τοῦ φόνου, τὴν ὀργὴν ποὺ εἶναι ἡ ρίζα καὶ ἡ πηγὴ τοῦ κακοῦ. Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἐκριζώνων τὴν ὀργήν, ἔλεγεν· «Ἐκεῖνος ποὺ ὀργίζεται ἐναντίον τοῦ ἀδελφοῦ του χωρὶς λόγον, θὰ εἶναι ἔνοχος καὶ θὰ ριφθῇ εἰς τὴν γέενναν»[31].

Εἶδες παντοῦ μέτρα· «Νὰ ὀργίζεσθε, ἀλλ' ὅμως νὰ μὴ ἁμαρτάνετε». Ὑπάρχει ἐκεῖνος ποὺ ὀργίζεται χωρὶς λόγον· ὑπάρχει ὅμως καὶ ἐκεῖνος ποὺ ὀργίζεται δίκαια· καθ' ὅσον καὶ ὁ Παῦλος ὠργίσθη ἐναντίον τοῦ Ἐλύμα[32] καὶ ὁ Πέτρος ἐναντίον τῆς Σαπφείρας[33]. Ἀλλ' αὐτὸ δὲν θὰ ἠμπορούσαμεν νὰ τὸ ὀνομάσωμεν ἁπλῶς ὀργήν, ἀλλὰ εὐσέβειαν, κηδεμονίαν καὶ οἰκονομίαν. Ὀργίζεται καὶ ὁ πατέρας ἐναντίον τοῦ υἱοῦ του, ἀλλὰ ἀπὸ ἀγάπην πρὸς αὐτόν. Ἐκεῖνος εἶναι ποὺ ὀργίζεται χωρὶς λόγον, ἐκεῖνος ποὺ λαμβάνει ἐκδίκησιν διὰ κάποιο κακὸν ποὺ τοῦ ἔγινεν, ἐνῷ ἐκεῖνος ποὺ διορθώνει τὰ σφάλματα τῶν ἄλλων, αὐτὸς εἶναι ὁ πιὸ ἤπιος ἀπὸ ὅλους. Διότι καὶ ὁ Θεός, ὅταν λέγεται ὅτι ὀργίζεται, δὲν ὀργίζεται ὑπερασπιζόμενος τὸν ἑαυτόν του, ἀλλὰ διὰ νὰ διορθώσῃ ἡμᾶς. Αὐτὸν λοιπὸν ἂς μιμούμεθα καὶ ἡμεῖς. Διότι ἡ ἐνέργεια κατ' αὐτὸν τὸν τρό-

θεῖον· τὸ δὲ ἑτέρως, ἀνθρώπινον. Ἀλλ' ὁ Θεὸς οὐ ταύτῃ ἡμῶν διέστηκε μόνον, ᾗ δικαίως ὀργίζεται, ἀλλ' ὅτι οὐδὲ πάθος περὶ Θεόν ἐστιν ἡ ὀργή. Μὴ τοίνυν μηδὲ ἡμεῖς ὀργιζώμεθα εἰκῇ. Καὶ γὰρ διὰ τοῦτο ἐνετέθη ἡμῖν ἡ ὀργή, οὐχ ἵνα ἁμαρτάνωμεν, ἀλλ' ἵνα ἑτέρους ἁμαρτάνοντας κωλύωμεν· οὐχ ἵνα πάθος καὶ νόσημα γένηται, ἀλλ' ἵνα παθῶν φάρμακον.

7. Ἐννόησον τοίνυν κακίας ὑπερβολήν, ὅταν τὸ φάρμακον δηλητήριον γίνηται, ὅταν δι' οὗ τὰ ἑτέρων τραύματα διορθοῦν χρή, διὰ τούτου τραύματα ἐργαζώμεθα· ὥσπερ ἂν εἴ τις σίδηρον λαβὼν ἵνα τὰς ἑτέρων σηπεδόνας ἐκκόπτῃ, ἑαυτὸν εἰκῇ κατακόπτῃ, πανταχῇ τοῦ σώματος ἕλκη ποιῶν· ἢ κυβερνήτης ὢν διὰ τῶν οἰάκων καταδύῃ τὸ σκάφος, δι' ὧν τῶν ἀτάκτων πνευμάτων τὴν ῥύμην ἐκκόπτειν ἔδει. Τοιοῦτόν τι καὶ ἡ ὀργή ἐστιν, ὄργανον χρήσιμον, ἵνα τὸ ὑπνηλὸν ἡμῶν διεγείρῃ, ἵνα τόνον ἐντιθῇ τῇ ψυχῇ, ἵνα σφοδροτέρους ἐργάζηται πρὸς τὰς ὑπὲρ τῶν ἀδικουμένων ἀγανακτήσεις, ἵνα τιμωροὺς ποιῇ τοῖς ἐπιβούλοις. Διὰ δὴ τοῦτό φησιν, «Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε». Εἰ δὲ μὴ ἦν δυνατὸν τοῦτο, οὐκ ἂν ἐπέταξε. Τὰ γὰρ ἀδύνατα οὐδεὶς ἐπιτάττει.

Εἰσάγων τοίνυν νόμον ἀποστολικόν, καὶ φιλοσοφίαν εὐαγγελικήν, καὶ τὰ αὐτὰ εἰπὼν ἅπερ καὶ ὁ Χριστός, ἑτέραν προστίθησι παραίνεσιν οὕτω λέγων· «Ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε». Τί ἐστι τὸ εἰρημένον; Δοκεῖ γὰρ ἀσαφὲς εἶναι. Ἐν τῷ καιρῷ τῷ μετὰ τὰ δεῖπνα, φησίν, ἡνίκα ἂν πρὸς ὕπνον ἀπίητε, ἡνίκα ἂν μέλλητε κατακλίνεσθαι, καὶ μηδενὸς παρόντος πολλὴ ἡ ἡσυχία, βαθεῖα ἡ γαλήνη μηδενὸς διενοχλοῦντος, τὸ δικαστήριον ἔγειρον τοῦ

πον εἶναι θεία, ἐνῷ ἡ κατ' ἄλλον τρόπον εἶναι ἀνθρωπίνη. Ἀλλ' ὁ Θεὸς δὲν διαφέρει ἀπὸ ἡμᾶς ὡς πρὸς αὐτὸ μόνον, τὸ ὅτι δικαίως ὀργίζεται, ἀλλ' οὔτε κἂν πάθος εἶναι ἡ ὀργὴ εἰς τὸν Θεόν. Ἂς μὴ ὀργιζώμεθα λοιπὸν καὶ ἡμεῖς χωρὶς λόγον. Καθ' ὅσον διὰ τοῦτο ἐτοποθετήθη μέσα μας ἡ ὀργή, ὄχι διὰ νὰ ἁμαρτάνωμεν, ἀλλὰ διὰ νὰ ἐμποδίζωμεν ἄλλους ν' ἁμαρτάνουν· ὄχι διὰ νὰ μᾶς γίνεται πάθος καὶ νόσημα, ἀλλὰ διὰ νὰ γίνεται φάρμακον διὰ τὰ πάθη μας.

7. Σκέψου λοιπὸν ὑπερβολὴν κακίας, ὅταν τὸ φάρμακον γίνεται δηλητήριον, ὅταν μὲ ἐκεῖνο ποὺ πρέπει νὰ διορθώνωμεν τὰ τραύματα τῶν ἄλλων, μὲ αὐτὸ ἀνοίγομεν τραύματα· ὅπως ἀκριβῶς ἐὰν ἤθελε λάβει κάποιος μαχαίρι, διὰ νὰ καθαρίσῃ τὰ σάπια μέλη τῶν ἄλλων, αὐτὸς ὅμως χωρὶς λόγον κατακόπτει τὸν ἑαυτόν του, δημιουργῶν εἰς ὅλα τὰ μέρη τοῦ σώματός του πληγάς· ἢ ἐνῷ εἶναι κάποιος κυβερνήτης, καταποντίζει τὸ πλοῖον μὲ τὸ πηδάλι, μὲ τὸ ὁποῖον ἔπρεπε ν' ἀνακόψῃ τὴν ὁρμὴν τῶν ἀτάκτων ἀνέμων. Κάτι παρόμοιον εἶναι καὶ ἡ ὀργή, ὄργανον χρήσιμον, διὰ νὰ διεγείρῃ τὴν ὑπνηλίαν μας, διὰ νὰ τονώνῃ τὴν ψυχήν μας, διὰ νὰ καθιστᾷ περισσότερον ἐνεργητικὴν τὴν ἀγανάκτησίν μας ὑπὲρ τῶν ἀδικουμένων, διὰ νὰ τιμωρῇ ἐκείνους ποὺ ἐπιβουλεύονται τοὺς ἄλλους. Διὰ τοῦτο λοιπὸν λέγει, «Ὀργίζεσθε, ἀλλὰ μὴ ἁμαρτάνετε». Ἐὰν δὲ δὲν ἦτο αὐτὸ δυνατόν, δὲν θὰ μᾶς τὸ διέτασσε. Διότι κανεὶς δὲν διατάσσει τὰ ἀδύνατα.

Κηρύσσων λοιπὸν ἀποστολικὸν νόμον καὶ φιλοσοφίαν εὐαγγελικὴν καὶ ἀφοῦ εἶπεν αὐτὰ ποὺ εἶπεν ὁ Χριστός, προσθέτει ἄλλην συμβουλήν, λέγων τὸ ἑξῆς· «Αὐτὰ ποὺ μελετᾶτε εἰς τὴν καρδίαν σας, νὰ τὰ ἐξετάζετε εἰς τὴν κλίνην σας καὶ νὰ μετανοῆτε». Τί σημαίνουν αὐτὰ τὰ λόγια; Διότι φαίνονται ὅτι εἶναι ἀσαφῆ. Κατὰ τὴν ὥραν μετὰ τὰ δεῖπνα, λέγει, ὅταν πηγαίνετε δι' ὕπνον, ὅταν πρόκειται νὰ πλαγιάσετε, καὶ ἐπικρατεῖ πολλὴ ἡσυχία, ἀφοῦ δὲν εἶναι κανεὶς παρών, καὶ βαθεῖα γαλήνη, ἀφοῦ τίποτε δὲν

συνειδότος, εὐθύνας ἀπαίτησον αὐτό, καὶ ἃ μεθ' ἡμέραν ἐβουλεύσω πονηρά, ἢ δόλους ῥάπτων, ἢ τὸν πλησίον ὑποσκελίζων, ἢ ἐπιθυμίας δεχόμενος διεφθαρμένας, ταῦτα ἐν τῷ καιρῷ τῆς ἡσυχίας ἐκείνης εἰς μέσον ἀγαγών, καὶ τὸ συνειδὸς ἐπιστήσας τοῖς ἀτόποις τούτοις λογισμοῖς, κατάξαινε αὐτούς, καὶ δίκην ἀπαίτει, κατάτεινε τὴν ἁμαρτοῦσαν διάνοιαν. Τοῦτο γάρ ἐστι τό, «Κατανύγητε»· ἀντὶ τοῦ νύξατε, κεντήσατε ἅπερ εἴπατε ἐν ταῖς καρδίαις ὑμῶν μεθ' ἡμέραν· τουτέστιν, ἃ ἐλογίσασθε πονηρὰ βουλεύματα, ταῦτα ἐν ταῖς κοίταις ὑμῶν, ἐν τῷ καιρῷ τῆς ἡσυχίας ἐκείνης κολάζετε, τιμωρήσασθε· ὅταν μήτε φίλος ἐνοχλῇ, μήτε οἰκέτης παροξύνῃ, μήτε πραγμάτων ὄχλος ἐπείγῃ, τότε τῶν μεθ' ἡμέραν βεβιωμένων ποιεῖσθε λόγον. Καὶ διὰ τί μὴ εἶπε ῥημάτων καὶ ἔργων, ἀλλ' ἐνθυμημάτων πονηρῶν; Ἐκ περιουσίας τοῦτο παιδεύων. Εἰ γὰρ τὰ πονηρὰ βουλεύματα δεῖ κολάζειν, ὥστε μὴ εἰς ἔργον ἐξιέναι, πολλῷ μᾶλλον ὑπὲρ τῶν ἔργων καὶ τῶν ῥημάτων ἐπιτύφειν δεῖ τὴν ψυχήν. Τοῦτο καθ' ἑκάστην γενέσθω τὴν ἡμέραν, καὶ μὴ πρότερον καθυπνώσῃς, ἄνθρωπε, ἕως ἂν ἀναλογίσῃ τὰ μεθ' ἡμέραν σοι πεπλημμελημένα· καὶ πάντως ὀκνηρότερος ἔσῃ τῇ ἐπιούσῃ πρὸς τὸ τοῖς αὐτοῖς ἐπιχειρῆσαι. Καὶ ὅπερ ἐπὶ τῶν ἀργυρίων ποιεῖς, καὶ οὐκ ἀνέχῃ δύο παρελθεῖν ἡμέρας, καὶ μὴ θεῖναι πρὸς τὸν οἰκέτην λόγον, ὥστε μὴ σύγχυσιν γενέσθαι τῇ λήθῃ, τοῦτο καὶ ἐπὶ τῶν πράξεων ποίει καθ' ἑκάστην ἡμέραν· ἐν ἑσπέρᾳ λογοθέσιον ἀπαίτει τὴν ψυχήν, καὶ καταδίκαζε τὸν ἡμαρτηκότα λογισμόν, ἀνάρτησον ὡς ἐπὶ ξύλου, καὶ

ἐνοχλεῖ, διέγειρε τὸ δικαστήριον τῆς συνειδήσεως, ζήτησε εὐθύνας ἀπὸ αὐτό, καὶ ἐκείνας τὰς κακὰς σκέψεις ποὺ ἔκαμες τὴν ἡμέραν ἢ τοὺς δόλους ποὺ ἔπλεξες, ἢ ποὺ ὑπονόμευσες τὸν πλησίον σου, ἢ ἐπεθύμησες ἀνήθικα πράγματα, ὅλα αὐτὰ ἀφοῦ τὰ ὁδηγήσῃς ἐμπρός σου κατὰ τὴν ὥραν ἐκείνης τῆς ἡσυχίας, καὶ ἀφοῦ συγκεντρώσῃς τὴν συνείδησίν σου εἰς αὐτοὺς τοὺς παραλόγους λογισμούς, διάλυσε αὐτούς, ἀπόδωσε δικαιοσύνην, τιμώρησε αὐστηρὰ τὴν ἁμαρτωλὴν σκέψιν σου. Διότι αὐτὸ σημαίνει τό, «Κατανύγητε»· ἀντὶ τοῦ νύξατε, κεντήσατε ἐκεῖνα ποὺ ἐμελετήσατε μέσα εἰς τὴν καρδίαν σας κατὰ τὴν διάρκειαν τῆς ἡμέρας· δηλαδὴ τὰς πονηρὰς σκέψεις ποὺ ἐκάνατε, αὐτὰς εἰς τὴν κλίνην σας καὶ κατὰ τὴν ὥραν τῆς ἡσυχίας ἐκείνης νὰ κολάζετε, νὰ τιμωρῆτε· ὅταν οὔτε φίλος σᾶς ἐνοχλῇ, οὔτε ὑπηρέτης σᾶς ἐκνευρίζῃ, οὔτε τὸ πλῆθος τῶν ἀσχολιῶν σᾶς πιέζῃ, τότε λογοδοτήσατε διὰ τὰ ὅσα ἐπράξατε κατὰ τὴν διάρκειαν τῆς ἡμέρας. Καὶ διατί δὲν εἶπε τιμώρησε τὰ λόγια καὶ τὰ ἔργα σου, ἀλλ' εἶπε τὰς πονηρὰς σκέψεις σου; Διὰ νὰ μᾶς διδάξῃ ὅτι αὐτὸ πρέπει νὰ τὸ κάμνωμεν πολὺ περισσότερον. Διότι ἐὰν πρέπει νὰ τιμωροῦμεν τοὺς κακοὺς λογισμούς, ὥστε νὰ μὴ πραγματοποιοῦνται, πολὺ περισσότερον πρέπει νὰ ψέγωμεν τὴν ψυχήν μας διὰ τὰ ἔργα καὶ τὰ λόγια μας. Αὐτὸ ἂς γίνεται καθημερινὰ καὶ μὴ κοιμηθῇς, ἄνθρωπε, μέχρις ὅτου ἀναλογισθῇς τὰ πλημμελήματα ποὺ διέπραξες κατὰ τὴν διάρκειαν τῆς ἡμέρας καὶ ὁπωσδήποτε θὰ γίνῃς τὴν ἑπομένην ἡμέραν πιὸ ἄτολμος εἰς τὸ νὰ ἐπιχειρήσῃς τὰ ἴδια. Καὶ ἐκεῖνο ποὺ κάνεις εἰς τὴν περίπτωσιν τῶν χρημάτων καὶ δὲν ἀνέχεσαι νὰ περάσουν δύο ἡμέραι καὶ νὰ μὴ ζητήσῃς λόγον ἀπὸ τὸν δοῦλον, ὥστε νὰ μὴ δημιουργηθῇ σύγχυσις ἀπὸ τὴν λησμοσύνην, αὐτὸ κάμνε κάθε ἡμέραν καὶ μὲ τὰς πράξεις σου· τὸ βράδυ ζήτει ἀπὸ τὴν ψυχήν σου νὰ σοῦ δίνῃ λόγον καὶ καταδίκαζε τὸν ἁμαρτωλὸν λογισμόν σου, κρέμασέ τον ἐπάνω εἰς ξύλον καὶ βασάνισέ τον καὶ παράγ-

βασάνισον, καὶ παράγγελλε μηκέτι τοῖς αὐτοῖς ἐπιχειρεῖν.

Εἶδες ἰατρείαν ἀρίστην, πῶς καὶ προφυλακτικοῖς καὶ διορθωτικοῖς κέχρηται φαρμάκοις; Τὸ μὲν γὰρ παραγγέλλειν μὴ περιπίπτειν εἰς ἁμαρτήματα, προφυλακτικοῦ φαρμάκου χώραν ἐπέχει, οἷον, «Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε», τὸ δέ, «Ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε», διορθωτικοῦ. Μετὰ γὰρ τὸ ἁμαρτεῖν, πάλιν ἐπάγει φάρμακα, παρ' αὐτοῦ τοῦ ἁμαρτόντος τὴν ἰατρείαν εἰσάγων. Ποιώμεθα τοίνυν τὴν ἰατρείαν ταύτην, οὐδεμίαν δυσκολίαν ἔχουσαν. Εἰ δὲ οὐκ ἀνέχεται ἡ ψυχὴ μεμνῆσθαι τῶν πλημμελημάτων, αἰσχυνομένη καὶ ἐρυθριῶσα, εἰπὲ πρὸς αὐτήν· οὐδέν σοι κέρδος ἀπὸ τοῦ μὴ μνημονεύειν, ἀλλὰ καὶ πολλὴ ἡ βλάβη. Ἐὰν γὰρ μὴ μνημονεύσῃ κατὰ σαυτὴν νῦν, τότε πρὸ τῶν ἁπάντων ὀφθαλμῶν κείσεταί σοι τὰ ἁμαρτήματα. Ἂν δὲ νῦν ἀναλογίσῃ ταῦτα, κἀκείνων ἀπαλλαγήσῃ ταχέως, καὶ ἑτέροις οὐ περιπεσῇ ῥᾳδίως. Ἡ γὰρ ψυχὴ δεδοικυῖα τὴν ἑσπερινὴν δίκην, μὴ πάλιν ὑπὸ τὴν αὐτὴν ἀλῷ ψῆφον, καὶ κατατείνηται καὶ μαστιχθῇ, ὀκνηροτέρα γίνεται περὶ τὴν ἁμαρτίαν· καὶ τοσοῦτον τὸ κέρδος τοῦ πράγματός ἐστιν, ὅτι μῆνα μόνον ἂν συνεχῶς αὐτὸ ποιήσωμεν, ἐν ἕξει λοιπὸν ἀρετῆς ἑαυτοὺς καταστήσομεν. Μὴ δὴ περιίδωμεν τοσοῦτον καλόν. Ὁ γὰρ τοῦτο ἐνταῦθα καθίσας τὸ δικαστήριον, οὐ δώσει πικρὰς εὐθύνας ἐκεῖ. Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ ὑπὸ Κυρίου παιδευόμεθα, φησίν, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. Ἵν' οὖν μὴ κατακριθῶμεν, τοῦτο ἐργαζώμεθα.

«Θύσατε θυσίαν δικαιοσύνης, καὶ ἐλπίσατε ἐπὶ Κύριον».

34. Α΄ Κορ. 11, 31 - 32.

γελέ τον νὰ μὴ ἐπιχειρῇ εἰς τὸ ἑξῆς νὰ κάμῃ τὰ ἴδια.

Εἶδες θεραπείαν ἀρίστην, πῶς χρησιμοποιεῖ καὶ προφυλακτικὰ καὶ διορθωτικὰ φάρμακα; Διότι ἡ μὲν παραγγελία νὰ μὴ ὑποπίπτωμεν εἰς ἁμαρτήματα, ἐπέχει θέσιν προφυλακτικῶν φαρμάκων, ὅπως ἐπὶ παραδείγματι, «Ὀργίζεσθε, ἀλλὰ μὴ ἁμαρτάνετε», τὸ δὲ «Αὐτὰ ποὺ μελετᾶτε εἰς τὰς καρδίας σας, νὰ τὰ ἐξετάζετε εἰς τὴν κλίνην σας καὶ νὰ μετανοῆτε», ἐπέχει θέσιν διορθωτικοῦ φαρμάκου. Μετὰ δηλαδὴ τὸ ἁμάρτημα προσθέτει πάλιν φάρμακα, προσφέρων τὴν θεραπείαν ἀπὸ τὸν ἴδιον τὸν ἁμαρτήσαντα. Ἂς ἐφαρμόζωμεν λοιπὸν αὐτὴν τὴν θεραπείαν ποὺ δὲν ἔχει καμμίαν δυσκολίαν. Ἐὰν ὅμως ἡ ψυχὴ δὲν ἀνέχεται νὰ ἐνθυμῆται τὰ ἁμαρτήματά της, ἐπειδὴ ἐντρέπεται καὶ κοκκινίζει, εἰπὲ εἰς αὐτήν· δὲν ἔχεις νὰ κερδίσῃς τίποτε ἀπὸ τὸ νὰ μὴ θέλῃς νὰ τὰ ἐνθυμηθῇς, ἀντίθετα μάλιστα εἶναι μεγάλη ἡ βλάβη σου. Διότι ἐὰν δὲν τὰ ἐνθυμηθῇς τώρα ποὺ εἶσαι μόνη σου, τότε θὰ παρουσιασθοῦν τὰ ἁμαρτήματά σου ἐμπρὸς εἰς τὰ μάτια ὅλων. Ἂν ὅμως τὰ ἀναλογισθῇς τώρα καὶ θ᾽ ἀπαλλαγῇς ἀμέσως ἀπὸ ἐκεῖνα καὶ δὲν θὰ ὑποπέσῃς εὔκολα εἰς ἄλλα. Διότι ἡ ψυχὴ ἐπειδὴ θὰ φοβῆται τὴν βραδυνὴν δίκην, μήπως καὶ πάλιν καταδικασθῇ μὲ τὴν ἰδίαν ἀπόφασιν καὶ βασανισθῇ καὶ μαστιγωθῇ, γίνεται πιὸ διστακτικὴ εἰς τὸ νὰ ἁμαρτήσῃ· καὶ εἶναι τόσον μεγάλη ἡ ὠφέλεια ἀπὸ αὐτὸ τὸ πρᾶγμα, ὥστε, ἐὰν αὐτὸ τὸ κάνωμεν συνεχῶς ἐπὶ ἕνα μῆνα, θὰ συνηθίσωμεν πλέον τοὺς ἑαυτούς μας εἰς τὴν ἀρετήν. Ἂς μὴ παραβλέψωμεν λοιπὸν ἕνα τόσον καλόν. Καθ᾽ ὅσον αὐτὸς ποὺ θὰ στήσῃ ἐδῶ αὐτὸ τὸ δικαστήριον, δὲν θὰ ἔχῃ πικρὰν λογοδοσίαν ἐκεῖ. «Διότι ἐὰν ἐκρίναμεν τοὺς ἑαυτούς μας, δὲν θὰ ἐκρινόμεθα· ἀλλ᾽ ὅταν κρινώμεθα ὑπὸ τοῦ Κυρίου», λέγει, «παιδαγωγούμεθα, διὰ νὰ μὴ κατακριθῶμεν μαζὶ μὲ τὸν κόσμον»[34]. Διὰ νὰ μὴ κατακριθῶμεν λοιπόν, ἂς κάμνωμεν αὐτό.

«Προσφέρατε ὡς θυσίαν δικαιοσύνην καὶ στηρίξατε

Εἶδες ἀκολουθίαν συμβουλῆς ἀρίστης; εἶδες παραίνεσιν ἀπηρτισμένην; Κατανύξας γὰρ ἐπὶ τοῖς ἁμαρτήμασι, καὶ ποιήσας ὀκνηροτέρους πρὸς τὸ τοῖς αὐτοῖς ἐπιχειρῆσαι πάλιν, καὶ τὸ δικαστήριον ἀναστήσας τὸ ἀδέκαστον, καὶ τῶν βεβιωμένων εὐθύνας ἀπαιτήσας, οὕτως ἐπὶ τὴν τῆς ἀρετῆς ἐργασίαν ἄγει. Οὐδὲ γὰρ ἀρκεῖ μόνον ἡ ἀποχὴ τῶν κακῶν, ἀλλὰ δεῖ προσῆναι καὶ τὴν ἐργασίαν τῶν ἀγαθῶν. Διὸ καὶ προϊὼν παραινεῖ λέγων· «Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν». Καὶ γὰρ ἡ ἀργία τῆς ἀρετῆς κόλασιν οἶδε προξενεῖν, οὐχ ἡ ἐργασία τῆς πονηρίας μόνον. Ἐπεὶ κἀκεῖνοι οἱ πεινῶντα μὴ θρέψαντες, μηδὲ διψῶντα ποτίσαντες, μηδὲ γυμνὸν περιβαλόντες, οὐχ ἥρπασαν, οὐκ ἐπλεονέκτησαν, οὐ τὰ ἀλλότρια ἔλαβον, ἀλλ' ἐπειδὴ ἐλεημοσύνην οὐκ εἰργάσαντο, διὰ τοῦτο τῇ ἀθανάτῳ παραδίδονται κολάσει, καὶ τιμωρίᾳ πέρας οὐκ ἐχούσῃ. Ὅθεν μανθάνομεν, ὅτι οὐ τὸ ἀπέχεσθαι κακῶν ἀρχὴ σωτηρίας ἡμῖν, ἐὰν μὴ προσῇ καὶ τῶν ἀγαθῶν ἡ κτῆσις, καὶ τῆς ἀρετῆς ἡ ἐργασία.

8. Διά τοι τοῦτο καὶ ὁ προφήτης ἀπαγαγὼν τῆς πονηρίας διὰ τῆς κατανύξεως, καὶ ποιήσας ἐπιτηδειότερον πρὸς τὴν τῆς ἀρετῆς ἐργασίαν, καὶ τὸ σκληρὸν τῆς διανοίας καταμαλάξας, ἁπαλήν τε αὐτὴν ἀπὸ τῆς κατανύξεως ἐργασάμενος, τὸν περὶ δικαιοσύνης εἰσάγει λόγον, καί φησι· «Θύσατε θυσίαν δικαιοσύνης, καὶ ἐλπίσατε ἐπὶ Κύριον». Τί ἐστι, «Θύσατε θυσίαν δικαιοσύνης»; Δικαιοσύνην μετέρχεσθε, δικαιοσύνην προσφέρετε· τοῦτο μέγιστον τῷ Θεῷ δῶρον, αὕτη θυσία δεκτή, αὕτη προσφορὰ πολλὴν ἔχουσα τὴν ἀρέσκειαν, οὐ τὰ πρό-

35. Ψαλμ. 33, 15.
36. Ματθ. 25, 42.

τὴν ἐλπίδα σας εἰς τὸν Κύριον». Εἶδες συνέπειαν ἀρίστης συμβουλῆς; εἶδες ὡλοκληρωμένην παραίνεσιν; Πράγματι, ἀφοῦ ὡδήγησεν εἰς συντριβὴν τὴν καρδίαν μας διὰ τὰ ἁμαρτήματά της καὶ μᾶς ἔκαμε διστακτικωτέρους εἰς τὸ νὰ ἐπιχειρήσωμεν καὶ πάλιν τὰ ἴδια καὶ ἀφοῦ ἔστησε τὸ ἀμερόληπτον δικαστήριον καὶ μᾶς ἐζήτησεν εὐθύνας διὰ τὰ ἁμαρτήματά μας, εἰς τὴν συνέχειαν ὁδηγεῖ εἰς τὴν ἄσκησιν τῆς ἀρετῆς. Διότι δὲν ἀρκεῖ μόνον ἡ ἀποχὴ ἀπὸ τὰ κακά, ἀλλὰ πρέπει νὰ προσθέσωμεν καὶ τὴν ἄσκησιν τῶν ἀγαθῶν ἔργων. Διὰ τοῦτο καὶ προχωρῶν συμβουλεύει μὲ τὰ ἑξῆς λόγια· «Ἀπομακρύνσου ἀπὸ τὸ κακὸν καὶ κάμε τὸ καλόν»[35]. Καθ' ὅσον γνωρίζει ὅτι ἡ μὴ ἄσκησις τῆς ἀρετῆς συνεπάγεται τιμωρίαν καὶ ὄχι μόνον ἡ διάπραξις τῆς κακίας. Διότι καὶ ἐκεῖνοι ποὺ δὲν ἔδωσαν τροφὴν εἰς τὸν πεινασμένον οὔτε ἐπότισαν τὸν διψασμένον, οὔτε ἐνέδυσαν τὸν γυμνόν, δὲν ἥρπασαν, δὲν ὑπῆρξαν πλεονέκται, δὲν ἐπῆραν τὰ ξένα πράγματα, ἀλλ' ἐπειδὴ δὲν ἔκαναν ἐλεημοσύνην[36], διὰ τοῦτο παραδίδονται εἰς τὴν αἰώνιον κόλασιν καὶ εἰς τὴν τιμωρίαν ποὺ δὲν ἔχει τέλος. Ἐπομένως μαθαίνομεν, ὅτι αἰτία τῆς σωτηρίας μας δὲν εἶναι τὸ ν' ἀπέχωμεν μόνον ἀπὸ τὰ κακά, ἐὰν δὲν προστεθῇ καὶ *ἡ ἀπόκτησις τῶν ἀγαθῶν* καὶ ἡ ἄσκησις τῆς ἀρετῆς.

8. Διὰ τοῦτο λοιπὸν καὶ ὁ προφήτης ἀφοῦ ἀπεμάκρυνεν ἀπὸ τὴν κακίαν διὰ τῆς μετανοίας καὶ κατέστησε τὸν ἀκροατὴν καταλληλότερον διὰ τὴν ἄσκησιν τῆς ἀρετῆς καὶ ἐμαλάκωσε τὴν σκληρότητα τῆς διανοίας του καὶ τὴν ἔκαμεν ἁπαλὴν διὰ τῆς συντριβῆς τῆς καρδίας, ἀρχίζει τὸν λόγον περὶ δικαιοσύνης, καὶ λέγει· «Προσφέρατε θυσίαν δικαιοσύνης καὶ στηρίξατε τὰς ἐλπίδας εἰς τὸν Κύριον». Τί σημαίνει, «προσφέρατε θυσίαν δικαιοσύνης»; Ἀσκῆτε δικαιοσύνην, προσφέρατε δικαιοσύνην· αὐτὸ εἶναι τὸ πιὸ μεγάλο δῶρον διὰ τὸν Θεόν, αὐτὴ εἶναι θυσία ποὺ γίνεται δεκτή, αὐτὴ εἶναι προσφορὰ πάρα πολὺ ἀρεστή, ὄχι τὸ νὰ θυσιάζῃ κανεὶς πρόβατα καὶ μοσχάρια, ἀλλὰ τὸ νὰ πράτ-

βατα θύειν καὶ μόσχους, ἀλλὰ τὸ δίκαια πράττειν. Ὁρᾷς τῆς Ἐκκλησίας τὴν πολιτείαν ἄνωθεν προδιαγραφομένην, καὶ ἀντὶ τῶν αἰσθητῶν ἐκείνων τὰ νοητὰ ζητούμενα. Δικαιοσύνην δὲ ἐνταῦθα, καθάπερ ἔμπροσθεν εἶπον, οὐ τὴν μερικὴν ἀρετήν φησιν, ἀλλὰ τὴν καθόλου· καθὸ καὶ δίκαιον ἄνθρωπον καλοῦμεν τὴν ἅπασαν ἐν ἑαυτῷ ἔχοντα τὴν ἀρετήν. Αὕτη ἡ θυσία οὐ χρημάτων δεῖται, οὐ μαχαίρας, οὐ θυσιαστηρίου, οὐ πυρός· οὐκ εἰς καπνὸν διαλύεται καὶ τέφραν καὶ κνίσσαν, ἀλλ' ἀρκεῖται τῇ γνώσει τοῦ προσάγοντος αὐτήν. Ταύτῃ οὔτε πενία κώλυμα γίνεται, οὔτε πτωχεία ἐμπόδιον, οὐ τόπος, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν, ἀλλ' ὅπου περ ἂν ᾖς, θύειν αὐτὴν δυνήσῃ, αὐτὸς καὶ ἱερεὺς καὶ θυσιαστήριον καὶ μάχαιρα καὶ ἱερεῖον γινόμενος. Τοιαῦτα γὰρ τὰ νοερὰ καὶ πνευματικά· πλείονα ἔχει τὴν εὐκολίαν, οὐδεμιᾶς δεόμενα τῆς ἔξωθεν ἐργωδίας.

«Καὶ ἐλπίσατε ἐπὶ Κύριον». Ἕτερός φησι· «Καὶ πεποίθετε τῷ Κυρίῳ». Ὁ γὰρ διὰ τῆς δικαίας πολιτείας ἵλεων αὐτὸν κτησάμενος καὶ εὐμενῆ, μεγάστην ἔχει συμμαχίαν, ἀχείρωτον τὴν βοήθειαν, πολλὴν ἐκεῖθεν τὴν ῥοπήν. Εἶδες τῆς θυσίας τὸν καρπὸν παρὰ θύραις ὄντα; εἶδες εὐθέως βλαστάνοντα ἀθρόον τῶν ἀγαθῶν τὸν θησαυρόν; Ὁ γὰρ τὸν Θεὸν ἔχων σύμμαχον, τίνα φοβηθήσεται λοιπόν; Οὐδένα. Καὶ τοῦτο δὲ οὐ μικρὰ ἀρετή, τὸ ἐπ' αὐτῷ θαρρεῖν, καὶ ἐπ' αὐτῷ πεποιθέναι. Μετὰ δὲ τῆς δικαιοσύνης καὶ ταύτην ἡμᾶς ἀπαιτεῖ τὴν ἀρετήν, τὸ ἐπ' αὐτῷ πεποιθέναι, τὸ ἐπ' αὐτῷ ἐλπίζειν, τὸ μηδενὶ τῶν βιωτικῶν θαρρεῖν, ἀλλὰ πάντων ἑαυτὸν ἀποστήσαντα, ἐκεῖ προσηλοῦν τὴν διάνοιαν. Τὰ μὲν γὰρ τοῦ

τη ἔργα ἀρετῆς. Βλέπεις τὴν πολιτείαν τῆς Ἐκκλησίας ποὺ προδιαγράφεται ἀπὸ τὴν ἀρχὴν καὶ ποὺ ἐπιζητοῦνται ἀντὶ ἐκείνων τῶν αἰσθητῶν, τὰ νοητά; Δικαιοσύνην δὲ ἐδῶ, ὅπως ἀκριβῶς εἶπα προηγουμένως, δὲν ἐννοεῖ τὴν μερικὴν ἀρετήν, ἀλλὰ τὴν καθόλου ἀρετήν· καθ' ὅσον καὶ δίκαιον ἄνθρωπον ὀνομάζομεν ἐκεῖνον ποὺ ἔχει ἐντός του ὁλόκληρον τὴν ἀρετήν. Αὐτὴ ἡ θυσία δὲν χρειάζεται χρήματα, οὔτε μάχαιραν, οὔτε θυσιαστήριον, οὔτε φωτιάν· δὲν διαλύεται εἰς καπνὸν καὶ στάκτην καὶ κνίσσαν, ἀλλ' ἀρκεῖται εἰς τὴν διάθεσιν ἐκείνου ποὺ τὴν προσφέρει. Εἰς αὐτὴν οὔτε ἡ πενία γίνεται ἐμπόδιον, οὔτε ἡ φτώχεια, οὔτε ὁ τόπος, οὔτε τίποτε ἄλλο παρόμοιον, ἀλλ' ὅπου καὶ ἂν εὑρίσκεσαι, θὰ ἠμπορέσῃς νὰ κάνῃς αὐτὴν τὴν θυσίαν, γενόμενος ὁ ἴδιος καὶ ἱερεύς, καὶ θυσιαστήριον καὶ μάχαιρα καὶ σφάγιον. Διότι τέτοια εἶναι τὰ νοερὰ καὶ πνευματικά· εἶναι πάρα πολὺ εὔκολα καὶ δὲν χρειάζονται καμμίαν ἐξωτερικὴν δύσκολον ἐργασίαν.

«Καὶ στηρίξατε τὴν ἐλπίδα σας εἰς τὸν Κύριον». Ἄλλος λέγει· Καὶ ἔχετε πεποίθησιν εἰς τὸν Κύριον». Ἐκεῖνος δηλαδὴ ποὺ μὲ τόν ἐνάρετον τρόπον ζωῆς του κερδίζει τὴν εὐσπλαγχνίαν καὶ τὴν εὐγένειάν του, ἔχει πάρα πολὺ μεγάλον σύμμαχον, ἀκατανίκητον βοηθὸν καὶ πολλὴν ἐνίσχυσιν ἀπὸ ἐκεῖ. Εἶδες τῆς θυσίας τὸν καρπὸν ποὺ εὑρίσκεται πρὸ τῆς θύρας; Εἶδες ὅτι ἀμέσως βλαστάνει ὅλος ὁ θησαυρὸς τῶν ἀγαθῶν; Διότι ἐκεῖνος ποὺ ἔχει σύμμαχον τόν Θεόν, ποῖον θὰ φοβηθῇ εἰς τὸ ἑξῆς; Κανένα. Καὶ αὐτό δὲ δὲν εἶναι μικρὰ ἀρετὴ τὸ νὰ στηρίξωμεν εἰς αὐτὸν τό θάρρος μας καὶ τὴν πεποίθησίν μας. Μαζὶ δὲ μὲ τὴν δικαιοσύνην ζητεῖ ἀπὸ ἡμᾶς καὶ αὐτὴν τὴν ἀρετήν, τὸ νὰ στηρίζωμεν εἰς αὐτὸν τὴν πεποίθησίν μας, τὴν ἐλπίδα μας, τὸ νὰ μὴ ἔχωμεν ἐμπιστοσύνην εἰς κανένα ἀπὸ τὰ κοσμικὰ πράγματα, ἀλλ' ἀφοῦ ἀπομακρυνθοῦμεν ἀπὸ ὅλα, νὰ ἔχωμεν ἐκεῖ προσηλωμένην τὴν σκέψιν μας. Διότι τὰ μὲν πράγματα τῆς παρούσης ζωῆς ὁμοιάζουν μὲ ὀνείρατα

παρόντος βίου πράγματα ὀνείρασιν ἔοικε καὶ σκιαῖς, καὶ τούτων ἐστὶν ἀδρανέστερα, ὁμοῦ τε φαινόμενα καὶ ἀφιπτάμενα, καὶ ἐν αὐτῷ τῷ παρεῖναι πολλοὺς ἐμποιοῦντα τοὺς θορύβους τοῖς ἔχουσιν· ἡ δὲ ἐπὶ Θεὸν ἐλπὶς ἀθάνατος, ἄτρεπτος, ἀκίνητος, μεταβολὴν οὐ δεχομένη, ἐν ἀσφαλείᾳ πάσῃ καθιστῶσα, καὶ ἄμαχον ποιοῦσα τὸν αὐτῇ μετὰ ἀκριβείας καὶ τῆς προσηκούσης διαθέσεως χρώμενον.

«Πολλοὶ λέγουσι, τίς δείξει ἡμῖν τὰ ἀγαθά; Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε». Ἀπαρτίσας τὴν περὶ τῶν ἠθῶν παραίνεσιν, καὶ τῇ θεογνωσίᾳ προσαγαγών, καὶ πάντα κινήσας τρόπον τὸν δυνάμενον διαναστῆναι τῶν πεπλανημένων τὴν διάνοιαν, καὶ μάλιστα ἀπὸ τῶν ἀνακειμένων αὐτῷ καὶ τῆς εἰς αὐτοὺς προνοίας δείξας αὐτοῦ τὴν κηδεμονίαν, ἀντίθεσίν τινα παρὰ τῶν ἀσθενεστέρων καὶ παχυτέρων εἰσαγομένην τίθησι καὶ λέγει· «Πολλοὶ λέγουσι, τίς δείξει ἡμῖν τὰ ἀγαθά;». Οὐχ οἱ ὀλίγοι, οἱ γνήσιοι καὶ δόκιμοι καὶ φιλοσοφεῖν εἰδότες ταῦτα λέγουσιν, ἀλλὰ τὸ κεχυμένον πλῆθος, τὸ ἀδιάκριτον, τὸ ἀνοίᾳ προσηλωμένον. Τί δέ ἐστιν ὅ φησι; «Τίς δείξει ἡμῖν τὰ ἀγαθά»; Εἰσί τινες οἱ λέγοντες, οἱ μὲν τοῦ Θεοῦ διαβάλλοντες τὴν πρόνοιαν, οἱ δὲ ἡδονῆς ὄντες ἐρασταί, ἀνέσεως καὶ πλούτου, δόξης καὶ δυναστείας, οἳ καὶ ἐρῶντες αὐτῶν τοιαῦτά φασι· ποῦ τὰ ἀγαθὰ τοῦ Θεοῦ; Ἐγὼ ἐν πτωχείᾳ, καὶ νόσῳ, καὶ ταλαιπωρίᾳ, καὶ τοῖς ἐσχάτοις δεινοῖς, καὶ ἐπηρείαις, καὶ συκοφαντίαις, ἕτερος δὲ ἐν εὐημερίᾳ καὶ τρυφῇ, καὶ δυναστείᾳ καὶ δόξῃ καὶ πλούτῳ. Καὶ οἱ μὲν ταῦτα μόνον ζητοῦσι τὰ ἀγαθά, τὰ ὄντως ἀγαθὰ

καὶ σκιάς, καὶ εἶναι πιὸ ἀδύναμα καὶ ἀπὸ αὐτά, ποὺ συγχρόνως ἐμφανίζονται καὶ ἐξαφανίζονται, ἀλλὰ καὶ ὅταν ἀκόμη διατηροῦνται δημιουργοῦν πολλὰς ἀνησυχίας εἰς ἐκείνους ποὺ τὰ ἔχουν, ἐνῷ ἡ ἐλπὶς εἰς τὸν Θεὸν εἶναι αἰώνιος, ἀμετάτρεπτος, ἀμετακίνητος, ἀμετάβλητος, δημιουργεῖ μεγάλην ἀσφάλειαν καὶ καθιστᾷ ἀκαταμάχητον ἐκεῖνον ποὺ τὴν χρησιμοποιεῖ μὲ προσοχὴν καὶ μὲ τὴν πρέπουσαν διάθεσιν.

«Πολλοὶ λέγουν· ποῖος θὰ μᾶς δώσῃ τὰ ὑλικὰ ἀγαθά; Εἰς ἡμᾶς ὅμως ἐχαράχθη βαθειὰ ἡ στοργὴ καὶ τὸ φῶς τῆς ἀγαθότητός σου, Κύριε». Ἀφοῦ ὡλοκλήρωσε τὴν ἠθικὴν συμβουλήν του καὶ ὡδήγησεν εἰς τὴν θεογνωσίαν καὶ ἐχρησιμοποίησε κάθε τρόπον μὲ τὸν ὁποῖον ἦτο δυνατὸν νὰ διεγείρῃ τὴν διάνοιαν ἐκείνων ποὺ ζοῦν εἰς τὴν πλάνην, καὶ μάλιστα ἀφοῦ ἐφανέρωσε τὴν κηδεμονίαν του ἀπὸ τοὺς ἀφωσιωμένους εἰς αὐτὸν καὶ τὴν πρόνοιάν του πρὸς αὐτούς, ἀναφέρει κάποιαν ἀντίρρησιν, προερχομένην ἀπὸ ἐκείνους ποὺ εἶναι ἀσθενέστεροι εἰς τὴν πίστιν καὶ πνευματικὰ ἀνώριμοι, καὶ λέγει· «Πολλοὶ λέγουν· ποῖος θὰ μᾶς δώσῃ τὰ ὑλικὰ ἀγαθά; Δὲν τὰ λέγουν αὐτὰ οἱ ὀλίγοι, οἱ γνήσιοι καὶ δοκιμασμένοι καὶ ποὺ γνωρίζουν νὰ φιλοσοφοῦν, ἀλλὰ τὸ πλῆθος ἀποχαυνωμένον ἀπὸ τὴν ἁμαρτίαν, τὸ ἀδιάκριτον, καὶ ποὺ εἶναι ἀπορροφημένον ἀπὸ τὴν μωρίαν. Τί σημαίνει δὲ αὐτὸ ποὺ λέγει, «Τίς δείξει ἡμῖν τὰ ἀγαθά»; Ὑπάρχουν ὡρισμένοι ποὺ λέγουν, ἄλλοι μὲν διὰ νὰ διαβάλλουν τὴν πρόνοιαν τοῦ Θεοῦ, ἄλλοι δὲ ἐπειδὴ εἶναι ἐρασταὶ τῆς ἡδονῆς, τῆς ἀνέσεως καὶ τοῦ πλούτου, τῆς δόξης καὶ τῆς ἐξουσίας, οἱ ὁποῖοι ἂν καὶ τὰ ἀγαποῦν αὐτά, ὅμως λέγουν τέτοια· ποῦ εἶναι τὰ ἀγαθὰ τοῦ Θεοῦ; Ἐγὼ ζῶ μέσα εἰς τὴν φτώχειαν, καὶ τὴν ἀρρώστιαν, τὴν ταλαιπωρίαν καὶ εἰς τὰ πιὸ χειρότερα κακὰ καὶ τὰς δοκιμασίας καὶ τὰς συκοφαντίας, ἐνῷ ἄλλος ἀπολαμβάνει εὐημερίαν, καλοπέρασιν καὶ ἐξουσίαν καὶ δόξαν καὶ πλοῦτον. Καὶ αὐτοὶ μὲν ζητοῦν αὐτὰ μόνον τὰ ἀγαθά, παραβλέπον-

παρατρέχοντες, ἀρετὴν λέγω καὶ φιλοσοφίαν, οἱ δέ, ὅπερ ἔφθην εἰπών, καὶ τὴν τοῦ Θεοῦ πρόνοιαν ἐντεῦθεν διαβάλλουσι, λέγοντες· ποῦ ἡ τοῦ Θεοῦ πρόνοια, τοσαύτης συγχύσεως ἐν τῷ βίῳ γινομένης, καὶ τῶν πλειόνων ἐν πτωχείᾳ καὶ πενίᾳ καὶ τοῖς ἐσχάτοις ὄντων κακοῖς; τί τεκμήριον αὐτοῦ τῆς κηδεμονίας;

Ταὐτὸν γὰρ ποιοῦσιν οἱ ταῦτα λέγοντες, ὥσπερ ἂν εἴ τις ἐν σταθερᾷ μεσημβρίᾳ καὶ καθαρᾷ τὸν ἥλιον ἰδεῖν ἐπιζητοίη, καὶ ἀμφιβάλλοι περὶ τοῦ φωτός. Ὅπερ δεικνὺς ὁ προφήτης, καὶ ταχίστην ἐπάγων τὴν λύσιν, ἔλεγεν· «Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε». Οὐκ εἶπεν, 'ἐφάνη', οὐκ εἶπεν, 'ἔλαμψεν', ἀλλ', «Ἐσημειώθη», δηλῶν ὅτι ὥσπερ τὸ ἐν μετώπῳ σεσημειωμένον πᾶσι κατάδηλόν ἐστι, καὶ οὐκ ἔστιν οὐδένα αὐτὸ λαθεῖν, οὐδὲ ὄψιν φωτὸς γέμουσαν καὶ ἀφιεῖσαν ἀκτῖνας δύναταί τις ἀγνοῆσαι, οὕτω, φησίν, οὐδὲ τὴν πρόνοιαν τὴν σήν. Ὥσπερ γὰρ φῶς σεσημειωμένον, τουτέστιν, ἐντετυπωμένον καὶ ἐγκεχαραγμένον ἐν προσώπῳ, πᾶσίν ἐστι κατάδηλον, οὕτω καὶ ἡ πρόνοια τῆς φιλανθρωπίας τῆς σῆς. Φῶς γὰρ ἐνταῦθα τὴν ἀντίληψίν φησι, τὴν κηδεμονίαν, τὴν συμμαχίαν, τὴν πρόνοιαν. Εἶτα ἀποφηνάμενος τοῦτο, καὶ ἀπόδειξιν ἐπάγει. Ποίαν δὴ ταύτην; «Ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου». Διαβαλὼν τὸ ἀλόγιστον πλῆθος, ἀπὸ τῶν νοῦν ἐχόντων ὑγιαινόντων τὴν ἀπόδειξιν ποιεῖται τῆς τοῦ Θεοῦ προνοίας, καί φησιν, «Ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου»· τουτέστι, φιλοσοφεῖν με ἐπαίδευσας, ὑπερορᾶν τῶν βιωτικῶν πραγμάτων, εἰδέναι τὰ ἀληθῆ καὶ μένοντα· χρησταῖς ἐμετεώρησας ἐλπίσι, πρὸς τὴν μέλλουσαν

τες τὰ πραγματικὰ ἀγαθά, ἐννοῶ τὴν ἀρετὴν καὶ τὴν εὐσεβῆ ζωήν, οἱ δέ, ὅπως προανέφερα, καὶ τὴν πρόνοιαν τοῦ Θεοῦ διαβάλλουν μὲ αὐτό, λέγοντες· ποῦ εἶναι ἡ πρόνοια τοῦ Θεοῦ, τὴν στιγμὴν ποὺ ἐπικρατεῖ εἰς τὴν ζωὴν τέτοια σύγχυσις καὶ οἱ περισσότεροι ζοῦν μέσα εἰς τὴν φτώχειαν, εἰς τὴν ἀνέχειαν καὶ τὰ πιὸ φοβερὰ κακά; ποία εἶναι ἡ ἀπόδειξις τῆς φροντίδος του;

Καὶ πράγματι αὐτοὶ ποὺ λέγουν αὐτὰ κάμνουν τὸ ἴδιο μὲ ἐκεῖνον πού, ἀκριβῶς τό καταμεσήμερον καὶ ἐνῷ ὁ οὐρανὸς εἶναι κατακάθαρος, ζητεῖ νὰ ἰδῇ τόν ἥλιον καὶ ἀμφιβάλλει περὶ τοῦ φωτός. Αὐτό ἀκριβῶς θέλων νὰ δείξῃ ὁ προφήτης καὶ προσθέτων πάρα πολὺ σύντομον λύσιν, ἔλεγεν· «Εἰς ἡμᾶς ἐνετυπώθη βαθειὰ τό φῶς τοῦ προσώπου σου, Κύριε». Δὲν εἶπεν, 'ἐφάνη', δὲν εἶπεν, 'ἔλαμψεν', ἀλλ' «Ἐσημειώθη», διὰ νὰ δείξῃ ὅτι, ὅπως ἀκριβῶς αὐτὸ ποὺ εἶναι τυπωμένον εἰς τό μέτωπον εἶναι ὁλοφάνερον εἰς ὅλους καὶ δὲν εἶναι δυνατὸν νὰ διαφύγη τὴν προσοχὴν κανενός, καὶ οὔτε ἠμπορεῖ κανεὶς ν' ἀγνοήσῃ πρόσωπον ὁλοφώτεινον καὶ ποὺ ἀκτινοβολεῖ, ἔτσι, λέγει, δὲν εἶναι δυνατὸν οὔτε τὴν ἰδικήν σου πρόνοιαν ν' ἀγνοήσῃ. Διότι ὅπως ἀκριβῶς τὸ σημειωμένον φῶς, δηλαδὴ τὸ τυπωμένον καὶ χαραγμένον εἰς πρόσωπον, εἶναι ὁλοφάνερον εἰς ὅλους, ἔτσι καὶ ἡ πρόνοια τῆς ἰδικῆς σου φιλανθρωπίας. Καθ' ὅσον ἐδῶ φῶς ὀνομάζει τὴν ἀντίληψιν, τὴν κηδεμονίαν, τὴν συμμαχίαν, τὴν πρόνοιαν. Εἰς τὴν συνέχειαν ἀφοῦ ἀνέφερεν αὐτό, προσθέτει καὶ ἀπόδειξιν. Ποία λοιπὸν εἶναι αὐτή; «Ἐγέμισες τὴν καρδίαν μου ἀπό εὐφροσύνην». Ἀφοῦ κατηγόρησε τὸ ἀπερίσκεπτον πλῆθος παρουσιάζει τὴν πρόνοιαν τοῦ Θεοῦ ἀπὸ ἐκείνους ποὺ ἔχουν νοῦν καὶ σκέπονται ὑγιῶς, καὶ λέγει· «Ἐγέμισες τὴν καρδίαν μου μὲ εὐφροσύνην»· δηλαδὴ μὲ ἐδίδαξες νὰ ζῶ μὲ εὐσέβειαν, νὰ περιφρονῶ τὰ κοσμικὰ πράγματα, νὰ γνωρίζω τὰ ἀληθινὰ καὶ αἰώνια· μὲ ἐσήκωσες εἰς τὰ ὕψη μὲ τὰς ἀγαθὰς ἐλπίδας, μὲ ὡδήγησες πρός τὴν μέλλουσαν ζωήν· πρὶν

ζωὴν ἐχειραγώγησας· πρὸ τῆς ἀπολαύσεως τῶν ἀγαθῶν τῇ προσδοκίᾳ τῶν ἀγαθῶν ἀνεπτέρωσας. Καλῶς οὕτως εἶπεν.

9. Εἰ γὰρ κληρονομεῖν τις μέλλων χρήματα ἢ καὶ εἰς ἀρχὴν ἰέναι μεγίστην, οὐ κατὰ τὸν καιρὸν τῆς ἀπολαύσεως μόνον, ἀλλὰ καὶ πρὸ τῆς πείρας ὀρθοῦται τῇ προσδοκίᾳ, πάντα τὸν χρόνον τρυφῶν ὑπὸ τῆς ἐλπίδος, ἐννόησον οἷον εἰκὸς εἶναι τὸν τὴν βασιλείαν προσδοκῶντα ζῶσαν καὶ ἀθάνατον, καὶ τὰ ἀγαθὰ ἐκεῖνα, ἃ οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη. Διὰ τοῦτό φησιν· «Ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου». Ὅπερ μεγίστης προνοίας ἦν, τότε ἑτοιμάσαι ἐκεῖνα καὶ εὐτρεπίσαι. Εἰ δὲ οἱ παχύτεροι, καὶ σὰρξ ὄντες, καὶ τῇ γῇ προσηλωμένοι, τούτοις οὐ προσέχουσιν, οὐ παρὰ τὸν ὑποσχόμενον, ἀλλὰ παρὰ τὴν ἐκείνων ἀγνωμοσύνην ἡ ταραχὴ καὶ ὁ θόρυβος γίνεται. Καὶ οὐκ εἶπεν ἁπλῶς, «Ἔδωκας εὐφροσύνην», ἀλλ', «Εἰς τὴν καρδίαν μου», δεικνὺς ὅτι οὐκ ἐν τοῖς ἔξωθεν ἡ εὐφροσύνη, οὔτε ἐν ἀνδραπόδοις, οὔτε ἐν χρυσῷ καὶ ἀργύρῳ, οὐκ ἐν ἱματίοις, οὐκ ἐν τραπέζῃ πληθούσῃ, οὔτε ἐν δυναστείας μεγέθει, οὔτε ἐν οἰκίας μέτρῳ. Αὕτη γὰρ ἡ εὐφροσύνη οὐ καρδίας, ἀλλ' ὀφθαλμῶν μόνων. Πολλοὶ γοῦν τῶν ταῦτα κεκτημένων ἀβίωτον τὸν βίον εἶναι νομίζουσι, καὶ κάμινον ἀθυμίας ἐν τῇ ψυχῇ περιφέρουσιν, ὑπὸ τοῦ πλήθους τῶν φροντίδων περιαντλούμενοι, καὶ τοῖς συνεχέσι πιεζόμενοι φόβοις. Ἀλλ' ἐμοί, φησίν, οὐκ ἐν τούτοις ἡ εὐφροσύνη, ἀλλ' ἐν τῇ καρδίᾳ τῇ νοερᾷ, ἐν τῇ διανοίᾳ τῇ ἀσωμάτῳ, καὶ τὰ ἀσώματα φανταζομένῃ.

Ὥστε εἰ τὰ παρόντα σε εὐφραίνει, καὶ ἀπὸ τούτων τὴν

---

37. Α' Κορ. 2, 9.

ἀπὸ τὴν ἀπόλαυσιν τῶν ἀγαθῶν μὲ ἐνεθάρρυνες μὲ τὴν ἀναμονὴν τῶν ἀγαθῶν. Ὀρθὰ λοιπὸν ὡμίλησεν ἔτσι.

9. Πράγματι, ἐὰν ὅταν πρόκειται νὰ κληρονομήση κανεὶς χρήματα ἢ καὶ νὰ ἀνέλθη εἰς πάρα πολὺ μεγάλην τιμητικὴν θέσιν, ὄχι μόνον κατὰ τὸν καιρόν τῆς ἀπολαύσεως, ἀλλὰ καὶ πρὶν ἀκόμη ἀπολαύση αὐτά, περνᾷ στιγμὰς εὐτυχίας μὲ τὴν προσδοκίαν, τρεφόμενος ὅλον τὸν χρόνον μὲ τὴν ἐλπίδα, σκέψου πόσην χαράν, φυσικὸν εἶναι, νὰ δοκιμάζη ἐκεῖνος ποὺ ἀναμένει τὴν ζωντανὴν καὶ ἀθάνατον βασιλείαν τῶν οὐρανῶν καὶ τὰ ἀγαθὰ ἐκεῖνα, ποὺ οὔτε ὀφθαλμὸς ἀνθρώπου εἶδεν, οὔτε αὐτὶ ἤκουσεν, οὔτε νοῦς ἀνθρώπου ἐσκέφθη[37]. Διὰ τοῦτο λέγει· «Ἐγέμισες τὴν καρδίαν μου μὲ εὐφροσύνην». Πρᾶγμα ποὺ ἀποτελεῖ δεῖγμα τῆς τόσον μεγάλης προνοίας του, τό νὰ ἑτοιμάση δηλαδὴ ἐκεῖνα καὶ νὰ τὰ τακτοποιήση ὅπως πρέπει. Ἐὰν ὅμως οἱ πνευματικὰ ἀνώριμοι, οἱ σαρκικοὶ καὶ οἱ προσκολλημένοι εἰς τὴν γῆν δὲν προσέχουν αὐτά, ἡ ταραχὴ καὶ ἡ ἀνησυχία των δὲν ὀφείλεται εἰς ἐκεῖνον ποὺ ὑπόσχεται αὐτά, ἀλλ' εἰς τὴν ἀγνωμοσύνην ἐκείνων. Καὶ δὲν εἶπεν ἁπλῶς, «ἐχάρισες εὐφροσύνην», ἀλλ' «εἰς τὴν καρδίαν μου», διὰ νὰ δείξη ὅτι ἡ εὐφροσύνη δὲν ὑπάρχει εἰς τὰ κοσμικὰ πράγματα, οὔτε εἰς τὰ δουλοπρεπῆ, οὔτε εἰς τὸν χρυσὸν καὶ τὸν ἄργυρον, οὔτε εἰς τὰ ἐνδύματα, οὔτε εἰς τὴν γεμάτην τράπεζαν, οὔτε εἰς τὸ μέγεθος τῆς ἐξουσίας, οὔτε εἰς τὴν ὡραίαν οἰκίαν. Διότι αὐτὴ ἡ εὐφροσύνη δὲν εἶναι τῆς καρδίας, ἀλλὰ μόνον τῶν ὀφθαλμῶν. Πράγματι πολλοὶ ἀπό αὐτοὺς ποὺ ἔχουν αὐτά, θεωροῦν τὸν βίον ἀβίωτον καὶ ἔχουν μέσα εἰς τὴν ψυχήν των καμίνι λύπης, καταστρέφονται ἀπό τό πλῆθος τῶν φροντίδων καὶ καταπιέζονται ἀπὸ τοὺς συνεχεῖς φόβους. Ἀλλ' ἡ ἰδική μου, λέγει, εὐφροσύνη δὲν εὑρίσκεται εἰς αὐτά, ἀλλὰ εἰς τὴν νοερὰν καρδίαν, εἰς τὴν ἄυλον σκέψιν ποὺ σκέπτεται τὰ πνευματικά.

Ὥστε, ἐὰν σὲ εὐφραίνουν τὰ παρόντα πράγματα καὶ

πρόνοιαν μανθάνεις τοῦ Θεοῦ, πολλῷ μᾶλλον ἀπὸ τῶν μελλόντων καταμάνθανε, ὅσῳ καὶ ἀμείνω ἐκεῖνα, καὶ μονιμώτερα, καὶ ἀναφαίρετα. Εἰ γὰρ τὸ ἐν πλούτῳ σε εἶναι καὶ εὐημερίᾳ πείθει εἶναι τοῦ Θεοῦ τὴν πρόνοιαν, πολλῷ μᾶλλον τό ἐν οὐρανῷ πλουτεῖν εἰς ταύτην σε ἐναγέτω τὴν πειθώ. Εἰ δὲ λέγοις, καὶ τίνος ἕνεκεν ἐν ἐλπίσι ταῦτα ἀπόκειται καὶ ἔστιν ἀφανῆ; ἐκεῖνο ἂν εἴποιμι, ὅτι μάλιστα μὲν ἡμεῖς οἱ πιστοὶ τῶν φανερῶν τούτων φανερώτερα εἶναι νομίζομεν τὰ ἐν ἐλπίσι· τοιαύτη γὰρ τῆς πίστεως ἡ πληροφορία. Εἰ δὲ λέγοις πάλιν, τίνος ἕνεκεν ἐνταῦθα οὐκ ἀπολαμβάνομεν τὰς ἀμοιβάς; ἐκεῖνο ἂν εἴποιμι, ὅτι οὗτος μὲν ὁ τῶν σκαμμάτων καιρὸς καὶ τῶν ἀγώνων, ἐκεῖνος δὲ τῶν στεφάνων καὶ τῶν βραβείων. Καὶ τοῦτο δὲ τῆς τοῦ Θεοῦ κηδεμονίας ἔργον ἐγένετο, τὸ τοὺς μὲν πόνους καὶ τοὺς ἱδρῶτας τῷ βραχεῖ τούτῳ καὶ ἐπικήρῳ συγκληρῶσαι βίῳ, τὰ δὲ βραβεῖα καὶ τοὺς στεφάνους τῷ ἀθανάτῳ καὶ ἀγήρῳ παρεκτεῖναι αἰῶνι. Ἄλλως δὲ ἡνίκα μὲν ἀσθενέστερον οἱ πολλοὶ διέκειντο, καὶ τὰ αἰσθητὰ ταῦτα ἔδωκεν αὐτοῖς ἀγαθά. Τῶν γοῦν Ἰουδαίων τὸν δῆμον διὰ τοιαύτης ἦγε πολιτείας. Καὶ γὰρ πλοῦτος αὐτοῖς ἐπέρρει, καὶ πρὸς γῆρας ἐξετείνετο ἡ ζωή, καὶ πᾶν νόσημα ἐκποδὼν ἦν καὶ πολεμίων ἀναίρεσις, καὶ εἰρήνη βαθεῖα, καὶ τρόπαια καὶ νῖκαι, καὶ εὐπαιδία καὶ πολυπαιδία πειθομένοις τῷ Θεῷ, καὶ πάντα τὰ τοιαῦτα προσῆν. Ἐπειδὴ δὲ παρεγένετο ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, εἰς τὸν οὐρανὸν ἡμᾶς καλῶν, καὶ τῶν ἐνταῦθα πείθων καταφρονεῖν, καὶ τὸν ἐκείνων ἔρωτα ἐναποτιθέμενος, καὶ ἀποσχίζων ἡμᾶς τῶν βιωτικῶν, εἰκότως ταῦτα συνέσταλται, ἐν δὲ ἐκείνοις ἅπας ὁ πλοῦτος, ἅτε τελείων ἡ-

μαθαίνης ἀπὸ αὐτὰ τὴν πρόνοιαν τοῦ Θεοῦ, μάθε πολὺ καλύτερα αὐτὴν ἀπὸ τὰ μελλοντικά, ποὺ εἶναι πολὺ πιό ἀνώτερα, καὶ μονιμώτερα καὶ δὲν ἠμπορεῖ κανεὶς νὰ τὰ ἀφαιρέσῃ. Διότι, ἐὰν τὸ νὰ ζῇς μέσα εἰς τὸν πλοῦτον καὶ τὴν εὐημερίαν σὲ πείθουν ὅτι αὐτὰ ὀφείλονται εἰς τὴν πρόνοιαν τοῦ Θεοῦ, πολὺ περισσότερον ἂς σὲ ὁδηγῇ εἰς αὐτὴν τὴν πεποίθησιν ἡ ἀπόκτησις τοῦ οὐρανίου πλούτου. Ἐὰν ὅμως ἤθελες εἰπεῖ καὶ διὰ ποῖον λόγον αὐτὰ εἶναι πράγματα ἐλπιζόμενα καὶ δὲν φαίνονται; Ἐκεῖνο θὰ ἠμποροῦσα νὰ εἰπῶ, ὅτι ἡμεῖς οἱ πιστοὶ θεωροῦμεν ἀπὸ αὐτὰ τὰ φανερὰ πολὺ πιὸ φανερὰ τὰ ἐλπιζόμενα· διότι τέτοια εἶναι ἡ πληροφορία τῆς πίστεως. Ἐὰν δὲ πάλιν ἤθελες εἰπεῖ, διατί δὲν ἀπολαμβάνομεν ἐδῶ τὰς ἀμοιβάς, ἐκεῖνο θὰ ἠμποροῦσα νὰ εἰπῶ, ὅτι αὐτὸς μὲν εἶναι ὁ καιρὸς τῶν σκαμμάτων καὶ τῶν ἀγώνων, ἐκεῖνος δὲ τῶν στεφάνων καὶ τῶν βραβείων. Καὶ αὐτὸ δὲ ὑπῆρξεν ἔργον τῆς κηδεμονίας τοῦ Θεοῦ, τὸ νὰ ἑνώσῃ δηλαδὴ μὲ τὴν σύντομον αὐτὴν καὶ πρόσκαιρον ζωὴν τοὺς πόνους καὶ τοὺς ἱδρῶτας, τὰ δὲ βραβεῖα καὶ τοὺς στεφάνους τὰ ἄφησε διὰ τὸν ἀθάνατον καὶ ἄφθαρτον αἰῶνα. Ἄλλωστε δὲ καὶ ὅταν οἱ πολλοὶ ἀντεμετώπιζον ἀδυναμίαν, ἔδωσεν εἰς αὐτοὺς καὶ αὐτὰ τὰ αἰσθητά. Τὸν Ἰουδαϊκὸν δηλαδὴ λαὸν τὸν καθωδήγει μὲ αὐτὸν τὸν τρόπον ζωῆς. Καθ' ὅσον ὁ πλοῦτος ἔρρεεν εἰς αὐτούς, ἡ ζωὴ ἔφθανεν εἰς βαθιὰ γεράματα, καὶ ὁποιοδήποτε νόσημα ἔλλειπεν ἀπὸ αὐτούς· καὶ ὅταν ἔμεναν ὑπάκουοι εἰς τὸν Θεὸν καὶ τοὺς ἐχθροὺς των ἐνικοῦσαν καὶ εἰρήνη βαθεῖα ὑπῆρχε καὶ τρόπαια καὶ νῖκαι καὶ πολλὰ καὶ καλὰ παιδιὰ καὶ ὅλα τὰ παρόμοια. Ὅταν δὲ ἦλθεν εἰς τὸν κόσμον ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, καλῶν ἡμᾶς εἰς τὸν οὐρανὸν καὶ πείθων νὰ περιφρονοῦμεν τὰ κοσμικὰ πράγματα καὶ ἐμβάλλων μέσα μας τὸν ἔρωτα δι' ἐκεῖνα καὶ ἀπομακρύνων ἡμᾶς ἀπὸ τὰ βιωτικὰ πράγματα, πολὺ εὔλογα αὐτὰ εἶχαν ἀνασταλῆ καὶ ὅλος ὁ πλοῦτος περιωρίσθη εἰς ἐκεῖνα, ἐπειδὴ ἐγίναμεν τέλειοι πνευματικά.

μῶν γενομένων. Ἐπεὶ καὶ ἐπὶ τῶν παιδίων, τοῖς μὲν μικροτέροις ἔτι τοιαῦτα οἱ πατέρες παρέχουσιν, ὑποδήματα καὶ ἱμάτια καὶ χρυσία καὶ ψέλλια, ἐπειδὰν δὲ αὐξηθῶσι, ταῦτα ἀφελόντες αὐτῶν, ἕτερα μείζονα διδόασι, τὴν ἐπὶ τοῦ βήματος εὐδοκίμησιν, τὴν ἐν τῇ πόλει λαμπρότητα, τὴν ἐν ταῖς βασιλικαῖς αὐλαῖς παρρησίαν, ἀρχὰς καὶ δυναστείας, πάσης αὐτοὺς ἀπάγοντες τῆς παιδικῆς φιλοτιμίας. Οὕτω δὴ καὶ ὁ Θεὸς ἐποίησε· τῶν μικρῶν ἐκείνων καὶ παιδικῶν ἡμᾶς ἀπάγων, τὰ ἀπὸ τῶν οὐρανῶν ἐπηγγείλατο.

Οὐκοῦν μὴ πρὸς ταῦτα ἐπτόησο τὰ ῥέοντα καὶ παρατρέχοντα, μηδὲ μικροψύχει. Οὐδὲ τούτων ἄμοιρόν σε ἀφῆκεν. Ἐπειδὴ γὰρ τοὺς σάρκα περικειμένους, καὶ σώματι συστρεφομένους, οὐδὲ τούτων ἐκτὸς εἶναι ἔδει, καὶ ταῦτα πλουσίως ἡμῖν χορηγεῖ. Διὰ δὴ τοῦτο καὶ ὁ προφήτης κινήσας τῆς προνοίας ἐκεῖνο τὸ εἶδος τὸ ὑψηλὸν καὶ φιλόσοφον, καὶ εἰπών, «Ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου», ἐπάγει καὶ τοῦτο, λέγων· «Ἀπὸ καρποῦ σίτου, καὶ οἴνου, καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν». Τοῦτο δὲ εἰπὼν οὐ μικρὸν μέρος αὐτοῦ τῆς προνοίας ἐντεῦθεν κινεῖ, τῆς ἐν τοῖς ὁρωμένοις φαινομένης. Ὅταν γὰρ εἴπῃ, σῖτον, καὶ οἶνον, καὶ ἔλαιον, καὶ τὴν ἐν τούτοις ἀφθονίαν, καὶ ὑετοὺς λέγει, καὶ ὡρῶν εὐκρασίαν, καὶ γῆς λαγόνας, καὶ ὠδῖνας, καὶ τόκον, καὶ ἀέρος χύσιν, καὶ ἡλίου δρόμον, καὶ σελήνης περιόδους, καὶ ἄστρων χορείαν, καὶ θέρος, καὶ χειμῶνα, καὶ μετόπωρον, καὶ ἔαρ, καὶ γεωργικὴν τέχνην, καὶ ὀργάνων ἐπιτηδειότητα, καὶ ἑτέρων τεχνῶν ἐσμόν. Ἂν μὴ γὰρ ταῦτα ἅπαντα συνδράμῃ, οὐχ οἷόν τε τοὺς καρποὺς

Διότι καὶ εἰς τὴν περίπτωσιν τῶν παιδιῶν, εἰς ἐκεῖνα μὲν ποὺ εἶναι πολὺ μικρὰ ἀκόμη οἱ πατέρες παρέχουν τέτοια πράγματα, ὅπως ὑποδήματα, ἐνδύματα, χρυσαφικὰ καὶ στολίδια, ὅταν δὲ μεγαλώσουν, ἀφοῦ ἀφαιρέσουν αὐτὰ ἀπὸ αὐτά, τὰ δίδουν ἄλλα μεγαλύτερα, φροντίζουν διὰ τὴν ἐπιτυχίαν των εἰς τὴν ρητορικὴν τέχνην, διὰ τὴν κατάληψιν λαμπρᾶς θέσεως εἰς τὴν πόλιν, διὰ τὴν μὲ παρρησίαν εἴσοδόν των εἰς τὰ βασιλικὰ ἀνάκτορα, διὰ τὴν ἀπόκτησιν ἀξιωμάτων καὶ ἐξουσίας, ἀπομακρύνοντες ἔτσι αὐτὰ ἀπὸ κάθε παιδικὴν φιλοδοξίαν. Ἔτσι λοιπὸν ἔκαμε καὶ ὁ Θεός· ἀφοῦ μᾶς ἀπεμάκρυνεν ἀπὸ ἐκεῖνα τὰ μικρὰ καὶ παιδικά, μᾶς ὑπεσχέθη τὰ οὐράνια.

Μὴ συγκινῆσαι λοιπὸν ἀπὸ αὐτὰ ποὺ ἔρχονται καὶ φεύγουν καὶ χάνονται, οὔτε νὰ ὀλιγοψυχῇς. Οὔτε καὶ εἰς αὐτὰ σὲ ἄφησεν ἀμέτοχον. Ἐπειδὴ δηλαδὴ αὐτοὶ ποὺ περιβάλλονται ἀπὸ τὴν σάρκα καὶ συσχετίζονται μὲ τὸ σῶμα, ἔπρεπεν οὔτε ἀπὸ αὐτὰ νὰ εἶναι ἔξω, μᾶς τὰ χορηγεῖ καὶ αὐτὰ πλουσίως. Διὰ τοῦτο λοιπὸν καὶ ὁ προφήτης ἀφοῦ ἔκαμε λόγον δι' ἐκεῖνο τὸ εἶδος τῆς προνοίας τὸ ὑψηλὸν καὶ γεμᾶτον ἀπὸ φιλοσοφικότητα, καὶ εἶπεν, «Ἐγέμισες μὲ εὐφροσύνην τὴν καρδίαν μου», προσθέτει καὶ αὐτό, λέγων· «Αὐτοὶ εἶναι γεμᾶτοι ἀπὸ καρπὸν σίτου, οἴνου καὶ ἐλαίου». Μὲ τὸ νὰ εἰπῇ δὲ αὐτὸ παρουσιάζει ἕνα ὄχι μικρὸν μέρος τῆς προνοίας του, ποὺ φαίνεται ἀκόμη καὶ εἰς τὰ ὁρατὰ πράγματα. Διότι ὅταν λέγῃ, σῖτον καὶ οἶνον καὶ ἔλαιον καὶ τὴν ἀφθονίαν αὐτῶν, ἐννοεῖ καὶ τὰς βροχὰς καὶ τὰς καταλλήλους καιρικὰς συνθήκας καὶ τὴν μήτραν τῆς γῆς καὶ τοὺς πόνους της καὶ τὰ γεννήματά της καὶ τὰ ρεύματα τοῦ ἀέρος καὶ τὸν δρόμον τοῦ ἡλίου καὶ τὰς περιόδους τῆς σελήνης καὶ τὴν χορείαν τῶν ἄστρων καὶ τὸ θέρος καὶ τὸν χειμῶνα καὶ τὸ φθινόπωρον καὶ τὴν ἄνοιξιν καὶ τὴν γεωργικὴν τέχνην καὶ τὴν χρησιμότητα τῶν ὀργάνων καὶ τὸ πλῆθος ἄλλων τεχνῶν. Διότι, ἐὰν ὅλα αὐτὰ δὲν βοηθήσουν, δὲν εἶναι δυνατὸν οἱ καρποὶ νὰ μεγα-

τελεσφορηθῆναι, οὔτε εἰς ἀκμὴν ἐλθεῖν. Ὅταν οὖν εἴπῃ σῖτον καὶ οἶνον καὶ ἔλαιον, δίδωσι τῷ σοφῷ ἀφορμὴν καὶ ἀπὸ μέρους τὸ πᾶν νοεῖν, πέλαγος ἀναπετάσας τῆς ἐν τοῖς αἰσθητοῖς φαινομένης τοῦ Θεοῦ προνοίας.

10. Διὰ δὴ τοῦτο καὶ ὁ Παῦλος δημηγορῶν που, καὶ περὶ τῆς προνοίας αὐτοῦ διαλεγόμενος, ἐντεῦθεν ἐκίνει τὸν λόγον, λέγων· «Διδοὺς ὑετοὺς καὶ καιροὺς καρποφόρους, ἐμπιπλῶν τροφῆς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν». Ἐπειδὴ δὲ ἀπέρριττός ἐστιν ὁ προφήτης, παρεὶς ἅπαντα τὰ ἄλλα εἰπεῖν, ὀπώρας, ἀκρόδρυα, γένη φυτῶν, γένη σπερμάτων, γένη βοτανῶν, λειμώνων ἀγαθῶν, παραδείσων, καὶ ὅσα ἄλλα ἐστί, τὰ συνεκτικὰ τίθησι, τὰ καὶ πρὸς τὴν ζωὴν ἡμῖν ἀναγκαῖα, ἀπὸ τούτων κἀκεῖνα ποιῶν κατάδηλα. Ἅπερ οὐδὲ ἁπλῶς ἡμῖν δίδωσιν, ἀλλὰ μετὰ πλήθους, καὶ καθ' ἕκαστον ἐνιαυτόν. Εἰ δέ ποτε καὶ συστέλλει, καὶ ἐν τούτῳ πάλιν τὴν πρόνοιαν ἑαυτοῦ δείκνυσιν, ἀφυπνίζων τὴν ῥαθυμίαν τῶν πολλῶν, καὶ διεγείρων αὐτοὺς πρὸς τὸ ἐπιζητῆσαι παρ' αὐτοῦ ταῦτα τὰ ἀγαθά. Εἰ δέ τινες λέγοιεν, ὅτι οὐ τοῦ Θεοῦ τὸ διδόναι ὑετόν, ἀλλὰ τῶν εἰδώλων, ἐρώμεθα αὐτούς, πόθεν τοῦτο δῆλον; Ὅτι οἱ ποιηταί, φησίν, εἰρήκασιν, ὅτι Ζεύς ἐστιν ὁ ὕων. Ἀλλ' οὗτοι αὐτοὶ εἰρήκασιν, ὅτι καὶ μοιχός ἐστι, καὶ παίδων φθορεύς, καὶ πατραλοίας, καὶ ἕτερα τούτων οὐκ ἐλάττονα ἐγκλήματα. Ἀλλ' οὐκ ἔστι, φησίν, ἀληθῆ. Οὐκοῦν οὐδὲ τὸ ὕειν. Εἰ γὰρ τοῦτο δέχῃ, κἀκεῖνά σε ἀνάγκη δέξασθαι· εἰ δὲ ἐκεῖνα ἐκβάλλεις, καὶ τοῦτο μετ' ἐκείνων. Ἡμεῖς γὰρ ἐπειδὰν παρεχώμεθα μάρτυρας τῆς τοῦ Θεοῦ δυνάμεως, πάντα τὰ ὑπ' αὐτῶν λεγόμενα περὶ αὐτοῦ δεχόμεθα. Οὐκοῦν ἀνάγκη σε καὶ μοιχὸν αὐτὸν καταδέξα-

---

38. Πρ. 14, 17.

λώσουν καὶ νὰ ὡριμάσουν. Ὅταν λοιπὸν λέγῃ σῖτον καὶ οἶνον καὶ ἔλαιον, δίδει εἰς τὸν σοφὸν ἀφορμὴν ἀπὸ τὰ ἐπὶ μέρους νὰ κατανοῇ τὸ πᾶν, ἁπλώνων ἐμπρός του τὸ πέλαγος τῆς προνοίας τοῦ Θεοῦ ποὺ φανερώνεται εἰς τὰ αἰσθητὰ πράγματα.

10. Διὰ τοῦτο λοιπὸν καὶ ὁ Παῦλος κηρύσσων κάπου καὶ ὁμιλῶν περὶ τῆς προνοίας τοῦ Θεοῦ, ἀπὸ ἐδῶ ἤρχιζε τὸν λόγον του, λέγων· «Δίδων βροχὴν καὶ καρποφόρους ἐποχὰς καὶ γεμίζων τὰς καρδίας μας μὲ τροφὴν καὶ εὐφροσύνην»[38]. Ἐπειδὴ ὅμως ὁ προφήτης εἶναι ἁπλοϊκός, ἀφοῦ παρέλειψε ν' ἀναφέρῃ ὅλα τὰ ἄλλα, τὰ ὀπωρικά, τὰ ὀπωροφόρα δένδρα, τὰ εἴδη τῶν φυτῶν, τὰ εἴδη τῶν σπερμάτων, τὰ εἴδη τῶν χόρτων, τῶν λειβαδιῶν, τῶν λουλουδιῶν, τῶν κήπων καὶ ὅσα ἄλλα ὑπάρχουν, ἀναφέρει ἐκεῖνα ποὺ περικλείουν τὰ ἄλλα, τὰ ὁποῖα εἶναι ἀναγκαῖα διὰ τὴν ζωήν μας καὶ ἀπὸ αὐτὰ κάμνει καὶ ἐκεῖνα φανερά. Ὅλα αὐτὰ ὄχι μόνον ἁπλῶς μᾶς τὰ δίδει, ἀλλὰ μὲ ἀφθονίαν καὶ κάθε χρόνον. Ἐὰν δὲ κάποτε τὰ περιορίζῃ καὶ μὲ αὐτὸ πάλιν δείχνει τὴν πρόνοιάν του, ἀφυπνίζων τὴν ἀδιαφορίαν τῶν πολλῶν καὶ διεγείρων αὐτοὺς νὰ ζητήσουν ἀπὸ αὐτὸν αὐτὰ τὰ ἀγαθά. Ἐὰν δὲ μερικοὶ ἤθελον εἰπεῖ, ὅτι δὲν εἶναι ἔργον τοῦ Θεοῦ τὸ νὰ δίδῃ τὴν βροχήν, ἀλλὰ τῶν εἰδώλων, θὰ ἐρωτήσωμεν αὐτούς, ἀπὸ ποῦ εἶναι αὐτὸ φανερόν; Διότι, λέγει, οἱ ποιηταὶ εἶπαν ὅτι ὁ Ζεὺς δίδει τὴν βροχήν. Ἀλλ' αὐτοὶ οἱ ἴδιοι ἔχουν εἰπεῖ, ὅτι καὶ μοιχὸς εἶναι καὶ διαφθορεὺς παιδιῶν καὶ πατροκτόνος καὶ ὑπεύθυνος πολλῶν ἄλλων, μεγαλυτέρων ἀπὸ αὐτά, ἐγκλημάτων. Ἀλλά, λέγει, δὲν εἶναι ἀληθινά. Τότε λοιπὸν δὲν εἶναι ἀλήθεια οὔτε καὶ τὸ ὅτι δίδει τὴν βροχήν. Διότι, ἐὰν δέχεσαι αὐτό, εἶσαι ἀναγκασμένος νὰ δεχθῇς καὶ ἐκεῖνα· ἐὰν ὅμως ἀπορρίπτῃς ἐκεῖνα, πρέπει καὶ αὐτὸ ν' ἀπορρίψῃς μαζὶ μὲ ἐκεῖνα. Καθ' ὅσον ἡμεῖς, ὅταν παρουσιάζωμεν μάρτυρας τῆς δυνάμεως τοῦ Θεοῦ, δεχόμεθα ὅλα τὰ λεγόμενα αὐτῶν περὶ αὐτοῦ. Ἐπομένως εἶσαι ὑποχρεωμένος καὶ μοιχὸν νὰ τὸν

σθαι καὶ τὰ ἄλλα πάντα ὑπ' αὐτῶν λεγόμενα περὶ αὐτοῦ, καὶ ἐκ τούτου μανθάνειν, ὅτι πόρρω θείας δυνάμεως τὰ τοιαῦτα ἐγκλήματα, καὶ οὐκ ἂν εἴη Θεὸς ὁ τοιοῦτος. Ἀλλ' ὁ μῦθος αὐτὸς ἑαυτῷ περιπίπτει, καὶ τὸ ψεῦδος ὑφ' ἑαυτοῦ ἐλέγχεται, καὶ μὴ βουλομένων ὑμῶν τοῦτο καταδέξασθαι, καὶ καθόλου τοὺς ποιητὰς ἐκβάλλει. Ὅτι δὲ ἐκβληθέντων ἐκείνων, πάντα οἰχήσεται τὰ ὑμέτερα, δῆλον. Καὶ γὰρ τὰ ὀνόματα αὐτῶν ἐκεῖνοι εὑρήκασι, καὶ ἐπέθηκαν· ὃ καί τις τῶν παρ' ὑμῖν φιλοσόφων εἴρηκεν. Εἰ δὲ ἀφεὶς ἐκείνους, ἐπὶ τὰς ἀλληγορίας δράμοις, ἐκεῖνό σε ἐρήσομαι· τί ποτέ ἐστιν ὁ Ζεύς; Ἡ ζέουσα, φησίν, οὐσία καὶ τὸ ὑπὲρ τὸν ἀέρα μέρος, καὶ ὃ αἰθέρα καλοῦσι, παρὰ τὸ ζέον καὶ καῖον. Οὐκοῦν οὐκ ἔστι λογική τις οὐσία καὶ διακριτική, ἀλλ' ἄλογος. Ὅτι γὰρ ἡ τοῦ ἀέρος φύσις οὔτε λόγον ἔχει, οὔτε λογισμόν, παντί που δῆλόν ἐστι, καὶ πᾶς τοῦτο οἶδε, κἂν λίθων ἀναισθητότερός τις ᾖ. Ὥστε ἀνῄρηται τέως ὁ Ζεύς, καὶ ἡ οὐσία αὐτοῦ ἠφάνισται. Εἰ γὰρ ἀήρ ἐστιν ὁ Ζεύς, ὁ δὲ ἀὴρ τοῦτό ἐστιν, ὅπερ εἰρήκαμεν, κἀντεῦθεν ὁ μῦθος οἰχήσεται. Εἰ δὲ ἀήρ, οὔτε πατὴρ ἐγένετό τινος, οὔτε ἔτεκέ τινα οὐσίαν, οἷαν ἀναπλάττουσι τὸν ἥλιον, ὃν καὶ Ἀπόλλωνα καλοῦσι, καὶ υἱὸν αὐτοῦ λέγουσιν εἶναι· οὔτε γὰρ ἥλιος λογισμόν τινα ἔχει, οὔτε διάνοιαν καὶ νοῦν, ἀλλὰ καὶ αὐτὸ φυσικόν ἐστιν ἔργον, ἀγόμενον καὶ περιφερόμενον τῷ νόμῳ, ᾧ παρὰ τὴν ἀρχὴν αὐτῷ ἔταξεν ὁ Θεός. Ἄλλως δὲ οὐδὲ τὸ ὕειν τοῦ αἰθέρος ἐστίν, ἀλλὰ τῶν νεφελῶν δεχομένων τὸ ὕδωρ ἢ ἀπὸ τῆς θαλάσσης, ἢ τῶν ὑδάτων τῶν ὑπὲρ τὸν οὐρανὸν ἄνωθεν φερομένων, καθάπερ οἱ προφῆταί φασιν. Εἰ

δεχθῇς καὶ ὅλα τὰ ἄλλα ποὺ λέγονται ἀπὸ αὐτοὺς περὶ αὐτοῦ καὶ νὰ μαθαίνῃς ἀπὸ αὐτό, ὅτι τὰ παρόμοια ἐγκλήματα δὲν ἔχουν καμμίαν σχέσιν μὲ τὴν θείαν δύναμιν καὶ ὅτι δὲν θὰ ἠμποροῦσε νὰ εἶναι θεὸς ἕνας τέτοιος. Ἀλλ' ὁ μῦθος αὐτὸς πίπτει ἀπὸ μόνος του καὶ τὸ ψέμα ἀποδεικνύεται ἀπὸ μόνον του, καὶ ἂν ἀκόμη δὲν θέλωμεν ἡμεῖς νὰ τὸ φανερώσωμεν καὶ ἀπορρίπτει ἐξ ὁλοκλήρου τοὺς ποιητάς. Τὸ ὅτι δέ, ἐὰν ἀπορριφθοῦν ἐκεῖνοι, ὅλα τὰ ἰδικά σας ἐξαφανίζονται, εἶναι ὁλοφάνερον. Καθ' ὅσον τὰ ὀνόματα αὐτῶν τὰ εὑρῆκαν ἐκεῖνοι καὶ τὰ ἔδωσαν εἰς αὐτούς, πρᾶγμα ποὺ εἶπε καὶ κάποιος ἀπὸ τοὺς φιλοσόφους σας. Ἐὰν ὅμως ἀφήσῃς ἐκείνους καὶ καταφύγῃς εἰς τὰς ἀλληγορικὰς ἑρμηνείας, ἐκεῖνο θὰ σὲ ἐρωτήσω· τί τέλος πάντων εἶναι ὁ Ζεύς; Εἶναι, λέγει, ἡ θερμὴ οὐσία καὶ τὸ μέρος ἐπάνω ἀπὸ τὸν ἀέρα, ποὺ τὸ ὀνομάζουν αἰθέρα, ἂν καὶ εἶναι θερμὸν καὶ καίει. Ἐπομένως δὲν εἶναι κάποια λογικὴ οὐσία καὶ διακριτική, ἀλλ' εἶναι ἄλογος. Τὸ ὅτι βέβαια ἡ φύσις τοῦ ἀέρος δὲν ἔχει οὔτε λόγον οὔτε λογισμόν, εἶναι εἰς τὸν καθένα ὁλοφάνερον καὶ ὁ καθένας τὸ γνωρίζει, καὶ ἂν ἀκόμη κανεὶς εἶναι πιὸ ἀναίσθητος καὶ ἀπὸ τοὺς λίθους. Ὥστε ἔχει πεθάνει πλέον ὁ Ζεὺς καὶ ἐξηφανίσθη ἡ οὐσία του. Διότι, ἐὰν ὁ Ζεὺς εἶναι ἀέρας, ὁ δὲ ἀέρας εἶναι αὐτὸ ποὺ ἀνεφέραμεν, καὶ ἀπὸ ἐδῶ ὁ μῦθος ἀπορρίπτεται. Ἐὰν δὲ εἶναι ἀέρας, οὔτε πατέρας ἔγινε κανενός, οὔτε ἐγέννησε κάποιαν οὐσίαν, μὲ τὴν ὁποίαν ἀναπλάθουν τὸν ἥλιον καὶ τὸν ὁποῖον ὀνομάζουν Ἀπόλλωνα καὶ λέγουν ὅτι εἶναι υἱὸς αὐτοῦ· οὔτε ὁ ἥλιος βέβαια ἔχει κάποιον λογισμόν, οὔτε διάνοιαν καὶ νοῦν, ἀλλὰ καὶ αὐτὸ εἶναι φυσικὸν φαινόμενον ποὺ λειτουργεῖ σύμφωνα μὲ τὸν νόμον ποὺ ἀπὸ τὴν ἀρχὴν ὥρισεν εἰς αὐτὸν ὁ Θεός. Ἄλλωστε δὲ οὔτε ἡ βροχὴ εἶναι ἔργον τοῦ αἰθέρος, ἀλλὰ τῶν νεφελῶν, ποὺ δέχονται τὸ ὕδωρ εἴτε ἀπὸ τὴν θάλασσαν εἴτε ἀπὸ τὰ ὕδατα ποὺ ὑπάρχουν καὶ κινοῦνται ἐπάνω ἀπὸ τὸν οὐρανόν, ὅπως ἀκριβῶς λέγουν

δὲ ἀπιστεῖς τοῖς προφήταις, σημεῖα φανερὰ καὶ δῆλα παρεχόμεθα, ἃ μάλιστα δείκνυσιν αὐτοὺς θεοπνεύστους γενομένους, καὶ οὐδὲν οἴκοθεν διαλεχθέντας ἡμῖν, ἀλλ' ἀπὸ τῆς θείας ἐκείνης καὶ ὑπερουρανίου χάριτος ἐμπνευσθέντας. Πάντα γὰρ τὰ ὑπ' αὐτῶν εἰρημένα τέλος ἔχει καὶ πάντα πρὸς τὴν τῶν πραγμάτων ἀλήθειαν ἐξέβη, ἄν τε τὰ παλαιά, ἄν τε τὰ καινὰ βούλει μεταχειρίζειν. Τά τε γὰρ περὶ Ἰουδαίων εἰρημένα τοῖς προφήταις ἅπαντα τέλος ἔλαβεν, ὧν καὶ ἡ ἔκβασις ἅπασι δήλη γέγονε· τά τε περὶ τοῦ Χριστοῦ ἐν τῇ Καινῇ, ἃ μάλιστα δείκνυσιν θείαν ἑκατέραν οὖσαν τὴν Γραφήν. Εἰ δὲ θεία, καὶ τὰ ἐν αὐτῇ περὶ Θεοῦ εἰρημένα ἀληθῆ πάντα.

Μὴ τοίνυν ἀμφίβαλλε περὶ τῆς τοῦ Θεοῦ προνοίας, ἀλλὰ θαύμαζε αὐτοῦ τὴν κηδεμονίαν, ὅτι καίτοι πονηρῶν ὄντων καὶ ἀγαθῶν, τὴν οἰκουμένην καὶ τὸν ἥλιον πᾶσιν ἀνῆκε, καὶ τοὺς ὑετοὺς δίδωσιν. Εἰ δέ τινας ἀφίησιν εἶναι ἐν πτωχείᾳ καὶ πενίᾳ, διορθῶν αὐτῶν τὴν ψυχὴν ἀφίησι, φιλοσοφωτέραν τὴν γνώμην ἐργαζόμενος. Ἴστε γάρ, ἴστε σαφῶς, ὅτι ὁ μὲν πλοῦτος τοῖς μὴ προσέχουσι πονηρίας ἐστὶν ὑπηρέτης, ἡ δὲ πενία φιλοσοφίας ἐστὶ μήτηρ· καὶ ταῦτα δείκνυσι καθ' ἑκάστην ἡμέραν τὰ πράγματα. Πόσοι τῶν πενήτων τῶν πλουτούντων εἰσὶ συνετώτεροί τε καὶ φιλοσοφώτεροι, καὶ τὰ σώματα ὑγιεινότεροι, πενίας αὐτοῖς κατὰ τὴν σάρκα καὶ τὴν ψυχὴν διορθουμένης; «Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω. Ὅτι σύ, Κύριε, κατὰ μόνας ἐπ' ἐλπίδι κατῴκισάς με». Ἰδοὺ καὶ ἄλλο προνοίας εἶδος οὐ μικρόν, τὸ εἰρήνης ἀπολαύειν τοὺς ἀνακειμένους Θεῷ. «Εἰρήνη γὰρ τοῖς ἀγαπῶσι τὸν νόμον σου,

καὶ οἱ προφῆται. Ἐὰν ὅμως δὲν πιστεύῃς τοὺς προφήτας, σοῦ δίδομεν ἀποδείξεις καθαρὰς καὶ φανεράς, ποὺ κατ᾽ ἐξοχὴν ἀποδεικνύουν ὅτι αὐτοὶ ἦσαν θεόπνευστοι, καὶ ὅτι τίποτε δὲν εἶπαν ἀπὸ μόνοι των, ἀλλ᾽ ἐνεπνεύσθησαν ἀπὸ τὴν θείαν ἐκείνην καὶ ὑπερουράνιον χάριν. Διότι ὅλα ὅσα ἐλέχθησαν ἀπὸ αὐτοὺς ἐξεπληρώθησαν καὶ ὅλα ἐπαληθεύθησαν εἰς τὴν πρᾶξιν, εἴτε θέλεις ν᾽ ἀναφέρῃς τὰ παλαιὰ εἴτε τὰ νέα. Καὶ πράγματι τὰ ὅσα ἐλέχθησαν ἀπὸ τοὺς προφήτας διὰ τοὺς Ἰουδαίους ὅλα ἐξεπληρώθησαν καὶ τὸ ἀποτέλεσμά των ὑπῆρξε φανερὸν εἰς ὅλους. Καὶ τὰ ὅσα ἐλέχθησαν περὶ τοῦ Χριστοῦ εἰς τὴν Καινὴν Διαθήκην, τὰ ὁποῖα πρὸ πάντων φανερώνουν ὅτι ἦτο θεία ἡ κάθε μία ἀπὸ τὰς δύο Γραφάς. Ἐὰν δὲ εἶναι θεία, τότε καὶ τὰ ὅσα ἐλέχθησαν εἰς αὐτὴν διὰ τὸν Θεὸν εἶναι ὅλα ἀληθῆ.

Μὴ ἀμφιβάλλῃς λοιπὸν διὰ τὴν πρόνοιαν τοῦ Θεοῦ, ἀλλὰ θαύμαζε τὴν κηδεμονίαν αὐτοῦ, διότι ἂν καὶ εἴμεθα κακοὶ καὶ καλοί, ἔδωσεν εἰς ὅλους τὴν γῆν καὶ τὸν ἥλιον καὶ εἰς ὅλους δίδει καὶ τὰς βροχάς. Ἐὰν δὲ μερικοὺς τοὺς ἀφήνει νὰ ζοῦν μέσα εἰς τὴν φτώχειαν καὶ τὴν ἀνέχειαν, τοὺς ἀφήνει διὰ νὰ διορθώσῃ τὴν ψυχήν των καὶ νὰ κάμῃ πιὸ εὐσεβῆ τὴν διάθεσίν των. Διότι γνωρίζετε, γνωρίζετε πολὺ καλά, ὅτι ὁ μὲν πλοῦτος εἶναι ὑπηρέτης τῆς κακίας εἰς ἐκείνους ποὺ δὲν εἶναι προσεκτικοί, ἡ δὲ φτώχεια εἶναι μητέρα τῆς εὐσεβείας· καὶ αὐτὰ τὰ δείχνουν καθημερινὰ τὰ ἴδια τὰ πράγματα. Πόσοι ἀπὸ τοὺς πτωχοὺς δὲν εἶναι καὶ συνετώτεροι καὶ εὐσεβέστεροι ἀπὸ τοὺς πλουσίους καὶ ἔχουν πιὸ ὑγιῆ σώματα, ἐπειδὴ ἡ φτώχεια διορθώνει καὶ τὸ σῶμα των καὶ τὴν ψυχήν των; «Γεμᾶτος ἀπὸ εἰρήνην θὰ κοιμηθῶ καὶ θὰ βυθισθῶ εἰς βαθὺν ὕπνον, διότι σύ, Κύριε, ἂν καὶ εἶμαι μόνος μου, μοῦ παρέχεις τὴν προστασίαν σου, κάτω ἀπὸ τὴν ὁποίαν κατοικῶ γεμᾶτος ἐλπίδα πρὸς ἐσένα». Νὰ καὶ ἕνα ἄλλο ὄχι μικρὸν εἶδος προνοίας, τὸ ὅτι δηλαδὴ ἀπολαμβάνουν εἰρήνην ἐκεῖνοι ποὺ στηρίζονται εἰς τὸν Θεόν. Διότι εἰρήνη κυριαρχεῖ εἰς τὴν ψυχὴν

καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον». Οὐδὲν γὰρ οὕτως εἰρήνην ποιεῖν εἴωθεν, ὡς ἡ τοῦ Θεοῦ γνῶσις, καὶ ἡ τῆς ἀρετῆς κτῆσις, τὸν ἔνδοθεν τῶν παθῶν ἐξοικίζουσα πόλεμον, καὶ οὐκ ἀφιεῖσα αὐτὸν πρὸς ἑαυτὸν διαστασιάζειν τὸν ἄνθρωπον. Ὡς εἴγε μὴ ταύτης ἀπολαύοι τῆς εἰρήνης, κἂν ἐν βαθυτάτῃ εἰρήνῃ ᾖ ἔξωθεν, κἂν μηδεὶς πολέμιος αὐτὸν βάλλῃ, τῶν ὑπὸ τῆς οἰκουμένης πολεμουμένων πάντων ἐστὶν ἀθλιώτερος.

11. Οὐ γὰρ οὕτω Σκύθαι, οὐδὲ Θρᾷκες, οὐ Σαυρομάται, καὶ Ἰνδοὶ καὶ Μαῦροι, καὶ ὅσα ἄγρια ἔθνη πολεμεῖν εἰώθασιν, ὡς λογισμὸς ἀτοπώτατος ἐνδομυχῶν τῇ ψυχῇ, καὶ ἐπιθυμία ἀκόλαστος, καὶ χρημάτων ἔρως, καὶ δυναστείας πόθος, καὶ τῶν βιωτικῶν πραγμάτων ἡ προσπάθεια. Καὶ εἰκότως· ἐκεῖνος μὲν γὰρ ἔξωθεν ὁ πόλεμος, αὕτη δὲ ἔνδον ἐστὶν ἡ μάχη. Ὅτι δὲ τὰ ἔνδοθεν τικτόμενα τῶν ἔξωθεν προσβαλλόντων ἐστὶ χαλεπώτερα, καὶ μᾶλλον διαφθείρειν εἴωθε, τοῦτο ἐπὶ πάντων ἐστὶν ἰδεῖν. Καὶ γὰρ καὶ ξύλου φύσιν σκώληξ ἔνδον τικτόμενος μᾶλλον διαφθείρει, καὶ σώματος δύναμιν καὶ ὑγείαν τῶν ἔξωθεν φυομένων τὰ ἔνδοθεν βλαστάνοντα νοσήματα μειζόνως λυμαίνεται· καὶ πόλεις οὐχ οὕτως οἱ ἔξωθεν πολέμιοι, ὡς οἱ ἐμφύλιοι καταλύουσιν· οὕτω δὴ καὶ ψυχὴν οὐχ οὕτω τὰ ἔξωθεν προσιόντα μηχανήματα, ὡς τὰ ἔνδοθεν τικτόμενα νοσήματα λυμαίνεσθαι πέφυκεν. Ἀλλ' ἐάν τις τὸν φόβον τοῦ Θεοῦ ἔχων, μετὰ ἀκριβείας τοῦτον καταλύσῃ τὸν πόλεμον, καὶ κοιμήσῃ τὰ πάθη, καὶ τὰ θηρία τὰ ποικίλα ἐκεῖνα τῶν ἀτόπων λογισμῶν ἀποπνίξας, μὴ ἐμφωλεύειν παρα-

---

39. Ψαλμ. 118, 165.

ἐκείνων πού ἀγαποῦν τὰς ἐντολάς σου καὶ κανένα δὲν ὑπάρχει πρόσκομμα εἰς αὐτούς»[39]. Πράγματι, τίποτε συνήθως δὲν εἰρηνεύει τόσον πολὺ τὴν ψυχήν μας, ὅσον ἡ γνῶσις τοῦ Θεοῦ καὶ ἡ ἀπόκτησις τῆς ἀρετῆς, πού διώχνει ἀπὸ μέσα μας τὸν πόλεμον τῶν παθῶν καὶ δὲν ἀφήνει τὸν ἄνθρωπον νὰ συγκρούεται μὲ τὸν ἑαυτόν του. Διότι, ἐὰν δὲν ἀπολαμβάνη αὐτὴν τὴν εἰρήνην, καὶ ἂν ἀκόμη ἐξωτερικὰ ὑπάρχη βαθυτάτη εἰρήνη, καὶ ἂν ἀκόμη κανένας ἐχθρὸς δὲν τὸν πολεμῇ, εἶναι ἀθλιώτερος ἀπὸ ὅλους ἐκείνους πού πολεμοῦνται ἀπὸ τὴν οἰκουμένην.

11. Πράγματι δὲν εἶναι τόσον σκληροὶ οἱ πόλεμοι πού κάνουν οἱ Σκύθαι, οὔτε οἱ Θρᾶκες, οὔτε οἱ Σαυρομάται, οἱ Ἰνδοὶ καὶ οἱ Μαῦροι καὶ ὅσα ἄλλα ἄγρια ἔθνη συνηθίζουν νὰ πολεμοῦν, ὅσον μία παράλογος σκέψις πού φωλιάζει μέσα εἰς τὴν ψυχὴν καὶ ἐπιθυμία ἀκόλαστος καὶ ἔρως χρημάτων καὶ πόθος δι᾽ ἐξουσίαν καὶ ἡ προσπάθεια διὰ τὴν ἀπόκτησιν τῶν κοσμικῶν πραγμάτων. Καὶ πολὺ εὔλογα· διότι ἐκεῖνος μὲν εἶναι ἐξωτερικὸς πόλεμος, ἐνῷ αὐτὴ ἡ μάχη εἶναι ἐσωτερική. Τὸ ὅτι δὲ τὰ ὅσα γεννῶνται μέσα μας εἶναι φοβερώτερα ἀπὸ ἐκεῖνα πού μᾶς προστάζουν ἀπὸ ἔξω καὶ μᾶς καταστρέφουν συνήθως περισσότερον, αὐτὸ ἠμποροῦμεν νὰ τὸ ἰδοῦμεν παντοῦ. Καθ᾽ ὅσον καὶ τὸ ξύλον τὸ καταστρέφει περισσότερον τὸ σκουλήκι πού γεννᾶται μέσα του, καὶ τὴν δύναμιν τοῦ σώματος καὶ τὴν ὑγείαν τὴν καταστρέφουν περισσότερον τὰ νοσήματα πού βλαστάνουν μέσα μας ἀπὸ ἐκεῖνα πού προκαλοῦνται ἀπὸ ἐξωτερικὰ αἴτια· καὶ τὰς πόλεις δὲν τὰς καταστρέφουν τόσον οἱ ἐξωτερικοὶ πόλεμοι, ὅσον οἱ ἐμφύλιοι· ἔτσι λοιπὸν καὶ τὴν ψυχὴν δὲν τὴν καταστρέφουν συνήθως τόσον πολὺ τὰ ἀπὸ ἔξω προσβάλλοντα αὐτὴν τεχνάσματα καὶ δόλοι, ὅσον τὰ νοσήματα πού γεννῶνται ἀπὸ μέσα. Ἀλλ᾽ ἐὰν κανείς, ἔχων τὸν φόβον τοῦ Θεοῦ, καταπαύσῃ αὐτὸν τὸν πόλεμον τελείως καὶ ἀποκοιμήσῃ τὰ πάθη, καί, ἀφοῦ καταπνίξῃ τὰ ποικίλα ἐκεῖνα θηρία τῶν παραλόγων λογι-

σκευάσῃ, οὗτος καθαρωτάτης καὶ βαθυτάτης ἀπολαύσεται εἰρήνης. Ταύτην τὴν εἰρήνην ἐλθὼν ὁ Χριστὸς ἐχαρίσατο· ταύτην καὶ ὁ Παῦλος τοῖς πιστοῖς ἐπηύχετο, καθ' ἑκάστην ἐπιστολὴν λέγων· «Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν»· ὁ γὰρ τὴν εἰρήνην ταύτην ἔχων, οὐ μόνον βάρβαρον καὶ πολέμιον, ἀλλ' οὐδὲ αὐτὸν τὸν διάβολον δέδοικεν· ἀλλὰ πάσης τῆς τῶν δαιμόνων φάλαγγος καταγελᾷ, καὶ πάντων ἀνθρώπων ἐστὶν εὐθυμότερος, οὐ πενίᾳ πιεζόμενος, οὐ νόσῳ καὶ ἀρρωστίᾳ βαρούμενος, οὐκ ἄλλῳ τινὶ τῶν ἀνθρωπίνων τῶν ἀδοκήτως προσπιπτόντων θορυβούμενος, διὰ τὸ τὴν ψυχήν, τὴν δυναμένην ταῦτα μετὰ ἀκριβείας διαθεῖναι καὶ εὐκολίας ἁπάσης, ἐρρωμένην καὶ ὑγιαίνουσαν ἔχειν. Καὶ ἵνα μάθητε ὅτι τοῦτό ἐστιν ἀληθές· ἔστω τις βάσκανος, καὶ μηδεὶς αὐτῷ πολεμείτω· τί τὸ ὄφελος; Αὐτὸς γὰρ ἑαυτῷ πολεμεῖ, παντὸς ξίφους ὀξυτέρους καθ' ἑαυτοῦ θήγων λογισμούς, πᾶσι τοῖς ὁρωμένοις προσπταίων, καὶ καθ' ἕκαστον τῶν ἐντυγχανόντων ἀνθρώπων τιτρώσκων ἑαυτόν, καὶ πρὸς οὐδένα ἡδέως ἔχων, ἀλλὰ κοινοὺς πολεμίους πάντας ὁρῶν. Τί οὖν ὄφελος τῆς ἔξωθεν εἰρήνης τούτῳ, ὅταν αὐτὸς λυσσῶν καὶ μαινόμενος, καὶ κοινὸς τῆς φύσεως ὢν ἐχθρός, περιέρχηται τοσοῦτον ἔνδοθεν φέρων πόλεμον, καὶ μυρία τόξα καὶ βέλη, μᾶλλον δὲ μυρίους θανάτους εὐχόμενος, ἢ ἰδεῖν τινα τῶν ὁμογενῶν εὐδοκιμοῦντα καὶ εὐημερίας ἀπολαύοντα; Πάλιν ἕτερος ὑπὸ χρημάτων ἐπιθυμίας κατεχόμενος, μυρίους πολέμους καὶ μάχας καὶ στάσεις εἰς τὴν ἑαυτοῦ συνάγει ψυχήν, καὶ ἐν θορύβῳ καὶ ταραχῇ ὤν, οὐδὲ μικρὸν ἀναπνεῦσαι δύναται.

'Αλλ' οὐχ ὁ τούτων ἀπηλλαγμένος τῶν παθῶν οὕτω διά-

---

40. Ρωμ. 1, 7.

σμῶν, τὰ κάνει νὰ μὴ φωλιάζουν μέσα του, αὐτὸς θὰ ἀπολαύσῃ πάρα πολὺ καθαρὰν καὶ πολὺ βαθεῖαν εἰρήνην. Αὐτὴν τὴν εἰρήνην μας ἐχάρισεν ὁ Χριστὸς ὅταν ἦλθεν, αὐτὴν ηὔχετο καὶ ὁ Παῦλος εἰς τοὺς πιστοὺς καθημερινά, λέγων· «Ἂς ἔχετε τὴν χάριν καὶ τὴν εἰρήνην ἀπὸ τὸν Θεὸν καὶ Πατέρα μας»[10], διότι ἐκεῖνος ποὺ ἔχει αὐτὴν τὴν εἰρήνην, ὄχι μόνον βάρβαρον καὶ ἐχθρόν του δὲν φοβεῖται, ἀλλ' οὔτε καὶ τὸν ἴδιον τὸν διάβολον, περιγελᾷ ὅλην τὴν φάλαγγα τῶν δαιμόνων καὶ εἶναι πιὸ εὔθυμος ἀπὸ ὅλους τοὺς ἀνθρώπους, χωρὶς νὰ καταπιέζεται ἀπὸ τὴν πτώχειαν, οὔτε νὰ κάμπτεται ἀπὸ νόσον καὶ ἀρρώστιαν, οὔτε νά θορυβῆται ἀπὸ κάποιο ἀπὸ τὰ ἀνθρώπινα ποὺ ἀπροσδόκητα τὸν εὑρίσκουν, διότι ἔχει ψυχὴν δυνατὴν καὶ πολὺ ὑγιῆ, ποὺ ἠμπορεῖ αὐτὰ νὰ τὰ ἀντιμετωπίσῃ μὲ εὐκολίαν καὶ πολὺ ἀποτελεσματικά. Καὶ διὰ νὰ μάθετε ὅτι αὐτὸ εἶναι ἀλήθεια, ἄς ὑποθέσωμεν ὅτι ὑπάρχει κάποιος φθονερὸς καὶ ὅτι δὲν τὸν πολεμεῖ κανείς· ποῖο τὸ ὄφελος; Διότι ὁ ἴδιος πολεμεῖ τὸν ἑαυτόν του, θέτων μέσα του λογισμοὺς πιὸ κοπτεροὺς ἀπὸ ὁποιοδήποτε ξίφος, ἐρχόμενος εἰς σύγκρουσιν μὲ ὅλα ὅσα βλέπει, πληγώνων τὸν ἑαυτόν του μὲ ὁποιονδήποτε ἀπὸ τοὺς ἀνθρώπους ποὺ συναντᾷ καὶ κανένα δὲν συμπαθεῖ, ἀλλ' ὅλους τοὺς βλέπει ὡσὰν κοινοὺς ἐχθρούς. Εἰς τί λοιπὸν ὠφελεῖται αὐτὸς ἀπὸ τὴν ἐξωτερικὴν εἰρήνην, ὅταν ὁ ἴδιος περιφέρεται ὡσὰν λυσσασμένος καὶ μανιακὸς καὶ κοινὸς ἐχθρὸς τῆς ἀνθρωπίνης φύσεως, ἔχων μέσα του τόσον μεγάλον πόλεμον καὶ εὐχόμενος νὰ δεχθῇ ἀμέτρητα τόξα καὶ βέλη ἢ καλύτερα ἀμετρήτους θανάτους, παρὰ νὰ ἰδῇ κάποιον συνάνθρωπόν του νὰ προκόπτῃ καὶ νὰ ἀπολαμβάνῃ εὐημερίας; Ἄλλος πάλιν κυριευμένος ἀπὸ τὴν ἐπιθυμίαν τῶν χρημάτων, συγκεντρώνων μέσα εἰς τὴν ψυχήν του ἀπείρους πολέμους καὶ μάχας καὶ ἐπαναστάσεις, καί, εὑρισκόμενος μέσα εἰς τὴν ἀνησυχίαν καὶ τὴν ταραχήν, δὲν ἠμπορεῖ οὔτε πρὸς στιγμὴν νὰ ἡσυχάσῃ.

Ἀλλ' αὐτὸς ποὺ εἶναι ἀπηλλαγμένος ἀπ' αὐτὰ τὰ πά-

κειται, ἀλλ' ἐν γαληνῷ κάθηται λιμένι, ἐντρυφῶν τῇ φιλοσοφίᾳ, καὶ οὐδεμίαν ὑπομένων ἀηδίαν τοιαύτην. Διὸ δὴ καὶ ταύτης ἀπολαύων τῆς προνοίας ὁ προφήτης ἔλεγεν· «Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι, καὶ ὑπνώσω», δηλῶν, ὅτι τῷ μὴ ταύτην ἔχοντι τὴν εἰρήνην οὐδὲ ὁ κοινὸς λιμὴν ἅπας ἀνέῳκται, ἀλλὰ καὶ οὗτος προσκέχωσται, ὁ τοῦ ὕπνου καὶ τῆς νυκτός. Τὰ γὰρ πάθη ταῦτα καὶ τὴν ἀπὸ τῆς φύσεως ἄδειαν διδομένην διαφθείρει, ἑτέρᾳ τυραννίδι χαλεπωτέρᾳ τοῦ ὕπνου τὴν τυραννίδα παντελῶς παρωθούμενα. Οἱ γὰρ φθονεροὶ καὶ βάσκανοι καὶ πλεονέκται καὶ ἅρπαγες τοῦτον τὸν πόλεμον πανταχοῦ περιφέροντες, καὶ τοὺς πολεμίους ἔνδον ἔχοντες ἐγκαθημένους, ὅπουπερ ἂν ἀπέλθωσι, φυγεῖν οὐ δύνανται τὴν μάχην, ἀλλὰ κἂν οἴκοι μένωσι, κἂν ἐπὶ κλίνης κέωνται, νέφη βελῶν, καὶ θορύβους κυμάτων βιαιοτέρους, καὶ σφαγὰς καὶ κραυγὰς καὶ οἰμωγὰς καὶ ἕτερα πολλῷ τῶν ἐν τοῖς πολεμίοις συμβαινόντων χαλεπώτερα ὑπομένουσιν. Ἀλλ' οὐχ ὁ δίκαιος οὕτως, ἀλλὰ καὶ ἐγρηγορὼς τρυφᾷ, καὶ ἐν καιρῷ τῆς νυκτὸς μετὰ πολλῆς τῆς ἡδονῆς τὸν ὕπνον δέχεται.

Τί δέ ἐστιν, «Ἐπὶ τὸ αὐτό»; Συνηγμένος πρὸς ἐμαυτόν, φησί, συνεστραμμένος, οὐ σχιζόμενος εἰς μυρίας φροντίδας, οὐδὲ τὰ τοῦ δεῖνος καὶ τοῦ δεῖνος μεριμνῶν, οὐδὲ εἰς τὴν οἰκουμένην διατεμνόμενος ταῖς φροντίσιν· ἀλλὰ τὰ ἐμαυτοῦ λογιζόμενος, καὶ τὰ ἐμοὶ διαφέροντα, καὶ ἃ μάλιστά ἐστιν ἀνθρώπῳ προσήκοντα· «Ὅτι σύ, Κύριε, κατὰ μόνας ἐπ' ἐλπίδι

θη δὲν ζῇ κατ' αὐτὸν τὸν τρόπον, ἀλλὰ κάθεται εἰς γαλήνιον λιμάνι, νοιώθων εὐχαρίστησιν ἀπὸ τὴν εὐσεβῆ ζωήν του καὶ δὲν νοιώθει καμμίαν τέτοιαν ἀηδίαν. Διὰ τοῦτο λοιπὸν καὶ ὁ προφήτης, ἐπειδὴ ἀπελάμβανεν αὐτῆς τῆς προνοίας, ἔλεγεν· «Μὲ εἰρήνην θὰ κοιμηθῶ καὶ θὰ χορτάσω ὕπνον», διὰ νὰ δείξῃ, ὅτι εἰς αὐτὸν ποὺ δὲν ἔχει αὐτὴν τὴν εἰρήνην, ὄχι μόνον δὲν εἶναι τελείως ἀνοικτὸν αὐτὸ τὸ κοινὸν λιμάνι, ἀλλὰ καὶ αὐτὸ ἔχει φραχθῆ, δηλαδὴ τὸ λιμάνι τοῦ ὕπνου καὶ τῆς νυκτός. Διότι αὐτὰ τὰ πάθη καταστρέφουν καὶ τὴν ἀνάπαυσιν ποὺ παρέχεται ἀπὸ τὴν φύσιν, ἀπομακρύνοντα τελείως μὲ ἄλλην χειροτέραν τυραννίδα τὴν τυραννίδα τοῦ ὕπνου. Καθ' ὅσον οἱ φθονεροὶ καὶ ζηλότυποι καὶ οἱ πλεονέκται καὶ οἱ ἅρπαγες, μεταφέροντες παντοῦ αὐτὸν τὸν πόλεμον καὶ ἔχοντες ἐγκατεστημένους μέσα των τοὺς ἐχθροὺς ὅπου καὶ ἂν μεταβοῦν δὲν ἠμποροῦν ν' ἀποφύγουν τὴν μάχην, ἀλλ' εἴτε μένουν εἰς τὴν οἰκίαν των, εἴτε κοιμῶνται εἰς τὸ κρεββάτι των, ὑποφέρουν ἀπὸ σύννεφα βελῶν, καὶ ἀπὸ θορύβους πιὸ ἀγρίους καὶ ἀπὸ τὰ κύματα, ἀπὸ σφαγὰς καὶ κραυγὰς καὶ θρήνους καὶ πολλὰ ἄλλα χειρότερα ἀπὸ ἐκεῖνα ποὺ συμβαίνουν ἀνάμεσα εἰς τοὺς ἐχθρούς. Ὅμως δὲν ζῇ κατὰ τὸν ἴδιον τρόπον καὶ ὁ δίκαιος, ἀλλὰ νοιώθει εὐχαρίστησιν ὅταν εἶναι ξύπνιος, καὶ κατὰ τὴν διάρκειαν τῆς νυκτὸς δέχεται τὸν ὕπνον μὲ πολλὴν ἡδονήν.

Τί σημαίνει δέ, «Ἐπὶ τὸ αὐτό»; Θὰ εἶμαι, λέγει, συγκεντρωμένος εἰς τὸν ἑαυτόν μου, θὰ ἔχω ἐστραμμένην τὴν προσοχήν μου εἰς τὸν ἑαυτόν μου, χωρὶς νὰ διχάζωμαι ἀπὸ τὰς ἀμετρήτους φροντίδας, οὔτε νὰ φροντίζω διὰ τὰ προβλήματα τοῦ ἑνὸς καὶ τοῦ ἄλλου, καὶ οὔτε νὰ ξεσχίζωμαι μέσα εἰς τὸν κόσμον ἀπὸ τὰς φροντίδας, ἀλλὰ σκεπτόμενος τὰς ὑποθέσεις μου καὶ ἐκεῖνα ποὺ μὲ ἐνδιαφέρουν καὶ μάλιστα ἐκεῖνα ποὺ πρέπουν εἰς τὸν ἄνθρωπον· «Διότι σύ, Κύριε, ἂν καὶ εἶμαι ὁλομόναχος, μοῦ παρέχεις τὴν προστασίαν σου κάτω ἀπὸ τὴν ὁποίαν κατοικῶ γεμᾶ-

κατῴκισάς με». Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· τῇ τῶν μελλόντων ἐλπίδι καὶ τῇ προσδοκίᾳ τῇ εἰς σὲ πάντα μου τὰ πάθη κατέστειλα. Καθάπερ καὶ Παῦλός φησι· «Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως, καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται ἡμῖν, μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα». Οὐ γάρ ἐστιν οὐδὲν φορτικὸν πρᾶγμα, ὃ μὴ γίνεται ῥᾷστον τῇ ἐλπίδι τῆς εὐδοκιμήσεως τῆς κατὰ Θεόν. Διὰ τοῦτό φησιν· «Ἐπ' ἐλπίδι κατῴκισάς με». Καὶ τὸ «Κατὰ μόνας» δὲ οὐ μικρὰ διδασκαλίας ἀρετή.

12. Τί δέ ἐστι, «Κατὰ μόνας»; Τῶν πονηρῶν χωρίς. Τὴν γὰρ εἰρήνην ταύτην κατώρθωσα, φησί, πρὸς σέ, καὶ κατὰ μόνας οἰκῶ φεύγων τοὺς διεφθαρμένους. Καὶ μάλα εἰκότως. Καθάπερ γὰρ σώματα πολλάκις ἀπὸ τῆς τῶν ἀέρων τῶν διεφθαρμένων λύμης ἀπόλλυνται, οὕτω δὴ καὶ ψυχὴ πολλάκις ἐδέξατο βλάβην ἀπὸ τῆς τῶν πονηρῶν συνουσίας· καὶ καθάπερ ὀφθαλμὸς ὑγιαίνων, ὅταν νοσοῦντα ἴδῃ, πλήττεται, καὶ ὁ ψώρας ἐμπεπλησμένος, μεταδίδωσι καὶ τοῖς ὑγιαίνουσιν, οὕτω δὴ συμβαίνει πολλάκις καὶ ἐπὶ τῆς συνουσίας τῶν πονηρῶν ἀνθρώπων. Διὰ τοῦτο καὶ ὁ Χριστὸς παρῄνει οὐ μόνον φεύγειν τοὺς τοιούτους, ἀλλὰ καὶ ἐκτέμνειν, οὕτω λέγων· «Εἰ δὲ ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζει σε, ἔξελε αὐτόν, καὶ βάλε ἀπὸ σοῦ»· οὐ δὴ περὶ ὀφθαλμοῦ λέγων· τί γὰρ ἂν ἀδικήσειεν ὀφθαλμός, διανοίας ὑγιαινούσης; ἀλλὰ περὶ φίλων ἀναγκαίων καὶ ἐν τάξει τῶν μελῶν τούτων ἡμῖν ὄντων, καὶ βλαπτόντων ἡμᾶς, ταῦτα ἐνομοθέτησε, κελεύων καὶ τὴν φιλίαν τῶν τοιούτων ἀτιμάζειν, ὥστε τὴν σωτηρίαν τὴν ἑαυ-

---

41. Β΄ Κορ. 4, 17 - 18.
42. Β΄ Κορ. 4, 17 - 18.
43. Ματθ. 5, 29.

τος μὲ τὰς ἐλπίδας μου πρὸς ἐσένα». Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Ἡ Μὲ τὴν μελλοντικὴν ἐλπίδα καὶ τὴν ἰδικήν σου ἀναμονὴν κατέσβεσα ὅλα μου τὰ πάθη΄. Ὅπως ἀκριβῶς δηλαδὴ λέγει καὶ ὁ Παῦλος· «Διότι ἡ πρὸς στιγμὴν ἐλαφρὰ θλῖψις μᾶς προετοιμάζει εἰς ὑπερβολικὸν βαθμὸν αἰώνιον βάρος δόξης, μὲ τὸ νὰ προσέχωμεν ὄχι ἐκεῖνα ποὺ βλέπονται, ἀλλ' ἐκεῖνα ποὺ δὲν βλέπονται»[41]. Διότι δὲν ὑπάρχει κανένα πρᾶγμα βαρὺ ποὺ νὰ μὴ γίνεται πολὺ ἐλαφρὸν μὲ τὴν ἐλπίδα τῆς εὐδοκιμήσεώς μας κατὰ Θεόν. Διὰ τοῦτο λέγει· «Κατοικῶν γεμᾶτος ἀπὸ ἐλπίδα πρὸς ἐσένα». Καὶ τό, «Ἂν καὶ εἶμαι ὁλομόναχος», δὲν εἶναι μικρὰ ἀρετὴ διδασκαλίας.

12. Τί σημαίνει δέ, «Κατὰ μόνας»; Μακριὰ ἀπὸ τοὺς κακούς. Διότι αὐτὴν τὴν εἰρήνην τὴν κατώρθωσα, λέγει, μὲ τὴν ἐλπίδα μου στηριγμένην εἰς ἐσένα, καὶ ζῶ ὁλομόναχος, ἀποφεύγων τοὺς διεφθαρμένους. Καὶ πολὺ σωστά. Διότι ὅπως ἀκριβῶς πολλὲς φορὲς καταστρέφονται σώματα ἀπὸ τὴν βλάβην τῶν δηλητηριωδῶν ἀερίων, ἔτσι λοιπὸν καὶ ἡ ψυχὴ πολλὲς φορὲς ἐδέχθη βλάβην ἀπὸ τὴν συναναστροφήν της μὲ κακοὺς ἀνθρώπους· καὶ ὅπως ἀκριβῶς ὁ ὑγιὴς ὀφθαλμὸς προσβάλλεται ὅταν ἰδῇ ἄρρωστο, καὶ ὁ ψωριασμένος μεταδίδει τὴν ψώραν του καὶ εἰς τοὺς ὑγιεῖς, ἔτσι λοιπὸν συμβαίνει πολλὲς φορὲς καὶ μὲ τὴν συναναστροφὴν μὲ κακοὺς ἀνθρώπους. Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἐσυμβούλευεν ὄχι μόνον ν' ἀποφεύγῃ κανεὶς τοὺς παρομοίους ἀνθρώπους, ἀλλὰ καὶ νὰ τοὺς ἀποκόπτωμεν, λέγων τὰ ἑξῆς· «Ἐὰν δὲ ὁ δεξιὸς ὀφθαλμός σου σὲ σκανδαλίζῃ, βγάλε τον καὶ πέταξέ τον μακριά»[42]· φυσικὰ δὲν ὁμιλεῖ διὰ τὸν ὀφθαλμόν· διότι εἰς τί θὰ ἠμποροῦσε νὰ ἀδικήσῃ ὁ ὀφθαλμός, ὅταν ὁ νοῦς εἶναι ὑγιής; ἀλλὰ αὐτὰ τὰ ἐνομοθέτησε διὰ τοὺς στενοὺς φίλους, ποὺ ἔχουν κοντά μας τὴν θέσιν αὐτῶν τῶν μελῶν, καὶ μᾶς βλάπτουν, δίδων ἐντολὴν νὰ περιφρονοῦμεν καὶ τὴν φιλίαν αὐτῶν τῶν ἀνθρώπων, ὥστε ν' ἀσφαλίζωμεν περισσότερον τὴν

τῶν ἀσφαλεστέραν ποιεῖν. Διὸ καὶ αὐτὸς πάλιν προϊὼν λέγει· «Οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος, καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω. Καὶ ὁ Ἱερεμίας δὲ μακαρίζει τὸν κατὰ μόνας καθεζόμενον, καὶ αἴροντα τὸν ζυγὸν ἐκ νεότητος. Καὶ αἱ Παροιμίαι πολὺν ὑπὲρ τούτου ποιοῦνται λόγον, πᾶσι παραινοῦσαι καὶ λέγουσαι μὴ μόνον ἐκκλίνειν, ἀλλὰ καὶ ἀποπηδᾶν ἀπὸ τῶν πονηρὰ συμβουλευόντων, καὶ μηδὲ ἐγχρονίζειν αὐτοῖς. Εἰ γὰρ τὰ φυσικὰ μεταβάλλεται πολλάκις ἡμῖν ἀπὸ κακῆς ὁμιλίας, πόσῳ μᾶλλον τὰ τῆς προαιρέσεως; Τό τε γὰρ χρῶμα κατὰ φύσιν ἡμῖν πρόσεστι, καὶ τὸ ὑγιαίνειν, ἀλλ' ἔστιν ὅτε διαφθείρεται ταῦτα ἐξ ἑτέρας ἕξεως ἐναντίας· καὶ τὸ ὀρέγεσθαι πάλιν σιτίων, καὶ τοῦτο πολλάκις ἀπωλέσαμεν ἀπὸ κακίας νοσημάτων· καὶ ἄλλα πολλὰ τοιαῦτά ἐστιν ἰδεῖν συμβαίνοντα. Εἰ δὲ τὰ τῆς φύσεως κινεῖται, πολλῷ μᾶλλον τὰ τῆς προαιρέσεως, ὅσῳ καὶ εὐκολωτέραν ἔχει τὴν ἐπὶ θάτερα μεταβολήν.

Μὴ δὴ μικρὸν εἶναι νομίζωμεν τὴν τῶν κακῶν συνουσίαν εἰς βλάβην, ἀλλὰ πρὸ τῶν ἄλλων ἁπάντων φεύγωμεν τοὺς τοιούτους, κἂν γυναῖκες ὦσι, κἂν φίλοι, κἂν ὁστισοῦν. Ἐπεὶ καὶ τοὺς μεγάλους ἐκείνους τοῦτο ἀπώλεσε, Σολομῶντα λέγω καὶ Σαμψών· καὶ ἔθνος δὲ ὁλόκληρον τὸ Ἰουδαϊκὸν οὕτω διέφθαρτο. Οὐ γὰρ οὕτω θηρία πλήττειν εἴωθεν, ὡς πονηρία ἀνθρώπων. Ἐκεῖνα μὲν γὰρ φανερὸν ἔχει τὸν ἰόν, οὗτοι δὲ ἀνεπαισθήτως καὶ ἀψοφητὶ καθ' ἑκάστην ἡμέραν ἐνιᾶσι τὴν λύμην, κατὰ μικρὸν ἀποσύροντες τὸ εὔτονον τῆς ἀρετῆς. Διὰ τοῦτο καὶ τὴν ἀκόλαστον ὄψιν ὁ Θεὸς ἀποτειχίζει, λέγων, «Ὁ

---

44. Ψαλμ. 25, 4.
45. Ἱερ. 3, 27 - 28.

σωτηρίαν μας. Διὰ τοῦτο καὶ ὁ ἴδιος πάλιν ὁ προφήτης προχωρῶν λέγει· «Δὲν ἔλαβα μέρος εἰς συνέδρια ἀνθρώπων ποὺ ἀγαποῦν τὴν ματαιότητα καὶ δὲν θὰ εἰσέλθω μὲ παρανομοῦντας διὰ νὰ συνεδριάσω»[44]. Καὶ ὁ Ἱερεμίας δὲ μακαρίζει αὐτὸν ποὺ κάθεται μόνος του καὶ σηκώνει μόνος του τὸν ζυγὸν ἀπὸ τὴν νεότητά του[45]. Καὶ αἱ παροιμίαι κάμνουν πολὺν λόγον δι' αὐτὸ τὸ θέμα, συμβουλεύουσαι ὅλους καὶ λέγουσαι ὄχι μόνον νὰ μὴ ἀκούουν, ἀλλὰ καὶ νὰ φεύγουν μακριὰ ἀπὸ ἐκείνους ποὺ συμβουλεύουν κακὰ καὶ νὰ μὴ χάνουν τὸν καιρόν των κοντὰ εἰς αὐτούς. Διότι ἐὰν πολλὲς φορὲς καὶ αἱ φυσικαὶ μας ἰδιότητες μεταβάλλονται ἐξ αἰτίας τῆς συναναστροφῆς, πόσον μᾶλλον τὰ ἀποκτηθέντα διὰ τῆς προαιρέσεως; Πράγματι καὶ τὸ χρῶμα τὸ ἔχομεν ἐκ φύσεως καὶ τὴν ὑγείαν, ἀλλὰ πολλὲς φορὲς καὶ αὐτὰ καταστρέφονται ἐξ αἰτίας κάποιας ἀντιθέτου συνηθείας· ὁμοίως καὶ ἡ ὄρεξις διὰ φαγητὸν εἶναι φυσικὴ ἰδιότης, ἀλλὰ καὶ αὐτὴν πολλὲς φορὲς τὴν ἐχάσαμεν ἐξ αἰτίας τῆς βλάβης ἀπὸ νοσήματα. Καὶ εἶναι δυνατὸν νὰ ἰδοῦμεν νὰ συμβαίνουν καὶ πολλὰ ἄλλα τέτοια. Ἐὰν δὲ τὰ ἐκ φύσεως μεταβάλλωνται, πολὺ περισσότερον τὰ ἐκ προαιρέσεως, καὶ μάλιστα τόσον, ὅσον εὐκολώτερα μεταβάλλονται ἀπὸ τὴν μίαν πρὸς τὴν ἄλλην κατάστασιν.

Ἂς μὴ νομίζωμεν λοιπὸν ὅτι εἶναι μικρὰ ἡ βλάβη ποὺ προέρχεται ἀπὸ τὴν συναναστροφὴν μὲ τοὺς κακούς, ἀλλὰ πρὶν ἀπὸ ὅλα τὰ ἄλλα ἂς ἀποφεύγωμεν τοὺς ἀνθρώπους αὐτοῦ τοῦ εἴδους, εἴτε γυναῖκες εἶναι, εἴτε φίλοι, εἴτε ὁποιοιδήποτε ἄλλοι. Διότι καὶ τοὺς μεγάλους ἐκείνους ἄνδρας αὐτὸ τοὺς κατέστρεψεν, ἐννοῶ τὸν Σολομῶντα καὶ τὸν Σαμψών· καὶ ὁλόκληρον δὲ τὸ Ἰουδαϊκὸν ἔθνος ἔτσι κατεστράφη. Διότι συνήθως δὲν πληγώνουν τόσον πολὺ τὰ θηρία, ὅσον ἡ κακία τῶν ἀνθρώπων. Καθ' ὅσον ἐκεῖνα μὲν ἔχουν φανερὸν τὸ δηλητήριον, ἐνῷ αὐτοὶ καθημερινὰ προκαλοῦν τὴν βλάβην ἀνεπαίσθητα καὶ ἀθόρυβα, καὶ σιγὰ-σιγὰ ἐξασθενίζουν τὴν δύναμιν τῆς ἀρετῆς. Διὰ τοῦτο ὁ Θεὸς ἀπαγορεύει καὶ τὸ ἁμαρτωλὸν βλέμμα, λέγων,

ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ», διὰ τὸ εὔκολον καὶ εὐπερίστατον τῆς ἀπωλείας. Σὺ δέ, εἰ μὲν πόλιν μέλλεις οἰκεῖν, πολλὰ περὶ ἀέρων πολυπραγμονεῖς, εἰ μὴ νοσώδεις, εἰ μὴ δύσκρατοι, εἰ μὴ αὐχμηροί, ψυχῆς δὲ μέλλων ποιεῖσθαι λόγον, οὐ περιεργάζῃ τὴν συνουσίαν τῶν μελλόντων ὁμιλεῖν αὐτῇ, ἀλλ' ἁπλῶς καὶ ὡς ἔτυχε πᾶσιν αὐτὴν ἐπιτρέπεις; Καὶ ποίας τεύξῃ συγγνώμης, εἰπέ μοι, οὕτως αὐτῆς ὑπερορῶν; Πόθεν γὰρ οἴει τοὺς τὰς ἐρήμους κατειληφότας θαυμαστούς τινας καὶ λαμπροὺς γίνεσθαι; οὐκ ἐπειδὴ θορύβους καὶ ἀγορὰς φεύγουσι, καὶ τοῦ καπνοῦ τῶν ἐν τῷ μέσῳ πραγμάτων μακρὰν ἑαυτοὺς ἐσκήνωσαν; Τούτους καὶ αὐτὸς ζήλωσον, ἐπὶ μέσης πόλεως ἐρημίας διώκων. Πῶς δὲ ἔσται τοῦτο; Ἐὰν τοὺς πονηροὺς φεύγῃς, ἐὰν τοὺς ἀγαθοὺς διώκῃς. Οὕτω γὰρ πλείονα καρπώσῃ τῶν ἐν ταῖς ἐρήμοις ἀσφάλειαν, οὐκ ἐν τῇ τῶν βλαπτόντων φυγῇ μόνον, ἀλλὰ καὶ ἐν τῇ τῶν ὠφελούντων κοινωνίᾳ. Ἂν γὰρ φεύγῃς μὲν τοὺς πονηρούς, διώκῃς δὲ τοὺς ἀγαθούς, ἑκατέρωθέν σοι τὰ τῆς ἀρετῆς αὐξηθήσεται, καὶ τὰ τῆς κακίας οἰχήσεται.

Ἵν' οὖν τοῦτο γένηται, ταῦτα ποιῶμεν, πειθόμενοι τῷ ψαλμῳδῷ λέγοντι· «Ὅτι σύ, Κύριε, κατὰ μόνας ἐπ' ἐλπίδι κατῴκισάς με». Ἐνταῦθα δὲ καταπαύσω τὸν λόγον, ἱκανῶς, οἶμαι, τὴν λύσιν ἀποδοὺς τῶν ζητουμένων, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

«Αὐτὸς ποὺ βλέπει γυναῖκα μὲ φιλήδονον βλέμμα, ἤδη ἐμοίχευσεν αὐτὴν εἰς τὴν καρδίαν του»[46], διὰ νὰ δείξη πόσον εὔκολα παρασύρεται κανεὶς εἰς τὴν ἀπώλειαν. Σὺ ὅμως, ὅταν πρόκειται νὰ κατοικήσης εἰς μίαν πόλιν, ἐξετάζεις μὲ πολλὴν λεπτομέρειαν τοὺς ἀνέμους, μὴ τυχὸν εἶναι νοσηροί, μήπως δὲν εἶναι ἤπιοι, μήπως δὲν εἶναι ξηροί, ὅταν ὅμως πρόκειται νὰ κάμης λόγον διὰ τὴν ψυχήν, δὲν ἐξετάζεις τὸν χαρακτῆρα ἐκείνων ποὺ πρόκειται νὰ λάβουν μέρος εἰς αὐτὴν τὴν συναναστροφήν, ἀλλ' ἐπιτρέπεις ἐντελῶς ἀπερίσκεπτα εἰς ὅλους νὰ λάβουν μέρος εἰς αὐτήν. Καὶ ποίαν, εἰπέ μου, συγγνώμην θὰ ἔχης, περιφρονῶν αὐτὴν κατ' αὐτὸν τὸν τρόπον; Διότι ἀπὸ ποῦ νομίζεις ὅτι γίνονται ὡρισμένοι, ἀπὸ ἐκείνους ποὺ κατέλαβαν τὰς ἐρήμους, θαυμαστοὶ καὶ λαμπροί; δὲν γίνονται ἐπειδὴ φεύγουν τοὺς θορύβους καὶ τὰς ἀγορὰς καὶ κατασκηνώνουν μακριὰ ἀπὸ τὸν καπνὸν τῆς καθημερινότητος; Αὐτοὺς καὶ σὺ νὰ μιμηθῇς, ἐπιδιώκων μέσα εἰς τὴν πόλιν τὴν ἐρημίαν. Πῶς δὲ θὰ συμβῇ αὐτό; Ἐὰν ἀποφεύγης τοὺς κακοὺς ἀνθρώπους καὶ ἐπιδιώκης τοὺς καλούς. Διότι ἔτσι θὰ ἐπιτύχης μεγαλυτέραν ἀσφάλειαν ἀπὸ ἐκείνους ποὺ καταφεύγουν εἰς τὰς ἐρημίας, ὄχι μόνον μὲ τὴν ἀποφυγὴν ἐκείνων ποὺ σὲ βλάπτουν, ἀλλὰ καὶ μὲ τὴν ἐπικοινωνίαν ἐκείνων ποὺ σὲ ὠφελοῦν. Διότι, ἐὰν μὲν ἀποφεύγης τοὺς κακούς, ἐπιδιώκης δὲ τοὺς καλούς, θ' αὐξηθοῦν καὶ ἀπὸ τὰς δύο πλευρὰς τὰ τῆς ἀρετῆς ὀφέλη, καὶ θὰ ἐξαφανισθοῦν αἱ συνέπειαι τῆς κακίας.

Διὰ νὰ συμβῇ λοιπὸν αὐτό, ἄς πράττωμεν αὐτά, δείχνοντες ὑπακοὴν εἰς τὰ λόγια τοῦ ψαλμωδοῦ· «Διότι σύ, Κύριε, ἄν καὶ εἶμαι ὁλομόναχος, μοῦ παρέχεις τὴν προστασίαν σου, κάτω ἀπὸ τὴν ὁποίαν κατοικῶ γεμᾶτος ἐλπίδα πρὸς ἐσένα». Ἐδῶ δὲ θὰ τερματίσω τὸν λόγον, πιστεύων, ὅτι ἔδωσα ἱκανοποιητικὴν λύσιν εἰς τὰ ἐξεταζόμενα, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ
ΕΙΣ ΤΟΝ Ε΄ ΨΑΛΜΟΝ

Εἰς τὸ τέλος, ὑπὲρ κληρονομούσης, ψαλμὸς τῷ Δαυίδ.

1. Πρότερον ἴδωμεν τίς ἡ κληρονομία, καὶ εἰ αὕτη καὶ ἡμῖν ἐπιβάλλει· ἔπειτα τὸν χρόνον καθ' ὃν δίδοται. Καὶ δὴ ἄτοπον, διαθήκης μὲν χρημάτων ὑμῖν ἀπαγγελθείσης, ὡς προσήκοντος ἡμῖν τοῦ κλήρου, περιεργάζεσθαι καὶ πολυπραγμονεῖν, καὶ τὰ γράμματα ἐπιζητεῖν, καὶ ἀργύριον καταβάλλειν, καὶ χαρτίοις προσιέναι, καὶ ἀντιγράφειν τὰ ἐγγεγραμμένα, καὶ πᾶσαν ἐπιδείκνυσθαι σπουδήν, ἐνταῦθα δὲ τῶν διαθηκῶν πνευματικῶν εἰς μέσον προκειμένων, καὶ τῶν βίβλων πασῶν ἀνεῳγμένων, ῥαθυμεῖν καὶ ἀναπεπτωκέναι, καὶ ταῦτα τῆς κληρονομίας οὐκ οὔσης αἰσθητῆς. Προσίωμεν τοίνυν, καὶ ἀνοίγωμεν τὰ γραμματεῖα, καὶ ἐγκύπτωμεν τοῖς ἐγγεγραμμένοις, καὶ ἴδωμεν ἐπὶ τίσιν ἡμῖν ὁ κλῆρος οὗτος καταλέλειπται, καὶ τίς ἡ τοῦ κλήρου φύσις. Οὐ γὰρ ἁπλῶς κατέλιπεν ἡμῖν τὸν κλῆρον, ἀλλ' ἐφ' αἱρέσει τινί. Ποία δὴ ταύτη; «Ὁ ἀγαπῶν με», φησί, «τὰς ἐντολάς μου τηρήσει». Καὶ πάλιν, «Ὃς οὐκ ἄρῃ τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθῇ ὀπίσω μου», καὶ ἕτερα πλείονα, ἅπερ τῇ διαθήκῃ ἐγγέγραπται. Μάθωμεν δὲ καὶ τὸν χρόνον, καθ' ὃν μέλλομεν ταῦτα ἀπολαμβάνειν. Οὐ γὰρ ὁ παρὼν ἐστιν, ἀλλ' ὁ μέλλων· μᾶλλον δὲ καὶ ὁ παρὼν καὶ ὁ μέλλων. «Ζητεῖτε γὰρ τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν», τὸ δὲ ὁλόκληρον τότε.

---

1. Ὁ ψαλμὸς αὐτὸς εἶναι προσευχὴ ἑωθινὴ καὶ ἀπὸ τὴν φράσιν «ὑπὲρ τῆς κληρονομούσης», ἐθεωρήθη ὅτι ὑποδηλώνει τὴν συναγωγὴν καὶ ἔπειτα τὴν ἐκκλησίαν ὡς κληρονόμον τῶν οὐρανίων ἀγαθῶν. κατὰ δὲ τὸν ἱ. Χρυσόστομον ὑποδηλώνει καὶ κάθε ψυχήν, ποὺ καλεῖται, ὡς νύμφη τοῦ Χριστοῦ, νὰ κληρονομήσῃ τὰ ὑπερβαίνοντα κάθε ἀνθρωπίνην σκέψιν οὐράνια ἀγαθά. Εἶναι ψαλμὸς τοῦ Δαυίδ, ἄγνωστον πότε συνετάχθη, ὁπωσδήποτε ὅμως εὑρίσκεται ὁ Δαυὶδ εἰς τὰ Ἱεροσόλυμα καὶ προσέρχεται εἰς τὸ θυσιαστήριον διὰ τὴν ἑωθινὴν προσευχὴν καὶ διὰ νὰ ζητήσῃ τὴν βοήθειαν τοῦ Θεοῦ πρὸς διάλυσιν τῶν σκοτεινῶν νεφῶν ποὺ βλέπει νὰ ἔρχωνται ἐναντίον του.

2. Ἰω. 14, 23.

ΟΜΙΛΙΑ
ΕΙΣ ΤΟΝ Ε΄ ΨΑΛΜΟΝ

Εἰς τὸ τέλος, ὑπὲρ τῆς κληρονομούσης· ψαλμὸς τοῦ Δαυίδ[1].

1. Κατὰ πρῶτον ἂς ἰδοῦμεν ποία εἶναι ἡ κληρονομία καὶ ἐὰν αὐτὴ ἀναφέρεται καὶ εἰς ἡμᾶς· ἔπειτα ἂς ἐξετάσωμεν τὸν χρόνον κατὰ τὸν ὁποῖον δίδεται αὐτή. Καὶ πράγματι εἶναι παράλογον, ὅταν μὲν σᾶς ἀναγγέλλεται μία διαθήκη χρημάτων καὶ σᾶς λέγουν ὅτι σᾶς ἀνήκει ἡ κληρονομία, νὰ περιεργάζεσθε καὶ νὰ πολυασχολῆσθε μὲ αὐτὴν καὶ νὰ ἀναζητῆτε τὰ ἔγγραφα καὶ χρήματα νὰ πληρώνετε καὶ χαρτιὰ νὰ προσκομίζετε καὶ νὰ ἀντιγράφετε τὰ ὅσα εἶναι γραμμένα εἰς αὐτὴν καὶ νὰ ἐπιδεικνύετε κάθε φροντίδα δι' αὐτήν, ὅταν ὅμως ἐδῶ ἐκτίθενται ἐνώπιόν σας αἱ πνευματικαὶ διαθῆκαι καὶ ὅλα τὰ βιβλία εἶναι ἀνοιγμένα, νὰ δείχνετε ἀδιαφορίαν καὶ νὰ δειλιάζετε, καὶ ὅλα αὐτά, ἐπειδὴ ἡ κληρονομία δὲν εἶναι αἰσθητή. Ἂς προσέλθωμεν λοιπὸν καὶ ἂς ἀνοίξωμεν τὰ βιβλία καὶ ἂς ἐξετάσωμεν μὲ προσοχὴν τὰ ἀναγραφόμενα καὶ ἂς ἰδοῦμεν ὑπὸ ποίους ὅρους μᾶς ἐδόθη αὐτὴ ἡ κληρονομία καὶ ποία εἶναι ἡ φύσις αὐτῆς. Διότι δὲν μᾶς ἄφησεν ἔτσι εἰς τὴν τύχην τὴν κληρονομίαν, ἀλλ' ὑπὸ κάποιον ὅρον. Ποῖος λοιπὸν εἶναι αὐτὸς ὁ ὅρος; «Ἐκεῖνος» λέγει, «πού μὲ ἀγαπᾷ θὰ τηρήσῃ τὰς ἐντολάς μου»[2]. Καὶ πάλιν, «Ὅποιος δὲν σηκώνει τὸν σταυρόν του καὶ δὲν ἀκολουθεῖ ὀπίσω μου»[3], καὶ πολλὰ ἄλλα, τὰ ὁποῖα εἶναι γραμμένα εἰς τὴν διαθήκην. Ἂς μάθωμεν δὲ καὶ τὸν χρόνον κατὰ τὸν ὁποῖον πρόκειται ν' ἀπολαύωμεν αὐτά. Διότι δὲν εἶναι ὁ παρὼν καιρός, ἀλλ' ὁ μελλοντικός· μᾶλλον δὲ καὶ ὁ παρὼν καὶ ὁ μελλοντικός. Διότι λέγει, «Ζητεῖτε τὴν βασιλείαν τοῦ Θεοῦ καὶ θὰ σᾶς προστεθοῦν ὅλα αὐτά»[4], ἐξ ὁλοκλήρου ὅμως τότε.

---

3. Ματθ. 10, 38.
4. Λουκᾶ 12, 3.

Ἐπειδὴ γὰρ ὁ παρὼν βίος ἐπίκηρος, καὶ ἀτελέστερον ἔτι διακείμεθα, ὅπερ ποιοῦσιν οἱ ἔξωθεν νομοθέται, καὶ τελείοις γενομένοις ἐγχειρίζουσι τὴν πατρῴαν οὐσίαν, τοῦτο καὶ ὁ Θεὸς ἐργάζεται. Ἐπειδὰν εἰς ἄνδρα τέλειον καὶ μέτρον ἡλικίας καταντήσωμεν, καὶ πρὸς τὸν ἀκήρατον μεταστῶμεν βίον, τότε ἡμῖν ἐγχειρίζει τὸν κλῆρον ἐκεῖνον. Τέως δὲ διέθετο, καὶ τὰ γράμματα ἡμῖν κατέλιπε, καὶ τίνα πράττοντες ἐπιτευξόμεθα τῆς κληρονομίας εἶπεν, ὥστε μὴ ἐκπεσεῖν, μηδὲ αποκληρονόμους γενέσθαι. Εἰ δέ τινα θορυβεῖ τὸ μηδέπω τελείους ἡμᾶς εἶναι, καὶ ὑποπτεύει τὰ εἰρημένα, ἀκουέτωσαν Παύλου λέγοντος, «Ὅτε ἤμην νήπιος, ὡς νήπιος ἐλάλουν, ὡς νήπιος ἐφρόνουν, ὡς νήπιος ἐλογιζόμην, ὅτε δὲ γέγονα ἀνήρ, κατήργηκα τὰ τοῦ νηπίου», περὶ τοῦ παρόντος καὶ τοῦ μέλλοντος αἰῶνος διαλεγομένου. Καὶ πάλιν· «Μέχρις οὗ καταντήσωμεν οἱ πάντες εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας». Ἐν μὲν γὰρ τῷ παρόντι βίῳ, φησί, καθάπερ παρὰ τροφῷ τινι, τῇ κτίσει ταύτῃ ἀνατρεφόμεθα, ἐπειδὰν δὲ μέλλωμεν εἰς τὴν δεσποτικὴν ἄγεσθαι οἰκίαν, τὰ ἱμάτια ἀπαμφιεννύμενοι τῆς φθορᾶς, καὶ ἀφθαρσίαν ἀναλαμβάνοντες, πρὸς ἑτέραν μεθιστάμεθα λῆξιν. Αὕτη ἡ διαθήκη καὶ ἀποκλήρους πολλοὺς ἠπείλησε ποιεῖν, ἐὰν ἀνάξιοι γένωνται τῶν αἱρέσεων τῶν ἐγγεγραμμένων.

Ἀλλ' ἴδωμεν τίς ἐστιν ὁ κλῆρος λοιπόν. «Ἃ μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσε, μήτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη». Πῶς τοίνυν ἐμέλλομεν τὴν χρῆσιν τούτων λαμβάνειν ἐν τῷ παρόντι βίῳ, ὧν ἡ γνῶσις ὑπερβαίνει τὴν διάνοιαν τὴν

5. Α' Κορ. 13, 11.
6. Ἐφ. 4, 13.
7. Α' Κορ.2, 9.

Ἐπειδὴ λοιπὸν ἡ παροῦσα ζωὴ εἶναι φθαρτὴ καὶ εἴμεθα ἀκόμη πνευματικὰ πολὺ ἀτελεῖς, ἐκεῖνο ἀκριβῶς ποὺ κάμνουν οἱ κοσμικοὶ νομοθέται, ποὺ μᾶς παραδίδουν δηλαδὴ τὴν πατρικὴν περιουσίαν ὅταν ἐνηλικιωθοῦμεν, αὐτὸ κάμνει καὶ ὁ Θεός. Ὅταν δηλαδὴ ὁλοκληρωθοῦμεν πνευματικὰ καὶ ἔλθωμεν εἰς κατάλληλον ἡλικίαν καὶ μεταβῶμεν πρὸς τὴν ἄφθαρτον ἐκείνην ζωήν, τότε μᾶς παραδίδει τὴν κληρονομίαν ἐκείνην. Καὶ ἀρχὴν ἔκαμε τὴν διαθήκην καὶ μᾶς ἄφησεν αὐτὴν γραμμένην καὶ μᾶς εἶπε τί νὰ κάμωμεν διὰ νὰ ἐπιτύχωμεν αὐτὴν τὴν κληρονομίαν, ὥστε νὰ μὴ ἐκπέσωμεν ἀπὸ αὐτὴν καὶ γίνωμεν ἀπόκληροι. Ἐὰν δὲ κάποιον τὸν ἀνησυχῇ τὸ ὅτι δὲν εἴμεθα ἀκόμη πνευματικὰ τέλειοι καὶ ἀμφιβάλλει διὰ τὰ λεγόμενα, ἂς ἀκούσῃ τὸν Παῦλον ποὺ λέγει, «Ὅταν ἤμουν εἰς νηπιακὴν ἡλικίαν, ὡμιλοῦσα ὡσὰν νήπιον, ἐσκεπτόμην ὡσὰν νήπιον καὶ ἐσυλλογιζόμην ὡσὰν νήπιον, ὅταν ὅμως ἔγινα ἄνδρας κατήργησα τοὺς νηπιακοὺς τρόπους»[5], καὶ ποὺ ἀσφαλῶς τὰ λέγει αὐτὰ διὰ τὴν παροῦσαν καὶ τὴν μέλλουσαν ζωήν. Καὶ πάλιν· «Μέχρις ὅτου καταντήσωμεν ὅλοι εἰς ἄνδρα πνευματικὰ τέλειον, εἰς κατάλληλον ἡλικίαν»[6]. Διότι εἰς μὲν τὴν παροῦσαν ζωήν, λέγει, ἀνατρεφόμεθα εἰς αὐτὸν τὸν κόσμον ὡσὰν ἀκριβῶς πλησίον κάποιας τροφοῦ, ὅταν ὅμως πρόκειται νὰ ὁδηγηθῶμεν εἰς τὴν κατοικίαν τοῦ Κυρίου, ἀφοῦ ἀποβάλωμεν τὰ ἐνδύματα τὰ φθαρτὰ καὶ φορέσωμεν τὰ ἄφθαρτα, θὰ μεταφερθῶμεν εἰς ἄλλην κληρονομίαν. Αὐτὴ ἡ διαθήκη ἠπείλησε πολλοὺς νὰ τοὺς ἀποκληρώσῃ, ἐὰν φανοῦν ἀνάξιοι νὰ τηρήσουν τοὺς ὅρους ποὺ ἀναγράφονται εἰς αὐτήν.

Ἀλλ' ἂς ἴδοῦμεν ποία λοιπὸν εἶναι αὐτὴ ἡ κληρονομία. Εἶναι «Ἐκεῖνα ποὺ οὔτε ὀφθαλμὸς ἀνθρώπου εἶδεν, οὔτε αὐτὶ ἤκουσεν, οὔτε ἀνθρώπινος νοῦς συνέλαβεν»[7]. Πῶς λοιπὸν ἦτο δυνατὸν νὰ λάβωμεν καὶ νὰ χρησιμοποιήσωμεν εἰς τὴν παροῦσαν ζωὴν αὐτά, ἡ γνῶσις τῶν ὁποίων ὑπερβαίνει τὴν ἰδικήν μας σκέψιν; Διὰ τοῦτο ἔχουν ἀπο-

ἡμετέραν; Διὰ τοῦτο ἡμῖν ἐκεῖ τεταμίευται. Καὶ ὅρα τὴν κηδεμονίαν τὴν πολλήν. Τοὺς μὲν πόνους τῇ παρούσῃ συνεπλήρωσε ζωῇ, ὥστε τῇ βραχύτητι τοῦ χρόνου συγκαταλυθῆναι τὸ ἐπίμοχθον, τὰ δὲ ἀγαθὰ ἐν τῷ μέλλοντι ἐταμιεύσατο αἰῶνι, ὥστε τῷ ἀγήρῳ συμπαρεκτείνεσθαι τὰς ἀμοιβάς. Ἐκείνην τὴν λῆξιν καὶ βασιλείαν καλεῖ. Εἰ γὰρ καὶ ὑπερβαίνει λόγον, ἀλλ' ὅμως κατὰ τὸ ἐγχωροῦν ἡμῖν ἀκοῦσαι, παρῃνίξατο τὰ μέλλοντα, νῦν μέν, ὅπερ ἔφθην εἰπών, βασιλείαν καλῶν, νῦν δὲ γάμον, νῦν ἀρχήν, ἀπὸ τῶν φαιδρῶν τῶν παρ' ἡμῖν ὀνομάτων παρανοίγων ἡμῖν τὴν περὶ ἐκείνων ἔννοιαν, τὴν αἰώνιον δόξαν, τὴν ἀκήρατον μακαριότητα, τὴν μετὰ Χριστοῦ διαγωγήν, ἧς οὐδὲν ἂν γένοιτο ἴσον.

Τίνες δὲ καὶ αἱ αἱρέσεις τῆς Ἐκκλησίας, μᾶλλον δὲ τῆς κληρονομίας; Οὐδὲν φορτικὸν ἔχουσαι. «Ἃ θέλετε ἵνα», φησί, «ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, ταῦτα καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς». Ὁρᾷς πῶς οὐδὲν ξένον ἐπεισήγαγεν, ἀλλ' ἃ προλαβοῦσα ἡ φύσις ἐνομοθέτησεν; Ἅπερ αὐτός, φησί, γενέσθαι θέλεις παρὰ τῶν πλησίον εἰς σέ, ταῦτα καὶ αὐτὸς ἔργασαι. Θέλεις ἐπαινεῖσθαι; Ἐπαίνει. Θέλεις μὴ ἁρπάζεσθαι; Μὴ ἅρπαζε. Θέλεις τιμᾶσθαι; Τίμα. Θέλεις ἐλεεῖσθαι; Ἐλέει. Θέλεις φιλεῖσθαι; Φίλει. Θέλεις μὴ ἀκούειν κακῶς; Μηδὲ σὺ εἴπῃς. Καὶ ὅρα τὴν ἀκρίβειαν. Οὐκ εἶπεν, 'ὅσα οὐ θέλετε ἵνα ποιῶσι, μηδὲ ὑμεῖς ποιεῖτε', ἀλλ' 'Ἃ θέλετε'. Ἐπειδὴ γὰρ δύο εἰσὶν ὁδοὶ πρὸς ἀρετὴν ἄγουσαι, μία μὲν ἡ ἀπαλλαγὴ τῆς κακίας, ἑτέρα δὲ ἡ ἐργασία τῶν ἀρετῶν, ταύτην προτίθησι, διὰ ταύτης κἀκείνην δήλην ποιῶν· καὶ τὴν μὲν ἠνίξατο τῷ

8. Ματθ. 7, 12.

ταμιευθῇ δι' ἡμᾶς ἐκεῖ. Καὶ πρόσεχε τὴν μεγάλην κηδεμονίαν του. Τούς μὲν κόπους τοὺς περιώρισεν εἰς τὴν παροῦσαν ζωήν, ὥστε μαζὶ μὲ τὸ πολὺ σύντομον χρονικὸν διάστημα νὰ ἐξαφανισθῇ καὶ ὁ κόπος, τὰ ἀγαθὰ ὅμως τὰ ἀπεταμίευσεν εἰς τὴν μέλλουσαν ζωήν, ὥστε νὰ ἐπικτείνωνται αἱ ἀμοιβαὶ εἰς τὴν αἰωνιότητα. Ἐκείνην τὴν κληρονομίαν ὀνομάζει καὶ βασιλείαν. Βέβαια ἂν καὶ ὑπερβαίνει τὴν σκέψιν τοῦ ἀνθρώπου, ἀλλ' ὅμως, ὅσον ἦτο δυνατὸν ν' ἀκούσωμεν, ἔκαμε ὑπαινιγμὸν διὰ τὰ μελλοντικά, ἄλλοτε μέν, ὅπως προανέφερα, ὀνομάζων αὐτὰ βασιλείαν, ἄλλοτε γάμον, ἄλλοτε δὲ ἐξουσίαν, φανερώνων εἰς ἡμᾶς ἀπὸ τὰ εὐχάριστα ὀνόματα τὴν ἔννοιαν ἐκείνων, τὴν αἰώνιον δόξαν, τὴν ἄφθαρτον μακαριότητα, τὴν μετὰ τοῦ Χριστοῦ ζωήν, μὲ τὴν ὁποίαν τίποτε δὲν θὰ ἠμποροῦσε νὰ ἐξισωθῇ.

Ποῖαι δὲ εἶναι αἱ ἐντολαὶ τῆς Ἐκκλησίας, ἢ καλύτερα τῆς κληρονομίας; Δὲν ἔχουν τίποτε τὸ βαρύ. «Αὐτά», λέγει, «ποὺ θέλετε νὰ κάμνουν οἱ ἄνθρωποι δι' ἐσᾶς, αὐτὰ νὰ κάμνετε καὶ σεῖς δι' αὐτούς»*. Βλέπεις πῶς δὲν ἐπρόσθεσε τίποτε τὸ ξένον, ἀλλ' ὅσα ἀπὸ τὴν ἀρχὴν ἐνομοθέτησεν ἡ φύσις; Ἐκεῖνα, λέγει, ποὺ σὺ ὁ ἴδιος θέλεις νὰ σοῦ κάνουν οἱ πλησίον σου, αὐτὰ κάμε καὶ σὺ ὁ ἴδιος. Θέλεις νὰ ἐπαινῆσαι; Νὰ ἐπαινῇς καὶ σύ. Θέλεις νὰ μὴ ἁρπάζουν τὰ πράγματά σου; Νὰ μὴ ἁρπάζῃς καὶ σύ. Θέλεις νὰ σὲ τιμοῦν; Νὰ τιμᾷς καὶ σύ. Θέλεις νὰ σὲ ἐλεοῦν; Νὰ ἐλεῇς καὶ σύ. Θέλεις νὰ σὲ ἀγαποῦν; Νὰ ἀγαπᾷς καὶ σύ. Θέλεις νὰ μὴ ἀκούῃς κακὰ λόγια δι' ἐσένα; νὰ μὴ λέγῃς οὔτε σύ. Καὶ πρόσεχε τὴν ἀκριβολογίαν. Δὲν εἶπεν, 'ὅσα δὲν θέλετε νὰ σᾶς κάμνουν, νὰ μὴ τὰ κάμνετε καὶ σεῖς', ἀλλ' «Ὅσα θέλετε». Ἐπειδὴ δηλαδὴ δύο εἶναι οἱ δρόμοι ποὺ ὁδηγοῦν πρὸς τὴν ἀρετήν, μία μὲν ἡ ἀπαλλαγὴ ἀπὸ τὴν κακίαν, ἡ ἄλλη δὲ ἡ ἐκτέλεσις τῶν ἀρετῶν, αὐτὴν θέτει πρώτην, φανερώνων μὲ αὐτὴν καὶ ἐκείνην· καὶ τὴν μὲν ὑπηνίχθη μὲ τὰ λόγια, «ἐκεῖνος ποὺ ἐσὺ μι-

λέγειν, «ὃ μισεῖς, ἄλλῳ μὴ ποιήσῃς», τὴν δὲ σαφῶς ἐδήλωσεν εἰπών, «Ὅσα θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς».

2. Ἔστι καὶ ἄλλη αἵρεσις. Ποία δὲ αὕτη; Τὸ ἀγαπᾶν τὸν πλησίον, ὡς ἑαυτόν. Τί τούτου γένοιτ' ἂν εὐκολώτερον; Τὸ γὰρ μισεῖν ἐπαχθὲς καὶ θορύβους ἐμποιοῦν, τὸ δὲ φιλεῖν εὔκολον καὶ ῥάδιον. Καὶ γὰρ εἰ μὲν εἶπεν, ἄνθρωποι ὄντες φιλεῖτε θηρία, δύσκολον ἦν τὸ ἐπίταγμα, εἰ δὲ ἀνθρώπους ὄντας ἀνθρώπους φιλεῖν ἐκέλευσεν, ἔνθα καὶ τὸ ὁμοούσιον καὶ συγγενὲς πολλὴν εἰσφέρει ῥοπήν, καὶ παρὰ τῆς φύσεως ἡ παραίνεσις, ποίαν ἂν ἔχοι δυσκολίαν; Ὅπερ καὶ ἐπὶ λεόντων καὶ λύκων γίνεται· καὶ γὰρ καὶ ἐκεῖ τὸ συγγενὲς τῆς φύσεως ἀγωγὸν εἰς φιλίαν ἐστί. Ποίαν οὖν σχοίημεν ἀπολογίαν, λέοντας μὲν ἡμεροῦντες καὶ ἑαυτοῖς συνοικίζοντες, τὸ δὲ ὁμογενὲς μὴ ἐπισπώμενοι; Οὐχ ὁρᾶτε, ὅτι πολλοὶ διὰ κληρονομίαν γέροντας περιίασιν ἀγρεύοντες, καὶ πάντων τῶν τοῦ γήρως ἀνέχονται κακῶν, νέοι ὄντες καὶ σφριγῶντες, ποδαλγίας καὶ τῶν ἄλλων τῶν ἐν τῷ γήρᾳ νοσημάτων, καὶ κορύζης, διὰ τοῦ προσεδρεύειν διηνεκῶς; Καίτοι χρήματά ἐστιν ἐκεῖ, καὶ ἄδηλος ἐλπίς· ἐνταῦθα δὲ οὐρανός, καὶ πρὸ τοῦ οὐρανοῦ τὸ εὐαρεστῆσαι Θεῷ.

Τίς δὲ ἡ κληρονομοῦσα; ὑπὲρ τῆς κληρονομούσης γάρ φησιν ἡ προγραφή. Ἡ Ἐκκλησία, καὶ τὸ πλήρωμα αὐτῆς· περὶ ἧς λέγει ὁ Παῦλος· «Ἡρμοσάμην ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ». Καὶ ὁ Ἰωάννης· «Ὁ ἔχων τὴν νύμφην, νυμφίος ἐστίν». Ἀλλ' ὁ μὲν νυμφίος μετὰ

9. Β΄ Κορ. 11, 2.
10. Ἰω. 3, 29.

σεῖς, μὴ τό κάνῃς εἰς ἄλλον», τὴν δὲ ἄλλην ἐφανέρωσε καθαρὰ μὲ τὸ νὰ εἰπῇ, «Ὅσα θέλετε νὰ κάμνουν οἱ ἄνθρωποι εἰς ἐσᾶς, νὰ κάμνετε καὶ σεῖς εἰς αὐτούς».

2. Ὑπάρχει καὶ ἄλλη ἐντολή. Ποία δὲ εἶναι αὐτή; Τὸ ν' ἀγαπῶμεν τὸν πλησίον ὅπως τὸν ἑαυτόν μας. Τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ εὐκολώτερον ἀπὸ αὐτό; Διότι τὸ νὰ μισῇ κανεὶς εἶναι εὔκολον καὶ εὐκολοεφάρμοστον. Καθ' ὅσον ἐὰν μὲν ἔλεγεν, ἐνῷ εἶσθε ἄνθρωποι νά ἀγαπᾶτε τὰ θηρία, ἦτο δύσκολον τὸ πρόσταγμα, ἐὰν ὅμως ἐνῷ εἴμεθα ἄνθρωποι ἔδωσεν ἐντολὴν ν' ἀγαπῶμεν ἀνθρώπους, τὴν στιγμὴν ποὺ καὶ τὸ ὁμοούσιον καὶ ἡ συγγένεια μᾶς ὑποβοηθοῦν πάρα πολὺ καὶ ἡ ἰδία ἡ φύσις μᾶς συμβουλεύει νὰ πράττωμεν αὐτό, ποίαν δυσκολίαν θά ἠμποροῦσε νὰ ἔχῃ τὸ πρᾶγμα; Αὐτὸ ἀκριβῶς γίνεται καὶ μέ τὰ λεοντάρια καὶ μὲ τοὺς λύκους· καθ' ὅσον καὶ ἐκεῖ ἡ συγγένεια τῆς φύσεως ὁδηγεῖ εἰς τὴν φιλίαν. Ποίαν λοιπὸν ἀπολογίαν θὰ ἠμπορούσαμεν νὰ ἔχωμεν, ὅταν μὲν ἐξημερώνωμεν τὰ λεοντάρια καὶ συγκατοικοῦμεν μαζὶ μὲ αὐτά, δὲν προσελκύομεν ὅμως κοντά μας τοὺς συνανθρώπους μας; Δὲν βλέπετε, ὅτι πολλοὶ γυρίζουν ἐδῶ καὶ ἐκεῖ διὰ νὰ εὕρουν γέροντας καὶ νὰ τοὺς κληρονομήσουν καὶ ἀνέχονται, ἐνῷ εἶναι νέοι καὶ γεμᾶτοι σφρῖγος, νὰ κάθωνται συνεχῶς πλησίον των καὶ νά ὑπομένουν ὅλα τὰ κακὰ τῶν γηρατειῶν, ὅπως τοὺς πόνους τῶν ποδιῶν καὶ τὰ ἄλλα νοσήματα τῶν γηρατειῶν καὶ τὸ συνάχι; Καὶ βέβαια ἐκεῖ μὲν ὑπάρχουν χρήματα, ἡ ἐλπὶς ὅμως εἶναι ἀβεβαία, ἐνῷ ἐδῶ ὑπάρχει ὁ οὐρανὸς καὶ πρὶν ἀπὸ τὸν οὐρανὸν τὸ νὰ φανῶμεν εὐάρεστοι εἰς τὸν Θεόν.

Ποία ὅμως εἶναι ἡ κληρονομοῦσα; διότι ἡ ἐπιγραφὴ ὁμιλεῖ διὰ τὴν κληρονομοῦσαν. Εἶναι ἡ Ἐκκλησία καὶ τὸ πλήρωμά της, διὰ τὴν ὁποίαν λέγει ὁ Παῦλος· «Σᾶς ἠρραβώνισα μὲ ἕνα ἄνδρα διὰ νὰ σᾶς παρουσιάσω εἰς τὸν Χριστὸν ὡσὰν παρθένον ἁγνήν»[9]. Καὶ ὁ Ἰωάννης λέγει· «Ἐκεῖνος ποὺ ἔχει τὴν νύμφην εἶναι ὁ νυμφίος»[10]. Ἀλλ'

τὰς πρώτας ἡμέρας καταλύει τὸ σφοδρὸν τοῦ ἔρωτος, ὁ δὲ ἡμέτερος νυμφίος μένει διηνεκῶς ἡμᾶς ἀγαπῶν, καὶ ἐπιτείνων τὸν πόθον· ὅπερ δηλῶν ὁ Ἰωάννης νυμφίον καλεῖ, ὅτε ἀκμάζοντες οἱ πόθοι. Οὐ διὰ τοῦτο δὲ μόνον νύμφην ἐκάλεσεν, ἀλλ' ὅτι καὶ πάντας ἓν σῶμα εἶναι βούλεται καὶ μίαν ψυχήν, κατὰ τὸν τῆς ἀρετῆς καὶ τὸν τῆς ἀγάπης λόγον· καὶ ὅτι καθάπερ ἡ νύμφη πάντα ποιεῖ πρὸς ἀρέσκειαν τοῦ ἀνδρός, οὕτω καὶ ἡμᾶς διὰ παντὸς τοῦ βίου τοιούτους εἶναι χρή. Οἵα ἡ νύμφη κατὰ τὴν ἡμέραν ἐκείνην ἐπὶ τῶν παστάδων καθέζεται, ἓν μεριμνῶσα μόνον ὅπως ἀρέσῃ τῷ νυμφίῳ, οὕτω δὴ καὶ ἡμεῖς ἐπὶ τοῦ βίου τούτου προκαθήμενοι ἓν σκοπῶμεν, τοῦ νυμφίου τὴν ἀρέσκειαν, καὶ τὴν τῆς νύμφης εὐταξίαν διατηρῶμεν. Ταύτης τῆς νύμφης καὶ ὁ Δαυῒδ μέμνηται λέγων· «Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη ἐν κροσσωτοῖς χρυσοῖς». Θέλεις αὐτῆς καὶ τὰ ὑποδήματα ἰδεῖν; Ἄκουσον Παύλου τοῦ νυμφαγωγοῦ λέγοντος· «Ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης». Θέλεις αὐτῆς ἰδεῖν καὶ τὴν ζώνην, καὶ ὡς ὑπὸ ἀληθείας σύγκειται; Ὁ αὐτός σε διδάξει. «Περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ». Θέλεις ἰδεῖν αὐτῆς καὶ τὸ κάλλος; Καὶ τοῦτο μαθήσῃ παρ' αὐτοῦ. «Μὴ ἔχουσα σπίλον ἢ ῥυτίδα». Ἄκουε καὶ ὁ Ἐκκλησιαστὴς τί περὶ ταύτης λέγει. «Ὅλη καλὴ εἶ, ἡ πλησίον μου, καὶ μῶμος οὐκ ἔστιν ἐν σοί». Θέλεις ἰδεῖν καὶ τοὺς πόδας; «Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων τὴν εἰρήνην, καὶ εὐαγγελιζομένων τὰ ἀγαθά». Καὶ τὸ δὴ θαυμαστὸν καὶ ἐκπλήξεως γέμον, ὅτι καὶ κοσμήσας τοῦτον τὸν τρόπον

---

11. Ψαλμ. 44, 10.
12. Ἐφ. 6, 15.
13. Ἐφ. 6, 14.
14. Ἐφ. 5, 27.
15. Ἆσμα Ἀσμ. 4, 7.
16 Ρωμ. 10, 15.

ό μὲν νυμφίος μετὰ τὰς πρώτας ἡμέρας χάνει τὸ μεγάλο πάθος τοῦ ἔρωτος, ἐνῷ ὁ ἰδικός μας νυμφίος ἐξακολουθεῖ νὰ μᾶς ἀγαπᾷ συνεχῶς καὶ αὐξάνει τὸν πόθον, πρᾶγμα ποὺ διὰ νὰ δείξῃ ὁ Ἰωάννης τὸν ὀνομάζει νυμφίον, τότε δηλαδὴ ποὺ οἱ πόθοι εὑρίσκονται εἰς ἀκμήν. Δὲν τὴν ὠνόμασεν ὅμως νύμφην μόνον δι' αὐτό, ἀλλὰ καὶ ἐπειδὴ θέλει ὅλοι νὰ εἴμεθα ἕνα σῶμα καὶ μία ψυχὴ σύμφωνα μὲ τὸν ὁρισμόν τῆς ἀρετῆς καὶ τῆς ἀγάπης, καὶ ὅτι, ὅπως ἀκριβῶς ἡ νύμφη κάμνει τὰ πάντα διά νά εἶναι ἀρεστὴ εἰς τὸν ἄνδρα, ἔτσι καὶ ἡμεῖς πρέπει νὰ εἴμεθα τέτοιοι εἰς ὅλην τὴν ζωήν μας, ὅπως ἡ νύμφη κάθεται κατά τὴν ἡμέραν ἐκείνην εἰς τὸ νυμφικὸν δωμάτιον καὶ φροντίζει δι' ἕνα μόνον πρᾶγμα, πῶς δηλαδὴ ν' ἀρέσῃ εἰς τὸν νυμφίον, ἔτσι λοιπὸν καὶ ἡμεῖς εὑρισκόμενοι εἰς αὐτὴν ἐδῶ τὴν ζωήν, ἕνα μόνον ἄς σκεπτώμεθα, τὸ νὰ ἀρέσωμεν εἰς τὸν νυμφίον καὶ νὰ διατηρῶμεν τὴν ὑπακοὴν ποὺ ταιριάζει εἰς τὴν νύμφην. Αὐτὴν τὴν νύμφην μνημονεύει καὶ ὁ Δαυίδ, λέγων· «Ἐστήθη πλησίον σου καὶ εἰς τὰ δεξιά σου ἡ βασίλισσα, ἐνδεδυμένη μὲ διάχρυσα ἐνδύματα καὶ στολισμένη μὲ πολυποίκιλα κροσσωτὰ χρυσὰ στολίδια»[11]. Θέλεις νά ἰδῇς καὶ τὰ ὑποδήματά της; Ἄκουσε τὸν νυμφαγωγόν Παῦλον ποὺ λέγει· «Εἰς τὰ πόδια φορέσατε ὑποδήματα διὰ νὰ εἶσθε ἕτοιμοι διὰ τὸ χαρμόσυνον ἄγγελμα τῆς εἰρήνης»[12]. Θέλεις νὰ ἰδῇς καὶ τὴν ζωήν της ποὺ συνίσταται ἀπὸ ἀλήθειαν; Ὁ ἴδιος ὁ Παῦλος θά σᾶς τό διδάξῃ. «Ζωσθῆτε εἰς τὴν μέσην σας τὴν ἀλήθειαν»[13]. Θέλεις νὰ ἰδῇς καὶ τὸ κάλλος της; Καὶ αὐτὸ θὰ τὸ μάθῃς ἀπὸ αὐτόν· «χωρὶς νὰ ἔχῃ κηλῖδα ἢ ρυτίδα»[14]. Ἄκουε τί λέγει καὶ ὁ Ἐκκλησιαστὴς δι' αὐτήν. «Ὁλόκληρη εἶσαι γεμάτη ἀπὸ ὀμορφιάν, σὺ ποὺ εἶσαι πλησίον μου, καὶ δὲν ὑπάρχει εἰς ἐσένα κανένα ψεγάδι»[15]. Θέλεις νὰ ἰδῇς καὶ τὰ πόδια της; «Πόσον ὡραῖα εἶναι τὰ πόδια ἐκείνων ποὺ κηρύσσουν τὸ χαρμόσυνον εὐαγγέλιον τῆς εἰρήνης, τὴν χαρμόσυνον ἀγγελίαν τῶν οὐρανίων ἀγαθῶν». Καὶ τό ἄ-

αὐτήν, οὐκ ἦλθε τὴν δόξαν αὐτοῦ ἐπιδεικνύμενος, ἵνα μὴ τῇ ὑπερβολῇ τοῦ κάλλους ἐκπλήξῃ αὐτήν, καὶ παράφρονα ἐργάσηται, ἀλλ' ἔρχεται ἱμάτιον περιβεβλημένος, οἷον ἡ νύμφη· μετέχεται γὰρ αἵματος καὶ σαρκὸς παραπλησίως αὐτῇ· καὶ οὐκ αὐτὴν ἄνω καλεῖ, ἀλλ' αὐτὸς πρὸς αὐτὴν παραγίνεται· τηρῶν κἀνταῦθα τοῦ νυμφίου τὸν νόμον τὸν πρὸς τὴν νύμφην αὐτὸν ἄγοντα. Ὅπερ καὶ Μωϋσῆς ἔλεγεν· «Ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ». Καὶ ὁ Παῦλος· «Τὸ μυστήριον τοῦτο μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν Ἐκκλησίαν».

Ἐλθὼν τοίνυν εἰς τὸ καταγώγιον αὐτῆς, καὶ εὑρὼν ῥυπῶσαν, αὐχμῶσαν, γυμνήν, πεφυρμένην αἵματι, ἔλουσεν, ἤλειψεν, ἔθρεψεν, ἐνέδυσεν ἱμάτιον, οἷον εὑρεθῆναι ἕτερον οὐκ ἔνι. Αὐτὸς αὐτῇ γενόμενος περιβολή, καὶ λαβὼν αὐτήν, οὕτως ἀνάγει. Ταύτη ἡ κληρονομία ἡτοίμασται. Τί οὖν ὑπὲρ αὐτῆς φησιν ὁ προφήτης; Πολλά· συνήγορος γάρ ἐστιν αὐτῆς, καὶ τὰ πλείονα τῶν αὐτῇ συμβησομένων προεῖπε καὶ προσεφώνησεν· οἷον περὶ τοῦ νυμφίου, περὶ τῆς νυμφαγωγίας, περὶ τῶν ἀγαθῶν τῶν διαδεξομένων αὐτήν. Διὰ δὴ τοῦτο καὶ ἐνταῦθα ὑπὲρ αὐτῆς ποιεῖται τὸν λόγον καὶ ἀρχόμενος, καθάπερ οἱ συνήγοροι οὗτοι οἱ ῥήτορες, οἱ ἐν τοῖς δικαστηρίοις, λέγει ὑπὲρ τίνος ποιεῖται τὴν δικαιολογίαν, ὅτι «Ὑπὲρ τῆς κληρονομούσης». Καὶ τί αἰτεῖ ἡ κληρονομοῦσα, ἀκούσωμεν. «Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε». Τὸν νυμφίον Κύριον καλεῖ· καὶ γὰρ τοῦτο νύμφης εὐγνώμονος ἔργον. Εἰ γὰρ ἐπὶ τῶν ὁμοουσίων τοῦτο συμβαίνει, καὶ κύριον τὸν ἄνδρα καλεῖ ἡ

17. Γεν. 2, 24.
18. Ἐφ. 5, 32.

ξιον θαυμασμοῦ βέβαια καὶ γεμᾶτον ἀπὸ ἔκπληξιν εἶναι ὅτι ἂν καὶ τὴν ἐστόλισε κατ' αὐτὸν τὸν τρόπον, δὲν ἦλθε νὰ ἐπιδείξῃ τὴν δόξαν του, διὰ νὰ μὴ καταπλήξῃ αὐτὴν μὲ τὸ ὑπερβολικὸν κάλλος του καὶ τὴν κάνῃ νὰ παραφρονήσῃ, ἀλλ' ἔρχεται ἐνδεδυμένος μὲ ἔνδυμα ὅπως ἡ νύμφη· δηλαδὴ παίρνει μέρος καὶ στέκεται κοντά της μὲ αἷμα καὶ σάρκα· καὶ δὲν τὴν καλεῖ ἐπάνω, ἀλλ' ὁ ἴδιος ἔρχεται πρὸς αὐτήν, τηρῶν καὶ ἐδῶ τὸ ἔθιμον τοῦ νυμφίου κατὰ τὸ ὁποῖον αὐτὸς πηγαίνει πρὸς τὴν νύμφην. Αὐτὸ ἀκριβῶς ἔλεγε καὶ ὁ Μωϋσῆς· «Ἐξ αἰτίας αὐτοῦ θὰ ἐγκαταλείψῃ ὁ ἄνθρωπος τὸν πατέρα του καὶ τὴν μητέρα του καὶ θὰ προσκολληθῇ εἰς τὴν γυναῖκα του»[17]. Καὶ ὁ Παῦλος· «Αὐτὸ τὸ μυστήριον εἶναι μεγάλον· ἐγὼ δὲ τὸ ἐξηγῶ ὅτι ἀναφέρεται εἰς τὸν Χριστὸν καὶ εἰς τὴν Ἐκκλησίαν»[18].

Ἀφοῦ λοιπὸν ἦλθεν εἰς τὸ κατάλυμά της καὶ τὴν ηὗρε γεμάτην ἀπὸ βρωμιάν, γεμάτην ἀπὸ ἀκαθαρσίαν, γυμνήν, γεμάτην ἀπὸ αἵματα, τὴν ἔλουσε, τὴν ἤλειψε, τὴν ἔθρεψε, τὴν ἐνέδυσε μὲ τέτοιο ἔνδυμα ποὺ ἄλλο δὲν εἶναι δυνατὸν νὰ εὑρεθῇ. Ὁ ἴδιος ἔγινεν ἡ περιβολή της καὶ ἀφοῦ τὴν ἔλαβε τὴν ὁδηγεῖ κατ' αὐτὸν τὸν τρόπον. Δι' αὐτὴν ἔχει ἑτοιμασθῇ ἡ κληρονομία. Τί λέγει λοιπὸν δι' αὐτὴν ὁ προφήτης; Πολλά· διότι εἶναι συνήγορός της καὶ προεῖπε καὶ προεκήρυξε τὰ περισσότερα ποὺ θᾶ συμβοῦν εἰς αὐτήν· ἐπὶ παραδείγματι τὰ σχετικὰ μὲ τὸν νυμφίον, μὲ τὴν τελετὴν τοῦ γάμου, μὲ τὰ ἀγαθὰ ποὺ θὰ διαδεχθοῦν αὐτήν. Διὰ τοῦτο λοιπὸν καὶ ἐδῶ κάμνει λόγον δι' αὐτὴν καὶ ἀρχίζων τὸν λόγον, ὅπως ἀκριβῶς οἱ ρήτορες, οἱ συνήγοροι εἰς τὰ δικαστήρια, λέγει διὰ ποῖον θὰ συνηγορήσῃ, δηλαδὴ «Ὑπὲρ τῆς κληρονομούσης». Καὶ ἂς ἀκούσωμεν τί ζητεῖ ἡ κληρονομοῦσα. «Κύριε, εὐδόκησε νὰ δεχθῇς ν' ἀκούσῃς τὰ λόγια τῆς προσευχῆς μου». Τὸν νυμφίον τὸν ὀνομάζει Κύριον· καθ' ὅσον αὐτὸ εἶναι τὸ καθῆκον τῆς εὐγνώμονος νύμφης. Ἐὰν βέβαια αὐτὸ συμβαίνῃ μεταξὺ ἐκείνων ποὺ ἔχουν τὴν ἰδίαν οὐσίαν καὶ ὀνομάζει ἡ γυ-

γυνή, πολλῷ μᾶλλον ἐπὶ τῆς Ἐκκλησίας καὶ τοῦ Χριστοῦ, ὅπου καὶ φύσει Κύριός ἐστιν. Οὕτω γοῦν αὐτὸν οὐχ ὡς νυμφίον καλεῖ Κύριον μόνον, ἀλλὰ καὶ ὡς Δεσπότην, καὶ ἐπισπᾶται αὐτὸν πρὸς τὴν δέησιν. Ἐπειδὴ γὰρ κληρονομία αὐτῇ πρόκειται, ἡ κληρονομία δὲ αὕτη, εἰ κατορθώσειε τὰ ἐπιταχθέντα, εἰς ἔργον ἐκβαίνει, παρακαλεῖ καὶ δεῖται σύμμαχον αὐτῇ γενέσθαι, ὥστε ἀνύσαι τὰ προκείμενα, καὶ μὴ ἐκπεσεῖν τοῦ κλήρου. Διὸ καί φησι· «Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε», καὶ μετὰ παρρησίας λέγει τοῦτο, ἐπειδὴ τοιαῦτα αἰτεῖ, ἅπερ καὶ αὐτὸς διδόναι βούλεται· ὡς ἐάν τις τοιαῦτα αἰτῇ ἀνάξια τοῦ παρέχοντος, οὐ δύναται ταύτην αἰτεῖν τὴν χάριν. Ὅταν κατ᾽ ἐχθρῶν εὔχηται, ὅταν κατὰ τῶν λελυπηκότων, ταῦτα οὐκ ἔστιν ἀνθρώπου, ἀλλὰ διαβόλου τὰ ῥήματα. Εἰ γὰρ τὸ ὀμνύναι ἐκ τοῦ διαβόλου ἐστὶ (καὶ γὰρ «Τὸ περιττὸν τούτων ἐκ τοῦ πονηροῦ ἐστιν»), εὔδηλον ὅτι καὶ τὸ κατ᾽ ἐχθρῶν εὔχεσθαι. Ἐὰν τοίνυν λέγῃς, «Τὰ ῥήματά μου ἐνώτισαι», ἐκεῖνα φθέγγου, ἃ ἀνθρώπου ῥήματά ἐστιν ἡμέρου καὶ φιλανθρώπου, καὶ οὐδὲν ἔχοντος διαβολικόν.

3. «Σύνες τῇ κραυγῇ μου». Κραυγὴν ἐνταῦθα οὐ τὸν τόνον φησὶ τῆς φωνῆς, ἀλλὰ τῆς διανοίας τὴν διάθεσιν. Ἐπεὶ καὶ τῷ Μωϋσῇ σιγῶντι ἔλεγε· «Τί βοᾷς πρός με;» Οὐκ εἶπε, ʻτί εὔχῃ πρός με; ἀλλά, «τί βοᾷς πρός με; ἐπειδὴ μετὰ σφοδρᾶς διαθέσεως αὐτῷ προσῄει. Ἵνα γοῦν μάθῃς ὅτι καὶ ἐνταῦθα οὐ τὴν κραυγὴν λέγει, ἀλλὰ τὴν διάθεσιν τῆς διανοίας καὶ τὴν σπουδὴν τὴν συντεταμένην, οὐκ εἶπεν, ʻἀ-

---

19. Ματθ. 5, 37.

ναῖκα κύριον τὸν ἄνδρα της, πολὺ περισσότερον συμβαίνει μεταξὺ τῆς Ἐκκλησίας καὶ τοῦ Χριστοῦ, ὅπου καὶ ἐκ φύσεως εἶναι Κύριος. Ἔτσι λοιπὸν τὸν ὀνομάζει Κύριον ὄχι μόνον ὡς νυμφίον, ἀλλὰ καὶ ὡς Κύριον και τὸν προσκαλεῖ εἰς τὴν προσευχήν. Ἐπειδὴ δηλαδὴ εὑρίσκεται ἐμπρός της κληρονομία καὶ ἡ κληρονομία αὐτὴ γίνεται πραγματικότης ἐὰν ἤθελεν ἐπιτύχει κανεὶς τὰ προστάγματα, παρακαλεῖ καὶ προσεύχεται νὰ γίνῃ σύμμαχός της, ὥστε νὰ ἐπιτύχῃ αὐτὰ ποὺ εὑρίσκονται ἐμπρός της καὶ νὰ μὴ ἐκπέσῃ ἀπὸ τὴν κληρονομίαν. Διὰ τοῦτο καὶ λέγει· «Κύριε, εὐδόκησε νὰ δεχθῆς ν' ἀκούσῃς τὰ λόγια τῆς προσευχῆς μου», καὶ αὐτὸ τὸ λέγει μὲ παρρησίαν, ἐπειδὴ ζητεῖ τέτοια, ποὺ καὶ ὁ ἴδιος θέλει νὰ δίδῃ· διότι ἐὰν κανεὶς ζητῇ τέτοια ποὺ εἶναι ἀνάξια ἐκείνου ποὺ τὰ παρέχει, δὲν ἠμπορεῖ νὰ ζητῇ αὐτὴν τὴν χάριν. Ὅταν προσεύχεται ἐναντίον τῶν ἐχθρῶν, ὅταν προσεύχεται ἐναντίον ἐκείνων ποὺ μᾶς λυποῦν, αὐτὰ δὲν εἶναι λόγια ἀνθρώπων, ἀλλὰ τοῦ διαβόλου. Διότι ἐὰν τὸ νὰ ὁρκίζεται κανεὶς προέρχεται ἀπὸ τὸν διάβολον, (καθ' ὅσον «Τὸ ἐπὶ πλέον ἀπὸ αὐτὰ προέρχεται ἀπὸ τὸν πονηρόν»[19]), εἶναι φανερὸν ὅτι καὶ τὸ νὰ προσεύχεται κανεὶς ἐναντίον τῶν ἐχθρῶν του. Ἐὰν λοιπὸν λέγῃς, «Εὐδόκησε νὰ δεχθῆς ν' ἀκούσῃς τὰ λόγια μου», ἐκεῖνα νὰ λέγῃς, ποὺ εἶναι λόγια ἀνθρώπου ἡμέρου καὶ φιλανθρώπου καὶ δὲν ἔχουν τίποτε τὸ διαβολικόν.

3. «Εὐδόκησε νὰ κατανοήσῃς τὴν κραυγήν μου». Κραυγὴν ἐδῶ δὲν ὀνομάζει τὸ μέγεθος τῆς φωνῆς, ἀλλὰ τὴν διάθεσιν τῆς διανοίας. Καθ' ὅσον καὶ εἰς τὸν Μωϋσῆν, ποὺ ἐσιώπα, ἔλεγε· «Διατί φωνάζεις δυνατὰ πρὸς ἐμένα;». Δὲν εἶπε, 'διατί ἀπευθύνεις τὴν προσευχήν σου πρὸς ἐμένα;', ἀλλά, «Διατί φωνάζεις δυνατὰ πρὸς ἐμένα;», ἐπειδὴ ἀπευθύνετο πρὸς αὐτὸν μὲ ὅλην τὴν δύναμιν τῆς διαθέσεώς του. Διὰ νὰ μάθῃς λοιπὸν ὅτι καὶ ἐδῶ δὲν ἐννοεῖ τὴν κραυγήν, ἀλλὰ τὴν διάθεσιν τῆς διανοίας του καὶ τὴν ὑπερβολικὴν προθυμίαν του, δὲν εἶπεν, 'ἄκουσε τὴν κραυ-

κουσον τῆς κραυγῆς μου', ἀλλὰ τί; «Σύνες», τουτέστι, κατάμαθε. Εἰ γὰρ καὶ ἀνθρωπίνοις κέχρηται ῥήμασιν, ἀλλὰ καὶ ἐν αὐτοῖς τοῖς ἀνθρωπίνοις τὸ εὖ παριστάμενον δηλοῖ. «Πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου». Πάλιν τὴν ἔνδον λέγει φωνήν. Οὕτω καὶ Ἄννα ἐβόα. Καὶ οὐχ ἁπλῶς εἶπε, 'πρόσχες τῇ φωνῇ τῆς εὐχῆς μου', ἀλλά, «Τῆς δεήσεώς μου». Τὸν γὰρ εὐχόμενον ἱκέτου δεῖ περικεῖσθαι σχῆμα καὶ γνώμην. Ὁ γὰρ ἱκέτης οὐ κατηγόρου ῥήματα ἀναλαμβάνει, ὁ δὲ ἐχθροῦ κατευχόμενος κατήγορος μᾶλλόν ἐστιν ἢ ἱκέτης. Εἶδες πῶς παρέστησε τὴν εὐχήν, ἐπειδὴ ἀξίαν αὐτὴν ἐποιεῖτο τοῦ ἀκουσθῆναι; Οὕτω καὶ ἡμεῖς, ὅταν εὐχώμεθα καὶ βουλώμεθα ἀκούεσθαι, πρῶτον αὐτὴν καθιστῶμεν, ἵνα ᾖ εὐχή, καὶ μὴ κατηγορία γένηται καὶ κατὰ τοὺς νόμους τοὺς ἐκείνου, οὕτως αὐτὴν εἰσάγωμεν.

Ὁ βασιλεύς μου καὶ ὁ Θεός μου». Ὅπερ ὁ προφήτης συνεχῶς λέγει, μᾶλλον δὲ ὅπερ ἐξαίρετον τῷ Ἀβραὰμ ἦν, καθὼς καὶ ὁ Παῦλός φησι, Δι' ἣν αἰτίαν «οὐκ ἐπαισχύνεται ὁ Θεὸς Θεὸς καλεῖσθαι αὐτῶν», τοῦτο αὕτη διείληφε, καὶ τῷ πόθῳ κατώρθωσεν. Οὐ γὰρ εἶπεν ἁπλῶς, 'ὁ βασιλεύς', ἀλλ' «Ὁ βασιλεύς μου καὶ ὁ Θεός μου», τὸν ἔρωτα ἐνδεικνυμένη τὸν αὐτῆς. Εἶτα καὶ τὰς αἰτίας τίθησι, δι' ἃς ἀξιοῖ αὐτὴν ἀκουσθῆναι. Ποῖαι δέ εἰσιν αὗται; «Ὅτι πρὸς σὲ προσεύξομαι, Κύριε». Τίς, φησίν, οὐχὶ τῷ Θεῷ προσεύχεται; Πολλοὶ δοκοῦσι μὲν τῷ Θεῷ προσεύχεσθαι· πρὸς δὲ ἀνθρώπων ἐπίδειξιν τοῦτο ποιοῦσιν. Ἀλλ' οὐχ αὕτη· ἀλλὰ πρὸς Θεὸν αὐτὸν ἀνετείνετο, τὰ ἀνθρώπινα πάντα ἀφεῖσα.

«Τὸ πρωῒ εἰσακούσῃ τῆς φωνῆς μου». Ὁρᾷς σπουδήν, καὶ κατανενυγμένην ψυχήν; Ἐκ προοιμίων τῆς ἡμέρας τὰς

19α. Α' Βασ., κεφ. 1 - 2.
20. Ἑβρ. 11, 16.

γήν μου', ἀλλά τί; «Σύνες», δηλαδή, κατάμαθε. Μολονότι βέβαια χρησιμοποιεῖ ἀνθρώπινα λόγια, ὅμως καὶ μὲ αὐτὰ τὰ ἀνθρώπινα ἐκδηλώνει τὸ πλέον εὐπρεπές. «Πρόσεχε εἰς τὴν φωνὴν τῆς παρακλήσεώς μου». Πάλιν ἐννοεῖ τὴν ἐσωτερικὴν φωνήν. Ἔτσι καὶ ἡ Ἄννα ἐφώναζε[19α]. Καὶ δὲν εἶπεν ἁπλῶς, 'πρόσεξε τὴν φωνὴν τῆς προσευχῆς μου', ἀλλά, «Τῆς παρακλήσεώς μου». Διότι ἐκεῖνος ποὺ προσεύχεται πρέπει νὰ παίρνη τὴν στάσιν καὶ τὴν προθυμίαν τοῦ ἱκέτου. Καθ' ὅσον αὐτὸς ποὺ παρακαλεῖ δὲν χρησιμοποιεῖ λόγια κατηγόρου, ἐνῷ ἐκεῖνος ποὺ προσεύχεται ἐναντίον τοῦ ἐχθροῦ του, εἶναι μᾶλλον κατήγορος, παρὰ ἱκέτης. Εἶδες πῶς παρουσίασε τὴν προσευχὴν ἐπειδὴ ἤθελε νὰ τὴν κάμη τέτοια ποὺ νὰ ἀκουσθῆ; Ἔτσι καὶ ἡμεῖς, ὅταν προσευχώμεθα καὶ θέλωμεν νὰ εἰσακούεται ἡ προσευχή μας, πρῶτα νὰ τὴν κάμνωμεν ἔτσι ποὺ νὰ εἶναι προσευχὴ καὶ νὰ μὴ καταντᾷ κατηγορία καὶ νὰ τὴν κάμνωμεν ἔτσι ποὺ νὰ συμφωνῇ μὲ τοὺς νόμους ἐκείνου.

«Ὁ βασιλεύς μου καὶ ὁ Θεός μου». Ἐκεῖνο ποὺ ὁ προφήτης λέγει συνεχῶς, μᾶλλον δὲ ἐκεῖνο ποὺ ἦτο ἰδιαίτερα ἀγαπητὸν εἰς τὸν Ἀβραάμ, καθὼς καὶ ὁ Παῦλος λέγει, διὰ τὸν λόγον αὐτὸν «δὲν ἐντρέπεται ὁ Θεὸς νὰ ὀνομάζεται Θεὸς αὐτῶν»[20], αὐτὸ ἐξέφρασε καὶ αὐτὴ καὶ τὸ κατώρθωσε μὲ τὸν πόθον της. Διότι δὲν εἶπεν ἁπλῶς, 'ὁ βασιλεύς', ἀλλ' «Ὁ βασιλεύς μου καὶ ὁ Θεός μου», δεικνύουσα ἔτσι τὸν ἔρωτά της. Ἔπειτα ἀναφέρει καὶ τοὺς λόγους, διὰ τοὺς ὁποίους ἔχει τὴν ἀξίωσιν νὰ εἰσακουσθῆ. Ποῖοι δὲ εἶναι αὐτοί; «Διότι θὰ προσευχηθῶ εἰς ἐσένα, Κύριε». Ποῖος, λέγει, δὲν προσεύχεται εἰς τὸν Θεόν; Πολλοὶ μὲν νομίζουν ὅτι προσεύχονται εἰς τὸν Θεόν, ὅμως τὸ κάμνουν αὐτὸ διὰ νὰ ἐπιδειχθοῦν ἐμπρὸς εἰς τοὺς ἀνθρώπους. Αὐτὴ ὅμως δὲν ἦτο τέτοια, ἀλλ' ἀπευθύνετο πρὸς τὸν ἴδιον τὸν Θεόν, παραμερίζουσα ὅλα τὰ ἀνθρώπινα.

«Σὺ θὰ εἰσακούσῃς τὴν πρωινὴν ἱκετευτικὴν φωνήν μου». Βλέπεις προθυμίαν καὶ ψυχὴν γεμάτην ἀπὸ κατά-

ἀπαρχὰς ἐδίδου τῷ Θεῷ. «Δεῖ», γάρ, φησί, «φθάνειν τὸν ἥλιον ἐπ' εὐχαριστίαν σου, καὶ πρὸ ἀνατολῆς φωτὸς ἐντυγχάνειν σοι». Σὺ δὲ ἐπὶ μὲν βασιλέως οὐκ ἂν ἀνάσχοιο τὸν ἐλάττονα πρὸ σοῦ προλαβόντα προσκυνῆσαι, νυνὶ δὲ ἡλίου προσκυνοῦντος καθεύδεις αὐτός, καὶ ἀναχωρεῖς τῇ κτίσει τῆς προεδρίας, καὶ οὐ φθάνεις ἅπασαν τὴν κτίσιν τὴν διὰ σὲ γενομένην, οὐδὲ ἀποδίδως αὐτῷ τὰ εὐχαριστήρια, ἀλλ' ἀνιστάμενος καὶ ὄψιν περικλύζεις καὶ χεῖρας, τὴν δὲ ψυχὴν περιορᾷς ἀκάθαρτον; Οὐκ οἶσθα, ὅτι καθάπερ ὕδατι σῶμα, οὕτω δι' εὐχῆς ἡ ψυχὴ καθαίρεται; Νίψον τοίνυν πρὸ τοῦ σώματος τὴν ψυχήν. Πολλαὶ λῆμαι προσίστανται αὐτῇ κακίας· ταύτας ἀποθώμεθα διὰ τῆς δεήσεως. Ἂν γὰρ οὕτω τὸ στόμα τειχίσωμεν, καλὸν θεμέλιον τῆς καθημερινῆς πράξεως καταβαλοῦμεν.

«Τὸ πρωὶ παραστήσομαί σοι, καὶ ἐπόψομαι». Παραστήσομαί σοι, οὐ τόπῳ, φησίν, ἀλλ' ἔργοις. Ὁ γὰρ τοιοῦτος ἐγγὺς γενέσθαι δύναται τοῦ Θεοῦ. Τὸ γὰρ ἐγγὺς καὶ τὸ μακρὰν ἐντεῦθεν συμβαίνει· ὁ γὰρ Θεὸς πανταχοῦ ἐστι. «Παραστήσομαί σοι, καὶ ἐπόψομαι», ὅτι οὐχὶ Θεὸς θέλων ἀνομίαν σὺ εἶ». Ἕτερος ἑρμηνευτής φησι· «Καὶ σκοπήσω, ὅτι οὐχὶ Θεὸς θέλων ἀνομίαν σὺ εἶ». «Οὐδὲ παροικήσει σοι πονηρευόμενος». Ἐνταῦθα τὰ εἴδωλα αἰνίττεται· ὅτι τούτοις ἔχαιρον, καὶ πα-

21. Σοφ. Σολ. 16, 28.

νυξιν; Ἀπὸ τὴν ἀρχὴν τῆς ἡμέρας, λέγει, κάμνω αὐτὴν τὴν ἐργασίαν. Ἂς τὸ ἀκούσουν ἐκεῖνοι ποὺ προσεύχονται μετὰ ἀπὸ ἀμετρήτους ἐργασίας των. Ὄχι ὅμως καὶ αὐτή, ἀλλ' ἀπὸ τὴν ἀρχὴν τῆς ἡμέρας ἐπρόσφερε τὰς ἀπαρχὰς εἰς τὸν Θεόν. Διότι, λέγει, «Πρέπει νὰ προλαβαίνουν τὴν ἀνατολὴν τοῦ ἡλίου μὲ εὐχαριστίας πρὸς ἐσένα καὶ ν' ἀπευθύνουν τὴν προσευχήν των πρὸς ἐσένα πρὶν ἀπὸ τὴν ἀνατολὴν τοῦ φωτός»[21]. Σὺ βέβαια εἰς μὲν τὴν περίπτωσιν τοῦ βασιλέως δὲν θὰ ἠμποροῦσες νὰ ἀνεχθῇς νὰ προλάβῃ ὁ κατώτερός σου πρὶν ἀπὸ ἐσένα νὰ προσκυνήσῃ αὐτόν, ἐνῷ τώρα ἐνῷ ὁ ἥλιος προσκυνεῖ τὸν Θεὸν σὺ κοιμᾶσαι καὶ παραχωρεῖς τὰ πρωτεῖα εἰς τὴν κτίσιν καὶ δὲν προφθάνεις ὁλόκληρον τὴν κτίσιν ποὺ ἔγινε δι' ἐσένα, οὔτε εὐχαριστεῖς αὐτόν, ἀλλὰ μόλις σηκωθῇς πλένεις τὸ πρόσωπόν σου καὶ τὰ χέρια σου, ἐνῷ τὴν ψυχήν σου τὴν παραβλέπεις ἀφήνοντάς την ἀκάθαρτον; Δὲν γνωρίζεις, ὅτι ὅπως ἀκριβῶς τὸ σῶμα καθαρίζεται μὲ τὸ νερό, ἔτσι καὶ ἡ ψυχὴ καθαρίζεται μὲ τὴν προσευχήν; Νίψε λοιπὸν πρὶν ἀπὸ τὸ σῶμα τὴν ψυχήν σου. Πολλὰ εἴδη κακίας ὑπάρχουν εἰς αὐτήν· αὐτὰ ἂς τὰ ἀπομακρύνωμεν μὲ τὴν προσευχήν μας. Διότι, ἐὰν ἔτσι περιφρουρήσωμεν τὸ στόμα, θὰ θέσωμεν καλὸν θεμέλιον τῶν καθημερινῶν πράξεών μας.

«Τὸ πρωῒ θὰ παρουσιασθῶ ἐνώπιόν σου καὶ θὰ στρέψω τὸ βλέμμα μου πρὸς ἐσένα». Θὰ παρουσιασθῶ ἐμπρός σου ὄχι τοπικῶς, λέγει, ἀλλὰ μὲ τὰ ἔργα μου. Διότι ὁ τέτοιος ἄνθρωπος εἶναι δυνατὸν νὰ εὑρίσκεται πλησίον τοῦ Θεοῦ. Καθ' ὅσον τὸ πλησίασμα τοῦ Θεοῦ καὶ ἡ ἀπομάκρυνσις ἀπὸ αὐτὸν συμβαίνουν ἐξ αἰτίας αὐτοῦ τοῦ γεγονότος· διότι ὁ Θεὸς εὑρίσκεται παντοῦ. «Θὰ παρουσιασθῶ ἐνώπιόν σου καὶ θὰ στρέψω τὸ βλέμμα μου πρὸς ἐσένα, διότι σὺ εἶσαι Θεὸς ποὺ δὲν θέλεις τὴν παρανομίαν». Ἄλλος ἑρμηνευτὴς λέγει· «Καὶ θὰ ἀναλογισθῶ, ὅτι σὺ εἶσαι Θεὸς ποὺ δὲν θέλεις τὴν ἀνομίαν». «Καὶ δὲν θὰ παραμείνῃ ἐνώπιόν σου ἐκεῖνος ποὺ πράττει τὸ κακόν». Ἐδῶ ὑπαινίσσεται τὰ

ρανομίᾳ πάσῃ, καὶ τοῖς ἄλλοις τοῖς ἐν πονηρίᾳ πράγμασιν. «Οὐδὲ παροικήσει σοι πονηρευόμενος». Οὐκ ἔσται σοι, φησί, φίλος, οὐκ ἔσται σοι πλησίον. «Οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου». Τὸ μισοπόνηρον τοῦ Θεοῦ ἐνταῦθα δείκνυσι, διδάσκων τοὺς ἐγγὺς αὐτοῦ γινομένους τοιούτους ἑαυτοὺς κατασκευάζειν, ὡς οὐκ ἐνὸν ἄλλως γενέσθαι ἐγγύς. Εἰ γὰρ ἀνθρώπῳ χρηστῷ οὐκ ἄν τις δύναιτο γενέσθαι πλησίον, τοῖς τρόποις διεστηκὼς αὐτοῦ, πολλῷ μᾶλλον τούτῳ. Ὅτι γὰρ οὐ δύνανται ἐναρέτων ἀνδρῶν ἐγγὺς γενέσθαι οἱ πονηροί, ἄκουσον τί φασι περὶ τοῦ δικαίου. «Βαρύς ἐστιν ἡμῖν καὶ βλεπόμενος». Οὕτω καὶ Ἰωάννης τὸ δεσμωτήριον οἰκῶν καὶ μὴ ὁρώμενος ἐλύπει τὴν Ἡρωδιάδα· καίτοι τοσοῦτον αὐτοῦ ἀφειστήκει τὸ γύναιον· μετὰ δὲ τὴν τελευτήν, καὶ τοῦ τυράννου τότε ἐκείνου τὸ συνειδὸς κατέσειε.

Μηδεὶς τοίνυν τῶν ἐν ἀρετῇ ζώντων ἡγείσθω τι πάσχειν δεινόν, κἂν ἐπιβουλεύηται παρὰ τῶν πονηρῶν. Οἱ γὰρ πάσχοντες κακῶς οἱ ποιοῦντές εἰσιν. «Ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν, ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος. Ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος». Ταῦτα λέγεται, οὐχ ἵνα ἀκούσωμεν μόνον, ἀλλ' ἵνα καὶ παιδευώμεθα ταῦτα συνεχῶς ἀκούοντες, καὶ τῷ τρόπῳ τοῦ νυμφίου ἁρμόζεσθαι, καὶ πλησίον αὐτοῦ γίνεσθαι. Ὡς ἂν μὴ ταῦτα ᾖ, ἐρημούμεθα τῆς ἄνωθεν ῥοπῆς, οὗ οὐδὲν ἂν γένοιτο χεῖρον.

---

22. Σοφ. Σολ. 2, 14.
23. Ματθ. 7, 15.

εἴδωλα· διότι μὲ αὐτὰ ηὐχαριστοῦντο καὶ μὲ τὴν καθόλου παρανομίαν καὶ μέ τὰ ἄλλα τὰ ἔργα τῆς παρανομίας. «Καὶ δὲν θὰ παραμείνῃ πλησίον σου ἐκεῖνος ποὺ πράττει τὸ κακόν». Δὲν θὰ γίνῃ φίλος σου, λέγει, δὲν θὰ σταθῇ πλησίον σου. «Οὔτε θὰ στηθοῦν ἐμπρὸς εἰς τὰ μάτια σου οἱ παράνομοι». Μὲ αὐτὰ τὰ ἅγια δείχνει τὸ πόσον μισεῖ ὁ Θεὸς τὴν κακίαν, διδάσκων ἐκείνους ποὺ εὑρίσκοντο πλησίον του νὰ καθιστοῦν τέτοιον τὸν ἑαυτόν των, καθ' ὅσον δὲν εἶναι δυνατὸν κατ' ἄλλον τρόπον νά παραμείνουν πλησίον του. Διότι, ἐὰν κανεὶς δὲν ἠμπορῇ νὰ παραμείνῃ πλησίον κάποιου καλοῦ ἀνθρώπου, ἐπειδὴ διαφέρουν οἱ τρόποι του, πολὺ περισσότερον δὲν ἠμπορεῖ νὰ σταθῇ πλησίον αὐτοῦ. Τὸ ὅτι βέβαια οἱ πονηροὶ δὲν ἠμποροῦν νὰ σταθοῦν πλησίον τῶν ἐναρέτων ἀνδρῶν, ἄκουσε τί λέγει διὰ τόν δίκαιον· «Εἶναι βαρετὸς ἀκόμη καὶ νὰ τὸν βλέπωμεν»[22]. Ἔτσι καὶ ὁ Ἰωάννης, ἐνῷ διέμενεν εἰς τὸ δεσμωτήριον καὶ δὲν ἐβλέπετο, παρὰ ταῦτα ἐστενοχωροῦσε τὴν Ἡρωδιάδα· καὶ βέβαια τόσον μακριὰ ἀπὸ αὐτὸν εὑρίσκετο τὸ γύναιον· μετὰ δὲ τὸν θάνατόν του συνετάρασσε καὶ τὴν συνείδησιν ἐκείνου τοῦ τυράννου.

Κανεὶς λοιπὸν ἀπὸ ἐκείνους ποὺ ζοῦν ἐνάρετα ἂς μὴ νομίζῃ ὅτι παθαίνει κάποιο κακόν καὶ ἂν ἀκόμα ἐπιβουλεύεται ἀπὸ τοὺς κακοὺς ἀνθρώπους. Διότι αὐτοὶ ποὺ κακοποιοῦνται εἶναι ἐκεῖνοι ποὺ κακοποιοῦν. «Ἐμίσησες ὅλους ἐκείνους ποὺ πράττουν τὴν ἀνομίαν καὶ θὰ ἐξολοθρεύσῃς ὅλους ἐκείνους ποὺ λέγουν καὶ διαδίδουν ψεύδη. Τὸν αἱμοβόρον ἄνθρωπον καὶ τὸν δόλιον τὸν ἀποστρέφεται ὁ Κύριος». Αὐτὰ τὰ λέγει, ὄχι μόνον διὰ νὰ τὰ ἀκούσωμεν, ἀλλὰ καὶ διὰ νὰ διδασκώμεθα, ἀκούοντες αὐτὰ συνεχῶς, καὶ νὰ προσαρμόζωμεν τὴν ζωὴν μὲ τὴν ζωὴν τοῦ νυμφίου καὶ νὰ εὑρισκώμεθα πλησίον του. Διότι, ἐὰν αὐτὰ δὲν συμβαίνουν, μένομεν ἔρημοι ἀπὸ τὴν οὐράνιον βοήθειαν, πρᾶγμα ἀπὸ τὸ ὁποῖον τίποτε δὲν θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ χειρότερον.

4. «Ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν»· κἂν δοῦλος ᾖ, φησί, κἂν ἐλεύθερος, κἂν βασιλεύς, κἂν ὁστισοῦν. Οὐ γὰρ ἀπὸ τῶν ἀξιωμάτων, ἀλλ' ἀπὸ τῆς ἀρετῆς τοὺς φίλους ἐγκρίνειν ὁ Θεὸς εἴωθεν. Ἀλλ' ἐπειδὴ πολλοὶ τῶν παχυτέρων οὐδὲν ἡγοῦνται τὸ μῖσος εἶναι, ἄκουσον πῶς ἐπήγαγε καὶ κολάσεως φόβον, εἰπών, «Ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος», ἐπὶ τὸ παχύτερον τῶν ἁμαρτανομένων τὸν λόγον μετατιθείς. Οὐ γὰρ μέχρι τοῦ μίσους στήσεται τὰ τῆς τιμωρίας, καίτοι καὶ τοῦτο ἄφατος κόλασις, ἀλλὰ καὶ πάντας ἀπολεῖ τοὺς λαλοῦντας τὸ ψεῦδος. Καίτοι καὶ τὸ πρότερον χαλεπόν, καὶ γεέννης χεῖρον, τὸ μισηθῆναι παρὰ Θεοῦ, ἀλλὰ πρὸς μὲν τοὺς συνιέναι δυναμένους ἐκεῖνο ἔθηκε, πρὸς δὲ τοὺς παχυτέρους καὶ τοῦτο προσέθηκε. Μὴ τοίνυν θορυβηθῇς, ἄνθρωπε, μηδὲ ταράττου, ἐπειδὰν ἴδῃς τινὰς ψευδομένους, ἁρπάζοντας, πλεονεκτοῦντας, καὶ μηδὲν πάσχοντας δεινόν, ἔσται γὰρ πάντως τοῦτο. Τοιαύτη γὰρ ἡ τοῦ Θεοῦ φύσις· ἀποστρέφεται πονηρίαν, μισεῖ τε αὐτὴν ἀεὶ καὶ ἀπεχθάνεται. Τοὺς δὲ λαλοῦντας τὸ ψεῦδος ἐνταῦθα λέγει τοὺς ἐν πονηρίᾳ βιοῦντας, τοὺς τὰ ψευδῆ πράγματα διώκοντας, τοὺς περὶ ἡδονάς, τοὺς περὶ γαστριμαργίαν, τοὺς περὶ πλεονεξίαν ἐπτοημένους. Οἶδε γὰρ πάντα ταῦτα ψεύδη καλεῖν.

«Ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος». Τὸν φονικὸν ἐνταῦθά φησι, τὸν ἐπιβουλεύοντα, τὸν ὕπουλον, τὸν ἄλλα μὲν ἐπὶ στόματος φέροντα, ἕτερα δὲ ἐπὶ τῆς διανοίας, τὸν περικείμενον προσωπεῖον ἐπιεικείας, τὰ δὲ λύκων ἐπιδεικνύμενον, οὗ χεῖρον οὐκ ἂν γένοιτο οὐδέν. Ὁ μὲν γὰρ δῆλος

4. «Ἐμίσησες ὅλους ἐκείνους ποὺ πράττουν τὴν ἀνομίαν», εἴτε δοῦλος εἶναι, λέγει, εἴτε ἐλεύθερος, εἴτε βασιλεύς, εἴτε ὁποιοσδήποτε ἄλλος. Διότι ὁ Θεὸς συνηθίζει νὰ ἐκλέγῃ τοὺς φίλους ὄχι ἀπὸ τὰ ἀξιώματα, ἀλλ' ἀπὸ τὴν ἀρετήν. Ἐπειδὴ ὅμως πολλοὶ ἀπὸ τοὺς πολὺ ἀτελεῖς πνευματικὰ νομίζουν ὅτι δὲν εἶναι τίποτε τὸ μῖσος, ἄκουσε πῶς ἐπρόσθεσε καὶ τὸν φόβον τῆς τιμωρίας, λέγων, «Θὰ ἐξολοθρεύσῃς ὅλους ἐκείνους ποὺ λέγουν ψεύδη», μεταφέρων τὸν λόγον πρὸς τὰ βαρύτερα ἁμαρτήματα. Διότι δὲν θὰ σταματήσῃ ἡ τιμωρία μέχρι τοῦ μίσους, ἂν καὶ αὐτὸ εἶναι ἀπερίγραπτος κόλασις, ἀλλὰ θὰ ἐξολοθρεύσῃ ὅλους ἐκείνους ποὺ λέγουν ψεύδη. Μολονότι δηλαδὴ καὶ τὸ προηγούμενον εἶναι φοβερὸν καὶ χειρότερον ἀπὸ τὴν γέενναν, τὸ νὰ μισηθῇ κανεὶς ἀπὸ τὸν Θεόν, ἀλλὰ πρὸς ἐκείνους μὲν ποὺ ἔχουν κάποιαν συναίσθησιν ἀνέφερεν ἐκεῖνο, πρὸς τοὺς παχυτέρους ὅμως πνευματικὰ ἐπρόσθεσε καὶ αὐτό. Μὴ λοιπὸν θορυβηθῇς, ἄνθρωπε, οὔτε νὰ ταράσσεσαι, ὅταν ἰδῇς μερικοὺς νὰ λέγουν ψεύδη, ν' ἁρπάζουν, νὰ εἶναι πλεονέκται καὶ νὰ μὴ παθαίνουν κανένα κακόν, καθ' ὅσον αὐτὸ ὁπωσδήποτε θὰ συμβῇ. Διότι τέτοια εἶναι ἡ φύσις τοῦ Θεοῦ· ἀποστρέφεται τὴν κακίαν, μισεῖ αὐτὴν πάντοτε καὶ τὴν ἀποστρέφεται. Ὡς λαλοῦντας δὲ ψεύδη ἐννοεῖ ἐδῶ ἐκείνους ποὺ ζοῦν μέσα εἰς τὴν κακίαν, ἐκείνους ποὺ ἐπιδιώκουν τὰ ψεύτικα πράγματα, ἐκείνους ποὺ εἶναι κυριευμένοι ἀπὸ τὸ σφοδρὸν πάθος διὰ τὰς ἡδονάς, ἀπὸ τὴν λαιμαργίαν, ἀπὸ τὴν πλεονεξίαν. Διότι γνωρίζει ὅλα αὐτὰ νὰ τὰ ὀνομάζῃ ψεύδη.

«Τὸν αἱμοβόρον καὶ δόλιον ἄνθρωπον τοὺς ἀποστρέφεται ὁ Κύριος». Ἐδῶ ἐννοεῖ τὸν φονικόν, τὸν ἐπίβουλον, τὸν ὕπουλον, ποὺ ἄλλα μὲν λέγει μὲ τὸ στόμα, ἄλλα δὲ ἔχει εἰς τὴν σκέψιν του, ποὺ φορεῖ τὸ προσωπεῖον τῆς ἐπιεικείας, ἀλλὰ παρουσιάζει τὰ ἔργα τῶν λύκων, ἀπὸ τὸν ὁποῖον τίποτε ἄλλο δὲν θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ χειρότερον. Διότι ἀπὸ μὲν τὸν φανερὸν ἐχθρὸν εὔκολα θὰ

ἐχθρός, καὶ εὐφύλακτος γένοιτ' ἄν, ὁ δὲ συγκαλύπτων τὴν πονηρίαν καὶ χρώμενος τῇ κακίᾳ, δυσφώρατος ὤν, πολλὰ ἐργάζεται τὰ δεινά. Διὰ τοῦτο καὶ ὁ Χριστός, ἡνίκα ἂν παραγίνοιντο, νήφειν ἐκέλευσεν. «Ἔρχονται γὰρ πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες». «Ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου εἰσελεύσομαι εἰς τὸν οἶκόν σου». Ἐπειδὴ γὰρ ἀπὸ τοιούτων ἡ Ἐκκλησία συνείλκετο, Ἑλλήνων, μάγων, ἀνδροφόνων, γοήτων, ψευστῶν, ὑπούλων, εἶπε δέ, ὅτι μισεῖς καὶ ἀποστρέφῃ, δεικνῦσα, ὅτι οὐχ αὕτη κατὰ δικαιοσύνην καὶ κατορθώματα, ἀλλὰ κατὰ φιλανθρωπίαν ἀπαλλαγεῖσα ἐκείνων εἰς τὰ ἐνδότατα εἰσήγετο, ἐπήγαγεν «Ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου εἰσελεύσομαι εἰς τὸν οἶκόν σου». Ἵνα γὰρ μή τις λέγῃ, πῶς οὖν σὺ ἡ τὰ καὶ τὰ ἐργασαμένη ἐσώθης;' εἶπε τὸν τρόπον τῆς σωτηρίας, ὅτι διὰ τὴν πολλὴν φιλανθρωπίαν, διὰ τὴν ἄφατον ἀγαθότητα ἐσώθην. Ἀλλ' εἰσί τινες, οἳ οὐδὲ ἔλεον προσίενται, ἀνίατα νοσοῦντες, οἷοι ἦσαν οἱ Ἰουδαῖοι· ἡ γὰρ χάρις καὶ ὁ ἔλεος, κἂν χάρις ᾖ καὶ ἔλεος, ἀλλὰ τοὺς βουλομένους καὶ χάριν ἔχοντας σώζει, οὐ τοὺς ἀφηνιῶντας καὶ μὴ βουλομένους δέξασθαι τὴν δωρεάν, οἷοι γεγόνασιν οἱ Ἰουδαῖοι, περὶ ὧν καὶ Παῦλος ἔλεγεν, ὅτι «Ἀγνοοῦντες τὴν τοῦ Θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν δικαιοσύνην ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν».

Εἶτα ἐπειδὴ εἶπε τὰ τοῦ Θεοῦ, λέγει καὶ τὰ παρ' ἑαυτῆς· «Προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου». Ὅταν

24. Ρωμ. 10, 3.

δὲ ἕνεκεν καὶ ὁ τὰ ξύλα συλλέξας οὐκ ἔτυχε φιλανθρωπίας, Ὅτι πολλῆς παρανομίας ἦν, τὸ ἐκ προοιμίων εὐθέως παραβῆναι τὸ πρόσταγμα, καὶ ἔδει καὶ τοῖς ἄλλοις φόβον ἐντεθῆναι πολύν. Τοῦτο καὶ ἐπὶ τῆς Σαπφείρας καὶ Ἀνανίου γέγονε.

Καὶ ἡμεῖς τοίνυν ὅταν ἁμαρτάνωμεν, σκοπῶμεν εἰ ἄξιοι ἐλέους ἐσμέν, εἰ ἐποιήσαμέν τι ὥστε ἐλεηθῆναι, εἰ μετενοήσαμεν, εἰ βελτίους ἐγενόμεθα, εἰ ἀπέστημεν. Καὶ γὰρ τὸ τὸν μετανοήσαντα σωθῆναι, ἐξ ἐλέους ἐστὶ σωθῆναι. Οὕτω γοῦν καὶ οὗτος ἀξιοῖ ἐντεῦθεν σωθῆναι, ἀπὸ τῶν δακρύων, ἀπὸ τῶν θρήνων. «Λούσω» γάρ, φησί, «καθ' ἑκάστην νύκτα τὴν κλίνην μου· ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω». Τουτέστιν, ἀπὸ τῆς κατανύξεως. «Ἐταράχθη τὰ ὀστᾶ μου, καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα». Οὐκ εὐθέως αὐτὰ λέγει, ἀλλ' ἐπὶ τὸ εὐόλισθον τῆς φύσεως καταφεύγει, λέγων· «Ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι». Οὕτως εἶπε, δεικνὺς ὅτι οὐκ ἀρκεῖ μόνον τοῦτο· εἰ γὰρ ἤρκει, πάντες ἂν ἐντεῦθεν ἐσώθημεν· πάντες γάρ ἐσμεν ἄνθρωποι.

3. Ἐμοὶ δέ, εἰ δεῖ ἀκριβέστερόν τι περὶ τούτου εἰπεῖν, τάχα οὐδὲ τοῦτο λέγειν δοκεῖ. Ἀλλὰ τὴν ἀσθένειαν τὴν ἐκ τῶν πειρασμῶν ἐγγινομένην αἰνίττεται, οὐ μικρὸν καὶ τοῦτο δικαίωμα εἰς τὸ τυχεῖν ἐλέους καὶ φιλανθρωπίας προβαλλόμενος. Τοῦτο γοῦν καὶ προϊὼν ἠνίξατο, λέγων· «Ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου». Οἶδε γὰρ καὶ θλῖψις μετ' εὐχαριστίας φερομένη, πολλῆς φιλανθρωπίας ὑπόθεσιν παρέχειν, καὶ ἵλεω τὸν Θεὸν ποιεῖν. Ταύτην τοίνυν μοι δοκεῖ καὶ ἐνταῦθα αἰνίττεσθαι, λέγων· «Ἴασαί με, Κύριε, ὅτι ἐτα-

19. Πράξ. 5, 1-11.

ποῖον δὲ λόγον καὶ ἐκεῖνος ποὺ ἐμάζευσε τὰ ξύλα δὲν ἔτυχε τῆς φιλανθρωπίας τοῦ Θεοῦ; Διότι ἦτο μεγάλη παρανομία τὸ νὰ παραβῆ ἀπὸ τὴν πρώτην στιγμὴν τὸ πρόσταγμα καὶ ἔπρεπε νὰ ἐμβάλη πολὺν φόβον καὶ εἰς τοὺς ἄλλους. Τὸ ἴδιο συνέβη καὶ εἰς τὴν περίπτωσιν τῆς Σαπφείρας καὶ τοῦ Ἀνανίου.

Καὶ ἡμεῖς λοιπὸν ὅταν ἁμαρτάνωμεν, ἂς ἐξετάζωμεν ἐὰν εἴμεθα ἄξιοι νὰ ἐλεηθοῦμεν, ἐὰν ἐκάμαμεν κάτι διὰ νὰ ἐλεηθοῦμεν, ἐὰν μετενοήσαμεν, ἐὰν ἐγίναμεν καλύτεροι, ἐὰν ἀπεμακρύνθημεν ἀπὸ τὴν ἁμαρτίαν. Καθ' ὅσον ἡ σωτηρία ἐκείνου ποὺ μετανοεῖ ἐξαρτᾶται ἀπὸ τὸ ἔλεος τοῦ Θεοῦ. Ἔτσι λοιπὸν καὶ αὐτὸς ἔχει τὴν ἀξίωσιν νὰ σωθῆ ἀπὸ αὐτό, ἀπὸ τὰ δάκρυα δηλαδὴ καὶ ἀπὸ τοὺς θρήνους. Διότι λέγει· «Θὰ λούσω τὸ κρεββάτι μου κάθε νύκτα καὶ θὰ βρέξω τὸ στρῶμα μου μὲ δάκρυα». Δηλαδὴ ἀπὸ τὴν κατάνυξιν. «Ἐκλονίσθησαν τὰ ὀστᾶ μου καὶ ἡ ψυχή μου ἐταράχθη πάρα πολύ». Δὲν τὰ λέγει αὐτὰ εὐθέως, ἀλλὰ καταφεύγει εἰς τὸ ὅτι εὔκολα ἡ φύσις μας παρασύρεται εἰς τὴν ἁμαρτίαν, λέγων· «Ἐλέησόν με Κύριε, διότι εἶμαι ἀσθενής». Αὐτὰ τὰ λόγια τὰ εἶπε, διὰ νὰ δείξη ὅτι δὲν ἀρκεῖ μόνον αὐτό· διότι ἐὰν ἦτο ἀρκετόν, ὅλοι θὰ ἠμπορούσαμεν νὰ σωθοῦμεν μὲ αὐτό· καθ' ὅσον ὅλοι εἴμεθα ἄνθρωποι.

3. Ἐγὼ ὅμως νομίζω ὅτι ἴσως οὔτε αὐτὸ ἐννοεῖ, ἐὰν πρέπει νὰ ὁμιλήσωμεν περὶ αὐτοῦ ἀκριβέστερα, ἀλλ' ὑπαινίσσεται τὴν ἀσθένειαν τὴν προελθοῦσαν ἀπὸ τοὺς πειρασμούς, προβάλλων αὐτὸ ὡς μεγάλον δικαίωμα διὰ νὰ τύχη τοῦ ἐλέους καὶ τῆς φιλανθρωπίας τοῦ Θεοῦ. Αὐτὸ βέβαια ὑπηνίχθη καὶ εἰς τὴν συνέχειαν, λέγων· «Κατήντησα νὰ περιφρονοῦμαι ὡσὰν παλαιὸν ροῦχον ἀπὸ ὅλους τοὺς ἐχθρούς μου». Διότι γνωρίζει ὅτι καὶ θλῖψις, ποὺ συμβαδίζει μὲ τὴν εὐχαριστίαν, γίνεται αἰτία μεγάλης φιλανθρωπίας καὶ ὅτι κάμνει τὸν Θεὸν εὐσπλαγχνικόν. Αὐτὴν λοιπὸν νομίζω ὅτι ὑπαινίσσεται καὶ ἐδῶ, λέγων· «Ἰάτρευσέ

ράχθη τὰ ὀστᾶ μου, καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα». Οὐκ εἶπεν, 'ἄνες μοι', οὐδέ, 'ἔνδος μοι', ἀλλ' «Ἴασαι». Τὰ γὰρ πρότερα ἀξιοῖ τραύματα ἀφανισθῆναι. Ὀστᾶ δὲ ἐνταῦθα τὴν ἰσχὺν ἅπασαν λέγει· ταραχὴν δέ, τὴν πληγήν, τὴν κόλασιν, τὴν τιμωρίαν. «Ἴασαί με, Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου, καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα». Ὥσπερ οὖν ἐπὶ τῶν ἰατρῶν τρία ταῦτά ἐστι, μᾶλλον δὲ τέσσαρα, ἢ καὶ πέντε, ὁ ἰατρός, ἡ τέχνη, ὁ κάμνων, τὸ νόσημα, τῶν φαρμάκων ἡ δύναμις, καὶ παράταξίς τις γίνεται καὶ μάχη· ἂν μὲν γὰρ μετὰ τοῦ ἰατροῦ, καὶ τῆς τέχνης, καὶ τῶν φαρμάκων, καὶ ἡ προαίρεσις ᾖ τοῦ κάμνοντος, ἐκράτησαν τοῦ νοσήματος, ἂν δὲ ἀφῇ τὸ μετ' ἐκείνων παρατάξασθαι ὁ κάμνων, πρὸς τὴν ἀρρωστίαν ἑαυτὸν ἐξάγει· ἢ κἂν μετ' ἐκείνης παρατάξηται πρὸς τὸν ἰατρὸν καὶ τὰ φάρμακα καὶ πρὸς τὴν τέχνην, ἀπήνεγκεν ἑαυτόν· οὕτω δὴ καὶ ἐφ' ἡμῶν συμβαίνει· μᾶλλον δὲ οὐχ οὕτως, ἀλλὰ πολλῷ παραδοξότερον. Ἐπὶ μὲν γὰρ τῶν ἰατρῶν πολλάκις καὶ μετὰ τοῦ νοσήματος, καὶ μετὰ τῆς τέχνης, καὶ μετὰ τῶν φαρμάκων ὁ κάμνων ἵσταται, καὶ οὐδὲν ὤνησε, τῆς φύσεως ἀσθενησάσης, καὶ τῆς τέχνης ἀπορησάσης, καὶ τῆς δυνάμεως δραπετευσάσης ἔκ τινος ἐπηρείας· ἐπὶ δὲ τοῦ Θεοῦ οὐκ ἔνι τοῦτο, ἀλλ' ἐὰν στῇς μετὰ τοῦ ἰατροῦ, πάντως δεῖ θεραπευθῆναι τὸ ἕλκος. Οὐ γάρ ἐστιν ἀνθρωπίνη τέχνη, ἵνα ἀπορήσῃ, ἀλλὰ θεία δύναμις, ἡ καὶ φύσεων καὶ νοσημάτων καὶ πονηρίας καὶ πάσης περιγενομένη κακίας. Διὰ δὴ τοῦτο καὶ οὗτος ὥσπερ ἰατρῷ τῷ Θεῷ προσελθὼν καὶ ἀποδυρόμενος, ἔλεγεν· «Ἴασαί με, Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου».

με, Κύριε, διότι ἐκλονίσθησαν τὰ ὀστᾶ μου καὶ ἡ ψυχή μου ἔνοιωσε μεγάλην ταραχήν». Δὲν εἶπε, 'συγχώρησέ με', οὔτε, 'ἀπάλλαξέ με' ἀλλά, «Θεράπευσέ με». Ζητεῖ δηλαδὴ νὰ ἐξαφανισθοῦν τὰ προηγούμενα τραύματα. Ὀστᾶ δὲ ἐδῶ ἐννοεῖ τὴν ὅλην δύναμίν του, ταραχὴν δὲ τὸ πλῆγμα, τὴν κόλασιν, τὴν τιμωρίαν. «Θεράπευσέ με, Κύριε, διότι ἐκλονίσθησαν τὰ ὀστᾶ μου καὶ ἡ ψυχή μου ἔνοιωσε μεγάλην ταραχήν». Ὅπως ἀκριβῶς λοιπὸν εἰς τὴν περίπτωσιν τῶν ἰατρῶν εἶναι αὐτὰ τρία, μᾶλλον δὲ τέσσερα ἢ καὶ πέντε, ὁ ἰατρὸς δηλαδή, ἡ τέχνη, ὁ ἀσθενής, ἡ ἀσθένεια καὶ ἡ δύναμις τῶν φαρμάκων, καὶ ἀντιπαρατάσσονται αὐτὰ καὶ γίνεται κάποια μάχη, καὶ ἐὰν μαζὶ μὲ τὸν ἰατρὸν καὶ τὴν ἰατρικὴν τέχνην καὶ τὰ φάρμακα εἶναι καὶ ἡ διάθεσις τοῦ ἀσθενοῦς, τότε ἐνίκησαν τὴν ἀσθένειαν, ἐὰν ὅμως παραμελήσῃ ὁ ἀσθενὴς νὰ παραταχθῇ μαζὶ μὲ ἐκεῖνα, σπρώχνει τὸν ἑαυτόν του πρὸς τὴν ἀρρώστιαν· ἢ ἀκόμη ἂν παραταχθῇ μὲ ἐκείνην ἐναντίον τοῦ ἰατροῦ καὶ τῶν φαρμάκων καὶ τῆς ἰατρικῆς τέχνης κατεδίκασε τὸν ἑαυτόν του· ἔτσι λοιπὸν συμβαίνει καὶ μὲ ἡμᾶς· μᾶλλον δὲ ὄχι ἔτσι, ἀλλά καὶ πολὺ πιὸ παράδοξα. Διότι εἰς τὴν περίπτωσιν μὲν τῶν ἰατρῶν πολλὲς φορὲς μαζὶ μὲ τὴν ἀσθένειαν καὶ τὴν τέχνην καὶ τὰ φάρμακα συμμαχεῖ καὶ ὁ ἀσθενὴς καὶ δὲν ὠφελεῖται καθόλου, ἐπειδὴ ἐξ αἰτίας κάποιου κακοῦ ἐξησθένησεν ἡ φύσις, ἡ τέχνη εὑρέθη εἰς ἀμηχανίαν καὶ ἡ δύναμις τοῦ ἀσθενοῦς ἐξηφανίσθη, εἰς τὴν περίπτωσιν ὅμως τοῦ Θεοῦ δὲν εἶναι δυνατὸν νὰ συμβῇ αὐτὸ, ἀλλ' ἐὰν συμμαχήσῃς μαζὶ μὲ τὸν ἰατρόν, ὁπωσδήποτε πρέπει νὰ θεραπευθῇ ἡ πληγή. Διότι δὲν εἶναι τέχνη ἀνθρωπίνη, διὰ νὰ εὑρεθῇ εἰς ἀμηχανίαν, ἀλλὰ θεία δύναμις, ποὺ ὑπερισχύει καὶ τῶν φύσεων καὶ τῶν νοσημάτων καὶ τῆς πονηρίας καὶ κάθε κακίας. Διὰ τοῦτο λοιπὸν καὶ αὐτὸς πλησιάσας τὸν Θεὸν ὡσὰν ἰατρὸν καὶ ἐκσπάσας εἰς ὀδυρμούς, ἔλεγε· «Θεράπευσέ με, Κύριε, διότι ἐκλονίσθησαν τὰ ὀστᾶ μου».

Τινὲς δέ φασιν ἐνταῦθα ταραχὴν ἐκείνην λέγειν, τὴν ἐκ τῆς ἁμαρτίας γινομένην. Καθάπερ γὰρ ὅταν πνεύματα ῥαγδαῖα εἰς πέλαγος ἐμπέσῃ, πάντα ταράττει, καὶ ἡ βυθία ἄνω φέρεται ψάμμος, καὶ οἱ πλέοντες ἐν κινδύνῳ γίνονται, οὕτω δὴ καὶ ἐφ' ἡμῶν ταράττεται ἡ ψυχή, κινεῖται τὸ σῶμα, πάντα πληροῦται τοῦ χειμῶνος, καὶ μεστὸν ἡμῖν τὸ σκάφος λοιπὸν ταραχῆς, καὶ σκότος πολὺ καὶ πάντα οἴχεται ἀπολιμπάνοντα τὸν οἰκεῖον τόπον, καὶ πολλὴ ἡ σύγχυσις. Τοῦτο μάλιστα καὶ ἐν ἐπιθυμίαις ἀσελγείας συμβαίνειν εἴωθε· τοῦτο καὶ ἐν θυμῷ καὶ ἐν συμφοραῖς. Πάντα γὰρ ταῦτα ταράττει καὶ ψυχὴν καὶ ὀστᾶ, καὶ αἱ κόραι διαστρέφονται, καὶ οὐδὲ οἱ ὀφθαλμοὶ κατὰ τάξιν βλέπουσιν, ἀλλ' ὥσπερ ἡνιόχου θορυβηθέντος, ἀτάκτως οἱ ἵπποι φέρονται, οὕτω τοῦ λογισμοῦ διαταραχθέντος, πάντα συγχεῖται, πάντα διαστρέφεται καὶ τὴν ἰδίαν ὁδὸν ἀπόλλυσι. Πῶς δὲ αὕτη γίνεται ἡ ταραχή, ἀναγκαῖον καὶ τοῦτο εἰπεῖν. Οὐ γὰρ ὥσπερ ἐν θαλάττῃ παρὰ τὴν τῶν πνευμάτων ἐμβολήν, οὕτω καὶ ἐν τῇ ψυχῇ παρά τινα ἀδόκητον περίστασιν, ἀλλὰ παρὰ τὴν ἡμετέραν ῥαθυμίαν συμβαίνει. Καὶ γὰρ τοῦ γενέσθαι καὶ τοῦ μὴ γενέσθαι ἡμεῖς αἴτιοι. Οἷόν τι λέγω· τῆς ἐπιθυμίας ἐγειρομένης, ἂν μὴ σὺ τὴν φλόγα ἀνάψῃς, οὐ καίεται ἡ κάμινος, ἂν μὴ τροφὴν παράσχῃς τῇ ὕλῃ. Οὐκ ἀνάπτεται δὲ ἡ κάμινος, ἂν μὴ τὰς εὐμόρφους ὄψεις περιεργάσῃ, ἂν μὴ τὰ ἄλλα κάλλη πολυπραγμονήσῃς, ἂν μὴ εἰς θέατρα παρανομίας ἀναβαίνῃς. Ἂν γὰρ μὴ πιάνῃς τρυφῇ τὴν σάρκα, ἂν μὴ καταποντίσῃς οἴνῳ τὸν λογισμόν, οὐκ αἴρεται ἡ φλόξ, οὐκ ἀνάπτεται ἡ κάμινος, οὐ γίνεται χαλεπώτερον τὸ θηρίον, οὐ διατέμνεται καθάπερ ὑπὸ πνευμάτων ἀγρίων

Μερικοὶ ὅμως λέγουν ὅτι ἐδῶ ὡς ταραχὴν ἐννοεῖ ἐκείνην ποὺ προέρχεται ἀπό τὴν ἁμαρτίαν. Διότι, ὅπως ἀκριβῶς ὅταν ξεσηκωθοῦν εἰς τό πέλαγος ἰσχυροὶ ἄνεμοι ὅλα τὰ ἀναταράσσουν καί ἡ ἄμμος τοῦ βυθοῦ ἔρχεται εἰς τὴν ἐπιφάνειαν καὶ οἱ περισσότεροι κινδυνεύουν, ἔτσι λοιπόν καὶ εἰς ἡμᾶς ταράσσεται ἡ ψυχή μας, συγκλονίζεται τὸ σῶμα μας, ὅλα κατακυριεύονται ἀπὸ τὴν κακοχειμωνιάν, τὸ σκάφος συνταράσσεται ἐξ ὁλοκλήρου πλέον, σκότος βαθὺ ἐπικρατεῖ, καὶ ὅλα χάνονται ἀφοῦ ἐγκαταλείψουν τὴν θέσιν των, καὶ ἐπικρατεῖ μεγάλη σύγχυσις. Αὐτό κατ᾽ ἐξοχὴν συμβαίνει συνήθως καὶ μέ τὰς ἁμαρτωλὰς ἐπιθυμίας, αὐτό καὶ κατὰ τὴν ὥραν τοῦ θυμοῦ καὶ τῶν συμφορῶν. Διότι ὅλα αὐτὰ συνταράσσουν καὶ τὴν ψυχὴν καὶ τὰ ὀστᾶ, καὶ αἱ κόραι τῶν ὀφθαλμῶν διαστρεβλώνονται καὶ οὔτε οἱ ὀφθαλμοὶ βλέπουν κανονικά, ἀλλ᾽ ὅπως ἀκριβῶς, ὅταν ὁ ἡνίοχος κυριευθῇ ἀπό ταραχήν, τρέχουν ἄτακτα τὰ ἄλογα, ἔτσι καὶ ὅταν ταραχθῇ ὁ λογισμός, ὅλα κυριεύονται ἀπό σύγχυσιν, ὅλα διαστρέφονται καὶ χάνουν τὴν ὁδόν των. Πῶς δὲ δημιουργεῖται αὐτὴ ἡ ταραχή, εἶναι ἀνάγκη καὶ αὐτό νὰ τό εἴπουμεν. Δὲν συμβαίνει δηλαδή, ὅπως ἀκριβῶς εἰς τὴν θάλασσαν ἀπὸ τὴν εἰσβολὴν τῶν ἀνέμων, ἔτσι καὶ εἰς τὴν ψυχὴν ἀπό κάποιον ἀπροσδόκητον περιστατικόν, ἀλλ᾽ ἀπό τὴν ἰδικήν μας ραθυμίαν. Καθ᾽ ὅσον ἡμεῖς εἴμεθα αἴτιοι τό νὰ συμβοῦν ἢ νὰ μὴ συμβοῦν. Ἐννοῶ μὲ αὐτὸ ποὺ λέγω τό ἑξῆς· ὅταν δημιουργηθῇ ἡ ἐπιθυμία, ἂν σὺ δὲν ἀνάψῃς τὴν φλόγα, δὲν καίει τὸ καμίνι, ἂν δὲν δώσῃς τροφὴν εἰς τὴν ὕλην. Δὲν ἀνάπτεται δὲ τὸ καμίνι, ἂν δὲν περιεργασθῇς τὰ ὄμορφα πρόσωπα, ἂν δὲν περιεργασθῇς τὰ ἄλλα κάλλη, ἂν δὲν πηγαίνῃς εἰς θέατρα παρανομίας. Διότι ἐὰν δὲν παχαίνῃς μὲ τὴν ἀπολαυστικὴν ζωὴν τὴν σάρκα, ἐὰν δὲν καταποντίσῃς τόν λογισμόν σου εἰς τό κρασί, δὲν σηκώνεται ἡ φλόγα, δὲν ἀνάπτει τὸ καμίνι, δὲν γίνεται φοβερώτερον τὸ θηρίον, δὲν διασπᾶται ἡ καθαρότης τῆς σκέψεως ὅπως ἀκριβῶς συμ-

τῆς διανοίας τὸ καθαρόν.

Ἀρκεῖ οὖν ταῦτα, φησί, πρὸς τὸ διαφυγεῖν τὴν φλόγα τῆς ἁμαρτίας; **Οὐκ ἀρκεῖ ταῦτα καὶ μόνα**, ἀλλὰ καὶ ἕτερα δεῖ προστεθῆναι, εὐχὰς διηνεκεῖς, ἁγίων συνουσίαν, νηστείαν σύμμετρον, δίαιταν λιτήν, ἀσχολίας ἀναγκαίας, πρὸ τῶν ἄλλων ἁπάντων τοῦ Θεοῦ τὸν φόβον, τὴν μέλλουσαν κρίσιν, τὰς ἀφορήτους κολάσεις, τὰς ἐπαγγελίας τῶν ἀγαθῶν. Διὰ τούτων ἁπάντων δύνασαι χαλινῶσαι τὴν λυττῶσαν ἐπιθυμίαν, καὶ στῆσαι τὴν κυμαινομένην θάλατταν. «Καὶ σύ, Κύριε, ἕως πότε; Ἐπίστρεψον, Κύριε, ῥῦσαι τὴν ψυχήν μου, σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου». Συνεχῶς τό, «Κύριε», τίθησιν, ὥσπερ τι δικαίωμα προβαλλόμενος συγχωρήσεως καὶ χάριτος· καὶ γὰρ ἡ μεγίστη ἡμῶν ἐλπὶς αὕτη, ἡ ἄφατος αὐτοῦ φιλανθρωπία, καὶ τὸ τοιοῦτον εἶναι αὐτὸν πρόχειρον εἰς συγχώρησιν. Τὸ δέ, «Ἕως πότε», οὐκ ἀποδυσπετοῦντος, οὐδὲ δυσχεραίνοντος, ἀλλ' ὀδυνωμένου καὶ ἀλγοῦντος, καὶ οὐ φέροντος τὸν ἀπὸ τῶν πειρασμῶν ὄγκον.

4. «Ἐπίστρεψον Κύριε, ῥῦσαι τὴν ψυχήν μου». Δύο ἐνταῦθα τίθησι, τό τε ἐπιστρέψαι αὐτόν, καὶ τὸ ῥύσασθαι τὴν ψυχήν μου. Τοῦτο γὰρ μάλιστα τοῖς δικαίοις περισπούδαστον, τὸ κατηλλάχθαι αὐτόν, καὶ ἵλεων εἶναι καὶ εὐμενῆ, καὶ μὴ ἀποστρέφεσθαι. Τούτῳ γὰρ καὶ ἕτερον ἕπεται, τὸ σωθῆναι τὴν ψυχήν· οὐχ ὡς πολλοὶ τῶν ἀνθρώπων, καὶ μάλιστα τῶν παχυτέρων, ἓν μόνον ἐπιζητοῦσιν, ὅπως τῆς παρούσης ἀπολαύοιεν εὐημερίας. Ἀλλ' οὐκ ἐκεῖνοι οὕτως· ἀλλ' ὅπως τῆς σωτηρίας τῆς κατὰ ψυχὴν ἀπολαύσαιεν, ἧς οὐδὲν προτιμό-

βαίνει μὲ τοὺς ἀγρίους ἀνέμους.

Ἀρκοῦν λοιπὸν αὐτά, λέγει, διὰ ν' ἀποφύγῃ κανεὶς τὴν φλόγα τῆς ἁμαρτίας; Δὲν ἀρκοῦν μόνον αὐτά, ἀλλὰ πρέπει νὰ προσθέσῃς καὶ ἄλλα, συνεχεῖς προσευχάς, συναναστροφὴν μὲ ἁγίους, νηστείαν τὴν πρέπουσαν, φαγητὸν λιτόν, ἀσχολίας ἀναγκαίας, καὶ πρὶν ἀπὸ ὅλα τὰ ἄλλα τόν φόβον τοῦ Θεοῦ, τὴν μέλλουσαν κρίσιν, τὰς ἀβαστάκτους κολάσεις, τὰς ὑποσχέσεις τῶν ἀγαθῶν. Μὲ ὅλα αὐτὰ ἠμπορεῖς νὰ χαλιναγωγήσῃς τὴν λυσσασμένην ἐπιθυμίαν καὶ νὰ σταματήσῃς τὴν τρικυμισμένην θάλασσαν. «Καὶ σύ, Κύριε, μέχρι πότε θὰ μ' ἀφήνῃς ἔτσι; Ἔλα καὶ πάλιν πλησίον μου, Κύριε, καὶ ἐλευθέρωσε τὴν ψυχήν μου ἀπὸ αὐτὴν τὴν ἀθλίαν κατάστασιν, σῶσέ με ἐξ αἰτίας τοῦ ἐλέους σου». Συνεχῶς ἀναφέρει τό «Κύριε», προβάλλων αὐτὸ ὡσὰν κάποιο δικαίωμα συγχωρήσεως καὶ χάριτος· καθ' ὅσον αὐτὴ εἶναι ἡ πιὸ μεγαλύτερη ἐλπίς μας, ἡ ἀπερίγραπτος φιλανθρωπία του καὶ τὸ νὰ συγχωρῇ τόσον εὔκολα. Τὸ δέ, «ἕως πότε», δὲν εἶναι λόγια ἀνθρώπου ποὺ ἔχασε τὴν ἐλπίδα του, οὔτε ἀνθρώπου ποὺ δυσανασχετεῖ, ἀλλ' ἀνθρώπου ποὺ ὑποφέρει φοβερὰ καὶ πονεῖ καὶ δὲν ἠμπορεῖ νὰ ἀνθέξῃ τὸν ὄγκον τῶν πειρασμῶν.

4. «Ἐπίστρεψε, Κύριε, πλησίον μου καὶ ἐλευθέρωσε τὴν ψυχήν μου». Δύο πράγματα ἀναφέρει ἐδῶ, τὸ νὰ ἐπιστρέψῃ ὁ Θεὸς πλησίον του, καὶ τὸ νὰ ἐλευθερώσῃ τὴν ψυχήν του. Διότι αὐτὸ πρὸ πάντων ἀποτελεῖ τὸν πιὸ μεγάλον πόθον τῶν ἐναρέτων, τὸ νὰ συμφιλιωθῇ αὐτὸς μὲ αὐτοὺς καὶ νὰ εἶναι ἀπέναντί των εὐσπλαγχνικὸς καὶ εὐμενὴς καὶ νὰ μὴ τοὺς ἀποστρέφεται. Καθ' ὅσον μετὰ ἀπὸ αὐτὸ ἀκολουθεῖ καὶ ἄλλο, ἡ σωτηρία τῆς ψυχῆς των· ὄχι ὅπως οἱ περισσότεροι ἄνθρωποι, καὶ πρὸ πάντων ἀπὸ ἐκείνους ποὺ πνευματικὰ εἶναι παχύτεροι, ποὺ ἕνα μόνον πρᾶγμα ἐπιζητοῦν, τὸ νὰ ἀπολαμβάνουν δηλαδὴ τὴν εὐημερίαν τῆς παρούσης ζωῆς. Ἐκεῖνοι ὅμως δὲν ἐνεργοῦσαν ἔτσι, ἀλλ' ἐπεδίωκαν ν' ἀπολαύσουν τὴν σωτηρίαν τῆς ψυ-

τερον αὐτοῖς ἦν. «Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου· ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι;». Ὅρα πόσας τίθησιν αἰτίας σωτηρίας. Ὅτι ἀσθενής εἰμι, φησίν, Ὅτι ἐταράχθη τὰ ὀστᾶ μου, ὅτι παρὰ τοῦ Κυρίου ταῦτα αἰτῶ, Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου· οὐ τοῦτο λέγων, ὅτι μέχρι τοῦ παρόντος τὰ ἡμέτερα, ἄπαγε· οἶδε γὰρ τὸν περὶ τῆς ἀναστάσεως λόγον· ἀλλ' ὅτι μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν ἡ μετάνοια καιρὸν οὐκ ἂν ἔχοι. Ἐπεὶ καὶ ὁ πλούσιος ἐξωμολογεῖτο καὶ μετενόει, ἀλλ' οὐδὲν ὠφελεῖτο διὰ τὴν ἀκαιρίαν. Καὶ αἱ παρθένοι δὲ ἠβουλήθησαν λαβεῖν ἔλαιον, ἀλλ' οὐδεὶς αὐταῖς ἔδωκε. Τοῦτο τοίνυν ἀξιοῖ καὶ οὗτος, ἐνταῦθα ἀπονίψασθαι τὰ ἁμαρτήματα, ὥστε ἐπὶ τοῦ φοβεροῦ βήματος παρρησίας ἀπολαῦσαι.

Εἶτα παιδεύων τὸν ἀκροατήν, ὅτι μετὰ τῆς τοῦ Θεοῦ φιλανθρωπίας δεῖ καὶ τὰ ἡμέτερα ἕπεσθαι (ἄν τε γὰρ τὴν ἀσθένειαν προβαλλώμεθα, ἄν τε τὴν ταραχήν, ἄν τε τοῦ Θεοῦ τὴν ἀγαθότητα, ἄν τε αὐτὸ δὴ τοῦτο, ὃ ἔλεγε, τὰ δὲ παρ' ἡμῶν μὴ προσκέηται, οὐδὲν ἡμῖν ὄφελος), ὅρα τί ἐπήγαγεν· «Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου· ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω». Ἀκουέτωσαν οἱ ἐν εὐτελείᾳ ζῶντες, οἵαν ὁ βασιλεὺς καὶ πορφυρίδα περικείμενος μετάνοιαν ἐπεδείκνυτο· ἀκούσωμεν, κατανυγῶμεν. Οὐχ ἁπλῶς ἔκαμεν, ἀλλὰ καὶ ἐκοπίασε στενάζων· οὐχ ἁπλῶς ἐδάκρυσεν, ἀλλὰ καὶ ἔλουσε τὴν κλίνην, οὐ μίαν καὶ δευτέραν καὶ τρίτην ἡμέραν, ἀλλὰ καὶ καθ' ἑκάστην

---

20. Λουκᾶ κεφ. 16.
21. Ματθ. 25, 1 - 13.

χῆς των, ἀπό τὴν ὁποίαν δέν ὑπῆρχε τίποτε προτιμότερον δι' αὐτούς. «Διότι ἐὰν ἀποθάνῃ κανεὶς δὲν εἶναι δυνατὸν νὰ σὲ ἐνθυμῆται μὲ τὴν ἐλπίδα τῆς μετανοίας· εἰς τὸν Ἅδην δὲ ποῖος θὰ σὲ δοξολογήσῃ;». Πρόσεχε πόσας αἰτίας σωτηρίας ἀναφέρει. Τὸ «Ὅτι εἶμαι ἀσθενής», λέγει, τὸ «ὅτι ἐταράχθησαν τὰ ὀστᾶ μου», τὸ ὅτι αὐτὰ τὰ ζητῶ ἀπὸ τὸν Κύριον, τὸ «Ὅτι δὲν εἶναι δυνατὸν νὰ ἐνθυμῆται αὐτὸν κανεὶς ὅταν ἀποθάνῃ μὲ τὴν ἐλπίδα μετανοίας». Δὲν ἐννοεῖ αὐτὸ, ὅτι τὰ σχετικὰ μὲ ἡμᾶς σταματοῦν εἰς τὴν παροῦσαν ζωήν, μακριὰ μία τέτοια σκέψις· διότι ἐγνώριζε τὸν λόγον περὶ τῆς ἀναστάσεως· ἀλλ' ὅτι μετὰ τὴν ἀναχώρησίν μας ἀπὸ τὴν ἐδῶ ζωὴν δὲν θὰ ἠμποροῦσε νὰ ἔχῃ θέσιν ἡ μετάνοια. Καθ' ὅσον καὶ ὁ πλούσιος ἔδειχνε μετάνοιαν καὶ ἐξωμολογεῖτο, ἀλλὰ δὲν εἶχε καμμίαν ὠφέλειαν, ἐπειδὴ δὲν ἦτο κατάλληλος ὁ καιρός[20]. Καὶ αἱ παρθένοι πάλιν ἠθέλησαν νὰ λάβουν λάδι, ἀλλὰ κανεὶς δὲν τὰς ἔδωσεν[21]. Αὐτὸ λοιπὸν ζητεῖ καὶ αὐτὸς ἐδῶ, ν' ἀποπλύνῃ τὰ ἁμαρτήματά του, ὥστε ν' ἀπολαύσῃ παρρησίαν ἐμπρὸς εἰς τὸ φοβερὸν βῆμα.

Εἰς τὴν συνέχειαν διά νὰ διδάξῃ τὸν ἀκροατήν, ὅτι πρέπει μαζὶ μὲ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ νὰ ἀκολουθοῦν καὶ αὐτὰ ποὺ ἐξαρτῶνται ἀπὸ ἡμᾶς (διότι ἐὰν προβάλλωμεν τὴν ἀσθένειάν μας, τὴν ταραχήν μας, τὴν ἀγαθότητα τοῦ Θεοῦ, αὐτὸ τὸ ἴδιο ἀκριβῶς ποὺ ἔλεγεν, ἀλλὰ δὲν ὑπάρχουν μαζὶ μὲ αὐτὰ καὶ αὐτὰ ποὺ ἐξαρτῶνται ἀπὸ ἡμᾶς, δὲν ἔχομεν κανένα ὄφελος), πρόσεχε τί ἐπρόσθεσεν. «Ἀπέκαμα ἀπὸ τοὺς στεναγμούς μου, θὰ λούσω κάθε νύκτα τὴν κλίνην μου καὶ θὰ βρέξω τὸ στρῶμα μου μὲ δάκρυα». Ἂς τὰ ἀκούσουν αὐτοὶ ποὺ ζοῦν ἄσημα, ποίαν μετάνοιαν ἐδείκνυεν ἐκεῖνος ποὺ ἦτο βασιλεὺς καὶ ἐφοροῦσε τὴν πορφύραν· ἂς τὰ ἀκούσωμεν καὶ ἂς νοιώσωμεν συγκίνησιν. Δὲν ἀπέκαμεν ἁπλῶς, ἀλλὰ καὶ ἐκουράσθη ἀπὸ τοὺς στεναγμούς· δὲν ἐδάκρυσεν ἁπλῶς, ἀλλὰ καὶ ἔλουσε τὴν κλίνην του μὲ δάκρυα, ὄχι μίαν καὶ δύο

νύκτα· καὶ οὐ τὸ παρελθὸν μόνον λέγει, ἀλλὰ καὶ τὸ μέλλον. Μὴ γὰρ δὴ νομίσητε, ὅτι ταῦτα ποιήσας ἅπαξ, πρὸς ἄνεσιν ἑαυτὸν λοιπὸν ἀφῆκεν, ἀλλὰ διηνεκῶς τοῦτο πράττων διετέλει διὰ πάσης τῆς ζωῆς. Οὐ καθάπερ ἡμεῖς, οἱ μίαν ἐργαζόμενοι τοῦτο πολλάκις ἡμέραν, ἢ οὐδὲ μίαν, εἰς γέλωτα καὶ τρυφὴν καὶ ἄνεσιν ἑαυτοὺς ἐκδίδομεν. Ἀλλ' οὐκ ἐκεῖνος· ἀλλ' ἐν δάκρυσι διηνεκέσι διετέλει.

Ταύτην δὴ καὶ ἡμεῖς μιμώμεθα τὴν ἐξομολόγησιν. Εἰ γὰρ μὴ βουληθείημεν κλαῦσαι ἐνταῦθα, ἀνάγκη πάντως ἐκεῖ ὀδύρεσθαι καὶ κλαίειν· ἐκεῖ μὲν ἀνόνητα, ἐνταῦθα δὲ μετὰ κέρδους· καὶ ἐκεῖ μὲν μετ' αἰσχύνης, ἐνταῦθα δὲ μετ' εὐκοσμίας πολλῆς. Ὅτι γὰρ ἀνάγκη τοῦτο γενέσθαι, ἄκουσον τί φησιν ὁ Χριστός. «Ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων». Ἀλλ' οὐχ οἱ ἐνταῦθα κλαίοντες οὕτως· ἀλλὰ πολλῆς ἀπολαύσονται παρακλήσεως. «Μακάριοι γὰρ οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται». «Οὐαὶ ὑμῖν τοῖς πλουσίοις, ὅτι ἀπέχετε τὴν παράκλησιν ὑμῶν». Ἀκουέτωσαν οἱ τὰς ἀργυρᾶς κλίνας ἔχοντες, οἵα τοῦ βασιλέως ἦν ἡ κλίνη· οὐ λιθοκόλλητος, οὐ χρυσόπαστος, ἀλλὰ δάκρυσι λελουμένη. Τούτῳ αἱ νύκτες οὐκ ἀναπαύσεως, ἀλλὰ θρήνων καὶ ὀδυρμῶν νύκτες ἦσαν. Ἐπειδὴ ἐν ἡμέρᾳ πολλαὶ περιέσπων αὐτὸν φροντίδες, ὃν ἅπαντες ἀνέσεως ποιοῦνται καιρόν, τοῦτον ἐκεῖνος ἐξομολογήσεως ἐποιεῖτο, θερμότερον θρηνῶν τότε. Καλὸν μὲν γὰρ ἀεὶ τὸ κλαίειν, μάλιστα δὲ ἐν καιρῷ τῆς νυκτός, ὅτε οὐδεὶς ἐκκρούων τῆς θαυμαστῆς ταύτης ἡδονῆς, ἀλλ' ἔνεστιν ἐμφο-

---

22. Ματθ. 8, 12.
23. Ματθ. 5, 4.
24. Λουκᾶ 6, 24.

καὶ τρεῖς ἡμέρας, ἀλλὰ κάθε νύκτα· καὶ δὲν ὁμιλεῖ μόνον διὰ τὸ παρελθόν, ἀλλὰ διὰ τὸ μέλλον. Καὶ βέβαια μὴ νομίσετε, ὅτι αὐτὰ τὰ ἔκαμε μίαν φοράν, καὶ εἰς τὴν συνέχειαν ἄφησε τὸν ἑαυτόν του νὰ ἡσυχάση, ἀλλ' ἐσυνέχισε νὰ κάμνη αὐτὸ εἰς ὅλην τὴν ζωήν του. Ὄχι ὅπως κάμνομεν ἡμεῖς, ποὺ πολλὲς φορές, ἀφοῦ κάμωμεν αὐτὸ μίαν ἢ οὔτε μίαν, ἐν συνεχείᾳ παραδίδομεν τοὺς ἑαυτούς μας εἰς τὰ γέλια, τὰς ἀπολαύσεις τῆς ζωῆς καὶ εἰς τὴν ἄνεσιν. Ὅμως ἐκεῖνος δὲν ἐνεργοῦσεν ἔτσι, ἀλλ' ἐπερνοῦσεν ὅλην τὴν ζωήν του μὲ δάκρυα.

Αὐτὴν λοιπὸν τὴν ἐξομολόγησιν ἂς μιμώμεθα καὶ ἡμεῖς. Διότι ἐὰν δὲν θελήσωμεν νὰ κλαύσωμεν ἐδῶ, ὁπωσδήποτε εἴμεθα ἀναγκασμένοι νὰ θρηνοῦμεν καὶ νὰ κλαίωμεν ἐκεῖ· ἐκεῖ μὲν χωρὶς καμμίαν ὠφέλειαν, ἐνῷ ἐδῶ μὲ κέρδος· καὶ ἐκεῖ μὲν μὲ ἐντροπήν, ἐνῷ ἐδῶ μὲ πολλὴν κοσμιότητα. Τὸ ὅτι βέβαια αὐτὸ θὰ συμβῇ κατ' ἀνάγκην, ἄκουσε τί λέγει ὁ Χριστός. «Ἐκεῖ θὰ ὑπάρχῃ τὸ κλάμα καὶ τὸ τρίξιμον τῶν δοντιῶν»[22]. Ὅμως δὲν θὰ τὰ πάθουν αὐτὰ αὐτοὶ ποὺ κλαίουν ἐδῶ, ἀλλὰ θ' ἀπολαύσουν πολλὴν παρηγορίαν ἐκεῖ. Διότι λέγει «Μακάριοι εἶναι αὐτοὶ ποὺ πενθοῦν, διότι αὐτοὶ θὰ παρηγορηθοῦν»[23]. «Ἀλλοίμονον εἰς ἐσᾶς τοὺς πλουσίους, διότι ἔχετε τὴν παρηγορίαν σας»[24]. Ἂς ἀκούσουν αὐτοί, ποὺ ἔχουν τὰ ἀσημένια κρεββάτια, ποῖον ἦτο τὸ κρεββάτι τοῦ βασιλέως· δὲν ἦτο στολισμένον μὲ πολυτίμους λίθους καὶ χρυσοστόλιστον, ἀλλὰ λουσμένον μὲ δάκρυα. Αἱ νύκτες δι' αὐτὸν δὲν ἦσαν νύκτες ἀναπαύσεως, ἀλλ' ἦσαν νύκτες θρήνων καὶ ὀδυρμῶν. Ἐπειδὴ τὴν ἡμέραν τὸν ἀποσποῦσαν πολλαὶ φροντίδες, τὸν χρόνον ποὺ ὅλοι οἱ ἄνθρωποι τὸ χρησιμοποιοῦν δι' ἀνάπαυσιν, αὐτὸν ἐκεῖνος τὸν μετέβαλλεν εἰς χρόνον ἐξομολογήσεως, καὶ ἐθρηνοῦσε τότε πολὺ πιὸ θερμά. Βέβαια εἶναι τὸ κλάμα πάντοτε καλόν, πολὺ περισσότερον ὅμως κατὰ τὴν διάρκειαν τῆς νυκτός, ὅταν κανεὶς δὲν σὲ ἀποσπᾷ ἀπὸ τὴν θαυμαστὴν αὐτὴν ἡδονήν, ἀλλ' εἶναι δυνατὸν

ρηθῆναι τῷ βουλομένῳ μετὰ πάσης ἀδείας. Ἴσασιν οἱ πεῖραν λαβόντες ὃ λέγω, ὅσην εὐφροσύνην ἔχουσιν αὗται τῶν δακρύων αἱ πηγαί. Ταῦτα τὰ δάκρυα τὸ ἄσβεστον πῦρ σβέσαι δύνανται, τὸν ποταμὸν ἐκεῖνον τὸν πρὸ τοῦ βήματος ἑλκόμενον. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἐδάκρυε τριετίαν νύκτα καὶ ἡμέραν, τὰ ἀλλότρια διορθούμενος πάθη· ἡμεῖς δὲ οὐδὲ τὰ οἰκεῖα, ἀλλὰ γέλωτι καὶ τρυφῇ ἑαυτοὺς ἐκδιδόντες τὴν νύκτα κάρῳ βαθεῖ καταχωννύμεθα. Καὶ οἱ μὲν ὕπνῳ θανάτῳ προσεοικότι προσήλωνται· οἱ δὲ ἀγρυπνίαν θανάτου χαλεπωτέραν ἀγρυπνοῦσι, τόκους καὶ δανείσματα καὶ τὰς ἑτέρων ἀναλογιζόμενοι κατ' ἐκεῖνον τὸν καιρὸν ἐπιβουλάς.

Ἀλλ' οὐχ οἱ νήφοντες, ἀλλὰ τὰς ἑαυτῶν γεωργοῦσι ψυχάς, ὥσπερ ὑετῷ τοῖς δάκρυσι κεχρημένοι τούτοις, καὶ τὰ σπέρματα τῆς ἀρετῆς αὔξοντες. Πάσῃ κακίᾳ καὶ ἀσελγείᾳ ἄβατός ἐστιν εὐνὴ τοιαῦτα δάκρυα δεχομένη. Ὁ τὰ τοιαῦτα δάκρυα σταλάζων, οὐδὲν ἡγεῖται τὰ ἐπὶ τῆς γῆς, ἀλλὰ πάσης πολιορκίας ἀπαλλάττει τὴν ψυχήν, τοῦ ἡλίου λαμπροτέραν καθίστησι τὴν διάνοιαν. Καὶ μή με νομίσητε πρὸς μοναχοὺς ταῦτα λέγειν μόνον· καὶ γὰρ πρὸς βιωτικοὺς ἡ παραίνεσις, καὶ πρὸς τούτους μᾶλλον, ἢ ἐκείνους· οὗτοι γὰρ μάλιστα οἱ δεόμενοι τῶν τῆς μετανοίας φαρμάκων. Ὁ τοιαῦτα θρηνῶν, ἀναστήσεται λιμένος γαληνοῦ τὴν ψυχὴν ἄμεινον ἔχων, πάντα ἐκβάλλων τὰ πάθη· πολλῆς πεπληρωμένος τῆς εὐφροσύνης εἰς οἶκον Θεοῦ μετὰ παρρησίας ἀπαντήσεται ὁ τοιοῦτος· τῷ πλησίον μεθ' ἡδονῆς διαλέξεται· οὐ θυμὸς γὰρ ἐνδομυχεῖ,

25. Πράξ. 20, 31.

εἰς ἐκεῖνον ποὺ θέλει νὰ τὴν ἀπολαύσῃ μὲ ὅλην τὴν ἄνεσίν του. Τὸ γνωρίζουν πολὺ καλὰ αὐτὸ ποὺ λέγω ὅσοι τὸ ἐδοκίμασαν, πόσην δηλαδὴ εὐφροσύνην ἔχουν αὐταὶ αἱ πηγαὶ τῶν δακρύων. Αὐτὰ τὰ δάκρυα ἠμποροῦν νὰ σβήσουν τὸ ἄσβεστον πῦρ, τὸν ποταμὸν ἐκεῖνον ποὺ τρέχει ἔμπροσθεν τοῦ βήματος τῆς κρίσεως. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔκλαιε τρία χρόνια νύκτα καὶ ἡμέραν, διορθώνων τὰ ξένα πάθη[25], ἡμεῖς ὅμως δὲν κλαίομεν οὔτε διὰ νὰ διορθώσωμεν τὰ ἰδικά μας πάθη, ἀλλὰ παραδίδοντες τοὺς ἑαυτούς μας εἰς τὰ γέλια καὶ τὰς ἀπολαύσεις, καταβυθιζόμεθα τὴν νύκτα εἰς ὕπνον βαθύν. Καὶ ἄλλοι μὲν βυθίζονται εἰς ὕπνον ποὺ ὁμοιάζει μὲ θάνατον, ἄλλοι δὲ περνοῦν τὴν νύκτα των μὲ ἀγρυπνίαν ποὺ εἶναι φοβερωτέρα ἀπὸ τὸν θάνατον, σκεπτόμενοι κατὰ τὴν ὥρα ἐκείνην τόκους καὶ δάνεια καὶ σχέδια ἐπίβουλα ἐναντίον τῶν ἄλλων.

Ἀλλ' ὅμως δὲν περνοῦν τὴν νύκτα των ἔτσι οἱ σώφρονες ἄνθρωποι ἀλλὰ καλλιεργοῦν τὰς ψυχάς των, χρησιμοποιοῦντες αὐτὰ τὰ δάκρυα ὡσὰν βροχὴν καὶ αὐξάνοντες τὰ σπέρματα τῆς ἀρετῆς. Ἡ κλίνη ποὺ δέχεται τέτοια δάκρυα εἶναι ἀδιάβατος ἀπὸ κάθε κακίαν καὶ ἀσέλγειαν. Ἐκεῖνος ποὺ χύνει τέτοια δάκρυα δὲν δίδει καμμίαν σημασίαν εἰς τὰ γήϊνα, ἀλλ' ἀπαλλάσσει τὴν ψυχήν του ἀπὸ κάθε πολιορκίαν καὶ καθιστᾷ τὴν σκέψιν του λαμπροτέραν καὶ ἀπὸ τὸν ἥλιον. Καὶ μὴ νομίσετε ὅτι αὐτὰ τὰ λέγω μόνον διὰ τοὺς μοναχούς, καθ' ὅσον ἡ συμβουλὴ ἀπευθύνεται πρὸς κοσμικοὺς καὶ περισσότερον πρὸς αὐτούς, παρὰ πρὸς τοὺς μοναχούς, διότι αὐτοὶ πρὸ πάντων ἔχουν ἀνάγκην τῶν φαρμάκων τῆς μετανοίας. Ἐκεῖνος ποὺ θρηνεῖ κατ' αὐτὸν τὸν τρόπον, θὰ σηκωθῇ ἔχων τὴν ψυχήν του καλλυτέραν ἀπὸ γαλήνιον λιμάνι, ἀπομακρύνων ὅλα τὰ πάθη· γεμᾶτος ἀπὸ πολλὴν εὐφροσύνην ὁ ἄνθρωπος αὐτὸς θὰ ἐμφανισθῇ μὲ παρρησίαν εἰς τὸν οἶκον τοῦ Θεοῦ, θὰ συνομιλήσῃ μὲ τὸν πλησίον του γεμᾶτος ἀπὸ χαράν· καθ' ὅσον θυμὸς δὲν φωλιάζει μέσα του, οὔτε ἐπιθυμία

οὐκ ἐπιθυμία φλέγει, οὐκ ἔρως χρημάτων, οὐ φθόνος, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. Πάντα γὰρ ταῦτα, καθάπερ θηρία ἐμφωλεύοντα, καταδῦναι διὰ τῆς νυκτὸς ὁ στεναγμὸς ἐκεῖνος καὶ τὰ δάκρυα παρεσκεύασεν. «Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου». Εἶδες ψυχὴν συντετριμμένην; Εἰπὼν τὴν μετάνοιαν, λέγει πάλιν τὰ πάθη, τὸν θόρυβον τὸν ἐν τῇ διανοίᾳ, τὸν φόβον τὸν ἀπὸ τῆς ὀργῆς τοῦ Θεοῦ ἐγγινόμενον.

5. Ὀφθαλμὸν γὰρ ἐνταῦθα τὸν τῆς ψυχῆς φησι, τὸ διορατικὸν ἐκεῖνο καὶ λογικόν, ὅπερ ἡ ἔννοια τῶν οἰκείων ἁμαρτημάτων ταράττειν εἴωθεν. Ἐπειδὴ γὰρ διὰ παντὸς πρὸ τῶν ὀφθαλμῶν εἶχε τὰ πλημμελήματα, καὶ τοῦ Θεοῦ τὴν ὀργὴν ἀνελογίζετο, ἐν φόβῳ ὤν, οὐκ ἀναλγήτως ζῶν, καθάπερ καὶ οἱ πολλοί, ἀλλὰ ἀγωνιῶν καὶ τρέμων. Ἡ τοιαύτη ταραχὴ γαλήνης μήτηρ ἐστίν· ὁ τοιοῦτος φόβος ἀδείας ὑπόθεσις. Ὁ οὕτω τεταραγμένος πάντα χειμῶνα ἐκβάλλει· ὁ τοιαύτην οὐκ ἔχων τὴν ψυχὴν χαλεπὸν κλυδώνιον ὑποστήσεται. Καὶ ὥσπερ πλοῖον ἀνερμάτιστον τῇ τῶν ἀγρίων πνευμάτων ἐκδοθὲν ῥύμῃ, ταχέως καταποντίζεται, οὕτω καὶ ψυχὴ ἀναλγήτως ζῶσα, μυρίοις πρόκειται πάθεσι. Διὸ καὶ ὁ μακάριος Παῦλος τοῦτο τὸ πάθος ἐνδεικνύμενος, ἔλεγεν «Οἵτινες ἀπηλγηκότες ἑαυτοὺς παρέδωκαν τῇ ἀσελγείᾳ εἰς ἐργασίαν ἀκαθαρσίας πάσης ἐν πλεονεξίᾳ». Καὶ καθάπερ κυβερνήτης, ἕως ἂν ταῖς φροντίσι ταῖς ὑπὲρ τῶν πλεόντων ταράττηται, πάντας ἐν γαλήνῃ καθίστησιν, ἂν δὲ ταύτης ἀπαλλαγεὶς καθεύδῃ, ταραχὴν ἐπάγει μεγάλην, οὕτω δὴ καὶ ὁ ἄνθρωπος· ὁ μὲν ἀγωνιῶν καὶ τρέμων καὶ ταραττόμενος, ἐν ἡσυχίᾳ τὴν ἑαυτοῦ καθίστησι διάνοιαν· ὁ δὲ ὕπνῳ τῆς ῥαθυμίας ἑαυτὸν παραδούς, ὑποβρύχιον τὸ σκάφος ἐργάζεται.

26. Ἐφ. 4, 19.

τὸν κατακαίει, οὔτε ἔρωτας χρημάτων, οὔτε φθόνος, οὔτε τίποτε ἄλλο παρόμοιον. Διότι ὅλα αὐτά, ποὺ φωλιάζουν ὡσὰν θηρία, ὁ ὁλονύκτιος ἐκεῖνος στεναγμὸς καὶ τὰ δάκρυα τὰ κατεπόντισαν. «Ἐπόνεσαν οἱ ὀφθαλμοί μου ἀπὸ τὰ δάκρυά μου ἐξ αἰτίας τοῦ θυμοῦ σου». Εἶδες ψυχὴν συντετριμμένην; Ἀφοῦ περιέγραψε τὴν μετάνοιαν, ὁμιλεῖ πάλιν διὰ τὰ πάθη, διὰ τὴν ταραχὴν τῆς διανοίας, διὰ τὸν φόβον ποὺ προκαλεῖται ἐξ αἰτίας τῆς ὀργῆς τοῦ Θεοῦ.

5. Ὀφθαλμὸν βέβαια ἐδῶ ἐννοεῖ τὸν ὀφθαλμὸν τῆς ψυχῆς, τὸ διορατικὸν ἐκεῖνο καὶ λογικὸν μέρος τῆς ψυχῆς, ποὺ συνήθως τὸ συνταράσσει ἡ σκέψις τῶν ἁμαρτημάτων μας. Διότι, ἐπειδὴ συνεχῶς εἶχε τὰ πλημμελήματά του πρὸ τῶν ὀφθαλμῶν του, καὶ ἐσκέπτετο τὴν ὀργὴν τοῦ Θεοῦ, κυριευμένος ἀπὸ φόβον, δὲν ἔζη ἀναίσθητα, ὅπως ἀκριβῶς οἱ περισσότεροι, ἀλλὰ μὲ ἀγωνίαν καὶ τρόμον. Ἡ ταραχὴ αὐτοῦ τοῦ εἴδους εἶναι μητέρα τῆς γαλήνης· ὁ παρόμοιος φόβος γίνεται αἰτία ἀσφαλείας. Αὐτὸς ποὺ εἶναι ἔτσι ταραγμένος, ἀπομακρύνει κάθε βαρυχειμωνιάν· ἐνῷ ἐκεῖνος ποὺ δὲν ἔχει τὴν ψυχὴν τέτοιαν θὰ ὑποστῇ φοβερὰν συμφοράν. Καὶ ὅπως ἀκριβῶς πλοῖον ἀκυβέρνητον, ποὺ εἶναι παραδομένον εἰς τὴν ὁρμὴν τῶν ἀγρίων ἀνέμων, ἀμέσως καταποντίζεται, ἔτσι καὶ ψυχὴ ποὺ ζῇ ἀναίσθητα, εἶναι ἐκτεθειμένη εἰς ἀμέτρητα πάθη. Διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος διὰ νὰ δείξῃ αὐτὸ τὸ πάθος, ἔλεγεν· «Αὐτοὶ ζῶντες ἀναίσθητα, παρέδωσαν τοὺς ἑαυτούς των εἰς τὴν ἀσέλγειαν, διὰ νὰ πράξουν ἀχόρταγα κάθε ἀκαθαρσίαν»[26]. Καὶ ὅπως ἀκριβῶς κυβερνήτης, ἐν ὅσῳ εἶναι ἀπορροφημένος ἀπὸ τὰς φροντίδας διὰ τοὺς ταξιδιώτας, ὅλους τοὺς καθησυχάζει, ἂν ὅμως, ἀπαλλαγεὶς ἀπὸ αὐτὴν τὴν φροντίδα, κοιμᾶται, δημιουργεῖ μεγάλην ἀνησυχίαν, ἔτσι λοιπὸν καὶ ὁ ἄνθρωπος· ἐκεῖνος μὲν ποὺ εἶναι κυριευμένος ἀπὸ ἀγωνίαν καὶ τρόμον καὶ ταραχήν, καθιστᾷ τὴν σκέψιν του ἥσυχον, ἐνῷ ἐκεῖνος ποὺ παρέδωσε τὸν ἑαυτόν του εἰς τὸν ὕπνον τῆς ἀδιαφορίας, ὁδηγεῖ τὸ σκάφος εἰς τὸν καταποντισμόν.

«Ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου». Τί ἐστιν, «Ἐπαλαιώθην»; Ἠσθένησα, φησίν, ὑπὸ τῶν ἐχθρῶν μου. Καὶ γὰρ ἐναγώνιος ἡμῶν ὁ βίος, καὶ μυρίων ἐχθρῶν ἡ ζωὴ ἡμῖν ἐμπέπλησται, οἵτινες καὶ ἰσχυρότεροι γίνονται, ἐπειδὰν ἁμαρτήμασι περιπέσωμεν. Διὸ πάντα χρὴ ποιεῖν, ὥστε διαφυγεῖν αὐτῶν τὰς λαβάς καὶ μηδέποτε πρὸς αὐτοὺς καταλλάττεσθαι· αὕτη γὰρ ἡμῖν μεγίστης ἀσφαλείας ὑπόθεσις. Τούτων τῶν ἐχθρῶν τὴν φάλαγγα δηλῶν ὁ Παῦλος, ἔλεγεν· «Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου». Ἐπεὶ οὖν τοιαύτη ἡ τῶν πολεμίων φάλαγξ, ἀεὶ καὶ διηνεκῶς ὁπλίζεσθαι χρή, καὶ φεύγειν τῶν ἁμαρτημάτων τὰς ἐφόδους. Οὐδὲν γὰρ οὕτω παλαιοῦν εἴωθεν, ὡς ἁμαρτίας φύσις. Διόπερ καὶ ὁ Παῦλος τὴν ἐντεῦθεν παλαίωσιν γινομένην ἀποτρίβεσθαι κελεύων, ἔλεγε· «Μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθε τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν». Ὅταν οὖν ὑπὸ τῆς ἁμαρτίας παλαιωθῇς, ὑπὸ τῆς μετανοίας ἀνακαίνισον σαυτόν.

«Ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ὅτι εἰσήκουσε Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου. Ἤκουσε Κύριος τῆς δεήσεώς μου, Κύριος τὴν προσευχήν μου προσεδέξατο». Οὐ μικρὰ καὶ αὕτη ὁδὸς εἰς ἀρετὴν ἄγουσα, τὸ φεύγειν τοὺς πονηρούς. Ὅπερ μετὰ τοσαύτης ὑπερβολῆς καὶ ὁ Χριστὸς ἀπαιτεῖ παρ' ἡμῶν, ὡς τοὺς ἐν τάξει μελῶν ἡμῖν ἀναγκαιοτάτων ὄντας φίλους κελεύειν ἐκκόπτειν, ὅταν ἡμᾶς σκανδαλίζωσι, καὶ βλάβην τινὰ ἡμῖν αὐτῶν ἡ συνουσία φέρῃ. «Ἐὰν» γάρ,

---
27. Ἐφ. 6, 12.
28. Ρωμ. 12, 2.

«Κατήντησα νὰ περιφρονοῦμαι ἀπὸ τοὺς ἐχθρούς μου ὡσὰν παλαιὸν ἔνδυμα». Τί σημαίνει, «Ἐπαλαιώθην»; Ἠσθένησα, λέγει, ἐξ αἰτίας τῶν ἐχθρῶν μου. Καθ' ὅσον ἡ ζωή μας εἶναι ἀγωνιώδης καὶ εἶναι γεμάτη ἀπὸ ἀμετρήτους ἐχθρούς, καὶ ποὺ γίνονται ἰσχυρότεροι, ὅταν ὑποπέσωμεν εἰς ἁμαρτήματα. Διὰ τοῦτο πρέπει νὰ κάμνωμεν τὰ πάντα, ὥστε ν' ἀποφύγωμεν τὴν σύλληψιν ἀπὸ αὐτοὺς καὶ ποτὲ νὰ μὴ συμφιλιωνώμεθα μὲ αὐτούς· διότι αὐτὸ γίνεται δι' ἡμᾶς ἀφορμὴ πάρα πολὺ μεγάλης ἀσφαλείας. Αὐτῶν τῶν ἐχθρῶν τὴν φάλαγγα διὰ νὰ δηλώσῃ ὁ Παῦλος, ἔλεγε· «Δὲν διεξάγομεν πάλην μὲ αἷμα καὶ σάρκα, ἀλλὰ μὲ τὰς ἀρχάς, μὲ τὰς ἐξουσίας, μὲ τοὺς κοσμοκράτορας τοῦ σκότους αὐτοῦ τοῦ κόσμου»[27]. Ἐπειδὴ λοιπὸν εἶναι τέτοια τῶν ἐχθρῶν ἡ φάλαγγα, πρέπει νὰ ὁπλιζώμεθα πάντοτε καὶ διαρκῶς καὶ ν' ἀποφεύγωμεν τὰς ἐφόδους τῶν ἁμαρτημάτων. Διότι τίποτε συνήθως δὲν μᾶς καθιστᾷ τόσον πολὺ ἀσθενεῖς, ὅσον ἡ φύσις τῆς ἁμαρτίας. Διὰ τοῦτο ἀκριβῶς καὶ ὁ Παῦλος προτρέπων ν' ἀποβάλλωμεν τὴν παλαίωσιν ποὺ προέρχεται ἀπὸ τὴν ἁμαρτίαν, ἔλεγε· «Μὴ συμμορφώνεσθε μὲ τὸ πνεῦμα αὐτοῦ τοῦ κόσμου, ἀλλὰ νὰ μεταμορφώνεσθε διὰ τῆς ἀνακαινίσεως τοῦ πνεύματός σας»[28]. Ὅταν λοιπὸν παλαιωθῇς ὑπὸ τῆς ἁμαρτίας, ἀνακαίνισε τὸν ἑαυτόν σου μὲ τὴν μετάνοιαν.

«Φύγετε μακριὰ ἀπὸ ἐμένα ὅλοι ὅσοι πράττετε τὴν ἀνομίαν, διότι εἰσήκουσεν ὁ Κύριος τὴν φωνήν μου τὴν γεμάτην μὲ δάκρυα. Εἰσήκουσεν ὁ Κύριος τὴν παράκλησίν μου, ἐδέχθη ὁ Κύριος τὴν προσευχήν μου». Δὲν εἶναι καὶ αὐτὴ μικρὰ ὁδὸς ποὺ ὁδηγεῖ εἰς τὴν ἀρετήν, τὸ ν' ἀποφεύγωμεν δηλαδὴ τοὺς πονηρούς, πρᾶγμα ποὺ τόσον πολὺ ἀπαιτεῖ ὁ Χριστὸς ἀπὸ ἡμᾶς, ὥστε νὰ δίδη ἐντολὴν νὰ διακόπτωμεν σχέσιν μὲ τοὺς πάρα πολὺ στενοὺς φίλους μας ποὺ ἐπέχουν τὴν θέσιν τῶν μελῶν τοῦ σώματός μας, ὅταν μᾶς σκανδαλίζουν καὶ μᾶς προξενεῖ ἡ συναναστροφή των κάποιαν βλάβην. Διότι, λέγει, «Ἐὰν ὁ ὀφθαλμός

φησίν, «ὁ ὀφθαλμός σου σκανδαλίζῃ σε, ἔξελε αὐτόν· καὶ ἐὰν ἡ χείρ σου σκανδαλίζῃ σε, ἔκκοψον αὐτήν, καὶ βάλε ἀπὸ σοῦ»· οὐ περὶ μελῶν λέγων, ἄπαγε, ἀλλὰ περὶ φίλων γνησίων, ὧν δεῖ τὰς φιλίας ἀτιμάζειν, ὅταν μήτε αὐτοῖς κέρδος, μήτε ἡμῖν γίνηται, ἀλλὰ βλάβη. Ταύτην δὴ τὴν ἀρετὴν κατορθώσας καὶ οὗτος οὐ μόνον οὐκ ἐδίωκε τὰς τοιαύτας συνουσίας, ἀλλὰ καὶ παρεκελεύετο τούτοις ἀποπηδᾶν ἑαυτοῦ.

6. Οὗτος τῆς μετανοίας ὁ καρπός, τοῦτο τῶν δακρύων τὸ κέρδος. Ἡ γὰρ οὕτω συντριβεῖσα διάνοια, οὐδεμιᾷ λοιπὸν προσπαθείᾳ κατέχεται. Τοῦτο δὴ καὶ ἡμεῖς ποιῶμεν· κἂν αὐτὸ διάδημα ᾖ τις περικείμενος, βλάπτῃ δὲ ἡμᾶς, ἀτιμάζωμεν αὐτοῦ τὴν φιλίαν. Οὐδὲν γὰρ εὐτελέστερον ἀνδρός, καὶ βασιλεύοντος, ὅταν κακίᾳ συζῇ· ὥσπερ οὐδὲν βασιλικώτερον καὶ δεσμώτου, ὅταν ἀρετὴν ᾖ κεκτημένος. «Ὅτι εἰσήκουσε Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου». Οὐκ εἶπεν, ὅτι εἰσήκουσε τῆς φωνῆς μου, ἁπλῶς, ἀλλά, «Τῆς φωνῆς τοῦ κλαυθμοῦ μου». Ὁρᾷς πῶς καὶ τὰ παρ᾽ ἑαυτοῦ μετὰ πολλῆς εἰσάγει τῆς δαψιλείας, καὶ φωνήν, καὶ κλαυθμόν, φωνὴν ἐνταῦθα οὐ τὸν τόνον λέγων τῆς κραυγῆς, ἀλλὰ τὴν διάθεσιν τῆς διανοίας, καὶ κλαυθμὸν οὐ τὸν ἀπὸ τῶν ὀφθαλμῶν μόνον, ἀλλὰ καὶ τὸν ἀπὸ τῆς ψυχῆς; Ὁ γὰρ μετάνοιαν εἰσάγων, καὶ παρὰ τοῦ Θεοῦ ἀκουόμενος, εὐκόλως καὶ τοῦτο δύναται κατορθῶσαι τὸ ἀγαθόν, τὸ διακρούεσθαι τῶν πονηρῶν τὰς συνουσίας.

«Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν πάντες οἱ ἐχθροί μου. Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθήτωσαν σφόδρα διὰ τάχους». Αὕτη ἡ εὐχὴ μεγίστην ὠφέλειαν, τό τε αἰσχυνθῆναι λέγω, καὶ τὸ εἰς τοὐπίσω ἀπελθεῖν. Οἱ γὰρ κακῶς

---

29. Ματθ. 5, 29 - 30.

σου σὲ σκανδαλίζῃ, βγάλε τον· καὶ ἐὰν τὸ χέρι σου σὲ σκανδαλίζῃ, κόψε το καὶ ρίψε το μακριά σου»[29]· καὶ βέβαια δὲν ὁμιλεῖ διὰ μέλη, μακριὰ μία τέτοια σκέψις, ἀλλὰ διὰ τοὺς γνησίους φίλους, τῶν ὁποίων τὴν φιλίαν πρέπει νὰ περιφρονοῦμεν, ὅταν δὲν προκύπτῃ κέρδος οὔτε εἰς αὐτοὺς οὔτε εἰς ἡμᾶς, ἀλλὰ βλάβη. Αὐτὴν λοιπὸν τὴν ἀρετὴν ἀφοῦ κατώρθωσε καὶ αὐτός, ὄχι μόνον δὲν ἐπεδίωκε τὰς συναναστροφὰς αὐτοῦ τοῦ εἴδους, ἀλλὰ καὶ διέτασσεν αὐτοὺς ν᾽ ἀπομακρύνωνται ἀπὸ κοντά του.

6. Αὐτὸς εἶναι ὁ καρπὸς τῆς μετανοίας, αὐτὸ τὸ κέρδος τῶν δακρύων. Διότι ἡ ψυχὴ ποὺ ἐδοκίμασε τόσην συντριβὴν δὲν κατέχεται ἀπὸ καμμίαν πλέον προσπάθειαν. Αὐτὸ λοιπὸν ἂς κάμνωμεν καὶ ἡμεῖς. Καὶ ἂν ἀκόμη αὐτὸς εἶναι κάποιος ποὺ φορεῖ βασιλικὸν στέμμα, ἀλλὰ μᾶς βλάπτει, ἂς περιφρονοῦμεν τὴν φιλίαν του. Διότι δὲν ὑπάρχει τίποτε πιὸ ἀσήμαντον ἀπὸ ἕνα ἄνδρα, καὶ μάλιστα βασιλέα, ὅταν συζῇ μὲ τὴν κακίαν, ὅπως πάλιν δὲν ὑπάρχει τίποτε βασιλικώτερον καὶ ἀπὸ τὸν φυλακισμένον ἀκόμη, ὅταν αὐτὸς εἶναι ἐνάρετος. «Διότι εἰσήκουσεν ὁ Κύριος τὴν γεμάτην ἀπὸ δάκρυα φωνήν μου». Δὲν εἶπεν ἁπλῶς, 'ὅτι εἰσήκουσε τῆς φωνῆς μου', ἀλλὰ «τὴν φωνὴν τὴν γεμάτην ἀπὸ τὰ δάκρυά μου». Βλέπεις πῶς παρουσιάζει μὲ ἀφθονίαν καὶ αὐτὰ ποὺ ἐξαρτῶνται ἀπὸ τὸν ἴδιον, καὶ τὴν φωνήν, καὶ τὰ δάκρυα, ἐννοῶν ἐδῶ ὡς φωνὴν ὄχι τὴν ἔντασιν τῆς κραυγῆς, ἀλλὰ τὴν διάθεσιν τῆς ψυχῆς, καὶ κλαυθμὸν ὄχι μόνον τὰ δάκρυα τῶν ὀφθαλμῶν ἀλλὰ καὶ τὰ δάκρυα τῆς ψυχῆς; Διότι ἐκεῖνος ποὺ μετανοεῖ καὶ εἰσακούεται ἀπὸ τὸν Θεόν, εὔκολα ἠμπορεῖ νὰ κατορθώσῃ καὶ αὐτὸ τὸ ἀγαθόν, τὸ ν᾽ ἀποφύγῃ δηλαδὴ τὰς συναναστροφὰς μὲ τοὺς κακούς.

«Ἂς κυριευθοῦν ἀπὸ αἰσχύνην καὶ ἂς νοιώσουν ἐντροπὴν ὅλοι οἱ ἐχθροί μου. Ἂς ὑποχωρήσουν νικημένοι καὶ ἂς κατεντροπιασθοῦν πολὺ γρήγορα». Αὐτὴ ἡ εὐχὴ περιέχει μεγάλην ὠφέλειαν, ἐννοῶ καὶ τὸ νὰ κατεντρο-

τρέχοντες, εἰ καταισχυνθεῖεν, καὶ εἰς τὰ ὀπίσω ἀπέλθοιεν, στήσονται τῆς πονηρίας. Ὥσπερ γὰρ εἰ ἄνθρωπον ἴδωμεν κατὰ κρημνοῦ φερόμενον, ἀναχαιτίζομεν αὐτὸν τῆς προσωτέρω φορᾶς, λέγοντες, 'ἄνθρωπε, ποῦ φέρῃ; κρημνὸς ἔμπροσθεν ἀπαντήσεται', οὕτω δὴ καὶ οὗτος ἀξιοῖ τοὺς κακοὺς πάλιν εἰς τοὐπίσω ἀναδραμεῖν. Οὕτω καὶ ἵππον μαινόμενον ἂν μὴ ταχέως τις ἀνακρούσηται, ταχέως ἀπολεῖται. Οὕτω καὶ ἰατροὶ ἰὸν ἑρπετοῦ τινος πολλάκις ἐπινεμόμενον ἅπαν τὸ σῶμα μετὰ πολλοῦ τοῦ τάχους τῆς προσωτέρω φορᾶς ἱστῶσιν, ἐγκόπτοντες αὐτοῦ τὴν κακίαν. Τοῦτο δὴ καὶ ἡμεῖς ποιῶμεν, καὶ τὴν ἐν ἡμῖν κακίαν ἀναστέλλωμεν μετὰ πολλοῦ τοῦ τάχους, ἵνα μὴ προϊοῦσα αὔξῃ τὴν νόσον. Καὶ γὰρ ἀμελούμενα, μείζονα γίνεται τῶν ἁμαρτημάτων τὰ τραύματα, καὶ οὐ μέχρι τραυμάτων ἵσταται τὰ τῆς νόσου καὶ τῆς ἀρρωστίας, ἀλλὰ καὶ θάνατον τίκτει τὸν ἀθάνατον, ὥσπερ ἂν ἐξ ἀρχῆς καὶ τὰ μικρὰ ἀνέλωμεν, οὐδὲ τὰ μεγάλα ἕψεται. Σκόπει δέ. Ὁ μελετήσας μὴ ὑβρίζειν, οὐδὲ μάχεσθαι εἴσεται· ὁ μὴ εἰδὼς μάχεσθαι, καὶ τὸ φιλεῖν κατορθώσει· ὁ κατορθώσας τὸ φιλεῖν, ἐχθρὸν οὐχ ἕξει· ὁ δὲ ἐχθρὸν οὐκ ἔχων, ἀλλὰ τὴν ἀγάπην ἐπιδεικνύμενος, ἅπασαν κατορθώσει τὴν ἀρετήν.

Μὴ δὴ τῶν προτέρων ἀμελῶμεν, ἵνα μὴ πρὸς τὸ μεῖζον αἴρηται τὰ κακά. Ὁ Ἰούδας, εἰ τὸ χρημάτων ἐρᾶν ἐκόλασεν, οὐκ ἂν εἰς ἱεροσυλίαν ἦλθε· ταύτην εἰ κατέσχεν, οὐκ ἂν εἰς τὸν κολοφῶνα τῶν κακῶν ἐξεπήδησε. Διὰ τοῦτο καὶ ὁ Χριστὸς οὐ τὴν πορνείαν μόνον, οὐδὲ τὴν μοιχείαν, ἀλλὰ καὶ τὴν ἀκόλαστον ὄψιν ἀναστέλλει, τὴν ῥίζαν κάτωθεν ἀνασπῶν, ὥσ-

30. Ματθ. 5, 28.

πιασθοῦν καὶ νὰ ὑποχωρήσουν νικημένοι. Διότι ἐκεῖνοι πού τρέχουν διὰ νὰ κάμουν κακόν, ἐὰν συνέβαινε νὰ κατεντροπιασθοῦν καὶ νὰ γυρίσουν πίσω, θὰ σταματήσουν τὴν κακίαν των. Ὅπως ἀκριβῶς δηλαδὴ ἐὰν ἰδοῦμεν ἄνθρωπον νὰ τρέχῃ πρὸς γκρεμόν, ἀνακόπτομεν τὴν περαιτέρω ὁρμήν του, λέγοντες, 'ἄνθρωπε, ποῦ τρέχεις; ἐμπρός σου εὑρίσκεται γκρεμός', ἔτσι λοιπὸν καὶ αὐτὸς ζητεῖ νὰ ἐπιστρέψουν καὶ πάλιν οἱ κακοὶ ὀπίσω. Ἔτσι καὶ ἵππον ἀφηνιασμένον, ἐὰν κανεὶς δὲν τὸν ἀναχαιτίσῃ ἐγκαίρως, γρήγορα θὰ καταστραφῇ. Κατὰ τὸν ἴδιον τρόπον καὶ ἰατροί, πολλὲς φορὲς τὸ δηλητήριον κάποιου ἑρπετοῦ, ὅταν ἐξαπλοῦται εἰς ὁλόκληρον τὸ σῶμα, σταματοῦν μὲ μεγάλην ταχύτητα τὴν περαιτέρω ἐξάπλωσίν του, ἀποκόπτοντες τὸ μέρος πού προσεβλήθη. Αὐτὸ λοιπὸν ἄς κάμνωμεν καὶ ἡμεῖς καὶ ἄς ἀποκόπτωμεν μὲ πολλὴν ταχύτητα τὴν ὑπάρχουσαν μέσα μας κακίαν, διὰ νὰ μὴ προχωρήσῃ καὶ αὐξήσῃ τὴν ἀσθένειαν. Καθ' ὅσον ὅταν παραμεληθοῦν γίνονται μεγαλύτερα τὰ τραύματα τῶν ἁμαρτημάτων, καὶ δὲν σταματοῦν μέχρι τὰ τραύματα αἱ συνέπειαι τῆς ἀσθενείας καὶ τῆς ἀρρωστίας, ἀλλὰ καὶ γεννοῦν τὸν θάνατον, ὅπως πάλιν, ἄν ἀπὸ τὴν ἀρχὴν ἐξαλείψωμεν τὰ μικρά, δὲν θὰ ἀκολουθήσουν τὰ μεγάλα. Πρόσεχε δέ. Ἐκεῖνος πού φροντίζει νὰ μὴ ὑβρίζῃ, δὲν θὰ μάθῃ οὔτε νὰ φιλονεικῇ· ἐκεῖνος πού δὲν ἔμαθε νὰ φιλονεικῇ θὰ κατορθώσῃ καὶ τὸ ν' ἀγαπᾷ· ἐκεῖνος πού κατώρθωσε τὸ ν' ἀγαπᾷ, δὲν θὰ ἔχῃ ἐχθρόν· ἐκεῖνος πού δὲν ἔχει ἐχθρὸν καὶ ἐκδηλώνει τὴν ἀγάπην του, θὰ κατορθώσῃ ὅλην γενικῶς τὴν ἀρετήν.

Ἄς μὴ παραμελῶμεν λοιπὸν τὰ πρῶτα, διὰ νὰ μὴ προχωροῦν πρὸς τὰ μεγαλύτερα τὰ κακά. Ὁ Ἰούδας, ἐὰν κατεπολεμοῦσε τὴν ἀγάπην πρὸς τὰ χρήματα, δὲν θὰ ἦτο δυνατὸν νὰ φθάσῃ εἰς τὴν ἱεροσυλίαν· ἐὰν ἐσυγκρατοῦσεν αὐτήν, δὲν θὰ ἦτο δυνατὸν νὰ προχωρήσῃ εἰς τὸ ἀποκορύφωμα τῶν κακῶν. Διὰ τοῦτο καὶ ὁ Χριστὸς δὲν ἀπαγορεύει μόνον τὴν πορνείαν, οὔτε τὴν μοιχείαν, ἀλλὰ καὶ τὸ ἀκόλαστον βλέμμα[30], ἀποκόπτων ἀπὸ κάτω τὴν ρίζαν,

τε καὶ εὐκολώτερον εἶναι περιγενέσθαι τῆς πονηρίας. Τοῦτο καὶ ἐπὶ τῶν Ἰουδαίων ἐποίει, παχύτερον μὲν καὶ ὡς δι' αἰνιγμάτων, ἐπειδὴ πρὸς σαρκωδεστέρους ὁ λόγος ἦν, ἐποίει γοῦν ὅμως. Πῶς, καὶ τίνι τρόπῳ; Οὐκ ἠφίει ἐν κτήνεσι γίνεσθαί τινα μίξιν ἐκ διαφόρων γενεῶν, οὐκ ἠφίει αἷμα ἐσθίειν ἀλόγων, οὐκ ἠφίει ἐνέχυρα κατέχειν μετὰ τὴν ἑσπέραν, μεγάλα ἐκ τούτων ἀναστέλλων κακά· διὰ μὲν τοῦ προτέρου τὴν ἀρρενομιξίαν, διὰ δὲ τοῦ δευτέρου τοὺς φόνους, διὰ δὲ τοῦ τρίτου τὴν ὠμότητα καὶ τὴν ἀπανθρωπίαν. Ἀλλὰ νῦν πάντα ἀνέδην καὶ μετὰ πολλῆς πράττεται τῆς ἀναισχυντίας· διὰ τοῦο πάνα ἄνω καὶ κάτω γέγονεν. Ὅταν τοίνυν μικρὸν καταδέξῃ πάθος, μὴ τοῦτο ἴδῃς ὅτι μικρόν, ἀλλ' ἐννόησον, ὅτι τὸ ἐξ αὐτοῦ τρεφόμενον τὰ μέγιστα τίκτει δεινά. Καὶ γὰρ ἐπειδὰν ἴδωμεν ἐν οἰκίᾳ στυππίον ἀναφθὲν μικρόν, θορυβούμεθα καὶ ταραττόμεθα· οὐ γὰρ τῷ προοιμίῳ προσέχομεν, ἀλλ' ἀπὸ τοῦ προοιμίου τὸ τέλος λογιζόμενοι, θορυβούμεθα καὶ περιτρέχομεν, ὥστε ὁλόκληρον σβέσαι τὴν κάμινον. Τούτου τοῦ πυρὸς σφοδρότερον ἐπινέμεται ψυχὴν ἡ κακία. Διὸ δεῖ προκαταλαβεῖν. Ἐὰν γὰρ ῥαθυμήσωμεν, δυσκολωτέρα γίνεται ἡ διόρθωσις. Τοῦτο καὶ ἐπὶ πλοίου συμβαῖνον ἴδοι τις ἄν, καὶ τοὺς ναύτας θορυβουμένους, οὐχ ὅταν ἴδωσι τὴν θάλατταν ὑπερέχουσαν, ἀλλὰ καὶ ὅταν μέλλουσαν τοῦτο ποιεῖν.

Μὴ τοίνυν ὦμεν ῥάθυμοι τοῖς μικροῖς ἁμαρτήμασιν, ἀλλὰ μετὰ πολλῆς αὐτὰ ἀναστέλλωμεν τῆς σφοδρότητος, ἵνα τῶν μειζόνων ἀπαλλαγῶμεν, καὶ τῶν μελλόντων ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

31. Δευτ. 22, 10.
32. Δευιτ. 17, 10.
33. Δευτ. 24, 13.

ὥστε νὰ εἶναι καὶ εὐκολώτερον νὰ ὑπερνικήσῃ κανεὶς τὴν κακίαν. Αὐτὸ ἔκαμνε καὶ μὲ τοὺς Ἰουδαίους, μὲ πιὸ ὑλικὸν μὲν τρόπον καὶ μὲ ὑπαινιγμούς, ἐπειδὴ ὁ λόγος του ἀπευθύνετο πρὸς ἀνθρώπους περισσότερον σαρκικούς, ὁπωσδήποτε ὅμως τὸ ἔκαμνε. Πῶς καὶ μὲ ποῖον τρόπον; Δὲν ἐπέτρεπε νὰ γίνεται εἰς τὰ ζῶα ποὺ ἦσαν διαφορετικῆς γενεᾶς καμμία ἐπιμιξία[31], δὲν ἐπέτρεπε νὰ τρώγουν αἷμα ζώων[32], δὲν ἐπέτρεπε νὰ κρατοῦν ἐνέχυρα μετὰ τὴν ἑσπέραν[33], σταματῶν μὲ αὐτὰ μεγάλα κακά· μὲ τὸ μὲν πρῶτον τὴν ὁμοφυλοφιλίαν, μὲ τὸ δεύτερον τοὺς φόνους, καὶ μὲ τὸ τρίτον τὴν σκληρότητα καὶ τὴν ἀπανθρωπίαν. Ἀλλὰ τώρα ὅλα εἶναι ἐλεύθερα καὶ πράττονται μὲ πολλὴν ἀναισχυντίαν· διὰ τοῦτο ὅλα ἔγιναν ἄνω κάτω. Ὅταν λοιπὸν δεχθῇς ἕνα μικρὸν πάθος, μὴ τὸ παραβλέψῃς ἐπειδὴ εἶναι μικρόν, ἀλλὰ σκέψου ὅτι αὐτὸ ποὺ θὰ τραφῇ ἀπὸ αὐτὸ θὰ προξενήσῃ πολὺ μεγάλα κακά. Καὶ πράγματι, ὅταν ἰδοῦμεν εἰς μίαν οἰκίαν ἀναμμένον μικρὸ στουππί, κυριευόμεθα ἀπὸ ἀνησυχίαν καὶ ταραχήν· διότι δὲν προσέχομεν τὴν ἀρχήν, ἀλλὰ σκεπτόμεθα ἀπὸ τὴν ἀρχὴν τὸ τέλος, καταθορυβούμεθα καὶ τρέχομεν ἐδῶ καὶ ἐκεῖ, ὥστε νὰ σβήσωμεν ὁλόκληρον τὴν φωτιάν. Πολὺ πιὸ χειρότερα ἀπὸ αὐτὴν τὴν φωτιὰν καταστρέφει ἡ κακία τὴν ψυχήν. Διὰ τοῦτο πρέπει νὰ τὴν προλάβωμεν. Διότι, ἐὰν ἀδιαφορήσωμεν, γίνεται δυσκολωτέρα ἡ διόρθωσις. Αὐτὸ θὰ ἠμποροῦσε κανεὶς νὰ ἰδῇ νὰ συμβαίνῃ καὶ εἰς ἕνα πλοῖον, καὶ οἱ ναῦται νὰ καταθορυβοῦνται, ὄχι ὅταν ἰδοῦν τὴν θάλασσαν φουρτουνιασμένην, ἀλλὰ καὶ ὅταν πρόκειται νὰ φουρτουνιάσῃ.

Ἂς μὴ εἴμεθα λοιπὸν ἀδιάφοροι διὰ τὰ μικρὰ ἁμαρτήματα, ἀλλ᾿ ἂς τὰ ἀποκόπτωμεν μὲ μεγάλην ταχύτητα καὶ μανίαν, διὰ νὰ ἀπαλλαγῶμεν ἀπὸ τὰ μεγαλύτερα καὶ νὰ ἐπιτύχωμεν τὰ μελλοντικὰ ἀγαθὰ μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα συγχρόνως δὲ καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ
ΕΙΣ ΤΟΝ Ζ΄ ΨΑΛΜΟΝ[1]

Ψαλμὸς τῷ Δαυίδ, ὃν ᾖσε τῷ Κυρίῳ ὑπὲρ τῶν λόγων Χουσὶ υἱοῦ Ἰεμενεῖ.

«Κύριε ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα· σῶσόν με ἐκ πάντων τῶν διωκόντων με, καὶ ῥῦσαί με».

1. Ἔδει μὲν οὕτως ἀκριβῶς τῶν Γραφῶν καὶ τῶν ἱστοριῶν εἰδέναι τὴν γνῶσιν, ὡς μὴ δεῖσθαι ἡμᾶς μακροτέρου λόγου πρὸς τὴν τούτων διδασκαλίαν· ἐπειδὴ δὲ οἱ μὲν ὑπὲρ βιωτικῶν πραγμάτων ἀσχολούμενοι, οἱ δὲ ῥαθυμίᾳ ἑαυτοὺς ἐκδιδόντες, ἀνήκοοι τούτων εἰσίν, ἀνάγκη πρὸς τὸ μῆκος τὸν λόγον ἐξαγαγεῖν, τὴν ὑπόθεσιν τοῦ ψαλμοῦ λέγοντας. Ἀλλὰ προσέχετε μετὰ ἀκριβείας. Τίς οὖν ἐστιν ἡ ὑπόθεσις; «Ψαλμὸς τῷ Δαυίδ, ὃν ᾖσε τῷ Κυρίῳ». Ἄλλος· «Ψαλμὸς ὑπὲρ ἀγνοίας τῷ Δαυίδ». Ἄλλος· «Ἀγνόημα τῷ Δαυίδ», καὶ ἀντὶ τοῦ «Χουσί», «Αἰθίοπός» φησιν. Ἀλλὰ καὶ οὕτως ἀσαφῆ τὰ εἰρημένα, τῷ τὴν ἱστορίαν ὑμᾶς ἀγνοεῖν. Ἐπειδὴ δὲ οὐκ ἐγκαλεῖν δεῖ μόνον, ἀλλὰ καὶ διδάσκειν, ἀναγκαῖον ἅψασθαι τοῦ διηγήματος. Τίς οὖν ὁ Χουσὶ οὗτος ὁ υἱὸς Ἰεμενεῖ, καὶ τίνες οἱ λόγοι αὐτοῦ, ὑπὲρ ὧν ᾖσε τῷ Θεῷ τὴν ᾠδὴν ταύτην ὁ Δαυίδ, ἐντεῦθεν ἤδη λεκτέον, εἰς ἀρχὴν ἀνάγοντα τὸν λόγον.

Ἀβεσσαλὼμ υἱὸς ἐγένετο τῷ Δαυίδ, νέος ἀκόλαστος καὶ διεφθαρμένος· οὗτος ἐπανέστη ποτὲ τῷ πατρί· καὶ τῆς βασιλείας αὐτόν, καὶ τῆς οἰκίας, καὶ τῆς πατρίδος ἐκβαλών, αὐτὸς ἀντ' ἐκείνου κατέσχεν ἅπαντα, καὶ οὔτε τὴν φύσιν, οὐ-

---

1. Καὶ ὁ ψαλμὸς αὐτός, ὅπως φαίνεται ἀπὸ τὴν ἐπιγραφήν, εἶναι ἔργον τοῦ Δαυίδ. Ὁ ψαλμῳδὸς καταδιώκεται ὑπὸ τῶν ἐχθρῶν, ἀλλ' ἔχει στηριγμένην τὴν ἐλπίδα του εἰς τὸν Θεόν, διότι πιστεύει ὅτι εἶναι ὀθῶος, διὰ τοῦτο καὶ ἐπικολεῖται τὴν ἐπέμβασιν τοῦ Θεοῦ πρὸς τιμωρίαν τῶν ἀσεβῶν. Ὁ Θεὸς εἶναι δίκοιος καὶ θὰ τιμωρήσῃ αὐτοὺς ἐὰν δὲν μετανοήσουν.

ΟΜΙΛΙΑ
ΕΙΣ ΤΟΝ Ζ΄ ΨΑΛΜΟΝ

Ψαλμὸς τοῦ Δαυίδ, τὸν ὁποῖον ἔψαλλεν εἰς τὸν Κύριον ὑπὲρ τῶν λόγων Χουσὶ υἱοῦ τοῦ Ἰεμενεῖ.

«Κύριε ὁ Θεός μου, εἰς ἐσένα ἐστήριξα τὴν ἐλπίδα μου· σῶσε με ἀπὸ ὅλους ἐκείνους πού μὲ καταδιώκουν καὶ λύτρωσέ με ἀπὸ αὐτούς».

1. Ἔπρεπε νὰ γνωρίζωμεν τόσον καλὰ τὰς Γραφὰς καὶ αὐτὰ πού ἐξιστοροῦν, ὥστε νὰ μὴ χρειαζώμεθα μακρότερον λόγον διὰ τὴν διδασκαλίαν αὐτῶν, ἐπειδὴ ὅμως ἄλλοι μὲν ἀσχολοῦνται μὲ κοσμικὰ πράγματα, ἄλλοι δὲ παραδίδουν τὸν ἑαυτόν των εἰς τὴν ἀδιαφορίαν καὶ ἔτσι δὲν ἀκούουν αὐτάς, εἴμεθα ἀναγκασμένοι νὰ μακρύνωμεν τὸν λόγον, καὶ νὰ ὁμιλήσωμεν διὰ τὴν ὑπόθεσιν τοῦ ψαλμοῦ. Ἀλλὰ προσέχετε μὲ ἀκρίβειαν. Ποία λοιπὸν εἶναι ἡ ὑπόθεσις; «Ψαλμὸς τοῦ Δαυίδ, πού τὸν ἔψαλλεν εἰς τὸν Κύριον». Ἄλλος ἐξηγεῖ· «Ψαλμὸς τοῦ Δαυὶδ ὑπὲρ ἀγνοίας». Ἄλλος· «Ἀγνόημα τοῦ Δαυίδ», καὶ ἀντὶ τοῦ «Χουσί», λέγει, «Αἰθίοπος». Ἀλλὰ καὶ ἔτσι εἶναι ἀσαφῆ τὰ λεγόμενα, διὰ τὸν λόγον ὅτι δὲν γνωρίζετε τὴν ἱστορίαν. Ἐπειδὴ ὅμως δὲν πρέπει μόνον νὰ κατηγοροῦμεν, ἀλλὰ καὶ νὰ διδάσκωμεν, εἶναι ἀνάγκη νὰ ἀρχίσω τὴν διήγησιν. Ποῖος λοιπὸν εἶναι αὐτὸς ὁ Χουσὶ ὁ υἱὸς Ἰεμενεί, καὶ ποῖοι οἱ λόγοι αὐτοῦ, χάριν τῶν ὁποίων ἔψαλλεν ὁ Δαυὶδ αὐτὴν τὴν ᾠδὴν εἰς τὸν Θεόν, ἀπὸ ἐδῶ πρέπει νὰ ἀρχίσωμεν τὸν λόγον, ἐξετάζοντες ἀπὸ τὴν ἀρχὴν τὰ γεγονότα.

Ὁ Ἀβεσσαλὼμ ἦτο υἱὸς τοῦ Δαυίδ, νέος ἀκόλαστος καὶ διεφθαρμένος, ὁ ὁποῖος ἐπαναστάτησε κάποτε ἐναντίον τοῦ πατρός του, καὶ ἐξεδίωξεν αὐτὸν ἀπὸ τὴν βασιλείαν του, ἀπὸ τὴν οἰκίαν του καὶ τὴν πατρίδα του καὶ αὐτὸς

τε τὴν ἀνατροφήν, οὔτε τὴν ἡλικίαν, οὐ τὰ προλαβόντα ᾐδεῖτο· ἀλλ' οὕτως ἦν καθάπαξ ὠμὸς καὶ ἀπηνής, καὶ θηρίον μᾶλλον ἢ ἄνθρωπος, ὡς ἅπαντα ταῦτα διαρρήξας τὰ κωλύματα, αὐτοῖς ἐπιπηδῆσαι τοῖς τῆς φύσεως νόμοις, καὶ ταραχῆς ἐμπλῆσαι ἅπαντα καὶ θορύβου. Καὶ γὰρ πάντα ἀνετρέπετο τότε, φύσεως ὅροι, ἀνθρώπων αἰδώς, ἡ πρὸς Θεὸν εὐλάβεια, ἡ φιλανθρωπία καὶ ἔλεος, τροφείων ἀμοιβαί, καὶ ἡ πρὸς τὸ γῆρας αἰδώς. Εἰ γὰρ καὶ μὴ ὡς πατέρα αἰδεσθῆναι ἠβούλετο, ὡς γεγηρακότα ἐχρῆν· εἰ δὲ καὶ τῆς πολιᾶς ἠμέλει, ὡς εὐεργέτην αἰσχύνεσθαι· εἰ δὲ μηδ' οὕτως, ὡς μηδὲν ἠδικηκότα· ἀλλ' ὁ τῆς φιλαρχίας ἔρως πᾶσαν ταύτην ἐξέβαλε τὴν αἰδῶ, καὶ θηρίον τὸν ἄνθρωπον ἐποίησε. Καὶ ὁ μὲν μακάριος οὗτος, καὶ γεννησάμενος, καὶ ἀναθρεψάμενος, ἀλήτης καὶ φυγὰς κατὰ τὴν ἔρημον ἐπλανᾶτο, καθάπερ μετανάστης, ἐν ὑπερορίᾳ, καὶ τοῖς ἐντεῦθεν πιεζόμενος κακοῖς, ἐκεῖνος δὲ ἐνετρύφα τοῖς τοῦ πατρὸς ἀγαθοῖς.

Τῶν τοίνυν πραγμάτων ἐν τούτοις ὄντων καὶ τῶν στρατοπέδων μετ' ἐκείνου τεταγμένων, καὶ τῶν πόλεων ὑπὸ τὸν τύραννον οὐσῶν, Χουσί τις ἄνθρωπος ἐπιεικής, φίλος ὢν τοῦ Δαυίδ, ἔμενε τὴν πρὸς αὐτὸν φιλίαν διατηρῶν ἐν τῇ τῶν καιρῶν τούτων μεταβολῇ· καὶ ἰδὼν αὐτὸν ἀθρόον κατὰ τὴν ἔρημον πλανώμενον, διέρρηξε τὸν χιτωνίσκον, κατεπάσατο τέφραν, ἀνῴμωξε πικρὸν καὶ ἐλεεινόν· καὶ ἐπειδὴ μηδὲν ἠδύνατο, τὴν ἀπὸ τῶν δακρύων εἰσφέρει παραμυθίαν. Οὐ γὰρ ἦν τῶν καιρῶν φίλος, οὐδὲ τῆς δυναστείας, ἀλλὰ τῆς ἀρε-

2. Ἀνάγνωθι Β' Βασ. κεφ. 13 καὶ 14.

ἀντὶ ἐκείνου τὰ κατέλαβεν ὅλα, καὶ οὔτε τὴν φυσικὴν συγγένειαν ἐσεβάσθη, οὔτε τὴν ἀνατροφήν, οὔτε τὴν ἡλικίαν, οὔτε τὰ ὅσα εἶχαν συμβῆ προηγουμένως[2], ἀλλ' ἦτο πάντοτε τόσον πολὺ σκληρὸς καὶ ἄσπλαγχνος καὶ θηρίον μᾶλλον παρὰ ἄνθρωπος, ὥστε, ἀφοῦ διέρρηξεν ὅλα αὐτὰ τὰ ἐμπόδια, ἔπεσε μὲ ὁρμὴν ἐναντίον τῶν ἰδίων τῶν νόμων τῆς φύσεως καὶ ἐγέμισε τὰ πάντα ἀπὸ ταραχὴν καὶ θόρυβον. Καθ' ὅσον ὅλα ἀνετράπησαν τότε, οἱ φυσικοὶ ὅροι, ἡ ἐντροπὴ τῶν ἀνθρώπων, ἡ εὐλάβεια πρὸς τὸν Θεόν, ἡ φιλανθρωπία καὶ ἡ εὐσπλαγχνία, αἱ δαπάναι διὰ τὰ πρὸς τὸ ζῆν ἀναγκαῖα καὶ ὁ σεβασμὸς πρὸς τὰ γηρατειά. Διότι καὶ ἂν ἀκόμη δὲν ἤθελε νὰ τὸν σεβασθῇ ὡς πατέρα, ἔπρεπε νὰ τὸν σεβασθῇ ὡς γέροντα· ἐὰν δὲ ἀδιαφοροῦσε διὰ τὰ γηρατειά του, ἔπρεπε νὰ τὸν σέβεται ὡς εὐεργέτην· ἐὰν δὲ οὔτε καὶ δι' αὐτό, ἔπρεπε διὰ τὸ ὅτι δὲν τὸν ἠδίκησεν εἰς τίποτε· ἀλλ' ὅμως ὁ ἔρωτας διὰ τὴν ἐξουσίαν ἐξέβαλεν ὅλον αὐτὸν τὸν σεβασμὸν καὶ ἔκαμε τὸν ἄνθρωπον θηρίον. Καὶ ὁ μὲν μακάριος αὐτὸς ποὺ τὸν ἐγέννησε καὶ τὸν ἀνέθρεψε, περιεπλανᾶτο εἰς τὴν ἔρημον ὡσὰν ἀλήτης καὶ φυγάς, ὡσὰν μετανάστης εἰς ξένην χώραν καὶ ὑποφέρων ἀπὸ τὰς ἐκεῖ συμφοράς, ἐνῷ ἐκεῖνος ἀπελάμβανε τὰ ἀγαθὰ τοῦ πατρός του.

Ἐνῷ λοιπὸν τὰ πράγματα εἶχαν ἔτσι καὶ ὁ στρατὸς ἦτο παρατεταγμένος μὲ τὸ μέρος ἐκείνου, καὶ αἱ πόλεις εὑρίσκοντο ὑπὸ τὴν ἐξουσίαν τοῦ τυράννου, κάποιος ἄνθρωπος ὀνομαζόμενος Χουσὶ καὶ ποὺ ἦτο δίκαιος καὶ φίλος τοῦ Δαυίδ, ἐξηκολούθησε νὰ διατηρῇ τὴν φιλίαν πρὸς τὸν Δαυὶδ καὶ κατὰ τὸν χρόνον αὐτῶν τῶν μεταβολῶν· ὅταν ἐξαφνικὰ εἶδεν αὐτὸν νὰ περιπλανᾶται εἰς τὴν ἔρημον, ἐξέσχισε τὸν χιτῶνα του, ἤλειψε μὲ στάκτην τὴν κεφαλήν του καὶ ἔκλαυσε μὲ δάκρυα πικρὰ καὶ ἐλεεινά, καὶ ἐπειδὴ δὲν ἠμποροῦσε νὰ κάμῃ τίποτε, προσφέρει τὴν διὰ τῶν δακρύων παρηγορίαν. Διότι δὲν ἦτο φίλος τῶν περιστάσεων, οὔτε τῆς ἐξουσίας, ἀλλὰ τῆς ἀρετῆς· διὰ τοῦτο

τῆς· διὰ τοῦτο, τῆς ἀρχῆς μεταπεσούσης, τὴν φιλίαν οὐ μετέβαλεν. Ἰδὼν τοίνυν αὐτὸν ὁ Δαυὶδ ταῦτα ποιοῦντα, φησὶ πρὸς αὐτόν· φίλου μὲν καὶ ταῦτα, καὶ γνησίως πρὸς ἡμᾶς διακειμένου, ὀνήσει δὲ οὐδὲν ἡμᾶς, ἀλλὰ δεῖ τι βουλεύσασθαι καὶ σκοπῆσαι, ὅπως ἂν λυθῇ τὰ καταλαβόντα δεινά, καὶ ἀπαλλαγήν τινα εὕροιμεν τῶν συμφορῶν. Ταῦτα εἰπών, εἰσηγεῖται γνώμην ἐκείνῳ τοιαύτην· ἀπελθὼν πρὸς τὸν υἱὸν τὸν ἐμόν, καὶ φίλου προσωπεῖον ὑποδύς, διασκέδασόν μοι τὰς ἐκείνου βουλάς, καὶ τοῦ Ἀχιτόφελ τὴν βουλὴν ἄκυρον ποίησον. Ὁ δὲ Ἀχιτόφελ οὗτος τοῦ τυράννου τότε ἐκράτει, δεινὸς μὲν ὢν τὰ πολεμικά, δεινὸς δὲ καὶ στρατηγῆσαι ἐν πολέμῳ καὶ μάχῃ· διὸ καὶ τοῦ τυράννου μᾶλλον αὐτὸν ὁ Δαυὶδ ἐδεδοίκει· οὕτως ἦν δεινὸς ἐν ταῖς γνώμαις ὁ ἀνήρ.

Ταῦτα ἀκούσας ἐκεῖνος ἐπείσθη, καὶ οὐδὲν μικρόψυχον ἐλογίσατο, οὐδὲ ἄνανδρον, οὐδὲ εἶπε· τί δὲ ἂν ἁλῶ; τί δὲ ἂν ἀποκαλυφθῇ μοι τὸ προσωπεῖον; τί δὲ ἂν φωραθῇ τὸ δρᾶμα τῆς ὑποκρίσεως; δεινὸς ὁ Ἀχιτόφελ· ἴσως καὶ τοῦτο ἐλέγξει. καὶ ποιήσει κατάφωρον, καὶ ἀπολοῦμαι εἰκῇ καὶ μάτην. Οὐδὲν τῶν τοιούτων ἐννοήσας, εἰς τὸ στρατόπεδον ἐπεπήδησε τοῦ τυράννου. τὸ πᾶν ἐπὶ τὸν Θεὸν ῥίψας, καὶ εἰς μέσους ἑαυτὸν ἀφῆκε τοὺς κινδύνους. Ταῦτά μοι εἴρηται, οὐχ ἵνα ἐπαινέσωμεν μόνον, ἀλλ' ἵνα καὶ τὰ ἀλγεινά, καὶ ὅσα πέπονθεν ὁ Δαυὶδ καταμάθωμεν, καὶ ὅσα ἕτερα ἀπὸ τῆς ἱστορίας δυνατὸν καρπώσασθαι κέρδη, καὶ ταῦτα εἰς μέσον ἀγάγωμεν. Ἰδοὺ γάρ, ὃ συνεχῶς ἐπιζητεῖται παρὰ τῶν πολλῶν, διὰ τί δίκαιοι θλίβονται, πονηροὶ δέ εἰσιν ἐν ἀνέσει, τοῦτο ἐνταῦθα ἐστιν εὑρεῖν. Ὁ μὲν γὰρ δίκαιος ἐν συμφοραῖς

---

3. Ἀχιτόφελ. Κατήγετο ἀπὸ τὴν πόλιν Γωλὰ καὶ ἦτο σύμβουλος τοῦ Δαυίδ, ἀλλ' ἐτάχθη μὲ τὸ μέρος τοῦ Ἀβεσσαλώμ, Β' Βασ. 15, 12, εἶχε δὲ ἄδοξον τέλος διότι μετὰ τὴν ἀποτυχίαν τοῦ Ἀβεσσαλὼμ ἀπηγχονίσθη εἰς τὴν πόλιν του. Β' Βασ. 17, 23.

ὅταν ἡ ἐξουσία ἦλθεν εἰς ἄλλα χέρια, δὲν ἤλλαξε τὴν φιλίαν. Ὅταν λοιπὸν ὁ Δαυῒδ τὸν εἶδε νὰ κάμνῃ αὐτά, λέγει πρὸς αὐτόν· αὐτὰ μὲν εἶναι δείγματα γνησίου φίλου μου, ὅμως δὲν θὰ μᾶς ὠφελήσουν εἰς τίποτε, ἀλλὰ πρέπει κάτι νὰ σκεφθῶμεν καὶ νὰ ἐξετάσωμεν, πῶς θὰ ἠμπορούσαμεν νὰ σταματήσωμεν τὰ κακὰ ποὺ μᾶς ηὗραν καὶ νὰ εὕρωμεν κάποιαν ἀπαλλαγὴν ἀπὸ τὰς συμφοράς. Ἀφοῦ εἶπεν αὐτὰ εἰσηγεῖται εἰς ἐκεῖνον τὴν ἑξῆς σκέψιν· ἀφοῦ μεταβῇς πρὸς τὸν υἱόν μου καὶ ὑποκριθεὶς φιλίαν πρὸς αὐτὸν ματαίωσε τὰς ἀποφάσεις του ἐναντίον μου καὶ ἀκύρωσε τὸ σχέδιον τοῦ Ἀχιτόφελ[3]. Αὐτὸς δὲ ὁ Ἀχιτόφελ τότε κατηύθυνε τὸν τύραννον, διότι ἦτο φοβερὸς εἰς τὰ πολεμικὰ πράγματα καὶ πολὺ ἱκανὸς στρατηγὸς εἰς τὸν πόλεμον καὶ τὴν μάχην· διὰ τοῦτο καὶ ὁ Δαυῒδ ἐφοβεῖτο αὐτὸν περισσότερον ἀπὸ τὸν τύραννον· τόσον πολὺ φοβερὸς ἦτο αὐτὸς ὁ ἄνδρας εἰς τὰς ἀποφάσεις.

Ὅταν ἐκεῖνος ἤκουσεν αὐτὰ ἐπείσθη καὶ δὲν ἐσκέφθη τίποτε τὸ μικρόψυχον οὔτε καὶ ἄνανδρον, οὔτε καὶ εἶπε· τί θὰ συμβῇ ἂν συλληφθῶ; τί δὲ ἂν φανερωθῇ τὸ προσωπεῖον μου; τί δὲ ἂν ἀποκαλυφθῇ τὸ δρᾶμα τῆς ὑποκρισίας μου; εἶναι τρομερὸς ὁ Ἀχιτόφελ· ἴσως καὶ αὐτὸ νὰ τὸ ἐξετάσῃ καὶ νὰ μὲ συλλάβῃ ἐπ' αὐτοφώρῳ καὶ ἔτσι θὰ χαθῶ ἄδικα καὶ εἰς τὰ χαμένα. Χωρὶς τίποτε παρόμοιον νὰ σκεφθῇ, μετέβη εἰς τὸ στρατόπεδον τοῦ τυράννου, ἐμπιστευθεὶς τὸ πᾶν εἰς τὸν Θεὸν καὶ παρέδωσε τὸν ἑαυτόν του εἰς τὸ μέσον τῶν κινδύνων. Αὐτὰ ἐλέχθησαν ἀπὸ ἐμένα ὄχι μόνον διὰ νὰ τὸν ἐπαινέσωμεν, ἀλλὰ καὶ διὰ νὰ γνωρίσωμεν τὰ δυσάρεστα καὶ τὰ ὅσα ἔπαθεν ὁ Δαυῒδ καὶ ὅσα ἄλλα κέρδη εἶναι δυνατὸν νὰ καρπωθοῦμεν ἀπὸ αὐτὴν τὴν ἱστορίαν καὶ αὐτὰ θὰ ἐκθέσωμεν. Νὰ λοιπόν, αὐτὸ ποὺ συνεχῶς ζητοῦν οἱ περισσότεροι νὰ μάθουν, διατί οἱ δίκαιοι δοκιμάζουν θλίψεις, ἐνῷ οἱ κακοὶ ζοῦν μὲ ἄνεσιν; αὐτὴν τὴν ἀπάντησιν ἠμποροῦμεν νὰ τὴν εὕρωμεν ἐδῶ. Διότι ὁ μὲν δίκαιος ἔζη μέσα εἰς τὰς συμφο-

ἦν· ὁ δὲ μιαρός, καὶ πατραλοίας, καὶ τῆς φύσεως αὐτῆς ἐχθρὸς καὶ πολέμιος, ἐν εὐπραγίᾳ καὶ βασιλικαῖς αὐλαῖς· ἀλλ' οὔτε ἐκεῖνος ἐντεῦθεν ἐκέρδαινέ τι, οὔτε ὁ ἅγιος οὗτος ἐβλάπτετο· ἀλλ' ὁ μὲν ἐγίνετο μείζοσι θλίψεσιν ὑπεύθυνος· ὁ δὲ λαμπρότερον διέλαμπε, καθάπερ χρυσὸς ἐν καμίνῳ, τῇ θλίψει καθαρώτερος γινόμενος.

2. Τοῦτο δὴ πρῶτον ἐντεῦθεν μάνθανε, μὴ ταράττεσθαι ἐν ταῖς τοιαύταις δυσημερίαις, ὅταν ἴδῃς ἐπὶ τῶν δικαίων συμβαινούσας· ἕτερον μετὰ τοῦτο, μὴ μεθίστασθαι πρὸς τοὺς καιρούς, ἀλλ' εἰδέναι φιλίας νόμους· τρίτον, τὸ καὶ κινδύνων κατατολμᾶν ὑπὲρ τῆς ἀρετῆς· τέταρτον, τὸ καὶ ἐν τοῖς ἀπόροις εὔελπιν εἶναι, τὴν παρὰ τοῦ Θεοῦ συμμαχίαν ἀναμένοντα. Ἐπεὶ καὶ ὁ Χουσὶ τότε ἐκεῖνος οὐ τὸ στρατόπεδον εἶδεν, οὐ τοῦ τυράννου τὸν φόβον, οὐ τῶν ἵππων τὸ πλῆθος, οὐ τὰς φάλαγγας τῶν ὁπλιτῶν, οὐ τὸ προκατειλῆφθαι τὰς πόλεις, οὐ τὴν ἐρημίαν τοῦ Δαυίδ, οὐ τὴν μόνωσιν καὶ τὴν ἀσθένειαν· ἀλλ' εἰς ἓν μόνον ἰδών, τὴν ἄμαχον τοῦ Θεοῦ συμμαχίαν, καὶ τὴν εὔνοιαν τὴν ἐκείνου, οὕτω τὰ μέρη ἑκάτερα ἔκρινε, καὶ εὗρε τὸ μὲν σαθρόν, τὸ δὲ ἰσχυρόν. Ὁ μὲν γὰρ ἀδίκως ἐποίει, ὁ δὲ μετὰ τοῦ δικαίου ἑαυτὸν ἐφύλαττε. Στὰς τοίνυν, οὐκ ἔνθα πλῆθος ἀνθρώπων, ἀλλ' ἔνθα ἀρετῆς συμμαχία, οὕτως ἐπεσπάσατο τὸν Θεόν. Ταῦτα λέγω, ἵνα καὶ ἡμεῖς, κἂν ἀσθενεῖς ὦσιν οἱ τὰ δίκαια ἔχοντες, τὰ ἐκείνων θεραπεύωμεν· κἂν ἰσχυροὶ οἱ ἀδικοῦντες, φύγωμεν αὐτῶν τὴν συμμαχίαν. Ἡ μὲν γὰρ κακία, κἂν τὴν οἰκουμένην ἔχῃ μεθ' ἑαυτῆς, πάντων ἐστὶν ἀσθενεστέρα, ἡ δὲ ἀρετή, κἂν μεμονωμένη τύχῃ,

ράς, ἐνῷ ὁ μιαρὸς καὶ πατροκτόνος καὶ ἐχθρὸς καὶ πολέμιος τῆς ἰδίας τῆς φύσεως, ἔζοῦσε γεμᾶτος εὐημερίαν καὶ εἰς βασιλικὰς αὐλάς· ὅμως οὔτε ἐκεῖνος ἐκέρδιζε τίποτε ἀπὸ ἐδῶ, οὔτε ὁ ἅγιος αὐτὸς ἐβλάπτετο, ἀλλ᾽ ὁ μὲν πρῶτος ἐγίνετο ὑπεύθυνος μεγαλυτέρων θλίψεων, ἐνῷ ὁ ἄλλος διέλαμπε περισσότερον, ὅπως ἀκριβῶς ὁ χρυσὸς μέσα εἰς τὸ καμίνι, γινόμενος καθαρώτερος μὲ τὴν θλῖψιν.

2. Αὐτὸ λοιπὸν πρῶτα νὰ διδάσκεσαι ἀπὸ ἐδῶ, νὰ μὴ ταράσσεσαι ὅταν ἴδῃς νὰ συμβαίνουν εἰς τοὺς δικαίους τέτοιου εἴδους συμφοραί· ἄλλο μετὰ ἀπὸ αὐτό, νὰ μὴ ἀλλάσσῃς ἀνάλογα μὲ τὰς περιστάσεις, ἀλλὰ νὰ γνωρίζῃς τοὺς νόμους τῆς φιλίας· τρίτον τὸ νὰ μὴ διστάζῃς νὰ ριφθῇς καὶ εἰς τοὺς κινδύνους χάριν τῆς ἀρετῆς· τέταρτον, νὰ μὴ χάνῃς τὴν ἐλπίδα σου κατὰ τὰς δυσκολίας καὶ νὰ ἀναμένῃς τὴν βοήθειαν τοῦ Θεοῦ. Καθ᾽ ὅσον καὶ ἐκεῖνος ὁ Χουσὶ τότε, οὔτε τὸν στρατὸν ἐσκέφθη, οὔτε τὸν φόβον τοῦ τυράννου, οὔτε τὸ πλῆθος τῶν ἵππων, οὔτε τὰς φάλαγγας τῶν ὁπλιτῶν, οὔτε τὸ ὅτι εἶχαν κυριευθῆ ἤδη αἱ πόλεις, οὔτε τὸ ὅτι ὁ Δαυὶδ ἔζη εἰς τὴν ἐρημίαν, οὔτε τὴν ἀπομόνωσιν καὶ τὴν ἀδυναμίαν του, ἀλλ᾽ εἰς ἕνα καὶ μόνον ἀφοῦ ἀπέβλεψεν, εἰς τὴν ἀκατανίκητον συμμαχίαν τοῦ Θεοῦ, καὶ τὴν εὔνοιαν ἐκείνου, ἔτσι ἔκρινε καὶ τὰ δύο μέρη, καὶ ηὗρε τὸ μὲν ἕνα σαθρόν, τὸ δὲ ἄλλο ἰσχυρόν. Διότι ἐκεῖνος μὲν ἐνεργοῦσεν ἄδικα, ἐνῷ ὁ ἄλλος προεφύλασσε τὸν ἑαυτόν του ἔχων μὲ τὸ μέρος του τὸ δίκαιον. Ἀφοῦ λοιπὸν ἐστάθη ὄχι ἐκεῖ ποὺ ἦτο τὸ πλῆθος τῶν ἀνθρώπων, ἀλλ᾽ ὅπου ἦτο ἡ συμμαχία τῆς ἀρετῆς, ἔτσι ἀπέσπασε μὲ τὸ μέρος του τὸν Θεόν. Αὐτὰ τὰ λέγω, ὥστε καὶ ἡμεῖς, καὶ ἂν ἀκόμη εἶναι ἀνίσχυροι ἐκεῖνοι ποὺ ἔχουν μὲ τὸ μέρος των τὸ δίκαιον, ἐκείνους νὰ ὑποστηρίζωμεν· καὶ ἂν ἀκόμη εἶναι ἰσχυροὶ ἐκεῖνοι ποὺ ἀδικοῦν, ν᾽ ἀποφεύγωμεν τὴν συμμαχίαν μὲ αὐτούς. Διότι ἡ μὲν κακία, καὶ ἂν ἀκόμη ἔχῃ μὲ τὸ μέρος της ὁλόκληρον τὴν οἰκουμένην, εἶναι πιὸ ἀνίσχυρη ἀπὸ ὅλα.

πάντων ἐστὶ δυνατωτέρα· τὸν γὰρ Θεὸν ἔχει μεθ' ἑαυτῆς ἱστάμενον. Τίς οὖν σῶσαι δύναται τὸν ὑπὸ Θεοῦ πολεμούμενον; τίς δὲ ἀπολέσαι τὸν ὑπ' ἐκείνου βοηθούμενον;

Ταῦτα δὴ πάντα φιλοσοφῶν ὁ Χουσί, καὶ γενόμενος εὔελπις, ἀπῆλθεν ἔνθα ἐπέμπετο· καὶ ὡς ἐπέστη, ἰδὼν εἰσελαύνοντα τὸν τύραννον, προσῆλθεν. Ὁ δὲ ἰδὼν αὐτὸν ἀθρόον, καὶ τῇ φιλαρχίᾳ μεθύων, οὐκ ἐξήτασεν ἀκριβῶς, ἀλλ' ἐπισκώπτων αὐτὸν καὶ ὀνειδίζων, ἄπιθι, φησί, μετὰ τοῦ ἑτέρου σου, οὐδὲ τὸ ὄνομα ὑπομείνας εἰπεῖν, ὑπὸ μίσους καὶ ἀπεχθείας πολλῆς. Πρὸς ὃν ὁ Χουσὶ οὐδὲν διαταραχθείς, οὐδὲ διαθορυβηθείς φησί· ὅτε ἦν ὁ Θεὸς μετ' αὐτοῦ, τὰ ἐκείνου ἐφρόνουν, ἐπειδὴ δὲ μετὰ σοῦ νῦν ἐστιν, ἀκόλουθον θεραπεύειν τὰ σά. Ἐπῆρε τοῦτο τὸν τύραννον, καὶ ἐφύσησε, καὶ οὐδὲν ἐξετάσας ἀκριβὲς (κοῦφος γὰρ ἀνὴρ πιστεύει παντὶ λόγῳ· ὃ δὴ κἀκεῖνος ἔπαθε), καὶ τοῖς ἐναντίοις ἐκτραχηλισθείς, εὐθέως αὐτὸν εἰς τοὺς γνησίους εἰσάγει, καὶ εἰς τοὺς πρώτους ἐγγράφει τῶν φίλων. Τὸ δὲ πᾶν ὁ Θεὸς ᾠκονόμει, παρὼν καὶ στρατηγῶν τοῖς γινομένοις. Καὶ λοιπὸν βουλῆς προκειμένης περὶ πολέμου, καὶ ἑτέρων ἕτερα εἰσηγουμένων περὶ τοῦ, πρότερον εὐθέως ἐπιθέσθαι χρή, ἢ μικρὸν ἀναβαλλομένους· παρελθὼν ὁ Ἀχιτόφελ, ὁ δεινὸς ἐκεῖνος συμβουλεῦσαι, καὶ γνώμην εἰσενεγκών, ταύτην εἰσηγεῖται τὴν συμβουλὴν λέγων· τεταλαιπωρημένῳ νῦν καὶ τεταραγμένῳ ἐπιθώμεθα τῷ πατρὶ τῷ σῷ. Καὶ γὰρ μὴ συγχωρήσαντες μηδὲ μικρὸν αὐ-

ἐνῷ ἡ ἀρετή, καὶ ἂν ἀκόμη συμβῇ νὰ εἶναι ἀπομονωμένη, εἶναι πιὸ δυνατὴ ἀπὸ ὅλα˙ καθ' ὅσον ἔχει τὸν Θεὸν συμπαραστάτην της. Ποῖος λοιπὸν ἠμπορεῖ νὰ σώσῃ ἐκεῖνον ποὺ τὸν πολεμεῖ ὁ Θεός; ποῖος δὲ ἠμπορεῖ νὰ καταστρέψῃ ἐκεῖνον ποὺ βοηθεῖται ἀπὸ τὸν Θεόν;

Φιλοσοφῶν λοιπὸν ὅλα αὐτὰ ὁ Χουσὶ καὶ ἀφοῦ ἐνίσχυσε τὴν ἐλπίδα του, ἔφυγε δι' ἐκεῖ ποὺ ἐστέλλετο καὶ μόλις ἔφθασε, βλέπων τὸν τύραννον νὰ εἰσέρχεται, τὸν ἐπλησίασεν. Ἐκεῖνος δὲ ὅταν τὸν εἶδεν ἐξαφνικὰ καὶ μεθυσμένος ἀπὸ τὴν ἐξουσίαν δὲν τὸν ἐξήτασε μὲ προσοχήν, ἀλλὰ κατηγορῶν καὶ περιπαίζων αὐτὸν τοῦ λέγει, φύγε καὶ πήγαινε μὲ τὸν φίλον σου, χωρὶς νὰ ὑπομείνῃ καὶ τὸ ὄνομά του ν' ἀναφέρῃ, ἐξ αἰτίας τοῦ μεγάλου μίσους καὶ τῆς ἔχθρας του πρὸς ἐκεῖνον. Ὁ Χουσὶ ὅμως χωρὶς νὰ ταραχθῇ καθόλου καὶ οὔτε ν' ἀνησυχήσῃ, λέγει˙ ὅταν ὁ Θεὸς ἦτο μὲ τὸ μέρος του, ἐπίστευα καὶ ὑπηρετοῦσα ἐκεῖνον, ἐπειδὴ ὅμως τώρα εἶναι μὲ ἐσένα, ἑπόμενον εἶναι νὰ ὑπηρετῶ ἐσένα. Αὐτὸ ἐξεσήκωσε τὸν τύραννον καὶ ἐφούσκωσε τὰ μυαλά του, καὶ χωρὶς νὰ ἐξετάσῃ τίποτε μὲ προσοχὴν (διότι ὁ ἐλαφρόμυαλος ἄνθρωπος πιστεύει εἰς κάθε λόγον, πρᾶγμα λοιπὸν ποὺ ἔπαθε καὶ ἐκεῖνος) καὶ παραδοθεὶς εἰς τοὺς ἐχθρούς του, ἀμέσως εἰσάγει αὐτὸν εἰς τοὺς γνησίους φίλους του καὶ τὸν ἐγγράφει ἀνάμεσα εἰς τοὺς πρώτους. Ὅλα δὲ τὰ ἐρρύθμιζεν ἔτσι ὁ Θεὸς ποὺ ἦτο παρὼν καὶ κατηύθυνεν ἔτσι τὰ ὅσα συνέβαινον. Καὶ ἐνῷ λοιπὸν ἐγίνετο πολεμικὴ σύσκεψις καὶ ἄλλοι ἔκαμνον εἰσηγήσεις διαφορετικὰς περὶ τοῦ ἐὰν πρέπει ἀμέσως νὰ ἐπιτεθοῦν ἢ ν' ἀναβάλλουν δι' ὀλίγον, ὅταν ἦλθεν ἡ σειρὰ τοῦ τρομεροῦ ἐκείνου Ἀχιτόφελ, διὰ νὰ δώσῃ τὴν συμβουλήν του καὶ νὰ εἰπῇ τὴν γνώμην του, εἰσηγεῖται αὐτὴν τὴν συμβουλήν, λέγων˙ Ἂς ἐπιτεθοῦμεν ἐναντίον τοῦ πατρός σου τώρα ποὺ εἶναι πολὺ ταλαιπωρημένος καὶ πολὺ ταραγμένος. Διότι ἔτσι θὰ ἠμπορέσωμεν νὰ τὸν νικήσωμεν, ἐὰν δὲν τὸν ἀφήσωμεν νὰ

τὸν στῆναι, οὕτως ἂν ἕλωμεν· ἂν γὰρ ἀπαρασκευάστῳ ὄντι νῦν ἐπιθώμεθα, οὐδὲ εἷς ἡμῖν ἔσται πόνος.

Ταῦτα ἀκούσας ὁ τύραννος, καλεῖ καὶ τὸν Χουσί, τὸν αὐτομολήσαντα ἐν ὑποκρίσει πρὸς αὐτόν, καὶ μεταδίδωσι καὶ αὐτῷ τοῦ τῆς βουλῆς λόγου· ὅπερ οὐκ ἦν κατὰ ἀκολουθίαν ἀνθρωπίνην, τὸν ἀθρόον ἐλθόντα, τοῦτον οὕτω τιμῆσαι, καὶ νομίσαι ἀξιόπιστον εἶναι, ὡς καὶ συμβουλῆς ἀξιοῦν πραγμάτων ἕνεκεν τοιούτων· ἀλλ', ὅπερ ἔφθην εἰπών, ὅταν ὁ Θεὸς στρατηγῇ, καὶ τὰ δύσκολα εὔκολα γίνεται. Καὶ εἰσάγεται ὁ Χουσί, καὶ μεταδίδωσιν αὐτῷ παρρησίας, καὶ ἀξιοῖ λέγειν τὸ παριστάμενον. Τί οὖν Χουσί; Οὐδέποτε, φησί, διήμαρτεν ὁ Ἀχιτόφελ. Εἶδες σύνεσιν ἀνδρός; Οὐκ εὐθέως αὐτοῦ τὴν γνώμην ἐκβάλλει, ἀλλὰ μετ' ἐγκωμίου. Θαυμάσας γὰρ αὐτὸν πρῶτον, ὡς ἐν τοῖς ἔμπροσθεν χρόνοις καιρίως συμβουλεύοντα, οὕτω τὴν παροῦσαν κακίζει γνώμην. Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· θαυμάζω πῶς νῦν διήμαρτεν· οὐ γάρ μοι δοκεῖ συμφέρειν οὗτος ὁ λογισμός. Ἂν μὲν γὰρ νῦν ἐπιθώμεθα, καθάπερ ἄρκτος παροιστρῶσα, θυμοῦ γέμων ὁ πατήρ σου, καὶ ἀπεγνωκὼς τῆς ἑαυτοῦ ζωῆς, καὶ ἐνακμαζούσῃ τῇ ὀργῇ πολεμῶν, οὐδένα τῆς ἑαυτοῦ σωτηρίας ποιήσεται λόγον, καὶ μετὰ πολλῆς ἐμπεσεῖται τῆς σφοδρότητος ἡμῖν. Εἰ δὲ μικρὸν ἐνδοίημεν, μετὰ πλείονος ἐπιθησόμεθα τῆς προπαρασκευῆς, καὶ μείζονος τῆς ἀσφαλείας, καὶ ἀπονητὶ καὶ μετ' εὐκολίας πάσης, ὥσπερ ἐν σαγήνῃ λαβόντες αὐτόν, οὕτως ἐπανάξομεν.

Ἐπαινεῖ τὴν γνώμην ὁ Ἀβεσσαλώμ, καὶ λυσιτελεστέραν εἶναι ἔφησεν αὐτῷ. Ταῦτα δὲ ἔλεγεν ὁ Χουσί, βουλόμενος δοῦ-

σταθῇ οὔτε μίαν στιγμήν· καθ' ὅσον ἐὰν ἐπιτιθῶμεν τώρα πού εἶναι ἀπροετοίμαστος δὲν θὰ ὑποστοῦμεν κανένα κόπον.

Ὅταν τὰ ἤκουσεν αὐτὰ ὁ τύραννος, ἐκάλεσε καὶ τὸν Χουσί, ποὺ προσεχώρησεν εἰς αὐτόν μὲ ὑποκριτικὸν τρόπον, καὶ ἀνακοινώνει καὶ εἰς αὐτόν τὴν συζήτησιν τῆς συσκέψεως, πρᾶγμα ποὺ δὲν ἦτο σύμφωνον μὲ τὴν ἀνθρωπίνην λογικήν, ἐκεῖνον δηλαδὴ ποὺ ἦλθεν ἐξαφνικά, αὐτὸν τόσον πολὺ νὰ τὸν τιμήσῃ καὶ νὰ τὸν θεωρήσῃ ἀξιόπιστον ὥστε καὶ νὰ ζητήσῃ καὶ τὴν συμβουλήν του διὰ τόσον σοβαρὰ πράγματα· ἀλλ' ὅπως προανέφερα, ὅταν ὁ Θεὸς στρατηγῇ, τότε καὶ τὰ δύσκολα γίνονται εὔκολα. Καὶ ὁδηγεῖται ὁ Χουσὶ μέσα εἰς τὴν αἴθουσαν συσκέψεως καὶ τόν ἐνθαρρύνει καὶ ἀξιώνει ἀπ' αὐτὸν νὰ εἰπῇ τὴν γνώμην του. Τί λέγει λοιπὸν ὁ Χουσί; Οὐδέποτε, λέγει, ἔσφαλεν ὁ Ἀχιτόφελ. Εἶδες σύνεσιν ἀνδρός; Δὲν ἀπορρίπτει εὐθὺς ἀμέσως τὴν γνώμην τοῦ Ἀχιτόφελ, ἀλλὰ μὲ ἐγκώμιον. Ἀφοῦ δηλαδὴ πρῶτα ἔδειξε τόν θαυμασμόν του πρὸς αὐτόν, διότι κατὰ τὰ προηγούμενα χρόνια ἔδιδε πάρα πολὺ καταλλήλους συμβουλάς, εἰς τὴν συνέχειαν ὅμως κατηγορεῖ τὴν παροῦσαν γνώμην του. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· ἀπορῶ πῶς τώρα ἔσφαλε· διότι ἔχω τὴν γνώμην ὅτι δὲν συμφέρει αὐτὸς ὁ συλλογισμός. Καθ' ὅσον, ἐὰν τώρα ἐπιτιθῶμεν ὡσὰν τὴν λυσσασμένην ἀρκούδα, γεμᾶτος ἀπὸ θυμὸν ὁ πατέρας σου καὶ ἔχων χαμένην τὴν ἐλπίδα του διὰ τὴν ζωήν του, πολεμῶν μὲ τὴν ὀργὴν ποὺ εὑρίσκεται εἰς τὸ ἀποκορύφωμά της, δὲν θὰ σκεφθῇ καθόλου τὴν σωτηρίαν του καὶ θὰ ὁρμήσῃ ἐναντίον μας μὲ μεγάλην μανίαν. Ἐὰν ὅμως ἀναβάλωμεν δι' ὀλίγον, θὰ ἐπιτιθῶμεν μὲ περισσοτέραν προετοιμασίαν καὶ μεγαλυτέραν ἀσφάλειαν, καὶ χωρὶς κόπον καὶ μὲ εὐκολίαν μεγάλην, θὰ τὸν συλλάβωμεν ὡσὰν ἀκριβῶς μέσα εἰς δίκτυ καὶ θὰ τὸν φέρωμεν κοντά μας.

Ἐπαινεῖ ὁ Ἀβεσσαλὼμ τὴν γνώμην του καὶ λέγει ὅτι εἶναι περισσότερον ὠφέλιμος. Ἀλλ' αὐτὰ τὰ ἔλεγεν ὁ

ναι καιρὸν τῷ Δαυίδ, ὥστε στῆναι μικρὸν καὶ ἀναπνεῦσαι, καὶ στράτευμα συναγαγεῖν. Οὕτω τοίνυν ἐκβαλὼν τοῦ Ἀχιτόφελ τὴν γνώμην, διά τινων κεκρυμμένων ἀνδρῶν πέμψας ἀπήγγειλεν ἅπαντα τῷ Δαυίδ, καὶ ὅτι τὴν αὐτοῦ γνώμην ἐκύρωσεν ὁ τύραννος τὴν φέρουσαν τῷ Δαυὶδ τὴν νίκην. Οὕτω γοῦν καὶ ἐγένετο. Ἐπειδὴ γὰρ μικρὸν ἐνέδωκε, παρασκευασάμενος ὁ Δαυὶδ ἐπέθετο, καὶ τὸ τρόπαιον ἔστησεν. Ὅπερ ὁ Ἀχιτόφελ ἀπὸ πολλῆς συνέσεως καὶ δεινότητος συνορῶν, καὶ ἐντεῦθεν ἤδη τὸ τέλος καταμαθών, ὅτι ὄλεθρος ἦν τῷ Ἀβεσσαλὼμ αὕτη ἡ γνώμη, οὐκ ἐνεγκὼν τὴν ἐντεῦθεν ἐπήρειαν, ἀπελθὼν βρόχον ἀνῆψε καὶ ἀπήγξατο, καὶ οὕτω τὸν βίον κατέλυσεν.

3. Ταῦτα τοίνυν ἅπαντα μαθὼν ὁ Δαυίδ, γράφει τὸν ψαλμόν, εὐχαριστηρίους ὕμνους τῷ Θεῷ ἀναφέρων, καὶ τὸ πᾶν αὐτῷ ἀνατιθεὶς στρατήγημα. Διὸ καὶ ἀρχόμενος οὕτω πώς φησι· «Κύριε ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα, σῶσόν με». Οὐκ ἐπὶ τῷ Χουσί, οὐδὲ ἐπὶ τῇ ἀνθρωπίνῃ σοφίᾳ, οὐδὲ τῇ συνέσει τῇ ἐκείνου, οὐδὲ ἐπὶ τῇ ἐμῇ γνώμῃ, ἀλλ', «Ἐπὶ σοί». Τοῦτο τοίνυν καὶ ἡμεῖς ποιῶμεν, κἂν δι' ἀνθρώπων ἡμῖν κατόρθωμά τι γένηται, ὑπὲρ τούτων εὐχαριστῶμεν τῷ Θεῷ, καὶ τῶν δι' ἡμῶν καὶ τῶν δι' ἑτέρων ἡμῖν εὐεργετημάτων γινομένων. Ἂν γὰρ οὕτω ποιῶμεν, οὐδὲν ἔσται δύσκολον οὐδὲ σκολιόν· ὃ δὴ καὶ ὁ Δαυὶδ ἐποίει, μονονουχὶ λέγων· οὐκ ἐν τοῖς ῥήμασι τοῦ Χουσὶ τὴν ἐλπίδα τῆς σωτηρίας εἶχον, ἀλλ' ἐν τῇ συμμαχίᾳ τῇ σῇ. Καὶ ὅρα μεθ' ὅσης διαθέσεως, φθέγγεται, ὅπερ αὐτῷ σύνηθες ποιεῖν. Οὐ γὰρ εἶπε, 'Κύριε ὁ Θεός', ἀλλὰ «Κύριε ὁ Θεός μου»· καὶ ἀλλαχοῦ· «Ὁ Θεός,

4. Δηλ. τὸν Ἰωνάθαν καὶ τὸν Ἀχιμάας, Β' Βασ. 17, 17 ἑ.
5. Β' Βασ. 17, 23.

Χουσί, ἐπειδὴ ἤθελε νὰ δώσῃ καιρὸν εἰς τὸν Δαυίδ, ὥστε νὰ ἡσυχάσῃ ὀλίγον, ν' ἀναπνεύσῃ καὶ νὰ συγκεντρώσῃ στρατόν. Ἔτσι λοιπὸν ἀφοῦ ἀπέρριψε τὴν γνώμην τοῦ Ἀχιτόφελ, μὲ κάποιους κρυμμένους ἄνδρας[4], ποὺ ἔστειλεν, ἀνήγγειλεν ὅλα εἰς τὸν Δαυίδ, καὶ ὅτι ἐνέκρινεν ὁ τύραννος τὴν γνώμην, ποὺ θὰ φέρῃ εἰς τὸν Δαυὶδ τὴν νίκην. Ἔτσι λοιπὸν καὶ ἔγινεν. Ἐπειδὴ δηλαδὴ ἀνέβαλεν ὀλίγον, ἀφοῦ προετοιμάσθη ὁ Δαυὶδ ἐπετέθη καὶ ἔστησε τὸ τρόπαιον τῆς νίκης. Ἐπειδὴ ὁ Ἀχιτόφελ ἐξ αἰτίας τῆς μεγάλης του συνέσεως καὶ πανουργίας τὸ ἐκατάλαβε αὐτὸ καὶ ἤδη ἀπὸ τότε ἀντελήφθη ποῖο θὰ ἦτο τὸ τελικὸν ἀποτέλεσμα, ὅτι δηλαδὴ αὐτὴ ἡ γνώμη ἦτο καταστρεπτικὴ διὰ τὸν Ἀβεσσαλώμ, μὴ ἠμπορῶν νὰ ὑποφέρῃ τὴν περιφρόνησιν, ἔφυγε καί, ἀφοῦ ἔδεσε θηλειάν, ἐκρεμάσθη[5], καὶ ἔτσι ἐτερμάτισε τὴν ζωήν του.

3. Ἀφοῦ λοιπὸν τὰ ἔμαθεν αὐτὰ ὁ Δαυὶδ γράφει αὐτὸν τὸν ψαλμὸν ἀναπέμπων εὐχαριστηρίους ὕμνους εἰς τὸν Θεὸν καὶ ἀναθέτων τὴν ὅλην ἐπιχείρησιν εἰς αὐτόν. Διὰ τοῦτο καὶ ἀρχίζων τὸν ψαλμὸν μὲ αὐτὰ τὰ λόγια· «Κύριε ὁ Θεός μου, εἰς ἐσένα ἐστήριξα ὅλην τὴν ἐλπίδα μου, σῶσε με». Ὄχι εἰς τὸν Χουσί, οὔτε εἰς τὴν ἀνθρωπίνην σοφίαν, οὔτε εἰς τὴν σύνεσιν ἐκείνου, οὔτε εἰς τὴν ἰδικήν μου γνώμην, ἀλλ' «Εἰς ἐσένα». Αὐτὸ λοιπὸν ἂς κάμνωμεν καὶ ἡμεῖς, καὶ ἂν κατορθώνωμεν κάτι μὲ τὴν βοήθειαν ἀνθρώπων, νὰ εὐχαριστῶμεν τὸν Θεὸν δι' αὐτοὺς καὶ διὰ τὰ εὐεργετήματα ποὺ γίνονται εἰς ἡμᾶς ἀπὸ ἡμᾶς τοὺς ἰδίους καὶ ἀπὸ ἄλλους. Διότι, ἐὰν ἐνεργοῦμεν ἔτσι δὲν θὰ ὑπάρχῃ καμμία δυσκολία οὔτε ἀνωμαλία, πρᾶγμα βέβαια ποὺ καὶ ὁ Δαυὶδ ἔκαμνε καὶ ἦτο ὡσὰν νὰ ἔλεγε· Δὲν εἶχα τὴν ἐλπίδα τῆς σωτηρίας μου στηριγμένην εἰς τὰ λόγια τοῦ Χουσί, ἀλλ' εἰς τὴν ἰδικήν σου συμμαχίαν. Καὶ πρόσεχε μὲ πόσην διάθεσιν ὁμιλεῖ, πρᾶγμα ποὺ συνηθίζει πάντοτε νὰ κάμνῃ. Διότι δὲν εἶπε, 'Κύριε ὁ Θεός', ἀλλὰ «Κύριε ὁ Θεός μου»· καὶ ἀλλοῦ· «Ὁ Θεός,

ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω». Καὶ γὰρ καὶ μετὰ πάντων αὐτοῦ χρείαν εἶχεν· ἰδιαζόντως δέ, διὰ τὴν ὑπερβολὴν τοῦ πόθου. Οὕτω καὶ ὁ Θεὸς ἐπὶ τῶν δικαίων τοῦτο ποιεῖ, καὶ κοινὸς ἁπάντων ὢν Θεός, ἰδιαζόντως ἑαυτὸν τῶν δικαίων εἶναι λέγει. «Ἐγὼ ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαάκ, καὶ ὁ Θεὸς Ἰακώβ».

Καὶ ὅρα φιλόσοφον γνώμην. Εἰπών, «Κύριε ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα», οὐκ εἶπε, 'κόλαζε τὸν πολέμιον, ἄνελε τὸν ἐχθρόν', ἀλλὰ τί; Τὸ ἑαυτοῦ ζητεῖ μόνον, καὶ λέγει, «Σῶσόν με», τουτέστι, μὴ ἀφῇς με κακῶς παθεῖν, «ἐκ πάντων τῶν διωκόντων με, καὶ ῥῦσαί με». Ὅρα πῶς οὐδὲ πάσχων κακῶς, ὀνομαστὶ μέμνηται τοῦ πατραλοίου, καὶ ἐν τῇ συμφορᾷ τὴν φύσιν ἐπιγινώσκων, καὶ ἐν τῷ πολέμῳ τὸν υἱὸν ὁρῶν, καὶ ἐν τοῖς κινδύνοις τῶν σπλάγχνων οὐκ ἐπιλανθανόμενος. Οὕτω φίλοπαις ἦν καὶ φιλόστοργος, μᾶλλον δὲ οὕτω φιλόσοφος. Οὐ γὰρ ἡ τῆς φύσεως τυραννίς, ἀλλ' ἡ τῆς γνώμης ἡμερότης τοιοῦτον αὐτὸν ἐποίει εἶναι μᾶλλον, καὶ τῷ στρατοπέδῳ τὸ πλέον ἐλογίζετο, ἢ τῷ τυράννῳ· διὰ τοῦτό φησι· «Σῶσόν με ἐκ πάντων τῶν διωκόντων με, καὶ ῥῦσαί με». Ὁρᾷς πῶς οὐδὲ ἐκείνων σφοδρῶς μέμνηται; Οὐ γὰρ εἶπεν, 'ἐκ τῶν πολεμούντων, τῶν τὰ ἐμὰ διαρπαζόντων, τῶν ἐντρυφώντων τοῖς βασιλείοις τοῖς ἐμοῖς', ἀλλά, «Τῶν διωκόντων με».

«Μήποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου, μὴ ὄντος λυτρουμένου, μηδὲ σῴζοντος». Καὶ μὴν στρατόπεδα συνέλεξε, καὶ πολλοὺς εἶχε μεθ' ἑαυτοῦ· πῶς οὖν λέγει, «Μὴ ὄντος λυτρουμένου, μηδὲ σῴζοντος»; Ὅτι οὐδὲ ἐν συμμαχίας ἡγεῖ-

6. Ψαλμ. 62, 2.
7. Ἐξ. 3. 6.

ὁ Θεός μου, πρὸς ἐσένα στέλλω τὴν προσευχήν μου πολὺ πρωί»[6]. Καθ' ὅσον καὶ μαζὶ μὲ ὅλους εἶχε τὴν ἀνάγκην αὐτοῦ, ἰδιαιτέρως ὅμως λόγῳ τοῦ ὑπερβολικοῦ πόθου του δι' αὐτόν. Τὸ ἴδιο κάμνει καὶ ὁ Θεὸς εἰς τὴν περίπτωσιν τῶν δικαίων, καὶ ἐνῷ εἶναι κοινὸς Θεὸς ὅλων τῶν ἀνθρώπων, λέγει ὅτι ἰδιαιτέρως εἶναι Θεὸς τῶν δικαίων. «Ἐγὼ ὁ Θεὸς τοῦ Ἀβραὰμ καὶ ὁ Θεὸς τοῦ Ἰσαὰκ καὶ ὁ Θεὸς τοῦ Ἰακώβ»[7].

Καὶ πρόσεχε εὐσεβῆ γνώμην. Ἀφοῦ εἶπε «Κύριε ὁ Θεός μου, εἰς ἐσένα ἐστήριξα ὅλην τὴν ἐλπίδα μου», δὲν εἶπε, 'τιμώρησε τὸν ἀντίπαλον, ἐξωλόθρευσε τὸν ἐχθρόν', ἀλλὰ τί λέγει; Ζητεῖ μόνον τὸ ἰδικόν του καὶ λέγει, «Σῶσε με», δηλαδὴ μὴ μὲ ἀφήνης νὰ κακοπαθῶ, «ἀπὸ ὅλους ἐκείνους ποὺ μὲ καταδιώκουν καὶ γλύτωσέ με ἀπὸ αὐτούς». Πρόσεχε πῶς δὲν ἀναφέρει μὲ τὸ ὄνομά του τὸν πατροκτόνον οὔτε καὶ ὅταν κακοπαθῇ, ὅτι ἀναγνωρίζει τὴν φυσικὴν συγγένειαν, εἰς τὸν πόλεμον προσέχει τὸν υἱόν του καὶ εἰς τοὺς κινδύνους δὲν ξεχνᾷ τὰ σπλάγχνα του. Τόσον πολὺ φιλότεκνος ἦτο καὶ φιλόστοργος, μᾶλλον δὲ τόσον εὐσεβὴς ἄνθρωπος ἦτο. Καὶ βέβαια δὲν τὸν ἔκαμνε τέτοιον ἡ τυραννὶς τῆς φύσεως, ἀλλὰ ἡ ἠπιότης τοῦ χαρακτῆρος, καὶ εἰς τὸ στρατόπεδον ὑπελόγιζε πιὸ πολὺ τὸ πολὺ πλῆθος, παρὰ τὸν τύραννον· διὰ τοῦτο λέγει· «Σῶσε με ἀπὸ ὅλους ἐκείνους ποὺ μὲ καταδιώκουν καὶ γλύτωσέ με ἀπὸ αὐτούς». Βλέπεις πῶς οὔτε ἐκείνους ἐνθυμεῖτε μὲ μανίαν; Διότι δὲν εἶπεν, 'ἀπὸ ἐκείνους ποὺ μὲ πολεμοῦν, ἀπὸ ἐκείνους ποὺ ἁρπάζουν τὰ ὑπάρχοντά μου, ἀπὸ ἐκείνους ποὺ καλοπερνοῦν εἰς τὰ ἀνάκτορά μου', ἀλλ' «Ἀπὸ ἐκείνους ποὺ μὲ καταδιώκουν».

«Μήπως σὰν ἄγριο λιοντάρι ἁρπάσῃ τὴν ψυχήν μου, ἀφοῦ δὲν θὰ ὑπάρχῃ κανεὶς νὰ μὲ γλυτώσῃ καὶ νὰ μὲ σώσῃ». Καὶ βέβαια στρατὸν ἐσυγκέντρωσε καὶ πολλοὺς εἶχε μαζί του, πῶς λοιπὸν λέγει, «Ἀφοῦ δὲν θὰ ὑπάρχῃ κανεὶς νὰ μὲ γλυτώσῃ καὶ νὰ μὲ σώσῃ»; Διότι οὔτε ὡς ἐλαχίστην

ται μέρει τὴν οἰκουμένην ἅπασαν, εἰ μὴ τῆς ἄνωθεν ἀπολαύσειεν ῥοπῆς, οὐδὲ ἐν ἐρημίᾳ εἶναι, εἰ καὶ μόνος ἦν, τῆς ἐκείνου μετέχων συμμαχίας. Διὸ καὶ ἔλεγεν· «Οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ». Τινὲς δὲ κατὰ ἀναγωγὴν τὴν ῥῆσιν ταύτην ἐκλαμβάνοντες, λέοντα καὶ διώκοντας διάβολον καὶ δαίμονας εἶναί φασιν. Ἐπειδὴ γὰρ εἶδε τὸν υἱὸν ἁρπαγέντα ὑπ' αὐτοῦ καὶ καταποθέντα, ἀξιοῖ μηδέποτε τοῦτο παθεῖν αὐτός, καὶ λέγει καὶ τὴν αἰτίαν, δι' ἣν ἐκεῖνος τοῦτο ἔπαθε. Τίς δὲ ἡ αἰτία; Διὰ τῆς κακίας, φησί, τὴν συμμαχίαν τοῦ Θεοῦ ἀπέστησεν ἀφ' ἑαυτοῦ. Διὰ τοῦτο λέγει, «Μὴ ὄντος λυτρουμένου, μηδὲ σώζοντος». Ὅτι δὲ λέων ὁ διάβολος λέγεται παρὰ τῆς Γραφῆς, ἄκουσον λεγούσης αὐτῆς· «Ὁ ἐχθρὸς ὑμῶν διάβολος περιέρχεται ὡς λέων ὠρυόμενος καὶ ζητῶν τίνα καταπίῃ». Καὶ αὐτὸς οὗτος ὁ προφήτης ἀλλαχοῦ· «Καὶ καταπατήσεις λέοντα καὶ δράκοντα». Πολύτροπον γὰρ τὸ θηρίον· ἀλλ' ἐὰν νήφωμεν, ὁ λέων οὗτος καὶ δράκων πηλοῦ παντὸς εὐτελέστερος ἔσται, καὶ οὐδὲ ἐξ εὐθείας πρὸς ἡμᾶς παρατάξεται, ἀλλὰ κἂν παρατάξηται, καταπατηθήσεται. «Πατεῖτε» γάρ, φησίν, «ἐπάνω ὄφεων καὶ σκορπίων». Περίεισι μὲν γὰρ μετὰ πολλοῦ τοῦ θυμοῦ, καθάπερ λέων, ἂν δὲ προσβάλλῃ τοῖς τὸν Χριστὸν ἔχουσι, καὶ τὸν σταυρὸν ἐπὶ τοῦ μετώπου, καὶ τὸ πῦρ τοῦ Πνεύματος, καὶ τὴν λαμπάδα τὴν οὐδέποτε σβεννυμένην, οὐδὲ ἀντιβλέψαι δυνήσεται, ἀλλὰ νῶτα δοὺς οἰχήσεται, οὐδὲ μεταστραφῆναι τολμῶν.

Καὶ ἵνα μάθῃς ὅτι οὐ κόμπος τὰ εἰρημένα, σκόπει μοι τὸν Παῦλον. Ἄνθρωπος μὲν γὰρ ἦν καὶ αὐτός, ἀλλ' οὕτως αὐτὸν ἐδεδοίκει ὁ λέων οὗτος, ὡς καὶ τὰ ἱμάτια αὐτοῦ καὶ

---

8. Ψαλμ. 32, 16.
9. Α΄ Πετρ. 5, 8.
10. Ψαλμ. 90, 13.
11. Λουκᾶ 10, 19.

βοήθειαν θεωρεῖ ὅλην τὴν οἰκουμένην, ἐὰν δὲν ἀπολαύσῃ τὴν οὐράνιον βοήθειαν, οὔτε θεωρεῖ ἔρημον τὸν ἑαυτόν, ἂν καὶ ἦτο μόνος, ἔχων μαζί του ἐκείνην τὴν συμμαχίαν. Διὰ τοῦτο καὶ ἔλεγε· «Δὲν σώζεται ὁ βασιλεὺς ἐξ αἰτίας τῆς μεγάλης δυνάμεώς του, καὶ ὁ γίγας δὲν θὰ σωθῇ ἀπὸ τὴν μεγάλην σωματικὴν δύναμίν του»[8]. Ὡρισμένοι δὲ ποὺ ἑρμηνεύουν ἀλληγορικὰ αὐτὰ τὰ λόγια, λέγουν ὅτι λεοντάρι καὶ διῶκται εἶναι ὁ διάβολος καὶ οἱ δαίμονες. Ἐπειδὴ δηλαδὴ εἶδε τὸν υἱόν του νὰ ἁρπάζεται ἀπὸ αὐτὸν καὶ νὰ καταβροχθίζεται, ζητεῖ αὐτὸς νὰ μὴ τὸ πάθῃ αὐτὸ ποτέ, καὶ λέγει τὴν αἰτίαν, διὰ τὴν ὁποίαν ἐκεῖνος ἔπαθεν αὐτό. Ποία δὲ ἡ αἰτία; Μὲ τὴν κακίαν του, λέγει, ἀπεμάκρυνεν ἀπὸ κοντά του τὴν συμμαχίαν τοῦ Θεοῦ. Διὰ τοῦτο λέγει, «Ἀφοῦ δὲν θὰ ὑπάρχῃ κανεὶς νὰ μὲ γλυτώσῃ καὶ νὰ μὲ σώσῃ». Τὸ ὅτι δὲ ὁ διάβολος ὀνομάζεται ἀπὸ τὴν Γραφὴν λέων, ἄκουσε αὐτὴν ποὺ λέγει· «Ὁ ἐχθρός σας ὁ διάβολος τριγυρίζει ὡσὰν λεοντάρι ποὺ οὐρλιάζει καὶ ζητεῖ νὰ εὕρῃ κάποιον νὰ τὸν καταπιῇ»[9]. Καὶ αὐτὸς ὁ ἴδιος ὁ προφήτης ἀλλοῦ λέγει· «Καὶ θὰ καταπατήσῃς λέοντα καὶ δράκοντα»[10]. Διότι τὸ θηρίον εἶναι πολύμορφον, ἀλλ' ἐὰν ἐπαγρυπνοῦμεν, αὐτὸ τὸ λεοντάρι καὶ ὁ δράκων θὰ γίνει πιὸ ἀσήμαντος καὶ ἀπὸ τὸν πηλόν, καὶ οὔτε θὰ παραταχθῇ ἀπ' εὐθείας ἀπέναντί μας, ἀλλὰ καὶ ἂν ἀκόμη παραταχθῇ, θὰ καταπατηθῇ. Διότι λέγει· «Πατεῖτε ἐπάνω εἰς φίδια καὶ σκορπιούς»[11]. Διότι τριγυρίζει μὲν παντοῦ μὲ πολὺν θυμόν, ὅπως ἀκριβῶς τὸ λεοντάρι, ἐὰν ὅμως προσβάλῃ ἐκείνους ποὺ ἔχουν τὸν Χριστόν, τὸν σταυρὸν εἰς τὸ μέτωπόν των, τὸ πῦρ τοῦ ἁγίου Πνεύματος καὶ τὴν λαμπάδα ποὺ δὲν σβήνει ποτέ, δὲν θὰ ἠμπορέσῃ οὔτε νὰ ρίψῃ τὸ βλέμμα του ἐπάνω τους, ἀλλὰ θὰ στρέψῃ τὰ νῶτα του καὶ θὰ φύγῃ καὶ δὲν θὰ τολμήσῃ νὰ ἐπιστρέψῃ ξανά.

Καὶ διὰ νὰ μάθῃς ὅτι δὲν εἶναι λόγια μεγάλα τὰ ὅσα ἐλέχθησαν, πρόσεξε σὲ παρακαλῶ τὸν Παῦλον. Διότι καὶ αὐτὸς ἦτο ἄνθρωπος, ἀλλὰ τόσον πολὺ τὸ λεοντάρι αὐτὸ

τὰς σκιὰς φεύγειν. Εἰκότως· τὴν γὰρ Χριστοῦ εὐωδίαν ἐξ αὐτοῦ πνέουσαν καὶ ἀνιοῦσαν οὐκ ἔφερε, καὶ πρὸς τὴν λαμπάδα ἀντιβλέψαι οὐκ ἴσχυσε τῆς ἀρετῆς. «Κύριε ὁ Θεός μου, εἰ ἐποίησα τοῦτο, εἰ ἔστιν ἀδικία ἐν χερσί μου». Πανταχοῦ δεῖ τοῦτο παρατηρεῖν, ὅτι οὐχ ἁπλῶς εὔχεσθαι δεῖ μόνον, ἀλλ' οὕτως εὔχεσθαι, ὥστε καὶ ἀκούεσθαι. Οὐ γὰρ ἀρκεῖ εὐχὴ τὸ προκείμενον ἀνύσαι, ἐὰν μὴ οὕτως αὐτὴν στείλωμεν ὡς τῷ Θεῷ δοκεῖ. Ἐπεὶ καὶ ὁ Φαρισαῖος ηὔξατο, καὶ οὐδὲν ὤνησε, καὶ Ἰουδαῖοι πάλιν ηὔχοντο, ἀλλ' ἀπεστρέφετο ὁ Θεὸς εὐχομένων αὐτῶν, οὐ γὰρ ηὔχοντο, ὡς εὔχεσθαι ἔδει. Διὰ τοῦτο καὶ εὐχὴν ἐκελεύσθημεν εὔχεσθαι τὴν μάλιστα ἀκούεσθαι δυναμένην. Τοῦτο καὶ ἐν τῇ πρὸ ταύτης εὐχῇ ἐδήλωσεν, οὐχ ἁπλῶς ἀξιῶν ἀκουσθῆναι, ἀλλὰ μετὰ τοῦ τὰ ἑαυτοῦ εἰσενεγκεῖν. Τίνα δὲ ταῦτα ἦν; Τό, «Λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω»· τό, «Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου»· τό, «Ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν»· τό, «Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου».

4. Ταῦτα γὰρ πάντα ἱκανὰ τὸν Θεὸν ἐπισπάσασθαι· θρῆνοι, δάκρυα, στεναγμοί, καὶ τὸ τῶν πονηρῶν ἀποπηδᾶν, καὶ τὸ δεδοικέναι καὶ τρέμειν αὐτοῦ τὴν ψῆφον. Καὶ ἀλλαχοῦ ἔλεγεν, «Εἰσήκουσεν ὁ Θεὸς τῆς δικαιοσύνης μου· ἐν θλίψει ἐπλάτυνάς μοι». Τὸ γὰρ ἀκούεσθαι οὕτω γίνεται· πρῶτον μὲν οὖν, ἐκ τοῦ ἀξίους εἶναι λαβεῖν· ἔπειτα, ἐκ τοῦ κατὰ τοὺς

---

12. Λουκᾶ 18, 10 ἑ.
13. Ψαλμ. 6, 7.
14. Αὐτόθι.
15. Ψαλμ. 6, 9.
16. Ψαλμ. 6, 8.
17. Ψαλμ. 4, 1.

ἐφοβεῖτο αὐτόν, ὥστε ν' ἀποφεύγῃ καὶ τὰ ἐνδύματά του καὶ τὰς σκιάς του. Καὶ ἦτο πολὺ φυσικόν· διότι δὲν ἠμποροῦσε νὰ ὑποφέρῃ τὴν εὐωδίαν τοῦ Χριστοῦ ποὺ ἔβγαινεν καὶ ἐκπέμπετο ἀπὸ αὐτὸν καὶ δὲν ἠμπόρεσε νὰ σηκώσῃ τό βλέμμα του πρὸς τὴν λαμπάδα ἐκείνην τῆς ἀρετῆς. «Κύριε ὁ Θεός μου, ἐὰν πράγματι ἔκαμα αὐτό, ἐὰν τὰ χέρια μου διέπραξαν ἀδικίαν». Παντοῦ πρέπει αὐτὸ νὰ προσέχωμεν, ὅτι δὲν πρέπει μόνον νὰ προσευχώμεθα ἁπλῶς, ἀλλὰ νὰ προσευχώμεθα ἔτσι, ὥστε καὶ νὰ εἰσακουώμεθα. Διότι δὲν ἀρκεῖ ἡ προσευχὴ διὰ νὰ πραγματοποιηθῇ αὐτὸ ποὺ ζητοῦμεν, ἐὰν δὲν τὴν στείλωμεν ἔτσι, ὅπως ἀρέσει εἰς τὸν Θεόν. Καθ' ὅσον καὶ ὁ Φαρισαῖος προσηυθήχη καὶ δὲν ὠφελήθη εἰς τίποτε[12], καὶ οἱ Ἰουδαῖοι πάλιν προσηύχοντο, ἀλλ' ὁ Θεὸς τοὺς ἀπεστρέφετο ὅταν προσηύχοντο, διότι δὲν προσηύχοντο, ὅπως ἔπρεπε νὰ προσεύχωνται. Διὰ τοῦτο καὶ ἐλάβομεν ἐντολὴν νὰ προσευχώμεθα μὲ προσευχὴν ποὺ ἠμπορεῖ κατ' ἐξοχὴν ν' ἀκουσθῇ. Αὐτὸ τὸ ἐφανέρωσε καὶ πρὶν ἀπὸ αὐτὴν τὴν προσευχήν, ζητῶν ὄχι ἁπλῶς νὰ εἰσακουσθῇ, ἀλλὰ μαζὶ μὲ τὴν προσφορὰν καὶ τῶν ἰδικῶν του. Ποῖα δὲ ἦσαν αὐτά; Τὸ «Θὰ λούζω κάθε νύκτα τὸ κρεββάτι μου καὶ θὰ βρέχω τὸ στρῶμα μου μὲ τὰ δάκρυά μου»[13]· τὸ «Ἀπέκαμα ἀπὸ τοὺς στεναγμούς μου»[14]· τὸ «Φύγετε ἀπὸ κοντά μου ὅλοι ὅσοι διαπράττετε τὴν ἀνομίαν»[15]· τὸ «Ἐπόνεσαν τὰ μάτια μου ἀπὸ τὰ δάκρυα ἐξ αἰτίας τοῦ θυμοῦ σου»[16].

4. Πράγματι ὅλα αὐτὰ εἶναι ἱκανὰ νὰ προσελκύσουν τὸν Θεὸν κοντὰ μας, δηλαδὴ οἱ θρῆνοι, τὰ δάκρυα, οἱ στεναγμοί, ἡ ἀπομάκρυνσις ἀπὸ τοὺς κακούς, καὶ τὸ νὰ φοβούμεθα καὶ νὰ τρέμωμεν τὴν ἀπόφασιν τοῦ Θεοῦ. Καὶ ἀλλοῦ ἔλεγεν· «Εἰσήκουσεν ὁ Θεὸς τὸ δίκαιόν μου καὶ μὲ ἐπαρηγόρησεν κατὰ τὴν ὥραν τῆς θλίψεως»[17]. Διότι ἔτσι κατορθώνεται τὸ νὰ εἰσακουσθῇ ἡ προσευχή μας· Πρῶτα μὲ τὸ νὰ εἴμεθα ἄξιοι νὰ λάβωμεν αὐτὰ ποὺ ζητοῦμεν· ἔπειτα μὲ τὸ νὰ προσευχώμεθα σύμφωνα μὲ τοὺς

νόμους τοῦ Θεοῦ εὔχεσθαι· τρίτον, ἐκ τοῦ συνεχῶς· τέταρτον, ἐκ τοῦ μηδὲν βιωτικὸν αἰτεῖν· πέμπτον, ἐκ τοῦ τὰ συμφέροντα ζητεῖν· ἕκτον, ἐκ τοῦ τὰ παρ' ἑαυτῶν εἰσφέρειν ἅπαντα. Ὅρα γοῦν πολλοὺς οὕτως ἀκουομένους· τὸν Κορνήλιον ἀπὸ τοῦ βίου· τὴν Συροφοινίκισσαν ἀπὸ τῆς προσεδρίας· τὸν Σολομῶντα ἀπὸ τοῦ τρόπου τῆς αἰτήσεως· «Ἀνθ' ὧν γὰρ οὐκ ᾔτησας χρήματα, οὐδὲ ψυχάς, φησίν, ἐχθρῶν σου»· τὸν τελώνην ἀπὸ τῆς ταπεινοφροσύνης»· ἑτέρους ἑτέρωθεν. Ὥσπερ οὖν ἐκ τούτων τὸ ἀκούεσθαι γίνεται, οὕτως ἑτέρωθεν τὸ μὴ ἀκούεσθαι, κἂν δίκαιοι ὦσιν οἱ αἰτοῦντες. Τί γὰρ Παύλου δικαιότερον γέγονεν; Ἀλλ' ἐπειδὴ ἀσύμφορα ᾔτησεν, οὐκ ἠκούσθη. «Ὑπὲρ τούτου», φησί, «τρὶς τὸν Κύριον παρεκάλεσα, καὶ εἶπέ μοι· ἀρκεῖ σοι ἡ χάρις μου». Τί δὲ Μωϋσέως πάλιν δικαιότερον; Ἀλλ' οὐδὲ ἐκεῖνος ἠκούετο, λέγοντος τοῦ Θεοῦ· «Ἱκανούσθω σοι». Ἐπειδὴ γὰρ ᾔτει εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἰσελθεῖν, ἀσύμφορον δὲ τοῦτο ἦν, οὐκ ἐπέτρεψεν ὁ Θεός. Μετὰ τούτων καὶ ἕτερόν ἐστι τὸ ποιοῦν μὴ ἀκούεσθαι, ὅταν τοῖς ἁμαρτήμασιν ἐπιμένοντες εὐχώμεθα. Ὃ καὶ περὶ Ἰουδαίων ἔλεγεν ὁ Θεὸς τῷ Ἱερεμίᾳ· «Μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου. Ἢ οὐχ ὁρᾷς τί οὗτοι ποιοῦσιν;». Οὐκ ἀπέστησαν, φησί, τῆς ἀσεβείας, καὶ σὺ ὑπὲρ αὐτῶν δέησιν ἀναφέρεις; Ἀλλ' οὐκ εἰσακούσομαί σου. Πάλιν ὅταν κατ' ἐχθρῶν αἰτῶμεν, οὐ μόνον οὐκ ἀκουόμεθα, ἀλλὰ καὶ παροξύνομεν. Φάρμακον γάρ ἐστιν ἡ εὐχή, ἀλλ' ἐὰν μὴ εἰδῶμεν, τὸ φάρμακον πῶς ἐπιθέναι χρή, οὐδὲ τὴν ὄνησιν αὐτοῦ καρπούμεθα.

---

18. Πράξ. 10, 4 ἑ.
19. Ματθ. 15, 28.
20. Γ' Βασ. 3, 11.
21. Λουκᾶ 18, 14.
22. Β' Κορ. 12, 8 - 9.
23. Δευτ. 3, 26.
24. Ἱερ. 7, 16 - 17.

νόμους τοῦ Θεοῦ· τρίτον μὲ τὸ νὰ εἶναι συνεχὴς ἡ προσευχή μας· τέταρτον, μὲ τὸ νὰ μὴ ζητοῦμεν τίποτε τὸ βιωτικόν· πέμπτον μὲ τὸ νὰ ζητοῦμεν ἐκεῖνο πού μᾶς συμφέρει· ἕκτον μὲ τὸ νὰ προσφέρωμεν ὅλα τὰ ἰδικά μας. Πρόσεχε λοιπὸν πολλοὺς ποὺ εἰσηκούσθησαν κατ' αὐτὸν τὸν τρόπον· τὸν Κορνήλιον ἀπὸ τὸν τρόπον ζωῆς του[18]· τὴν Συροφοινίκισσαν ἀπὸ τὴν ἐπιμονήν της[19]· τὸν Σολομῶντα ἀπὸ τὸν τρόπον τῆς αἰτήσεώς του· «Ἐπειδή», λέγει, «δὲν ἐζήτησες χρήματα, οὔτε τὸν θάνατον τῶν ἐχθρῶν σου»[20]· τὸν τελώνην ἀπὸ τὴν ταπεινοφροσύνην του[21] καὶ ἄλλους κατ' ἄλλον τρόπον. Ὅπως ἀκριβῶς λοιπὸν ἀπὸ αὐτὰ ἐξαρτᾶται τὸ νὰ εἰσακουσθῇ ἡ προσευχή μας, ἔτσι καὶ ἀπὸ ἄλλα τὸ νὰ μὴ εἰσακουσθῇ, καὶ ἂν ἀκόμη εἶναι ἐνάρετοι αὐτοὶ πού ζητοῦν. Πράγματι ποῖος ὑπῆρξεν πιὸ ἐνάρετος ἀπὸ τὸν Παῦλον; Ἀλλ' ἐπειδὴ ἐζήτησεν ἀσύμφορα, δὲν εἰσηκούσθη. «Δι' αὐτὸ τὸ πρᾶγμα τρεῖς φορές», λέγει, «παρεκάλεσα τὸν Κύριον καὶ μοῦ εἶπε· σοῦ εἶναι ἀρκετὴ ἡ χάρις μου»[22]. Ποῖος δέ ὑπῆρξε πάλιν δικαιότερος ἀπὸ τὸν Μωυσῆν; Ἀλλ' οὔτε ἐκεῖνος ἠκούετο καὶ ἤκουεν ἀπὸ τόν Θεὸν νὰ τοῦ λέγῃ· «Σοῦ εἶναι ἀρκετὰ αὐτά»[23]. Ἐπειδὴ δηλαδὴ ἐζητοῦσε νὰ εἰσέλθῃ εἰς τὴν γῆν τῆς ἐπαγγελίας, τοῦ ἦτο δὲ αὐτὸ ἀσύμφορον, δὲν τὸ ἐπέτρεψεν ὁ Θεός. Μαζὶ δέ μὲ αὐτὰ καὶ ἄλλο ἕνα ὑπάρχει πού κάνει νὰ μὴ εἰσακουώμεθα, ὅταν προσευχώμεθα ἐνῷ ἐπιμένομεν εἰς τὴν διάπραξιν ἁμαρτημάτων, πρᾶγμα πού ἔλεγεν ὁ Θεὸς εἰς τὸν Ἱερεμίαν καὶ διὰ τοὺς Ἰουδαίους· «Μὴ προσεύχεσαι δι' αὐτὸν τὸν λαόν. Ἢ μήπως δὲν βλέπεις τί κάμνουν αὐτοί;»[24]. Δὲν ἀπεμακρύνθησαν, λέγει, ἀπὸ τὴν ἀσέβειαν καὶ σὺ προσεύχεσαι δι' αὐτούς. Ἀλλὰ δὲν θὰ ἀκούσω τὴν προσευχήν σου. Πάλιν ὅταν ζητῶμεν κάτι ἐναντίον τῶν ἐχθρῶν μας, ὄχι μόνον δὲν εἰσακουόμεθα, ἀλλὰ καὶ τὸν παροργίζομεν. Διότι ἡ προσευχὴ εἶναι φάρμακον, ἀλλ' ἐὰν δὲν γνωρίζωμεν, πῶς πρέπει νὰ τὸ χρησιμοποιοῦμεν, δὲν καρπούμεθα τὴν ὠφέλειάν του. Ἂς ἴδοῦμεν λοιπὸν τί λέ-

Ἴδωμεν τοίνυν τί καὶ οὗτος εὐχόμενός φησι.

«Κύριε ὁ Θεός μου, εἰ ἐποίησα τοῦτο». Τί ἐστιν, «Εἰ ἐποίησα τοῦτο»; Ὃ πάσχω, φησίν, εἰ ἐπανέστην πατρί, εἰ παρηνόμησα οὕτως. Ἀλλ' οὐδὲ ἐνταῦθα ὀνομαστὶ πάλιν ἀνέχεται τὸν ἀδικήσαντα εἰπεῖν, ἀλλ' ὑπὲρ τοῦ παιδὸς αἰσχύνεται καὶ ἐρυθριᾷ. Οἷον ἂν εἴ τις εὐγενὴς ἄνθρωπος τὴν ἑαυτοῦ γυναῖκα μοιχευομένην ὁρῶν, μηδὲ ὀνομαστὶ τὸ ἁμάρτημα εἰς τὸ μέσον ἀγαγεῖν κατεδέχοιτο· οὕτω δὴ καὶ οὗτος· οὐκ εἶπεν, 'εἰ κατεξανέστην τοῦ γεγεννηκότος, εἰ πατραλοίας ἐγενόμην', ἀλλά, «Εἰ ἐποίησα τοῦτο». Καὶ τί λέγω τοῦτο, φησί; Ποία γὰρ ἀρετὴ τὸ μὴ γενέσθαι πατραλοίαν, ὅπερ οὐδὲ ἐν τοῖς θηρίοις ἴδοι τις ἄν; «Εἰ ἔστιν ἀδικία ἐν χερσί μου». Οὐ λέγω περὶ τῆς ἀδικίας ταύτης· ἀλλ' οὐδὲ ἑτέρα ἂν εὑρεθείη, φησίν, οὖσα ἐν χερσί μου ἀδικία. Ταῦτα δὲ λέγει, οὐ μεγαληγορῶν, ἀλλ' εἰς ἀνάγκην ἐμπεσὼν τοῦ τὰ ἑαυτοῦ κατορθώματα εἰπεῖν. Ἀλλ' οὐδὲ οὕτω που μέγα τοῦτο πρὸς τὸ μέλλον ρηθήσεσθαι. Τί δὲ τοῦτό ἐστιν; «Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά», φησί.

Προσέχετε μετὰ ἀκριβείας. Οὐ γὰρ τὸ τυχόν ἐστι τὸ εἰρημένον. Καλὸν μὲν γὰρ τὸ μὴ ἀδικεῖν· πολλῷ δὲ μεῖζον, καὶ φιλοσόφου ψυχῆς, τὸ τὸν ἀδικοῦντα μὴ ἀμύνεσθαι. Καίτοι γε ὁ νόμος τοῦτο παρεῖχεν, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ κελεύων, καὶ ὀδόντα ἀντὶ ὀδόντος ἐκκόπτειν· καὶ οὐκ ἦν παράβασις νόμου τὸ γινόμενον· ἀλλ' οὕτω φιλόσοφος ἦν οὗτος, ὡς μὴ μόνον μὴ παραβαίνειν τὸν νόμον, ἀλλὰ καὶ ἐκ πολλοῦ τοῦ

25. Δευτ. 19, 21.

γει καὶ αὐτὸς προσευχόμενος.

«Κύριε ὁ Θεός μου, ἐὰν πράγματι ἔκαμα αὐτό». Τί σημαίνει, «Εἰ ἐποίησα τοῦτο»; Αὐτὸ ποὺ παθαίνω, λέγει, ἐὰν ἐπαναστάτησα ἐναντίον τοῦ πατρός μου, ἐὰν διέπραξα τέτοιαν παρανομίαν. Ἀλλ' οὔτε ἐδῶ πάλιν ἀνέχεται νὰ ὀνομάσῃ μὲ τὸ ὄνομά του αὐτὸν ποὺ τὸν ἠδίκησεν, ἀλλὰ νοιώθει ἐντροπὴν καὶ κοκκινίζει ἀπὸ ἐντροπὴν διὰ τὸ παιδί του. Ὅπως ἐπὶ παραδείγματι, ἐὰν συνέβαινε κάποιος πνευματικὰ ἀνώτερος ἄνθρωπος νὰ ἰδῇ τὴν γυναῖκα του νὰ διαπράττῃ μοιχείαν καὶ νὰ μὴ κατεδέχετο οὔτε τὸ ἁμάρτημα νὰ ὀνομάσῃ παρουσίᾳ ἄλλων· ἔτσι λοιπὸν καὶ αὐτός, δὲν εἶπεν, 'ἐὰν ἐπαναστάτησα ἐναντίον τοῦ πατρός μου, ἐὰν ἔγινα πατροκτόνος', ἀλλά, «Ἐὰν ἔκαμα αὐτό. Καὶ διατί, λέγει, νὰ ἀναφέρω αὐτό; Διότι ποία ἀρετὴ εἶναι τὸ νὰ μὴ γίνῃ κανεὶς πατροκτόνος, πρᾶγμα ποὺ δὲν θὰ ἠμποροῦσε νὰ τὸ ἰδῇ κανεὶς οὔτε εἰς τὰ θηρία; «Ἐὰν διέπραξα μὲ τὰ χέρια μου ἀδικίαν». Δὲν λέγω δι' αὐτὴν τὴν ἀδικίαν, ἀλλ' οὔτε ἄλλη ἀδικία, λέγει, θὰ ἠμποροῦσε νὰ εὑρεθῇ ποὺ νὰ ἔγινε μὲ τὰ χέρια μου. Αὐτὰ δὲ τὰ λέγει ὄχι διὰ νὰ καυχηθῇ, ἀλλ' ἐπειδὴ ἠναγκάσθη νὰ ὁμιλήσῃ διὰ τὰ κατορθώματά του. Ἀλλ' οὔτε καὶ αὐτὸ βέβαια εἶναι τόσον μεγάλο ἐν συγκρίσει μὲ ἐκεῖνο ποὺ πρόκειται νὰ λεχθῇ. Ποῖο δὲ εἶναι αὐτό; «Ἐὰν ἀνταπέδωσα», λέγει, «κακὸν εἰς ἐκείνους ποὺ μοῦ ἀνταποδίδουν κακά».

Προσέχετε μὲ ἀκρίβειαν. Διότι δὲν εἶναι τυχαῖον αὐτὸ ποὺ ἐλέχθη. Εἶναι πράγματι καλὸν τὸ νὰ μὴ ἀδικῇ κανείς, ὅμως εἶναι πολὺ πιὸ σπουδαιότερον καὶ δεῖγμα εὐσεβοῦς ψυχῆς, τὸ νὰ ἀμύνεται ἐκεῖνος ποὺ ἀδικεῖται. Ἂν καὶ βέβαια ὁ νόμος τοῦ παρεῖχεν αὐτὸ τὸ δικαίωμα, ἀφοῦ διέτασσε νὰ βγάζῃ κανεὶς ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα ἀντὶ ὀδόντος[25], καὶ δὲν ἦτο τὸ γεγονὸς αὐτὸ παράβασις νόμου, ἀλλ' αὐτὸς ἦτο τόσον εὐσεβής, ὥστε ὄχι μόνον νὰ μὴ παραβαίνῃ τὸν νόμον, ἀλλὰ καὶ νὰ ὑπερβαίνῃ κατὰ πολὺ τὸν ὑπάρχοντα νόμον, καὶ νὰ πηδᾷ πιὸ ἐπά-

περιόντος ὑπερβαίνειν, καὶ ὑπὲρ τὰ σκάμματα πηδᾶν. Οὐ γὰρ ἐνόμιζεν ἀρκεῖν εἰς ἀρετήν, εἰ μὴ καὶ ὑπερακοντίσειε τὰ προστάγματα.

Ὥσπερ οὖν καὶ Παῦλος ἐποίει, κελευόμενος ἐκ τοῦ εὐαγγελίου ζῆν, καὶ μὴ ζῶν, ἀλλ' ἀδάπανον τιθεὶς τὸ εὐαγγέλιον· οὕτω τοίνυν καὶ ὁ μακάριος Δαυίδ, τοῦ νόμου διδόντος ἀμύνεσθαι τὸν ἀδικοῦντα, οὐκ ἔμεινεν ἐν τῷ μέτρῳ τούτῳ, ἀλλὰ καὶ ὑπερηκόντισεν. Ἡμεῖς δὲ οὐ τοῦτο ἀπαιτούμεθα μόνον τὸ μὴ ἀνταποδιδόναι, ἀλλὰ καὶ τὸ εὐεργετεῖν. «Εὔχεσθε» γάρ, φησίν, «ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς». Ἐπὶ δὲ τοῦ Δαυὶδ οὐ μικρὸν τὸ μὴ ἀμύνεσθαι, ἀλλὰ καὶ πολλῷ μεῖζον τοῦ νομικοῦ παραγγέλματος. Διό φησιν, Εἰ ἐποίησα τοῦτο, εἰ ἔστιν ἀδικία ἐν χερσί μου· εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά. Ἐπὶ μὲν γὰρ τοῦ παιδὸς καὶ ἡ φύσις ἐκώλυεν· ἀλλ' εἰ ἑτέρους, φησίν, ἠδίκησα, ἢ καὶ ἠμυνάμην.

Ποίαν οὖν σχοίημεν συγγνώμην ἡμεῖς, ποίαν δὲ ἀπολογίαν, μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν μὴ φθάνοντες εἰς τὰ μέτρα τῶν ἐν τῇ Παλαιᾷ πολιτευομένων, καὶ ταῦτα πολλὴν περισσείαν ἀπαιτούμενοι; Ἐὰν γὰρ μὴ περισσεύσῃ, φησίν, ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». Ὥσπερ γὰρ οὐκ ἔστιν ἴσος ὁ ἐν τῷ νόμῳ τὰ αὐτὰ κατορθῶν τῷ πρὸ τοῦ νόμου, οὕτως οὔτε ὁ ἐν τῇ χάριτι τῷ ἐν τῷ νόμῳ, ἀλλὰ καὶ ἀπὸ τοῦ καιροῦ πολλὴ γίνεται ἡ διαφορά. Τοῦτο δεικνὺς ὁ Παῦλος καὶ ἐπὶ

26. Α' Κορ. 9, 14 καὶ 18.
27. Ματθ. 5, 44.
28. Ματθ. 5, 20.

νω ἀπὸ τὰ σκάμματα. Διότι δὲν ἐθεωροῦσεν ἀρκετὴν τὴν ἀρετὴν ἐὰν δὲν ὑπερέβαινε τὰ προστάγματα.

Ὅπως ἀκριβῶς λοιπὸν ἐνεργοῦσεν ὁ Παῦλος, ἐνῷ ἐλάμβανεν ἐντολὴν νὰ ζῇ ἀπὸ τὸ εὐαγγέλιον, αὐτὸς δὲν ἔζοῦσεν, ἀλλ᾽ ἔκαμε τὸ εὐαγγέλιον ἀδάπανον[26], ἔτσι λοιπὸν καὶ ὁ μακάριος Δαυΐδ, ἐνῷ ὁ νόμος ἔδιδε τὸ δικαίωμα εἰς τὸν ἀδικούμενον νὰ ἀμύνεται, δὲν ἔμεινεν εἰς αὐτὸ τὸ μέτρον, ἀλλὰ καὶ τὸ ἐξεπέρασεν. Ἀπὸ ἡμᾶς ὅμως δὲν ζητεῖται μόνον αὐτό, τὸ νὰ μὴ ἀνταποδίδωμεν δηλαδὴ τὰ ἴδια, ἀλλὰ καὶ νὰ εὐεργετοῦμεν. Διότι λέγει· «Προσεύχεσθε δι᾽ ἐκείνους ποὺ σᾶς βλάπτουν, καὶ εὐεργετεῖτε ἐκείνους ποὺ σᾶς μισοῦν»[27]. Διὰ τὸν Δαυΐδ ὅμως δὲν ἦτο μικρὸν πρᾶγμα τὸ νὰ μὴ ἀμύνεται, ἀλλὰ καὶ πολὺ πιὸ μεγαλύτερον ἀπὸ τὸ νομικὸν παράγγελμα. Διὰ τοῦτο λέγει· «Ἐὰν ἔκαμα αὐτό, ἐὰν διέπραξα μὲ τὰ χέρια μου ἀδικίαν· ἐὰν ἀνταπέδωσα κακὸν εἰς ἐκείνους ποὺ μοῦ ἀνταποδίδουν κακά». Διότι εἰς τὴν περίπτωσιν τοῦ παιδιοῦ του ἠμπόδιζε καὶ ἡ φυσικὴ συγγένεια, δι᾽ αὐτὸ λέγει, ἐὰν ἠδίκησα ἄλλους καὶ ἐὰν ἐπρόβαλλα ἄμυναν εἰς ἐκείνους ποὺ μὲ ἠδίκησαν.

Ποίαν λοιπὸν συγγνώμην καὶ ποίαν ἀπολογίαν θὰ ἦτο δυνατὸν νὰ ἔχωμεν ἡμεῖς, ποὺ μετὰ τὸν ἐρχομὸν τοῦ Χριστοῦ δὲν φθάνομεν εἰς τὰ μέτρα ἐκείνους ποὺ ἔζησαν εἰς τὴν ἐποχὴν τῆς Π. Διαθήκης, καὶ ὅλα αὐτὰ τὴν στιγμὴν ποὺ μᾶς ζητοῦνται πολὺ περισσότερα; Διότι λέγει· «Ἐὰν δὲν ξεπεράση ἡ ἀρετή σας τὴν ἀρετὴν τῶν Φαρισαίων, δὲν θὰ εἰσέλθετε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν»[28]. Ὅπως ἀκριβῶς λοιπὸν δὲν εἶναι ἴσος ἐκεῖνος ποὺ, ἐνῷ ἔζησε κατὰ τὴν ἐποχὴν τοῦ νόμου, κατορθώνει τὰ ἴδια μὲ ἐκεῖνον ποὺ ἔζησε πρὶν ἀπὸ τὸν νόμον, ἔτσι δὲν εἶναι ἴσος οὔτε ἐκεῖνος ποὺ ζῇ εἰς τὴν ἐποχὴν τῆς χάριτος μὲ ἐκεῖνον ποὺ ἔζησε κατὰ τὴν ἐποχὴν τοῦ νόμου, ἀλλ᾽ ἡ διαφορὰ γίνεται μεγάλη καὶ ἀπὸ τὴν ἐποχὴν εἰς τὴν ὁποίαν πραγματοποιεῖται. Διὰ νὰ δείξῃ αὐτὸ ὁ Παῦλος καὶ εἰς τὴν

τῆς κακίας καὶ ἐπὶ τῆς ἀρετῆς, ὅρα κἀκείνους πῶς μειζόνως θαυμάζει, καὶ τούτους μείζονος τιμωρίας ἀξίους ἀποφαίνει εἶναι, οὕτω λέγων· «Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσι νόμος».

5. Εἶδες πῶς τοὺς χωρὶς νόμου κατορθοῦντας ἐπαινεῖ καὶ ἀνακηρύττει; Ὅρα πάλιν καὶ τοὺς ἐν τῇ χάριτι ἁμαρτάνοντας πῶς μείζονος κολάσεως ἀξίους εἶναι δείκνυσι τῶν ἐν τῷ νόμῳ διαμαρτόντων, οὕτω λέγων· «Ἀθετήσας τις νόμον Μωϋσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει· πόσῳ, δοκεῖτε, χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος;». Καὶ πάλιν τοὺς πρὸ τοῦ νόμου ἐλάττονος δεικνὺς τιμωρίας ἀξίους ὄντας τῶν ἐν τῷ νόμῳ παραβάντων, «Ὅσοι», φησίν, «ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται», τουτέστιν, ἡμερώτερον, οὐκ ἔχοντες τὸν νόμον κατήγορον, ἀλλὰ τὴν φύσιν μόνον, «Ὅσοι δὲ ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται»· τουτέστι, βαρύτερον, ἔχοντες μετὰ τῆς φύσεως καὶ τὸν νόμον κατήγορον.

«Ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός. Καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου, καὶ καταλάβοι, καὶ καταπατήσαι εἰς γῆν τὴν ζωήν μου, καὶ τὴν δόξαν μου εἰς χοῦν κατασκηνώσαι». Εἶδες παρρησίαν δικαίου καὶ ἄριστον συνειδός; Εἰ γὰρ μὴ σφόδρα ἑαυτῷ ἐθάρρει, οὐκ ἂν τοιαῦτα ἐπη-

29. Ρωμ. 2, 14.
30. Ἑβρ. 10, 28 - 29.
31. Ρωμ. 2, 12.

περίπτωσιν τῆς κακίας καὶ εἰς τὴν περίπτωσιν τῆς ἀρετῆς, πρόσεχε πῶς καὶ ἐκείνους θαυμάζει περισσότερον καὶ παρουσιάζει αὐτοὺς ἀξίους μεγαλυτέρας τιμωρίας, λέγων τὰ ἑξῆς· «Ὅταν λοιπόν οἱ ἐθνικοί, ποὺ δὲν ἔχουν νόμον, ἐφαρμόζουν ἐκ φύσεως τὰς διατάξεις τοῦ νόμου, τότε, ἂν καὶ δὲν ἔχουν νόμον, ἔχουν ὡς νόμον τὸν ἑαυτόν των»[29].

5. Εἶδες πῶς ἐπαινεῖ καὶ ἀναγνωρίζει ἐκείνους ποὺ ἀσκοῦν τὴν ἀρετὴν χωρὶς τὸν νόμον; Πρόσεχε πάλιν καὶ πῶς δείχνει ὅτι εἶναι ἄξιοι μεγαλυτέρας τιμωρίας ἐκεῖνοι ποὺ ἁμαρτάνουν ζῶντες εἰς τὴν ἐποχὴν τῆς χάριτος ἀπὸ ἐκείνους ποὺ ἡμάρτησαν κατὰ τὴν ἐποχὴν τοῦ νόμου, λέγων τὰ ἑξῆς· «Ἂν παραβῇ κανεὶς τὸν νόμον τοῦ Μωϋσέως θανατώνεται χωρὶς εὐσπλαγχνίαν μὲ τὴν κατάθεσιν δύο ἢ τριῶν μαρτύρων, πόσον χειροτέρας, νομίζετε, τιμωρίας θὰ εἶναι ἄξιος ἐκεῖνος ποὺ περιεφρόνησε τὸν Υἱόν τοῦ Θεοῦ καὶ ἐθεώρησεν ὡς κοινὸν τὸ αἷμα τῆς διαθήκης;»[30]. Καὶ πάλιν διὰ νὰ δείξῃ, ὅτι ἐκεῖνοι ποὺ ἡμάρτησαν πρὶν ἀπὸ τὸν νόμον εἶναι ἄξιοι μικροτέρας τιμωρίας ἀπὸ ἐκείνους ποὺ ἡμάρτησαν κατὰ τὴν ἐποχὴν τοῦ νόμου, λέγει· «Ὅσοι ἡμάρτησαν χωρὶς τὸν νόμον, χωρὶς τόν νόμον καὶ θὰ τιμωρηθοῦν», δηλαδὴ ἐλαφρότερα, χωρὶς νὰ ἔχουν κατήγορον τὸν νόμον, ἀλλὰ μόνον τὸν φυσικὸν νόμον, «Ὅσοι ὅμως ἡμάρτησαν κατὰ τὴν ἐποχὴν ποὺ ἴσχυεν ὁ νόμος, θὰ κριθοῦν μὲ τὸν νόμον»[31], δηλαδὴ βαρύτερον, ἔχοντες κατήγορον μαζὶ μὲ τόν φυσικόν νόμον καὶ τὸν νόμον τοῦ Μωϋσέως.

«Μακάρι νὰ πέσω ἔξω καὶ νὰ νικηθῶ ἀπὸ τοὺς ἐχθρούς μου χωρὶς καμμίαν ἐλπίδα πρὸς κανένα. Ἂς μὲ καταδιώξῃ τότε ὁ ἐχθρός μου καὶ ἂς μὲ συλλάβῃ καὶ ἂς μὲ ποδοπατήσῃ εἰς τὴν γῆν καὶ ἂς θάψῃ μέσα εἰς τὸ χῶμα τὴν δόξαν μου». Εἶδες παρρησίαν δικαίου καὶ ἀγαθὴν συνείδησιν; Διότι ἐὰν δὲν εἶχε τόσην αὐτοπεποίθησιν, δὲν θὰ ἦτο δυνατὸν νὰ κάμῃ διὰ τὸν ἑαυτόν του τέτοιου εἴδους

ρᾶτο. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· εἰ ἠδίκησα, εἰ ἠμυνάμην, τὰ καὶ τὰ πάθοιμι· καὶ καθ' ἑαυτοῦ τὴν ψῆφον ἐκφέρει, καὶ οὐκ ἀξιοῖ κατὰ τὸ μέτρον κριθῆναι, ἀλλὰ πολλῷ μᾶλλον ὑπὲρ τὴν ἀξίαν διδόναι τὴν δίκην· καὶ ὑπεύθυνον ἑαυτὸν ποιεῖ κολάσει, ἧς ὁ νόμος αὐτὸν εἴργει. Καὶ ὅρα ποία αὐτή· «Ἀποπέσοιμι», φησίν, «ἀπὸ τῶν ἐχθρῶν μου κενός. Καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου, καὶ καταλάβοι, καὶ καταπατήσαι εἰς γῆν τὴν ζωήν μου, καὶ τὴν δόξαν μου εἰς χοῦν κατασκηνώσαι». Τουτέστιν, ἄτιμον, ἀνώνυμον ἀπολέσειε, μετὰ τῆς ζωῆς μου καὶ τὴν δόξαν μου διαφθείρειε. Τί ἐστι, «Καὶ τὴν δόξαν μου εἰς χοῦν κατασκηνώσαι»; Ταπεινώσαι, πατήσαι· γενοίμην ἕτοιμος τοῖς ἐχθροῖς, φησί. Τί γένοιτ' ἂν μιαρώτερον τοῦ Ἀβεσσαλώμ, ὅστις πατέρα, καὶ πατέρα τοιοῦτον, οὕτως ἥμερον καὶ ἐπιεικῆ, ἐδίωκεν, ἀσελγὴς ὢν καὶ ἀκόλαστος καὶ ὑβριστής;

Τί οὖν; οὐκ ἀπέδωκε τοῖς ἀνταποδιδοῦσιν αὐτῷ κακά, οὐδὲ ἐμνησικάκησεν; Οὐδαμῶς. Κἂν ἐξετάσῃς τοῦ Σαοὺλ τὴν ἱστορίαν, τότε μάλιστα ὄψει ταύτην τὴν φωνὴν διαλάμπουσαν. Τὸν γὰρ μετὰ μυρίας εὐεργεσίας, καὶ τὰ τρόπαια, καὶ τὰς νίκας ἀδικοῦντα, καὶ ἐπιβουλεύοντα, καὶ ἀνελεῖν καθ' ἑκάστην ἐπιθυμοῦντα τὴν ἡμέραν, λαβὼν εἰς χεῖρας καὶ ἅπαξ, καὶ δίς, καὶ πολλάκις καθεύδοντα, καὶ καθάπερ ἐν δεσμωτηρίῳ συγκεκλεισμένον, καὶ δορυφόρων ἔρημον, πολλῶν ἐγκελευομένων σφάξαι καὶ ἀνελεῖν, ἐφείσατο, καὶ τῆς ὀργῆς ἐκράτησε, καὶ ταῦτα εἰδώς, ὅτι ἀφεὶς αὐτὸν διαφυγεῖν, πολέμιον ἀφήσει ἑαυτῷ καὶ ἐχθρὸν ἀκατάλλακτον. Ἀλλ' ὅμως

---

32. Ψαλμ. 7. 6.

βαρείας εὐχάς. Ἐκεῖνο δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Ἐὰν ἠδίκησα, ἐὰν ἐπρόβαλα ἄμυναν, τότε ἂς πάθω αὐτὰ καὶ αὐτά· βγάζει δὲ ἀπόφασιν κατὰ τοῦ ἑαυτοῦ του καὶ δὲν ζητεῖ νὰ κριθῇ κατ' ἀναλογίαν, ἀλλὰ νὰ τιμωρηθῇ πολὺ περισσότερον ἀπὸ αὐτὸ ποὺ πρέπει· καὶ θεωρεῖ τὸν ἑαυτόν του ὑπεύθυνον διὰ τιμωρίαν, ἀπὸ τὴν ὁποίαν ὁ νόμος τὸν ἀπήλλασσεν. Καὶ πρόσεχε ποία εἶναι αὐτή· «Εἴθε νὰ πέσω ἔξω καὶ νὰ νικηθῶ», λέγει, «ἀπὸ τοὺς ἐχθρούς μου χωρὶς καμμίαν ἐλπίδα πρὸς κανένα. Ἂς μὲ καταδιώξῃ τότε ὁ ἐχθρός μου καὶ ἂς μὲ συλλάβῃ καὶ ἂς μὲ ποδοπατήσῃ εἰς τὴν γῆν καὶ ἂς θάψῃ μέσα εἰς τὸ χῶμα τὴν δόξαν μου». Δηλαδὴ ἂς μὲ ἐξαφανίσῃ ὡς ἄτιμον καὶ ἄσημον καὶ ἂς καταστρέψῃ μαζὶ μὲ τὴν ζωήν μου καὶ τὴν δόξαν μου. Τί σημαίνει, «Καὶ τὴν δόξαν μου εἰς χοῦν κατασκηνώσαι»[32]; Ἂς μὲ ταπεινώσῃ, ἂς μὲ ποδοπατήσῃ· εἶμαι, λέγει, ἕτοιμος νὰ παραδωθῶ εἰς τοὺς ἐχθρούς μου. Τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ μιαρώτερον ἀπὸ τὸν Ἀβεσσαλώμ, ποὺ, ἐπειδὴ αὐτὸς ἦτο ἀσελγής, ἀκόλαστος καὶ ὑβριστής, κατεδίωκε τὸν πατέρα του, καὶ μάλιστα ἕνα πατέρα τόσον ἤπιον καὶ ἐπιεικῆ;

Τί λοιπόν; δὲν ἀνταπέδωσε κακὰ εἰς ἐκείνους ποὺ τὸν ἀνταπέδωσαν οὔτε ἐκράτησε κακίαν ἐναντίον των; Καθόλου. Καὶ ἐὰν ἐξετάσῃς τὴν ἱστορίαν τοῦ Σαούλ, τότε πρὸ πάντων θὰ ἴδῃς νὰ διαλάμπῃ αὐτὴ ἡ φωνή. Διότι ἐκεῖνον ποὺ, μετὰ ἀπὸ ἀμετρήτους εὐεργεσίας καὶ τρόπαια καὶ νίκας, τὸν ἀδικοῦσε καὶ τὸν ἐπεβουλεύετο καὶ ἐπιθυμοῦσε καθημερινὰ νὰ τὸν φονεύσῃ, ἀφοῦ τὸν συνέλαβε μίαν καὶ δύο καὶ πολλές φορὲς ἐνῷ ἐκοιμᾶτο καὶ ἦτο ὡσὰν νὰ ἦτο φυλακισμένος καὶ χωρὶς συντρόφους, καὶ ἐνῷ πολλοὶ τὸν προέτρεπαν νὰ τὸν σφάξῃ καὶ νὰ τὸν ἐξαφανίσῃ, τὸν ἐλυπήθη καὶ ἐσυγκράτησε τὴν ὀργήν του, καὶ ὅλα αὐτὰ ἂν καὶ ἐγνώριζεν, ὅτι ἂν τὸν ἀφήσῃ νὰ φύγῃ, θ' ἀφήσῃ διὰ τὸν ἑαυτόν του πολέμιον καὶ ἐχθρὸν ἄσπονδον καὶ ἀσυμφιλίωτον. Ὅμως οὔτε ἡ ἀνάμνησις τῶν γεγο-

οὔτε ἡ μνήμη τῶν παρελθόντων, οὔτε ὁ φόβος τῶν μελλόντων, οὔτε ἄλλο τῶν τοιούτων οὐδὲν εἰς τὴν σφαγὴν αὐτὸν ἐξήγαγεν ἐκείνην, ἀλλ' ἐφιλοσόφει, καὶ τῆς χειρὸς ἐκράτει, καὶ τὸν θυμὸν ἐχαλίνου, καὶ ᾑρεῖτο κινδυνεύειν καὶ ἐπιβουλεύεσθαι μᾶλλον, καὶ τῆς πατρίδος αὐτῆς ἐκπεσεῖν καὶ τῆς ἐλευθερίας, ἢ τὸν ἐχθρὸν τὸν εἰκῇ καὶ μάτην αὐτῷ ἐπιβουλεύοντα, τὸν μετὰ μυρίας εὐεργεσίας φονῶντα, σφάξαι καὶ ἀνελεῖν.

Καὶ ἐξ ἑτέρων δὲ πλειόνων ἐστὶν ἰδεῖν τὴν φιλόσοφον αὐτοῦ διάνοιαν· διὸ καὶ ἐπαρᾶται αὐτῷ πολλὰ καὶ χαλεπά, οἷον τὸ ἄπρακτον ἐπανελθεῖν, τὸ τοὺς ἐχθροὺς κρατῆσαι μετὰ πολλῆς τῆς παρουσίας αὐτοῦ, τὸ ἀνώνυμον ἀποθανεῖν, τὸ παρὰ πολεμίων τοῦτο παθεῖν, ὃ πολὺ τοῦ θανεῖν χαλεπώτερον εἶναι δοκεῖ· διὸ καὶ μυρία μηχανήματα ποιεῖ, πρὸς τὸ μετὰ τὴν τελευτὴν μνημονεύεσθαι. Ὅρα τοίνυν ὅσα ἑαυτῷ ἐπαρᾶται· τὸ ἀνήνυτα πονεῖν, τὸ ὑπὸ τῶν ἐχθρῶν ἡττηθῆναι, τὸ ἀποθανεῖν, τὸ μηδὲ κοινῇ τῇ τελευτῇ, τὸ καὶ τὴν μνήμην αὐτοῦ ἐξαλειφθῆναι, τὸ μετὰ ἀτιμίας· οὐκ ἂν τοσαῦτα ἑαυτῷ ἐπαρασάμενος, εἰ μὴ σφόδρα ἐθάρρει τῷ συνειδότι. Εἰ δὲ ἐχθρὸν εἶχεν, οὐδὲν τοῦτο ἐκείνῳ ἔγκλημα· οὐ γὰρ αὐτὸς παρεῖχε λαβάς. Ποίαν γὰρ λαβὴν ἔδωκε τῷ παιδί; ποίαν τῷ Σαούλ; Οὐχὶ τὸν μὲν ἄξια τιμωρίας πράξαντα, πρὸς καιρὸν σωφρονίσας, ἐπανήγαγε καὶ ἀνεκτήσατο, τὸν δὲ φονῶντα κατ' αὐτοῦ, πολλάκις εἰς χεῖρας λαβὼν διέσωσε;

Μὴ τοίνυν τοῦτο σκόπει, εἰ ἐχθροὺς εἶχεν, ἀλλ' εἰ αὐτὸς αὐτοὺς κατεσκεύασεν. Οὔτε γὰρ ὁ Χριστὸς τοῦτο ἐκέλευσε.

---

33. Β΄ Βασ. 14, 21 ἑ.
34. Α΄ Βασ. κεφ. 24.

νότων τοῦ παρελθόντος οὔτε ὁ φόβος τῶν μελλοντικῶν οὔτε τίποτε ἄλλο παρόμοιον τὸν ὡδήγησεν εἰς τὴν σφαγὴν ἐκείνην, ἀλλ' ἔδειχνεν εὐσέβειαν καὶ ἐσυγκρατοῦσε τὰ χέρια του καὶ ἐχαλιναγωγοῦσε τὸν θυμόν του καὶ ἐπροτιμοῦσε μᾶλλον νὰ κινδυνεύῃ καὶ νὰ ἐπιβουλεύεται καὶ νὰ χάσῃ τὴν πατρίδα του καὶ τὴν ἐλευθερίαν του, παρὰ νὰ σφάξῃ καὶ νὰ ἐξολοθρεύσῃ τὸν ἐχθρόν του ποὺ τὸν ἐπεβουλεύθῃ ἄδικα καὶ ἄσκοπα καὶ ἤθελε νὰ τὸν φονεύσῃ μετὰ ἀπὸ ἀμετρήτους εὐεργεσίας.

Καὶ ἀπὸ πολλὰ ἄλλα δέ εἶναι δυνατὸν νὰ ἰδοῦμεν τὴν εὐσεβῆ σκέψιν του· διὰ τοῦτο καὶ καταρᾶται διὰ τὸν ἑαυτόν του πολλὰς καὶ βαρείας κατάρας, ἐπὶ παραδείγματι τό νὰ ἐπιστρέψῃ ἄπρακτος, τὸ νὰ τὸν νικήσουν οἱ ἐχθροὶ του κατὰ τρόπον συντριπτικόν, τὸ νὰ ἀποθάνῃ ὡς ἄσημος, τό νὰ τὸ πάθῃ αὐτό ἀπὸ τοὺς ἐχθρούς του, πρᾶγμα που θεωρεῖται πολὺ πιὸ χειρότερον ἀπὸ τὸν φυσικὸν θάνατον· διὰ τοῦτο καὶ κάμνει ἀμετρήτους σκέψεις, ὥστε νὰ μὴ μνημονεύεται μετὰ τὸν θάνατόν του. Πρόσεχε λοιπὸν πόσας κατάρας κάμνει διὰ τὸν ἑαυτόν του· τὸ νὰ ὑποφέρῃ ἀσταμάτητα, τὸ νὰ νικηθῇ ἀπὸ τοὺς ἐχθρούς του, τὸ ν' ἀποθάνῃ, καὶ μάλιστα ὄχι μὲ κοινὸν θάνατον, τὸ νὰ ἐξαλειφθῇ καὶ ἡ ἀνάμνησις αὐτοῦ, τὸ ν' ἀποθάνῃ ἀτιμασμένος· δὲν θὰ ἦτο δυνατὸν νὰ καταρασθῇ τόσα πολλὰ διὰ τὸν ἑαυτόν του, ἐὰν δὲν εἶχε μεγάλην πεποίθησιν εἰς τὸν ἑαυτόν του. Ἐὰν δέ εἶχεν ἐχθρόν, αὐτὸ δὲν ἀποτελεῖ κατηγορίαν δι' ἐκεῖνον· καθ' ὅσον δὲν τοῦ ἔδιδεν ἀφορμὰς αὐτός. Διότι ποίαν ἀφορμὴν ἔδωσεν εἰς τὸ παιδί του; ποίαν εἰς τὸν Σαούλ; Δὲν ἐσωφρόνισε πρὸς στιγμὴν καὶ δὲν ἐπανέφερε καὶ ἀπεκατέστησε τὸν υἱόν του ἂν καὶ εἶχε κάμει πράξεις ἀξίας τιμωρίας[33], ἐνῷ ἐκεῖνον ποὺ ἤθελε νὰ τόν φονεύσῃ δὲν τοῦ ἔσωσε τὴν ζωὴν ἂν καὶ πολλὲς φορὲς τὸν συνέλαβεν;[34].

Μὴ σκέπτεσαι λοιπὸν αὐτό, ἐὰν εἶχεν ἐχθρούς, ἀλλ' ἐὰν αὐτὸς ἔγινεν αἰτία νὰ γίνουν ἐχθροί του. Καθ' ὅσον

τὸ μὴ ἐχθροὺς ἔχειν, τούτου γὰρ οὐκ ἐσμὲν κύριοι, ἀλλὰ τὸ μὴ μισεῖν· τούτου γὰρ ἡμεῖς κύριοι, ἐκείνου δὲ οὐ πάντως. Τοῦ δὲ μισεῖσθαι εἰκῇ, οὐκ ἐν ἡμῖν ἡ ἐξουσία κεῖται, ἀλλ' ἐν τοῖς μισοῦσι. Καὶ γὰρ οἱ πονηροὶ τοὺς ἀγαθοὺς μισεῖν εἰώθασιν εἰκῇ καὶ μάτην. Καὶ γὰρ καὶ τὸν Χριστὸν ἐμίσουν εἰκῇ, καθὼς λέγει· «Ἐμίσησάν με δωρεάν». Καὶ οἱ ἀπόστολοι τοὺς ψευδαποστόλους εἶχον ἐχθρούς, καὶ οἱ προφῆται τοὺς ψευδοπροφήτας. Οὐ γὰρ τοῦτο δεῖ σκοπεῖν, ὅπως μὴ σχοίημεν ἐχθρούς, ἀλλ' ὅπως μὴ δικαίως, μηδὲ εὐλόγως· καὶ ὅπως, κἂν μυριάκις μισώμεθα, μὴ μισῶμεν, μηδὲ ἀποστρεφώμεθα· ἔχθρα γάρ τοῦτό ἐστι, τὸ μισεῖν καὶ ἀποστρέφεσθαι. Ὅταν οὖν μισῶμαι καὶ μὴ μισῶ, ἐκεῖνός με ἐχθρόν, οὐκ ἐγὼ τοῦτον ἔχω. Ὅταν εὔχωμαι, ὅταν εὐεργετεῖν βούλωμαι, πῶς τὸν τοιοῦτον ἐχθρὸν ἔχω; Διὰ τοῦτο ὁ Παῦλος ἔλεγεν· «Εἰ δυνατὸν τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες».

6. Τὰ ἡμέτερα τοίνυν εἰσφέρωμεν, καὶ αὐτῷ τούτῳ ἀρκοῦντα τὸν ἔπαινον ἕξομεν. Τίνα δέ ἐστι τὰ ἡμέτερα; Οἷόν τι λέγω· μισεῖ ὁ δεῖνα καὶ ἐκπολεμεῖ; Σὺ φίλει καὶ εὐεργέτει. Ὑβρίζει καὶ λοιδορεῖται; Σὺ εὐλόγει καὶ ἐπαίνει. Ἀλλ' οὐ λύει τὴν ἔχθραν οὐδὲ οὕτως; Οὐκοῦν πλείονά σοι δίδωσι τὸν μισθόν. Οἱ γὰρ κακοί, ὅσῳ ἂν θεραπευόμενοι μὴ καταλύωσι τὸν πόλεμον, λαμπροτέρας ἡμῖν προξενοῦσι τὰς ἀμοιβάς, καὶ ἑαυτοὺς ἀσθενεστέρους ποιοῦσιν. Ὁ μὲν γὰρ μισῶν, καὶ μὴ διαλύων τὴν ἔχθραν, τήκεται, διαφθείρεται, διηνεκεῖ συζῇ πολέμῳ, ὁ δὲ τούτων ἀνώτερος τῶν βελῶν ἔξω τῶν τρικυμιῶν ἕστηκε, καὶ ἑαυτὸν πρὸ ἐκείνου τὰ μέγιστα

---

35. Ἰω. 15, 25.
36. Ρωμ. 12, 18.

οὔτε ὁ Χριστὸς ἔδωσε τέτοιαν ἐντολήν, τὸ νὰ μὴ ἔχωμεν ἐχθρούς, διότι δὲν εἴμεθα κύριοι αὐτοῦ, ἀλλὰ τὸ νὰ μὴ μισοῦμεν· διότι αὐτοῦ εἴμεθα ἡμεῖς κύριοι, ἐνῶ ἐκείνου ὁπωσδήποτε ὄχι. Τὸ νὰ μισούμεθα ὅμως ἄδικα δὲν ἐξαρτᾶται ἀπὸ ἡμᾶς, ἀλλ' ἀπὸ ἐκείνους ποὺ μᾶς μισοῦν. Καθ' ὅσον οἱ κακοὶ συνηθίζουν νὰ μισοῦν τοὺς καλοὺς ἄδικα καὶ χωρὶς λόγον. Πράγματι καὶ τον Χριστόν τὸν ἐμισοῦσαν ἄδικα, καθὼς λέγει· «Μὲ ἐμίσησαν χωρὶς λόγον»[35]. Καὶ οἱ ἀπόστολοι εἶχον ἐχθροὺς τοὺς ψευδαποστόλους καὶ οἱ προφῆται τοὺς ψευδοπροφήτας. Δὲν πρέπει λοιπὸν νὰ σκεπτώμεθα αὐτό, διὰ νὰ μὴ ἔχωμεν δηλαδὴ ἐχθρούς, ἀλλὰ νὰ μὴ ἔχωμεν ἐχθροὺς δίκαια καὶ εὔλογα· καὶ ἀκόμη, καὶ ἂν ἀκόμη μισούμεθα ἀμέτρητα, νὰ μὴ μισοῦμεν, οὔτε ν' ἀποστρεφώμεθα αὐτούς· διότι καὶ αὐτὸ εἶναι ἔχθρα, τὸ νὰ μισῇ κανεὶς καὶ ν' ἀποστρέφεται. Ὅταν λοιπὸν μισῶμαι καὶ δὲν μισῶ, ἐκεῖνος μὲ ἔχει ἐχθρὸν καὶ ὄχι ἐγὼ ἐκεῖνον. Ὅταν προσεύχωμαι διὰ κάποιον, ὅταν θέλω νὰ τὸν εὐεργετῶ, πῶς αὐτὸν τὸν ἄνθρωπον τὸν ἔχω ἐχθρόν; Διὰ τοῦτο ἔλεγεν ὁ Παῦλος· «Ἐὰν εἶναι δυνατόν, ὅσον ἐξαρτᾶται ἀπὸ ἐσᾶς, νὰ ἔχετε εἰρήνην μὲ ὅλους τοὺς ἀνθρώπους»[36].

6. Ἂς προσφέρωμεν λοιπὸν αὐτὰ ποὺ ἐξαρτῶνται ἀπὸ ἡμᾶς καὶ ἀκριβῶς μὲ αὐτὸ θὰ ἔχωμεν ἐπαρκῆ τὸν ἔπαινον. Ποῖα δὲ εἶναι αὐτὰ ποὺ ἐξαρτῶνται ἀπὸ ἡμᾶς; Ἐπὶ παραδείγματι κάτι ὡσὰν αὐτὸ ποὺ λέγω. Σὲ μισεῖ ὁ τάδε καὶ σὲ πολεμεῖ; Σὺ νὰ τὸν ἀγαπᾷς καὶ νὰ τὸν εὐεργετῇς. Σὲ ὑβρίζει καὶ σὲ κακολογεῖ; Σὺ νὰ τὸν εὐλογῇς καὶ νὰ τὸν ἐπαινῇς. Ἀλλὰ δὲν σταματᾷ τὴν ἔχθραν οὔτε καὶ ἔτσι; Λοιπὸν σοῦ δίδει περισσότερον μισθόν. Διότι οἱ κακοί, ὅσον δὲν σταματοῦν τὸν πόλεμον ἐνῷ εὐεργετοῦνται ἀπὸ ἡμᾶς, κάμνουν τὰς ἀμοιβάς μας λαμπροτέρας καὶ τοὺς ἑαυτούς των ἀσθενεστέρους. Καθ' ὅσον ἐκεῖνος μὲν ποὺ μισεῖ καὶ δὲν σταματᾷ τὴν ἔχθραν, λειώνει, φθείρεται, ζῇ μὲ διαρκῆ πόλεμον, ἐνῷ ἐκεῖνος ποὺ εὑρίσκεται πιὸ ἐπάνω ἀπὸ τὰ βέλη αὐτά, στέκεται ἔξω ἀπὸ τὰς τρικυμίας καὶ

ὠφελεῖ, ἐν τῷ σπουδάζειν ἐκείνῳ καταλλάτεσθαι, καὶ μὴ πολεμεῖν, ἑαυτὸν ἀπαλλάτων πολέμου καὶ μάχης.

Φεύγωμεν τοίνυν πολεμεῖν ἑτέροις, καὶ τὴν ῥίζαν τούτων ἀνέλωμεν, κενοδοξίαν, φιλαργυρίαν. Ἢ γὰρ διὰ χρήματά τις ἐχθρός ἐστιν, ἢ διὰ δόξαν κενήν. Ἐὰν δὲ τούτων ὦμεν ἀνώτεροι, καὶ τοῦ ἁλίσκεσθαι ἔχθρᾳ ἐσόμεθα ἀνώτεροι. Κἂν ὑβρίσῃ τοίνυν, φέρε γενναίως· ἑαυτὸν γάρ, οὐ σὲ ὕβρισε. Κἂν πλήξῃ, μὴ ἀντιτείνῃς τὴν δεξιάν· αὐτὸς γάρ ἐστιν ὁ πληττόμενος, σὲ μὲν τῇ χειρί, ἑαυτὸν δὲ τῷ θυμῷ παίων, καὶ πονηρὰν παρὰ πάντων λαμβάνων δόξαν. Εἰ δὲ δοκεῖ σοι ταῦτα δύσκολα εἶναι, ἐννόησον, ὅτι εἰ μαινόμενός σού τις τὸ ἱμάτιον περιέρρηξε, τίνα ἂν ἔφης πάσχειν κακῶς, σὲ τὸν παθόντα, ἢ ἐκεῖνον τὸν ποιήσαντα; Εὔδηλον ὅτι ἐκεῖνον. Εἶτα, ἔνθα μὲν τὸ ἱμάτιον διαρρήγνυται, ὁ ποιήσας τοῦ παθόντος χαλεπώτερα πέπονθεν, ἔνθα δὲ ἡ καρδία διαρρήγνυται, ὁ γὰρ θυμὸς τοῦτο ποιεῖ, οὐκ ἐκεῖνον ἡγήσῃ μείζονα πεπονθέναι δεινὰ σοῦ, τοῦ μηδ᾽ ὁτιοῦν ὑπομείναντος; Μὴ γὰρ δὴ τοῦτο εἴπῃς, ὅτι τὸ ἱμάτιον τὸ σόν, ἀλλ᾽ ὅτι πρότερον τὴν ἑαυτοῦ καρδίαν διέρρηξεν. Ὥσπερ γὰρ ἴκτερος οὐκ ἂν γένοιτο, μὴ τῆς χολῆς διαρραγείσης, καὶ τοὺς οἰκείους ὅρους ὑπερβάσης, οὕτως οὐκ ἂν θυμὸς ἄμετρος γένοιτο, μὴ τῆς καρδίας διαρραγείσης. Ὥσπερ οὖν, ἂν ἴδῃς τινὰ ἰκτέρῳ κατεχόμενον, κἂν μυρία ἐργάσηται δεινά, οὐκ ἂν ἕλοιο πρὸς σεαυτὸν ἐπισπάσασθαι τὸ νόσημα, οὕτω καὶ ἐπὶ τοῦ θυμοῦ.

Μὴ ζηλοῦ, μηδὲ μιμοῦ τὴν κακίαν, ἀλλ᾽ ἐλέει κἀκεῖνον τὸν οὐ χαλινοῦντα τὸ ἐν αὐτῷ θηρίον, ἀλλὰ πρότερον ἑαυτὸν

ὠφελεῖ τὸν ἑαυτὸν πρὶν ἀπὸ ἐκεῖνον τὰ μέγιστα, μὲ τὸ νὰ φροντίζῃ νὰ συμφιλιωθῇ μὲ ἐκεῖνον, καὶ μὲ τὸ νὰ μὴ τὸν πολεμῇ ἀπαλλάσσει τὸν ἑαυτόν του ἀπὸ τὸν πόλεμον καὶ τὴν μάχην.

Ἂς ἀποφεύγωμεν λοιπὸν νὰ πολεμοῦμεν ἄλλους καὶ ἂς καταστρέφωμεν τὴν ρίζαν αὐτῶν, τὴν κενοδοξίαν καὶ τὴν φιλοργυρίαν. Διότι ἢ διὰ χρήματα εἶναι κανεὶς ἐχθρὸς ἢ διὰ δόξαν ματαίαν. Ἐὰν ὅμως εἴμεθα ἀνώτεροι αὐτῶν, θὰ γίνωμεν ἀνώτεροι καὶ τοῦ νὰ κυριευώμεθα ἀπὸ τὴν ἔχθραν. Καὶ ἂν λοιπὸν ἀκόμη σὲ ὑβρίσῃ, ὑπόφερέ το γενναῖα· διότι τὸν ἑαυτόν του ὕβρισεν, ὄχι ἐσένα. Καὶ ἂν ἀκόμη σὲ κτυπήσῃ, μὴ ἀνταποδώσῃς τὸ κτύπημα, καθ' ὅσον αὐτὸς εἶναι ἐκεῖνος ποὺ δέχεται τὸ κτύπημα, κτυπῶν ἐσένα μὲν μὲ τὸ χέρι, τὸν ἑαυτόν του δὲ μὲ τὸν θυμόν, καὶ ἀποκτᾷ πάρα πολὺ κακὴν φήμην. Ἐὰν δὲ νομίζῃς ὅτι αὐτὰ εἶναι δύσκολα, σκέψου, ὅτι ἐὰν κάποιος μανιακὸς ἐξέσχιζε τὸ ἔνδυμά σου, ποῖος θὰ ἔλεγες ὅτι κακοπάσχει, σὺ ποὺ ἔπαθες αὐτό, ἢ ἐκεῖνος ποὺ ἔκσμεν αὐτό; Εἶναι ολοφάνερον ὅτι ἐκεῖνος. Ἔπειτα, εἰς τὴν περίπτωσιν μὲν ποὺ σχίζεται τὸ ἔνδυμα ὁ δράστης ἔπαθε χειρότερα ἀπὸ τὸν παθόντα, εἰς τὴν περίπτωσιν δὲ ποὺ ξεσχίζεται ἡ καρδία, διότι ὁ θυμὸς αὐτὸ προξενεῖ, δὲν νομίζεις ὅτι ἐκεῖνος παθαίνει μεγαλύτερα κακὰ ἀπὸ σένα, ποὺ δὲν ἔπαθες τίποτε παρόμοιον; Μή, βέβαια, μοῦ εἰπῇς αὐτό, ὅτι ἐξέσχισε τὸ ἔνδυμά σου, ἀλλ' ὅτι πρῶτα ἐξέσχισε τὴν καρδίαν του. Διότι ὅπως ἀκριβῶς δὲν θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ ἴκτερος ἐὰν δὲν σπάσῃ ἡ χολὴ καὶ διαπεράσῃ τὰ ὅριά της, ἔτσι δὲν θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ θυμὸς ὑπερβολικός, ἐὰν δὲν σχισθῇ ἡ καρδία. Ὅπως ἀκριβῶς λοιπὸν ἂν ἴδῃς κάποιον νὰ πάσχῃ ἀπὸ ἴκτερον, καὶ ἂν ἀκόμη σοῦ προξενήσῃ ἀμέτρητα κακά, δὲν θὰ ἐπιθυμοῦσες νὰ ἔλθῃ εἰς ἐσένα τὸ νόσημα, ἔτσι καὶ μὲ τὸν θυμόν.

Μὴ ζηλεύῃς, οὔτε νὰ μιμῆσαι τὴν κακίαν, ἀλλὰ νὰ λυπῆσαι ἐκεῖνον ποὺ δὲν χαλιναγωγεῖ τὸ θηρίον ποὺ ὑπάρχει

λυμαινόμενον καὶ διαφθείροντα. Ὅτι γὰρ ἑαυτοὺς οἱ τοιοῦτοι λυμαίνονται, ἀκούειν ἐστὶ πολλῶν τῶν τὰς τοιαύτας διαλυόντων μάχας, τοῦτο παραινούντων αὐτοῖς· σαυτοῦ φεῖσαι· σαυτὸν ἀδικεῖς. Τοιοῦτον γὰρ ἡ κακία· τὸν τίκτοντα αὐτὴν λυμαίνεται μόνον, πάντα ἄνω καὶ κάτω ποιοῦσα. Μὴ τοίνυν βουλόμενοι ἀμύνεσθαι ἑτέρους, αὐτοὶ τοῦ λιμένος ἐκπέσωμεν. Οὐδὲ γὰρ εἴ τις μέλλων ναυαγεῖν, καὶ ὑποβρύχιος γίνεσθαι, ὕβρισέ σε ἐπὶ τῆς γῆς καθήμενον, ἤλγησας ἄν, οὐδὲ ἐξελθὼν τῆς γῆς ἐκοινώνησας αὐτῷ τοῦ ναυαγίου. Τοῦτο τοίνυν ἀναλογίζου, ὅτι ὁ μὲν ὑβρίζων σε καὶ παροινῶν, ὥσπερ ἰλίγγῳ τινί, ἢ καταιγίδι καταποντιζόμενος, ὑποβρύχιος γίνεται, τῷ τοῦ θυμοῦ ναυαγίῳ περιπεσών· σὺ δὲ ὁ φέρων γενναίως, ἐν λιμένι καὶ παρ' αἰγιαλὸν τρυφᾷς. Ἐὰν δὲ πρὸς τὸν αὐτὸν ἐξενεχθῇς αὐτῷ ζῆλον οὐκ ἐκεῖνον, ἀλλὰ σαυτὸν κατεπόντισας.

Ἀνάστηθι, Κύριε, ἐν ὀργῇ σου, ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν σου». Τοῦτο οὕτως εἶπε, δεικνὺς ὅτι ἐστὶ καὶ οὐκ ἐν ὀργῇ ἀναστῆναι· ὡς ὅταν λέγῃ· «Ἀνάστα, Κύριε, σῶσόν με, ὁ Θεός μου». Ἀκούων δὲ τό, «Ἀνάστα», μηδὲν σωματικὸν ὑποπτεύσῃς. Ὥσπερ γὰρ τὸ καθῆσθαι ἐπὶ Θεοῦ οὐ σωματικῶς εἴρηται, οὕτως οὐδὲ τοῦτο. «Σύ», γάρ, φησί, «καθήμενος εἰς τὸν αἰῶνα». Τί οὖν ἐστιν, ὃ διὰ τῆς καθέδρας αἰνίττεται; Τὸ ἑδραῖον, τὸ πεπηγός, τὸ βέβαιον τῆς φύσεως, τὸ μόνιμον· ὅπερ οὖν καὶ διὰ τῆς ἀντιδιαστολῆς ἐδήλωσεν. Εἰπὼν γάρ, «Σὺ καθήμενος εἰς τὸν αἰῶνα», ἐπήγαγεν, «Υ-

. . . .

37. Ψαλμ. 3, 8.

μέσα του καὶ πρῶτα καταστρέφει καὶ φθείρει τὸν ἑαυτὸν του. Τὸ ὅτι βέβαια αὐτοὶ οἱ ἄνθρωποι καταστρέφουν τοὺς ἑαυτούς των, εἶναι δυνατὸν ν' ἀκούσῃς πολλούς, ποὺ σταματοῦν τὰς παρομοίας μάχας, νὰ συμβουλεύουν εἰς αὐτούς αὐτό· Λυπήσου τὸν ἑαυτόν σου· τὸν ἑαυτόν σου βλάπτεις. Διότι τέτοια εἶναι ἡ κακία· καταστρέφει μόνον ἐκεῖνον ποὺ τὴν γεννᾷ, κάμνουσα τὰ πάντα ἄνω κάτω. Μὴ λοιπόν, θέλοντες νὰ βοηθήσωμεν ἄλλους, εὑρεθῶμεν ἡμεῖς οἱ ἴδιοι ἔξω ἀπὸ τὸ λιμάνι. Οὔτε βέβαια ἐὰν κάποιος, ποὺ πρόκειται νὰ ναυαγήσῃ καὶ νὰ καταποντισθῇ μέσα εἰς τὴν θάλασσαν, σὲ ἐκατηγοροῦσε ποὺ κάθεσαι εἰς τὴν ξηρὰν θὰ ἐλυπόσουν, καὶ οὔτε θ' ἄφηνες τὴν ξηρὰν διὰ νὰ λάβῃς μέρος μαζὶ μὲ αὐτὸν εἰς τὸ ναυάγιον. Αὐτὸ λοιπὸν νὰ σκέπτεσαι, ὅτι ἐκεῖνος μὲν ποὺ σὲ ὑβρίζει καὶ δείχνει ἀσχημη συμπεριφορὰν ἀπέναντί σου, πνίγεται καὶ καταποντίζεται ὡσὰν ἀπὸ κάποιον ἴλιγγον ἢ καταιγίδα, ἀφοῦ περιέπεσεν εἰς τὸ ναυάγιον τοῦ θυμοῦ, σὺ ὅμως, ποὺ τὰ ὑποφέρεις ὅλα αὐτὰ γενναῖα, ἀπολαμβάνεις τὴν ζωήν σου μέσα εἰς λιμένα καὶ δίπλα εἰς τὸν αἰγιαλόν. Ἐὰν κυριευθῇς ἀπὸ τὸν ἴδιον μὲ αὐτόν ζῆλον, δὲν κατεπόντισες ἐκεῖνον, ἀλλὰ τὸν ἑαυτόν σου.

«Σήκω, Κύριε, γεμᾶτος ὀργὴν ἐναντίον των καὶ δεῖξε τὴν δύναμίν σου ἀπ' ἄκρον εἰς ἄκρον τῶν ἐχθρῶν σου». Αὐτὸ τὸ εἶπεν ἔτσι διὰ νὰ δείξῃ ὅτι εἶναι δυνατὸν νὰ σηκωθῇ καὶ χωρὶς νὰ εἶναι ὠργισμένος, ὅπως ὅταν λέγῃ· «Σήκω, Κύριε, σῶσε με, ὁ Θεός μου»[37]. Ἀκούων δὲ τὸ «Σήκω», μὴ σκεφθῇς τίποτε τὸ σωματικόν. Διότι ὅπως ἀκριβῶς ὅταν λέγεται διὰ τὸν Θεὸν ὅτι κάθεται, δὲν λέγεται μὲ τὴν ἔννοιαν τὴν σωματικήν, ἔτσι οὔτε αὐτό. Καθ' ὅσον λέγει· «Σὺ κάθεσαι εἰς τὸν αἰῶνα». Τί εἶναι λοιπὸν αὐτὸ ποὺ ὑπαινίσσεται διὰ τῆς καθιστικῆς στάσεως; Τὸ ἀπαρασάλευτον. τὸ σταθερόν, τὸ ἀμετάβλητον τῆς φύσεως, τὸ μόνιμον, πρᾶγμα βέβαια ποὺ ἐδήλωσε καὶ μὲ τὴν διάκρισιν ποὺ ἔκαμε. Διότι ἀφοῦ εἶπε, «Σὺ ποὺ μένεις ἀπαρασά-

μεῖς δὲ ἀπολλύμενοι εἰς τὸν αἰῶνα». Ὥσπερ οὖν τὸ καθῆσθαι οὐ σωματικόν, οὕτως οὐδὲ τὸ ἀναστῆναι· ἀλλ' ἐκεῖ μὲν τὸ ἑδραῖον, ἐνταῦθα δὲ τὸ τιμωρητικόν, τὸ ἀναλωτικόν. Ἔστι δὲ ὅπου δηλοῖ τὸ καθῆσθαι καὶ τὸ δικαστικόν, ὡς ὅταν λέγῃ· «Ἐκάθισας ἐπὶ θρόνου ὁ κρίνων δικαιοσύνην»· καὶ ὁ Δανιήλ· «Θρόνοι ἐτέθησαν, καὶ τὸ κριτήριον ἐκάθισεν». Ἔστι καὶ τὸ βασιλικόν· ὡς ὅταν λέγῃ· «Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου». Ὅθεν καὶ τό, «Κάθου ἐκ δεξιῶν μου», τὸ ἰσότιμον ἐνδείκνυται.

Τί δέ ἐστι τό, «Ἐν ὀργῇ σου»; Καὶ τοῦτο πάλιν θεοπρεπῶς ἐκληπτέον. Ὀργὴ γὰρ τοῦ Θεοῦ οὐ πάθος, ἀλλὰ τιμωρία καὶ κόλασις. «Ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν σου». Ἄλλος φησίν, «Ἐν θυμῷ ἐπὶ τοὺς ἐχθρούς σου». Ἕτερος, «Ἐν χόλῳ τῶν θλιβόντων με». Ἕτερος, «Ἐν ἀνυπερθεσίαις ἐνδεσμούντων». Ὁ δὲ Ἑβραῖος, τὸ «Ἐν τοῖς πέρασι», «Βεβαρώθ» φησιν. Ὅρα πάλιν πῶς ἐνταῦθα οὐχ ἑαυτῷ ἀμύνει, ἀλλ' ὑπὲρ τῆς τοῦ Θεοῦ δόξης ταῦτα λέγει. Οὐ γὰρ ἁπλῶς εἶπε, κόλασον τοὺς ἐχθρούς μου, ἢ τοὺς ἐχθρούς σου, ἀλλ' «Ὑψώθητι». Καὶ πῶς ὑψοῦται ὁ ὑψηλός, καὶ ἀεὶ ὢν ὕψιστος; Τὸ γὰρ ὕψος αὐτοῦ τῆς φύσεως οὔτε ἐλαττοῦται, οὔτε προσλαμβάνει τι· τέλειος γάρ ἐστι καὶ ἀνενδεής, καὶ ἀεὶ ὡσαύτως ἔχων. Πῶς οὖν, καὶ τίνι τρόπῳ ὑψοῦται; Ὑψοῦται ἐν ταῖς διανοίαις τῶν πολλῶν. Οἷον ἐμακροθύμησε πολλάκις, οἱ δὲ ἐχθροὶ οὐ μακροθυμίας ἐνόμισαν εἶναι, ἀλλὰ τα-

---

38. Ψαλ. 9, 5.
39. Πρβλ. Δαν. 7, 9.
40. Ψαλμ. 44, 7.
41. Ψαλμ. 109, 1

λευτος εἰς τὸν αἰῶνα», ἐπρόσθεσεν, «Σεῖς ὅμως θὰ ὁδηγηθῆτε εἰς τὴν αἰώνιον ἀπώλειαν». Ὅπως ἀκριβῶς λοιπὸν ὅταν λέγῃ ὅτι κάθεται δὲν ἔχει σωματικὴν ἔνοιαν, ἔτσι οὔτε ὅταν λέγῃ ὅτι σηκώνεται, ἀλλ' ἐκεῖ μὲν τὸ λέγει διὰ νὰ δείξῃ τὸ ἀπαρασάλευτον, ἐδῶ δὲ τὸ τιμωρητικὸν καὶ τὸ καταστρεπτικόν. Πολλὲς φορὲς δὲ τὸ λεγόμενον ὅτι κάθεται φανερώνει καὶ τὸ δικαστικόν, ὅπως ὅταν λέγῃ· «Ἐκάθισες ἐπάνω εἰς θρόνον δικαστικὸν σὺ ποὺ κρίνεις μὲ δικαιοσύνην»[38]· καὶ ὁ Δανιήλ· «Θρόνοι ἐτοποθετήθησαν καὶ ἐκάθισεν ὁ κριτὴς τοῦ κόσμου»[39]. Σημαίνει καὶ τὴν βασιλικὴν ἐξουσίαν, ὅπως ὅταν λέγῃ· «Ὁ θρόνος σου, Θεέ μου, θὰ παραμείνῃ αἰωνίως, καὶ ἡ βασιλικὴ ράβδος σου θὰ εἶναι ράβδος εὐθύτητος καὶ δικαιοσύνης»[40]. Ὡς ἐκ τούτου καὶ τὸ «Κάθισε εἰς τὰ δεξιά μου»[41], φανερώνει τὴν ἰσοτιμίαν.

Τί σημαίνει δὲ τὸ «Ἐν ὀργῇ σου»; Καὶ αὐτὸ πάλιν πρέπει νὰ τὸ ἐκλάβωμεν μὲ θεοπρεπῆ ἔννοιαν. Διότι ἡ ὀργὴ τοῦ Θεοῦ δὲν εἶναι πάθος· ἀλλὰ τιμωρία καὶ κόλασις. «Φανέρωσε τὸ ὕψος τῆς δυνάμεώς σου ἀπ' ἄκρον εἰς ἄκρον τῶν ἐχθρῶν σου». Ἄλλος λέγει· «Γεμᾶτος ἀπὸ θυμὸν ἐναντίον τῶν ἐχθρῶν σου». Ἄλλος, «Μὲ μῖσος ἐναντίον ἐκείνων ποὺ μὲ θλίβουν». Ἄλλος, «χωρὶς ἀναβολὴν ἐναντίον ἐκείνων ποὺ μὲ ἔχουν περικυκλωμένον». Ὁ δὲ Ἑβραῖος τὸ «ἐν τοῖς πέρασι» τὸ λέγει «Βεβαρώθ». Πρόσεχε πάλιν πῶς ἐδῶ δὲν ὑπερασπίζεται τὸν ἑαυτόν του, ἀλλὰ τὰ λέγει αὐτὰ διὰ τὴν δόξαν τοῦ Θεοῦ. Διότι δὲν εἶπεν ἁπλῶς, τιμώρησε τοὺς ἐχθρούς μου, ἢ τοὺς ἐχθρούς σου, ἀλλ' «ὑψώθητι». Καὶ πῶς ὑψοῦται ὁ ὑψηλός, ἐκεῖνος ποὺ εἶναι πάντοτε ὕψιστος; Καθ' ὅσον τὸ ὕψος τῆς φύσεως αὐτοῦ οὔτε ἐλαττώνεται οὔτε αὐξάνεται κατά τι· διότι εἶναι τέλειος καὶ αὐτάρκης καὶ πάντοτε παραμένει ὁ ἴδιος. Πῶς λοιπὸν καὶ μὲ ποῖον τρόπον ὑψοῦται; Ὑψοῦται εἰς τὴν σκέψιν τῶν πολλῶν ἀνθρώπων. Ἐπὶ παραδείγματι ἔδειξε πολλὲς φορὲς μακροθυμίαν, οἱ ἐχθροὶ ὅμως ἐνόμισαν

πεινώσεως τοῦτο καὶ ἀσθενείας. Ὥστε καὶ ταπεινοῦται, ἀλλ' οὐκ ἐν τῷ πράγματι, ἀλλ' ἐν τῇ διανοίᾳ ἐκείνων.

7. Καθάπερ γὰρ ὁ ἥλιος ἀμυδρὸς φαίνεται τοῖς ἀσθενοῦσι τὰς ὄψεις, οὕτω δὴ καὶ ὁ Θεὸς ἀσθενὴς καὶ ταπεινὸς ἐν ταῖς διανοίαις ἐκείνων. Ἀλλ' ὥσπερ ὁ ἥλιος οὕτω νομίζεται, οὐκ ἔστι δὲ ἀμυδρός, ἀλλὰ τῆς ἀσθενείας ἐκείνων τὸ πάθος, οὕτω καὶ ὁ Θεός, κἂν τοῦτο ὑποπτεύηται, οὐκ ἔστιν ἀσθενής, ἀλλὰ τῆς ἐκείνων ἀνοίας τὸ σύμπτωμα. Τί οὖν φησιν ὁ δίκαιος; Ὑψώθητι καὶ παρὰ τοῖς ἐχθροῖς ἡμῶν, ἐλέξελθε καὶ δεῖξόν σου τὴν ἰσχύν, ἵνα οἱ νομίζοντες εἶναί σε ταπεινόν, ἀφ' ὧν πάσχουσιν, ἴδωσί σου τὴν δόξαν. Εἶδες αὐτοῦ τὸν σκοπόν, οὐ τὸ ἑαυτοῦ ζητοῦντος, ἀλλὰ τὸ τοῦ Θεοῦ. Τὸ δέ, «Ἐν τοῖς πέρασιν», οἱ μέν φασιν, «Ἐν ταῖς κεφαλαῖς», οἱ δέ, «Μηδεὶς διαφύγοι τῶν ἐχθρῶν». Μεγάλη δὲ ἀρετὴ τοῦ δικαίου, ὅταν τοὺς αὐτοὺς ἐχθροὺς ἔχῃ τῷ Θεῷ καὶ τοὺς φίλους· ὥσπερ κακία μεγάλη, ὅταν τοὺς τοῦ Θεοῦ φίλους ἐχθροὺς ἔχῃ, καὶ τοὺς ἐχθροὺς φίλους. Ὥσπερ οὖν ὁ Θεὸς ἐχθροὺς ἔχειν λέγεται, οὐ μισῶν, οὐδὲ ἀποστρεφόμενος αὐτούς, ἀλλὰ τὰς πράξεις αὐτῶν τὰς πονηρὰς βδελυττόμενος, οὕτω καὶ ὁ δίκαιος ἐχθροὺς ἔχει, οὐκ ἀμυνόμενος αὐτούς, ἀλλὰ τὴν πονηρίαν ἀποστρεφόμενος.

«Καὶ ἐξεγέρθητι, Κύριε ὁ Θεός μου, ἐν προστάγματι ᾧ ἐνετείλω». Ἄλλος φησίν, «Ἐν κρίματι». «Καὶ συναγωγὴ λαῶν κυκλώσει σε». Ἄλλος φησί, «Κυκλωσάτω σε». «Καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον, Κύριε». Ἄλλος φησί, «Καὶ ἐ-

ὅτι αὐτὸ δὲν εἶναι μακροθυμία, ἀλλὰ δεῖγμα ταπεινώσεως καὶ ἀδυναμίας. Ὥστε καὶ ταπεινώνεται, ὄχι ὅμως εἰς τὴν πραγματικότητα, ἀλλ' εἰς τὴν σκέψιν ἐκείνων.

7. Ὅπως ἀκριβῶς δηλαδὴ ὁ ἥλιος φαίνεται σκοτεινὸς εἰς ἐκείνους ποὺ ἔχουν ἀσθενεῖς ὀφθαλμούς, ἔτσι λοιπὸν καὶ ὁ Θεὸς φαίνεται εἰς τὴν σκέψιν ἐκείνων ἀδύναμος καὶ ταπεινός. Ἀλλ' ὅπως ἀκριβῶς ὁ ἥλιος ἔτσι νομίζεται, δὲν εἶναι ὅμως σκοτεινός, ἀλλ' αὐτὸ ὀφείλεται εἰς τὴν ἀσθένειαν αὐτῶν, ἔτσι καὶ ὁ Θεός, καὶ ἂν ἀκόμη σχηματίζεται αὐτὴ ἡ ὑποψία, δὲν εἶναι ἀδύναμος, ἀλλ' αὐτὴ ἡ ἀδυναμία εἶναι ἀποτέλεσμα τῆς μωρίας των. Τί λέγει λοιπὸν ὁ δίκαιος; Φανέρωσε τὸ ὕψος τῆς δυνάμεώς σου εἰς τοὺς ἐχθρούς μας, ἔξελθε καὶ δεῖξε τὴν δύναμίν σου, ὥστε αὐτοὶ ποὺ σὲ νομίζουν ταπεινόν, νὰ γνωρίσουν τὴν δόξαν σου ἀπὸ αὐτὰ ποὺ θὰ πάθουν. Εἶδες τὸν σκοπόν του, ποὺ δὲν ζητεῖ αὐτὸ δι' αὐτόν, ἀλλ' διὰ νὰ φανῇ ἡ δόξα τοῦ Θεοῦ; Τὸ δέ, «Ἐν τοῖς πέρασιν» ἄλλοι μὲν τὸ ἑρμηνεύουν «Εἰς τὰς κεφαλάς των», ἄλλοι δὲ «Διὰ νὰ μὴ διαφύγῃ κανεὶς ἀπὸ τοὺς ἐχθρούς». Εἶναι μεγάλη ἀρετὴ τοῦ δικαίου, ὅταν ἔχῃ τοὺς ἰδίους ἐχθροὺς μὲ τὸν Θεὸν καὶ τοὺς ἰδίους φίλους, ὅπως ἀκριβῶς μεγάλη κακία, ὅταν ἔχῃ ἐχθροὺς τοὺς φίλους τοῦ Θεοῦ, καὶ τοὺς ἐχθρούς του φίλους. Ὅπως ἀκριβῶς λοιπὸν ὁ Θεὸς λέγεται ὅτι ἔχει ἐχθρούς, χωρὶς νὰ τοὺς μισῇ καὶ χωρὶς νὰ τοὺς ἀποστρέφεται, ἀλλὰ σιχαίνεται τὰς κακὰς πράξεις των, ἔτσι καὶ ὁ δίκαιος ἔχει ἐχθρούς, ὅμως δὲν τοὺς πολεμεῖ, ἀλλ' ἀποστρέφεται τὴν κακίαν των.

«Καὶ σήκω, Κύριε ὁ Θεός μου, πρὸς ὑπεράσπισίν μου, σύμφωνα μὲ τὴν ἐντολὴν ποὺ ἔδωσες». Ἄλλος λέγει, «σύμφωνα μὲ τὴν δικαίαν κρίσιν σου». «Καὶ τότε ἀμέσως πλῆθος λαῶν θὰ σὲ περικυκλώσῃ». Ἄλλος λέγει «Ἂς σὲ περικυκλώσῃ». «Καὶ χάριν αὐτῆς τῆς συνάξεως, Κύριε, ἀνέβα καὶ πάλιν εἰς τὸν οὐράνιον δικαστικὸν θρόνον σου». Ἄλλος λέγει, «Καὶ ἀνέβα ἐπάνω ἀπὸ αὐτὴν τὴν σύναξιν

πάνω αὐτῆς εἰς τὸ ὕψος ὑπόστρεψον». Ἄλλος, «Καὶ ἐπὶ ταύτῃ εἰς ὕψος ἐπίστρεψον». Ὁ δὲ Ἑβραῖος τό, «Ὑπὲρ ταύτης», φησίν, «Οὐαλεά». Τί ἐστιν, «Ἐν προστάγματι ᾧ ἐνετείλω»; Ὥστε βοηθεῖν τοὺς ἀδικουμένους, καὶ μὴ περιορᾶν. φησί, τοὺς ἐπιβουλευομένους. Ὅπερ οὖν ἡμῖν ἐνομοθέτησας, τοῦτο καὶ αὐτὸς διὰ τῶν ἔργων ἡμῖν ἀπόδος. Τινὲς δὲ καὶ ἕτερόν φασιν, ὅτι ἐπηγγείλατο ἐχθραίνειν τοῖς ἐχθροῖς αὐτοῦ. «Καὶ συναγωγὴ λαῶν κυκλώσει σε». Μηδὲν ἀνθρώπινον μηδὲ ἐνταῦθα ὑπόπτευε. Καὶ γὰρ αἱ λέξεις τοιαῦται, ἀλλὰ τὰ νοήματα θεοπρεπῆ. Τί οὖν ἐστι τό, «Κυκλώσει σε»; Ἀντὶ τοῦ ᾄσεταί σοι, ὑμνήσει σε, εὐφημίαν οἴσει σοι πολλήν. Ἐπειδὴ γὰρ διὰ χορῶν τοῦτο ἐποίουν, κύκλῳ περιιστάμενοι ἐν τῷ ναῷ καὶ ἐν τῷ θυσιαστηρίῳ, καὶ οὕτω τὰς εὐχαριστίας ἀνέφερον, ἀπὸ τοῦ σχήματος τῆς στάσεως αὐτῶν τὴν εὐφημίαν ᾐνίξατο. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐπέξελθε, βοήθησον. Τοῦτο γάρ σε καὶ παρὰ τοῖς ἐχθροῖς ὑψηλὸν ποιήσει, καὶ παρὰ τοῦ λαοῦ σου πολλὰς οἴσει τὰς εὐφημίας. Ὅρα πῶς οὐ τὸ αὐτοῦ ζητεῖ, ἀλλὰ τὸ τοῦ Θεοῦ. Πανταχοῦ γὰρ βούλεται καὶ παρὰ τοῖς ἐχθροῖς, καὶ παρὰ τοῖς οἰκείοις αὐτὸν δοξάζεσθαι.

«Καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον». «Ὑπὲρ ταύτης»· τίνος; Τῆς συναγωγῆς, φησι· τουτέστι, διὰ ταύτην «Εἰς ὕψος ἐπίστρεψον»· ὕψωσον ἡμᾶς, ἀνάγαγε ἡμᾶς, ὑψηλὰ ποίησον πράγματα, λαμπροτέραν αὐτὴν καὶ περιφανῆ ποίησον, ἐπὶ τὴν προτέραν αὐτὴν εὐπραγίαν ἐπανάγαγε. Ὅρα δὲ πανταχοῦ ταῖς ἱκετηρίαις ἀναμιγνύντα καὶ διδασκαλίαν. Καὶ γὰρ

εἰς τὸ ὑψηλὸν δικαστικὸν βῆμα σου». Ἄλλος, «Καὶ χάριν αὐτῆς ἀνέβα καὶ πάλιν εἰς τὸν ὑψηλὸν δικαστικὸν θρόνον σου». Ὁ δὲ Ἑβραῖος τὸ «Ὑπὲρ ταύτης» τὸ λέγει «Οὐαλεά». Τί σημαίνει, «Ἐν προστάγματι ᾧ ἐνετείλω»; Ὅτι πρέπει νὰ βοηθοῦμεν τοὺς ἀδικουμένους καὶ νὰ μὴ περιφρονοῦμεν ἐκείνους ποὺ ἐπιβουλεύονται. Ἐκεῖνο λοιπὸν ποὺ ἐνομοθέτησες δι' ἡμᾶς, αὐτὸ καὶ σὺ ὁ ἴδιος κάμε εἰς ἡμᾶς ἐμπράκτως. Μερικοὶ δὲ λέγουν ὅτι σημαίνει καὶ κάτι ἄλλο, ὅτι ἔδωσεν ἐντολὴν νὰ θεωροῦμεν ἐχθροὺς τοὺς ἐχθρούς του. «Καὶ πλῆθος λαῶν θὰ σὲ περιστοιχίσῃ». Τίποτε τὸ ἀνθρώπινον μὴ σκεφθῇς καὶ ἐδῶ. Διότι καὶ ἂν ἀκόμη αἱ λέξεις εἶναι τέτοιαι ὅμως τὰ νοήματα εἶναι θεοπρεπῆ. Τί σημαίνει λοιπὸν τό, «Κυκλώσει σε»; Λέγεται ἀντὶ τοῦ, θὰ σὲ δοξολογήσῃ, θὰ σὲ ὑμνήσῃ, θὰ σοῦ προσφέρῃ μεγάλας εὐφημίας. Ἐπειδὴ δηλαδὴ τὸ ἔκαμνον αὐτὸ μὲ χορούς, σχηματίζοντες κύκλον μέσα εἰς τὸν ναὸν καὶ εἰς τὸ θυσιαστήριον καὶ ἔτσι ἀνέπεμπον τὰς εὐχαριστίας εἰς τὸν Θεόν, ὑπηνίχθη τὴν δοξολογίαν ἀπὸ τὸ σχῆμα τῆς στάσεως ποὺ ἐλάμβανον εἰς τὸν ναόν. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Ἔξελθε καὶ σπεῦσε εἰς βοήθειάν μου. Διότι αὐτὸ καὶ εἰς τοὺς ἐχθρούς σου θὰ σὲ κάνῃ ὑψηλὸν καὶ ἀπὸ τὸν λαόν σου θὰ δεχθῇς πολλὰς εὐφημίας. Πρόσεχε πῶς δὲν ζητεῖ τὸ ἰδικόν του, ἀλλὰ τὴν δόξαν τοῦ Θεοῦ. Διότι παντοῦ θέλει νὰ δοξάζεται καὶ ἀπὸ τοὺς ἐχθροὺς καὶ ἀπὸ τοὺς ἰδικούς του.

«Καὶ χάριν αὐτῆς τῆς συνάξεως ἀνέβα καὶ πάλιν εἰς τὸν ὑψηλὸν δικαστικὸν θρόνον σου». «Χάριν αὐτῆς»· ποίας; τῆς συναγωγῆς, λέγει· δηλαδὴ χάριν αὐτῆς. «Ἀνέβα καὶ πάλιν εἰς τὸν ὑψηλὸν δικαστικὸν θρόνον σου»· ὕψωσέ μας, ὁδήγησέ μας ὑψηλά, κάμε ὑψηλὰ πράγματα, κάμε αὐτὴν τὴν συναγωγὴν λαμπροτέραν καὶ πιὸ ἔνδοξον, ὁδήγησέ την καὶ πάλιν εἰς τὴν προηγουμένην εὐημερίαν της. Πρόσεχε δὲ παντοῦ ποὺ ἀναμιγνύει μὲ τὰς προσευχὰς καὶ τὴν διδασκαλίαν. Καθ' ὅσον ἀφοῦ προηγουμένως εἶπεν,

πρὸ τούτου εἰπών, «Οἰκτείρησόν με, καὶ εἰσάκουσόν μου», τρέπει τὸν λόγον εἰς συμβουλήν, οὕτω λέγων· «Υἱοὶ ἀνθρώπων ἕως πότε βαρυκάρδιοι;». Καὶ ἐνταῦθα εἰπών, «Εἰς ὕψος ἐπίστρεψον, Κύριε, ἐπάγει· Κύριος κρινεῖ λαούς». Ἄλλος δέ φησι, «Κύριος δικάσει». Διδάσκει τοὺς νομίζοντας ἁπλῶς καὶ ὡς ἔτυχεν ἅπαντα φέρεσθαι, ὅτι πρόνοιά τις ἐφέστηκε τοῖς πράγμασιν, ἀπαιτοῦσα εὐθύνας τῶν γινομένων. Κρίσιν δὲ ἐνταῦθα τήν τε μέλλουσαν λέγει, τήν τε παροῦσαν. Ἐκεῖ μὲν γὰρ καθόλου καὶ ἡ σαφὴς ἐκείνη, ἐκ μέρους δὲ καὶ ἐνταῦθα ἀπαιτεῖ δίκας, τούς τε ῥαθυμοτέρους διεγείρων, καὶ τοὺς ἀπιστοτέρους ἐφελκόμενος εἰς τὴν ἔννοιαν τῆς περὶ τοῦ παντὸς προνοίας.

«Κρῖνόν με, Κύριε, κατὰ τὴν δικαιοσύνην μου». Ἄλλος, «Κατὰ τὸ δίκαιόν μου». Καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ' ἐμοί. Συντελεσθήτω δὴ πονηρία ἁμαρτωλῶν». Ἄλλος φησίν, «Ἀπαρτισθήτω κάκωσις κατὰ τῶν ἀσεβῶν». «Καὶ κατευθυνεῖς δίκαιον». Ἄλλος, «Καὶ ἑδράσεις δίκαιον». Πῶς ὁ λέγων ἀλλαχοῦ, «Μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου», ἐνταῦθά φησι, «Κρῖνόν με κατὰ τὴν δικαιοσύνην μου»; Ὅτι ἕτερον τοῦτο, καὶ ἕτερον ἐκεῖνο. Ἐκεῖ μὲν γὰρ λέγων, «Μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου», μὴ κριθῇς σὺ πρὸς ἐμέ, δηλοῖ, μηδὲ πρὸς ἀντιπαράθεσιν τῶν εὐεργεσιῶν τῶν παρὰ σοῦ τὸν ἐμὸν βίον ἐξετάσῃς. Διὸ καὶ ἐπήγαγεν, «Ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν», τουτέστι, πρὸς σὲ κρινόμενος. Ἐνταῦθα δὲ οὐ τοῦτό φησιν· οὐ γὰρ πρὸς αὐτὸν κρίνεσθαι βούλεται, ἀλλὰ πρὸς ἑαυτόν. Διὸ καί, «Κατὰ τὴν

---

42. Ψαλμ. 4, 2.
43. Ψαλμ. 4, 3.

«Εὐσπλαγχνίσου με καὶ κάμε δεκτὴν τὴν προσευχήν μου[42], στρέφει τὸν λόγον εἰς συμβουλήν, λέγων τὰ ἑξῆς· «Υἱοὶ τῶν ἀνθρώπων μέχρι πότε θὰ εἶσθε σκληρόκαρδοι;»[43]. Καὶ ἐδῶ, ἀφοῦ εἶπεν, «Ἀνέβα πάλιν, Κύριε, εἰς τὸν ὑψηλὸν δικαστικὸν θρόνον σου», προσθέτει· «Ὁ Κύριος θὰ κρίνῃ τοὺς λαούς». Ἄλλος δὲ λέγει, «Ὁ Κύριος θὰ δικάσῃ». Διδάσκει αὐτοὺς ποὺ νομίζουν ὅτι ὅλα συμβαίνουν ἁπλᾶ εἰς τὴν τύχην, ὅτι ὑπάρχει κάποια πρόνοια εἰς τὰ πράγματα, ποὺ ἀπαιτεῖ εὐθύνας διὰ τὰ ὅσα συμβαίνουν. Κρίσιν δὲ ἐδῶ ἐννοεῖ καὶ τὴν μέλλουσαν καὶ τὴν παροῦσαν. Ἐκεῖ μὲν θὰ εἶναι ἡ κρίσις καθολικὴ καὶ σαφής, μερικὴν ὅμως κρίσιν ἀπαιτεῖ καὶ ἐδῶ, καὶ διεγείρων τοὺς ραθυμοτέρους καὶ ὁδηγῶν τοὺς πιὸ ἀπίστους εἰς τὴν σκέψιν περὶ τῆς προνοίας του πρὸς ὅλα τὰ ὄντα.

«Κρῖνε με, Κύριε, καὶ δίκασέ με, μὲ κριτήρια τὴν δικαιοσύνην μου πρὸς τοὺς συνανθρώπους μου». Ἄλλος λέγει, «κατὰ τὸ δίκαιόν μου». «Καὶ τὴν ἀκακίαν μου, ἀφοῦ δὲν ἔκαμα κακὸν εἰς κανένα. Ἂς τερματισθῇ λοιπὸν ἡ κακία τῶν ἁμαρτωλῶν». Ἄλλος λέγει, «Ἂς πραγματοποιηθῇ ἡ τιμωρία τῶν ἀσεβῶν». «Καὶ θὰ κατευθύνῃς τὸ δίκαιον ἀνεμπόδιστον». Ἄλλος, «Καὶ θὰ ἑδραιώσῃς τὸ δίκαιον». Πῶς αὐτὸς ποὺ λέγει ἀλλοῦ, «Μὴ προβῇς εἰς ἀκριβῆ κρίσιν τῶν δούλων σου», ἐδῶ λέγει «Κρῖνε με καὶ δίκασέ με μὲ κριτήριον τὴν δικαιοσύνην μου»; Διότι ἄλλο σημαίνει αὐτὸ καὶ ἄλλο ἐκεῖνο. Καθ' ὅσον ἐκεῖ μὲν τὰ λόγια, «Μὴ προβῇς εἰς ἀκριβῆ κρίσιν μετὰ τοῦ δούλου σου», ἐννοεῖ μὴ κριθῇς σὺ πρὸς ἐμένα, οὔτε νὰ ἐξετάσῃς τὸν βίον μου ἀντιπαραθέτων αὐτὸν πρὸς τὰς εὐεργεσίας σου πρὸς ἐμένα. Διὰ τοῦτο καὶ ἐπρόσθεσε, «Διότι τότε δὲν θὰ δικαιωθῇ ἐνώπιόν σου κανένας ἄνθρωπος», δηλαδή, ἂν κριθῇ, ἀφοῦ παρουσιάσῃ ἀπέναντί του τὰς εὐεργεσίας του. Ἐδῶ ὅμως δὲν λέγει αὐτό, διότι δὲν θέλει νὰ κριθῇ πρὸς αὐτόν, ἀλλὰ πρὸς τὸν ἑαυτόν του. Διὰ τοῦτο καὶ εἶπε «Κατὰ τὴν δικαιοσύνην μου», δηλαδὴ μὲ τὴν ἰδικήν

δικαιοσύνην μου», εἶπε, τουτέστι, κατὰ τὴν δικαιοσύνην τὴν ἐμήν. Δικαιοσύνην δὲ ἐνταῦθα λέγει, τὸ μὴ ἄρξαι χειρῶν ἀδίκων· ὅπερ ἔλεγεν ἀνωτέρω, «Εἰ ἐποίησα τοῦτο», καὶ τὰ ἑξῆς. Τὸ αὐτὸ δὲ τοῦτο δηλοῖ τό, «Κατὰ τὴν ἀκακίαν μου»· κατὰ τοῦτο βούλομαι κριθῆναι, φησί. Πολλὴ καὶ ἐνταῦθα ἡ παρρησία τοῦ δικαίου. Ταῦτα δὲ λέγει εἰς ἀνάγκην ἐμπεσών. Ποίαν δὴ ταύτην; Ὅτι πονηρὰν παρὰ πολλοῖς ἀνοήτοις, ἀφ' ὧν ἔπασχεν, ἐκτᾶτο δόξαν. Οἱ γὰρ πολλοὶ τῶν ἀνοήτων, ἀπὸ τῶν συμφορῶν καὶ τὸν βίον διαβάλλειν εἰώθασιν· ὅπερ καὶ ἐπὶ τοῦ Ἰὼβ γέγονε. Διὸ καὶ ἔλεγον, μηδὲν αὐτῷ συνειδότες πονηρόν· οὐκ ἄξια ὧν ἡμάρτηκας μεμαστίγωσαι. Καὶ τὸν Παῦλον δὲ πονηρόν τινα καὶ κακοῦργον ᾤοντο εἶναι οἱ βάρβαροι, ἐπειδὴ ἡ ἔχις εἴχετο αὐτοῦ τῆς χειρός. Διὸ καὶ ἔλεγον, «Σωθέντα τὸν ἄνθρωπον τοῦτον ἐκ τῆς θαλάσσης ἡ δίκη ζῆν οὐκ εἴασε». Καὶ ὁ Σεμεεὶ δὲ ἀνδροφόνον ἐκάλει τὸν Δαυίδ, ἀπὸ τῆς συμφορᾶς ταύτην τὴν πονηρὰν περὶ αὐτοῦ φέρων ψῆφον.

8. Ἵν' οὖν καὶ ὑμεῖς μὴ τοῦτο πάθητε, φέρε μικρὸν περὶ τούτων διαλεχθῶμεν. Καὶ γὰρ πολλῶν ἀκούω λεγόντων· εἰ ἐφίλει ὁ Θεὸς τοὺς πένητας, οὐκ ἂν εἴασεν εἶναι πένητας· ἑτέρων πάλιν, ὅταν ἴδωσί τινα ἀρρωστίᾳ καὶ νόσῳ μακρᾷ παλαίοντα· ποῦ αἱ ἐλεημοσύναι τοῦ δεῖνος; ποῦ δὲ αἱ εὐπραγίαι; Ἵν' οὖν μὴ τοιαῦτα ἁμαρτάνητε, τὸν περὶ τούτων διευκρινήσωμεν λόγον. Εἰ γὰρ ἄνθρωπος νοῦν ἔχων, οὔτε μισάγαθος, οὔτε φιλοπόνηρος γένοιτ' ἄν, πῶς σὺ τολμᾷς τοιαῦτα λέγειν περὶ Κυρίου, ὅτι τοὺς ἐν πενίᾳ, κἂν ἐν ἀρετῇ ὦσι, μισεῖ ὁ Θεός, τοὺς δὲ ἐν πλούτῳ, κἂν ἐν κακίᾳ, φιλεῖ, βλάσφη-

44. Ἰὼβ 33, 27.
45. Πράξ. 28, 4.
46. Β' Βασ. 16, 7.

μου δικαιοσύνην. Δικαιοσύνην δὲ ἐδῶ ὀνομάζει τὸ ὅτι δὲν ἤρχισε πρῶτος ν' ἀδικῇ, πρᾶγμα ποὺ ἔλεγε προηγουμένως «Ἐὰν πράγματι τὸ ἔκαμα αὐτό», καὶ τὰ ἑξῆς. Τὸ ἴδιο δὲ φανερώνει καὶ τὸ «Κατὰ τὴν ἀκακίαν μου»· μὲ αὐτὸ τὸ κριτήριον, λέγει, θέλω νὰ κριθῶ. Μεγάλη εἶναι καὶ ἐδῶ ἡ παρρησία τοῦ δικαίου. Αὐτὰ δὲ τὰ λέγει ἐπειδὴ εὑρέθη εἰς τὴν ἀνάγκην. Ποία λοιπὸν εἶναι αὐτὴ ἡ ἀνάγκη; Τὸ ὅτι ἀποκτοῦσε κακὴν φήμην ἀπὸ πολλοὺς ἀνοήτους, ἐξ αἰτίας τῶν κακοπαθημάτων του. Διότι οἱ περισσότεροι ἀπὸ τοὺς ἀνοήτους συνηθίζουν, ἐξ αἰτίας τῶν συμφορῶν, νὰ συκοφαντοῦν καὶ τὸν βίον, πρᾶγμα ποὺ συνέβη καὶ μὲ τὸν Ἰώβ. Διὰ τοῦτο καὶ ἔλεγον, γνωρίζοντες ὅτι δὲν διέπραξε κανένα κακόν· Δὲν ἔχεις τιμωρηθῆ ἀντάξια τῶν ἁμαρτιῶν σου[44]. Καὶ τὸν Παῦλον τὸν ἐθεωροῦσαν οἱ βάρβαροι ὡσὰν κάποιον κακὸν καὶ κακοῦργον, ἐπειδὴ ἡ ἔχιδνα ἐδάγκωσε τὸ χέρι του. Διὰ τοῦτο καὶ ἔλεγον, «Ἐνῷ ἐσώθη ὁ ἄνθρωπος αὐτὸς ἀπὸ τὴν θάλασσαν, ἡ θεία δίκη δὲν τὸν ἄφησε νὰ ζήσῃ»[45]. Καὶ ὁ Σεμεεὶ πάλιν ὠνόμαζε τὸν Δαυῒδ ἀνθρωποκτόνον[46], βγάζων τὸ κακὸν αὐτὸ συμπέρασμα δι' αὐτὸν ἀπὸ τὴν συμφοράν του.

8. Διὰ νὰ μὴ πάθετε λοιπὸν καὶ ἐσεῖς αὐτό, ἐμπρὸς ἂς συζητήσωμεν ὀλίγον δι' αὐτά. Καθ' ὅσον ἀκούω πολλοὺς νὰ λέγουν· "Ἐὰν ὁ Θεὸς ἠγάπα τοὺς πτωχούς, δὲν θὰ τοὺς ἄφηνε νὰ εἶναι πτωχοί"· ἄλλους πάλιν, ὅταν ἰδοῦν κάποιον νὰ παλεύῃ μὲ μίαν μακροχρόνιον ἀρρώστιαν καὶ νόσον· 'ποῦ εἶναι αἱ ἐλεημοσῦναι τοῦ τάδε; ποῦ αἱ καλαὶ πράξεις του;'. Διὰ νὰ μὴ διαπράττετε λοιπὸν τέτοια ἁμαρτήματα, ἂς διευκρινήσωμεν τὴν αἰτίαν αὐτῶν τῶν πραγμάτων. Διότι, ἐὰν ἕνας ἄνθρωπος μυαλομένος δὲν θὰ ἠμποροῦσε νὰ γίνῃ οὔτε μισόκαλος οὔτε φιλόκακος, πῶς σὺ τολμᾷς νὰ λέγῃς τέτοιο λόγια διὰ τὸν Κύριον, ὅτι ὁ Θεὸς μισεῖ τοὺς πτωχούς, καὶ ἂν ἀκόμη εἶναι ἐνάρετοι, ἀγαπᾷ δὲ τοὺς πλουσίους, καὶ ἂν ἀκόμη εἶναι κακοί, ἀνοίγων τὸ βλάσφημον στόμα σου καὶ μὴ κατανοῶν τὸ μέγεθος αὐτῆς

μον στόμα ἀνοιγνύς, καὶ οὐκ ἐννοῶν τῆς ἀτοπίας τὸ μέγεθος; Ἵν' οὖν μὴ τοιαῦτα ἁμαρτάνῃς, μάθε τί φιλεῖ ὁ Θεὸς καὶ μισεῖ.

Τίνα τοίνυν φιλεῖ; Τὸν τὰς ἐντολὰς αὐτοῦ τηροῦντα. «Τοῦτον γὰρ ἀγαπήσω», φησί, «καὶ ἐλεύσομαι πρὸς αὐτόν»· οὐ τὸν πλουτοῦντα, οὐ τὸν ὑγιαίνοντα, ἀλλὰ τὸν ὑπακούοντα τοῖς ἐμοῖς προστάγμασι. Τίνα δὲ μισεῖ καὶ ἀποστρέφεται; Τὸν μὴ ποιοῦντα τὰς ἐντολὰς αὐτοῦ. Ὅταν τοίνυν ἴδῃς τινὰ τὰς ἐντολὰς αὐτοῦ μὴ ποιοῦντα, κἂν ὑγιαίνῃ, κἂν πλούτῳ περιρρέηται, ἐν τοῖς μισουμένοις αὐτὸν τίθει, τὸν δὲ ἐνάρετον, κἂν νοσοῦντα ἴδῃς, κἂν πενόμενον, ἐν τοῖς φιλουμένοις ἀρίθμει. Οὐ γὰρ ἐν τούτοις τὰ τῆς φιλίας, ἀλλ' ἐν ἐκείνοις. Ἢ οὐχ ὁρᾷς καὶ ἐπὶ τῶν βιωτικῶν, τοὺς τῶν βασιλέων φίλους, μάλιστα τούτους προκινδυνεύοντας ἐν πολέμοις, καὶ τραύματα ἔχοντας, καὶ ἀποδημίαν στελλομένους; Οὐκ ἤκουσας, ὅτι «Ὃν ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱόν, ὃν παραδέχεται»; Ἀλλὰ πολλοὶ σκανδαλίζονται, φησί, ταῦτα ὁρῶντες. Οὐ δι' αὐτούς, ἀλλὰ διὰ τὴν οἰκείαν ἄνοιαν. Οὐ γὰρ ἐνταῦθα ἡ ἀντίδοσις ἡμῖν τῶν πόνων, ἀλλὰ τὰ μὲν ἐνταῦθα σκάμματα, τὰ δὲ μετὰ ταῦτα ἔπαθλα καὶ στέφανοι. Μὴ ζήτει τοίνυν ἐν καιρῷ τῶν παλαισμάτων καὶ ἐν ἡμέρᾳ παγκρατίου τὴν ἄνεσιν καὶ τὴν ἄδειαν, μηδὲ σύγχεε τοὺς καιρούς.

Ἀλλ' ἀσθενέστεροι πολλοί, φησίν, εἰσίν. Ἀλλὰ καὶ τούτων προενόησεν ὁ Θεός· καὶ εἴασε πολλοὺς καὶ τῶν δικαίων ἐν εὐπραγίᾳ καὶ ἐνταῦθα, οὐ δι' ἐκείνους, ἀλλὰ διὰ τοὺς ἀσθενεστέρους. Ὥστε εἰ καὶ σκανδαλίζουσί σε οἱ ἐν θλίψει, οἰκοδομείτωσάν σε οἱ ἐν ἀνέσει· καὶ εἰ ὑποσκελίζουσί σε οἱ ἐν εὐπραγίᾳ τῶν πονηρῶν, ἀνορθούτωσάν σε οἱ ἐν κολάσει

47. Ἑβρ. 12, 6.

τῆς ἀνοησίας σου; Διὰ νὰ μὴ διαπράττῃς λοιπὸν αὐτὰ τὰ ἁμαρτήματα, μάθε τί ἀγαπᾷ ὁ Θεὸς καὶ τί μισεῖ.

Ποῖον λοιπὸν ἀγαπᾷ; Αὐτὸν πού τηρεῖ τὰς ἐντολάς του. Διότι λέγει· «Αὐτὸν θὰ ἀγαπήσω καὶ θὰ ἔλθω πρός αὐτόν»· ὄχι τὸν πλούσιον, οὔτε τὸν ὑγιῆ, ἀλλ' ἐκεῖνον πού ὑπακούει εἰς τὰ προστάγματά μου. Ποῖον δὲ μισεῖ καὶ ἀποστρέφεται; Ἐκεῖνον πού ἐκτελεῖ τὰς ἐντολάς του. Ὅταν λοιπὸν ἴδῃς κάποιον νὰ μὴ ἐκτελῇ τὰς ἐντολάς του, καὶ ἂν ἀκόμη εἶναι ὑγιής, καὶ ἂν ἀκόμη πλέῃ μέσα εἰς τόν πλοῦτον, νὰ τὸν κατατάσσῃς μεταξὺ τῶν μισουμένων, ἐνῷ τὸν ἐνάρετον, καὶ ἂν ἀκόμη τὸν ἴδῃς νὰ εἶναι ἀσθενής, καὶ ἂν ἀκόμη νὰ εἶναι πτωχός, νὰ τὸν ἀπαριθμῇς μεταξὺ τῶν ἀγαπωμένων. Διότι τὰ τῆς φιλίας δὲν ὑπάρχουν εἰς αὐτούς, ἀλλ' εἰς ἐκείνους. Ἢ δὲν βλέπεις καὶ εἰς τὰ κοσμικὰ πράγματα, ὅτι οἱ φίλοι τοῦ βασιλέως αὐτοὶ πρὸ πάντων κατὰ τοὺς πολέμους ρίπτονται πρῶτοι εἰς τοὺς κινδύνους καὶ τραυματίζονται καὶ ἀποστέλλονται μακριά ἀπό τὴν πατρίδα; Δὲν ἤκουσες, ὅτι «ὁ Κύριος παιδεύει ἐκεῖνον πού ἀγαπᾷ, καὶ μαστιγώνει κάθε τέκνον του πού τὸ παραδέχεται»[47]; Ἀλλὰ πολλοί, λέγει, σκανδαλίζονται βλέποντες αὐτά. Ὄχι ἐξ αἰτίας αὐτῶν, ἀλλ' ἐξ αἰτίας τῆς ἰδικῆς των ἀνοησίας. Διότι ἡ ἀνταπόδοσις διὰ τοὺς κόπους δὲν γίνεται ἐδῶ, ἀλλὰ τὰ μὲν ἀγωνίσματα γίνονται ἐδῶ, τὰ ἔπαθλα ὅμως καὶ οἱ στέφανοι θὰ δοθοῦν μετὰ ἀπὸ αὐτά. Μὴ λοιπὸν ζητῇς κατὰ τὸν καιρὸν τῶν ἀγωνισμάτων καὶ κατὰ τὴν ἡμέραν τοῦ παγκρατίου τὴν ἄνεσιν καὶ τὴν ἀσφάλειαν, οὔτε νὰ συγχέῃς τοὺς καιρούς.

Ἀλλὰ πολλοί, λέγει, εἶναι ἀσθενέστεροι Ὅμως καὶ δι' αὐτοὺς ἐπρονόησεν ὁ Θεός, καὶ ἄφησε πολλοὺς καὶ ἀπὸ τοὺς δικαίους νὰ εὐημεροῦν καὶ ἐδῶ, ὄχι δι' ἐκείνους, ἀλλὰ διὰ τοὺς ἀσθενεστέρους. Ὥστε, καὶ ἂν ἀκόμη σὲ σκανδαλίζουν αὐτοὶ πού ζοῦν μέσα εἰς τὰς θλίψεις, ἂς σὲ οἰκοδομοῦν αὐτοὶ πού ἀπολαμβάνουν ἄνεσιν· καὶ ἐὰν σὲ κλονίζουν ἐκεῖνοι ἀπὸ τοὺς κακοὺς πού εὐτυχοῦν,

καὶ τιμωρία. Οὐκ ἤκουσας τοῦ Χριστοῦ λέγοντος, «Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε»; Τί τοίνυν ζητεῖς ἄνεσιν, ἐκείνου ταῦτα εἰπόντος; Οὐκ ἤκουσας αὐτοῦ λέγοντος, «Ὁ κόσμος χαρήσεται, ὑμεῖς ἀεὶ λυπηθήσεσθε»; Ὥστε εἰκὸς ἦν σκανδαλίζεσθαι τοὺς ἀνοητοτέρους, εἰ τὰ ἐναντία ἐγένετο ὧν εἶπεν· εἰ δὲ κατὰ ἀκολουθίαν πάντα προβαίνει, τίνος ἕνεκεν σκανδαλίζῃ; Καὶ τίνος ἕνεκεν, φησίν, οὕτω διετύπωσεν ὁ Θεός; Μὴ ἐξέταζε, μηδὲ πολυπραγμόνει. «Οὐδὲ γὰρ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι· τί με ἐποίησας οὕτω;». Διὰ τοῦτο καὶ ὁ προφήτης ἐπετίμα τοὺς Ἰουδαίους, ὅτι μυρίων γέμοντες κακῶν, τοῦ Θεοῦ τὰς ὁδοὺς περιειργάζοντο, λέγων· «Γνῶναι τὰς ὁδούς μου ἐπιθυμοῦσιν ὡς λαὸς δικαιοσύνην πεποιηκώς, καὶ κρίσιν Θεοῦ αὐτοῦ μὴ ἐγκαταλελοιπώς»· ὅμοιον ποιοῦντες, ὥσπερ ἂν εἴ τις οἰκέτης προσκεκρουκώς, καὶ μυρίων ὑπεύθυνος ὢν ἐγκλημάτων, παρεὶς τὸ λῦσαι τὴν ὀργὴν τοῦ δεσπότου, εὐθύνας αὐτὸν ἀπαιτοίη, τί δήποτε τοῦτο πεποίηκε. Μὴ δὴ ταῦτα ζήτει, ἀφεὶς τὸ κλαίειν καὶ θρηνεῖν, καὶ τὰ οἰκεῖα ἀπονίπτεσθαι κακά. Ταῦτα λέγω, οὐχ ὡς ἀπορῶν τὸν λόγον εἰπεῖν, ἀλλὰ βουλόμενός σε ἀπὸ τῆς πολυπραγμοσύνης ταύτης εἰς τὴν περὶ τῆς οἰκείας σωτηρίας μέριμναν ἐμβαλεῖν.

Τίνος οὖν ἕνεκεν οὕτως ἐπέταξε; Τοῦ γένους φειδόμενος τοῦ τῶν ἀνθρώπων. Τὸν μὲν γὰρ πόνον ἐνταῦθα συνεκλήρωσεν, ἔνθα βραχὺς ὁ βίος, τοὺς δὲ στεφάνους εἰς τὸ μέλλον ἐταμιεύσατο, ἔνθα ἀγήρως καὶ ἀτελεύτητος ὁ αἰών. Καὶ ὁ μὲν πόνος οὗτος ταχέως παραλύεται καὶ παρατρέχει, ἐκεῖνα δὲ ἀθάνατα μένει, οὐδέποτε πέρας ἔχοντα. Ἄλλως δὲ καὶ γυμνάζει τὰς ψυχὰς εἰς τὸ τῆς ἀρετῆς φίλτρον. Ὅταν μὲν γὰρ καὶ μετὰ πόνων αὐτὴν αἱρῆται, μηδέποτε ἔπαθλον λαμβάνουσα, μελετᾷ διακεῖσθαι πρὸς αὐτὴν μετὰ πολλῆς τῆς

48. Ἰω. 16, 33.
49. Ἰω. 16, 20.
50. Ρωμ. 9, 20.
51. Ἡσ. 58, 2.

ἄς σὲ ἀνορθώνουν ἐκεῖνοι ποὺ κολάζονται καὶ τιμωροῦνται. Δὲν ἤκουσες τὸν Χριστὸν ποὺ λέγει, «Εἰς αὐτὸν τὸν κόσμον θὰ ἔχετε θλῖψιν»[48]; Τί λοιπὸν ζητεῖς ἄνεσιν, τὴν στιγμὴν ποὺ ἐκεῖνος εἶπεν αὐτά; Δὲν ἤκουσες αὐτὸν ποὺ λέγει, «Ὁ κόσμος θὰ χαρῇ, σεῖς ὅμως πάντοτε θὰ δοκιμάζετε λύπην»[49]; Ὥστε φυσικὸν θὰ ἦτο νὰ σκανδαλίζωνται οἱ πιὸ ἀνόητοι, ἐὰν συνέβαινον τὰ ἀντίθετα ἀπὸ αὐτὰ ποὺ εἶπεν, ἐὰν ὅμως ὅλα συμβαίνουν ὅπως τὰ εἶπε, διὰ ποῖον λόγον σκανδαλίζεσαι; Καὶ διὰ ποῖον λόγον, λέγει, ἐξεφράσθη ἔτσι ὁ Θεός; Μὴ τὰ ἐξετάζῃς αὐτά, οὔτε ν' ἀσχοληθῇς με τὰς λεπτομερείας αὐτῶν. «Διότι δὲν θὰ εἰπῇ τὸ πλάσμα εἰς τὸν πλάστην του· διατί μὲ ἔπλασες ἔτσι;»[50]. Διὰ τοῦτο καὶ ὁ προφήτης ἐκατηγοροῦσε τοὺς Ἰουδαίους, ὅτι ἐνῷ ἦσαν γεμᾶτοι ἀπὸ κακά, περιεργάζοντο τὰς ἐντολὰς τοῦ Θεοῦ, λέγων· «Ἐπιθυμοῦν νὰ γνωρίσουν τὰς ἐντολάς μου, ὡσὰν λαὸς ποὺ τάχα συμπεριφέρεται μὲ δικαιοσύνην καὶ δὲν ἔχει ἐγκαταλείψει ποτὲ τὰς ἐντολὰς τοῦ Θεοῦ»[51]. Ἔκαμνον δηλαδὴ τὸ ἴδιο ὡσὰν μὲ κάποιον ὑπηρέτην ποὺ, ἐνῷ διέπραξε σφάλματα καὶ εἶναι ὑπεύθυνος ἀμετρήτων κατηγοριῶν, ἀδιαφορῶν νὰ ἐξαλείψῃ τὴν ὀργὴν τοῦ κυρίου του, ἔφθανεν εἰς τὸ σημεῖον νὰ ζητῇ ἀπὸ αὐτὸν εὐθύνας, διατί τέλος πάντων τὸ ἔκαμεν αὐτό. Μὴ λοιπὸν ἐξετάζῃς αὐτά, ἀφήνων κατὰ μέρος τὸ κλάμα καὶ τὸν θρῆνον καὶ τὸ καθάρισμα ἀπὸ τὰ ἰδικά σου κακά. Αὐτὰ τὰ λέγω ὄχι ἐπειδὴ τάχα δὲν ξεύρω τί ἄλλο νὰ εἰπῶ, ἀλλ' ἐπειδὴ θέλω νὰ σὲ ἀπαλλάξω ἀπὸ αὐτὴν τὴν πολυπραγμοσύνην καὶ νὰ σὲ ὁδηγήσω εἰς τὸ νὰ φροντίζῃς διὰ τὴν σωτηρίαν σου.

Διὰ ποῖον λοιπὸν λόγον τὰ ἐρρύθμισεν ἔτσι; Ἀπὸ ἐνδιαφέρον διὰ τὸ ἀνθρώπινον γένος. Διότι τὸν μὲν πόνον τὸν ἥνωσε μὲ τὴν ἐδῶ ζωήν, ποὺ εἶναι σύντομος, τοὺς στεφάνους ὅμως τοὺς ἐπεφύλαξε διὰ τὸ μέλλον, ὅπου ἡ ζωὴ εἶναι αἰώνιος καὶ χωρὶς τέλος. Καὶ ὁ μὲν πόνος αὐτὸς ἀμέσως διαλύεται καὶ φεύγει καὶ χάνεται, ἐνῷ τὰ ἔπαθλα

ἀκριβείας· ὅταν δὲ καὶ μεθ' ἡδονῆς τὴν κακίαν φεύγῃ, μηδέποτε κόλασιν ὑπομένουσα, γυμνάζεται μισεῖν αὐτὴν καὶ ἀποστρέφεσθαι. Ὥστε ἀπὸ τούτου καὶ ἕξιν λήψεται τῆς ἀπεχθείας τῆς πρὸς τὴν πονηρίαν, καὶ τῆς ἀγάπης τῆς πρὸς τὴν ἀρετήν. Ἔστι καὶ ἕτερος λόγος. Ποῖος δὲ οὗτος; Ὅτι μάλιστα πρὸς φιλοσοφίαν ἡ θλῖψις ἀλείφει, καὶ ἰσχυροτέρους ποιεῖ. Καὶ μετὰ τοῦτον πάλιν ἄλλος. Ποῖος δὲ οὗτος; Βούλεται παιδεῦσαι τῶν παρόντων ὑπερορᾶν, καὶ μὴ προσηλῶσθαι, μηδὲ συνδεδέσθαι αὐτοῖς. Διὰ δὴ τοῦτο καὶ θλῖψιν συνεκλήρωσε καὶ πόνον, καὶ τὰ χρηστὰ αὐτὰ καὶ φαιδρὰ εὐκατάλυτα πεποίηκε. «Συντελεσθήτω δὴ πονηρία ἁμαρτωλῶν, καὶ κατευθυνθεῖς δίκαιον». Τί ἐστι, «Συντελεσθήτω»; Ἐπάγαγε, φησί, τιμωρίαν, καὶ στήσεις αὐτοὺς τῆς κακίας. Καθάπερ γὰρ αἱ σηπεδόνες πικροῖς εἴκουσι φαρμάκοις, καὶ καύσεσι καὶ τομαῖς· οὕτω καὶ ἡ πονηρία ὑπὸ τιμωρίας κωλύεται.

9. Ταῦτ' οὖν εἰδότας, οὐ τοὺς τιμωρουμένους, οὐδὲ τοὺς κολαζομένους δακρύειν χρή, ἀλλὰ τοὺς ἁμαρτάνοντας ἀτιμωρητί. Πρῶτον μὲν γὰρ κακόν, τὸ ἁμαρτάνειν· δεύτερον δέ, τὸ ἁμαρτάνοντας μηδεμιᾶς τυγχάνειν θεραπείας. Μᾶλλον δὲ καὶ τοῦτο πρῶτον εἴποι τις ἂν δικαίως, καὶ πολλῷ χαλεπώτατον. Ὥσπερ γὰρ οὐ τὸ νοσεῖν χαλεπόν, ἀλλὰ τὸν νοσοῦντα μὴ θεραπεύεσθαι· οὐδὲ τὸν ἔχοντα σηπεδόνα θρηνοῦμεν ἁπλῶς, ἀλλὰ τὸν ἔχοντα καὶ εἰκῇ κείμενον, καὶ μὴ

παραμένουν ἀθάνατα, χωρὶς νὰ ἔχουν τέλος. Ἐξ ἄλλου δὲ καὶ ἀσκεῖ τὰς ψυχὰς εἰς τὸ ν' ἀγαποῦν τὴν ἀρετήν. Διότι ὅταν προτιμᾷ τὴν ἀρετήν, ἂν καὶ εἶναι γεμάτη πόνους, καὶ δὲν λαμβάνει ποτὲ ἔπαθλον, φροντίζει ἡ σχέσις του πρὸς αὐτὴν νὰ γίνεται μὲ πολλὴν προσοχήν, ἐνῷ ὅταν μὲ εὐχαρίστησιν ἀποφεύγῃ τὴν κακίαν, χωρὶς ποτὲ νὰ τιμωρῆται, ἀσκεῖται νὰ μισῇ αὐτὴν καὶ νὰ τὴν ἀποστρέφεται. Ὥστε ἀπὸ αὐτὸ θὰ συνηθίσῃ νὰ μισῇ τὴν κακίαν καὶ ν' ἀγαπᾷ τὴν ἀρετήν. Ὑπάρχει δὲ καὶ ἄλλος λόγος. *Ποῖος δὲ εἶναι αὐτός; Ὅτι ἡ θλῖψις μᾶς ἀσκεῖ κατ' ἐξοχὴν* εἰς τὴν ἄσκησιν τῆς εὐσεβείας καὶ μᾶς κάνει ἰσχυροτέρους. Καὶ μαζὶ μὲ αὐτὸν ὑπάρχει καὶ ἄλλος λόγος. Ποῖος εἶναι αὐτός; Θέλει νὰ μᾶς ἀσκήσῃ νὰ περιφρονοῦμεν τὰ πράγματα τῆς παρούσης ζωῆς καὶ νὰ μὴ προσηλωνώμεθα εἰς αὐτὰ οὔτε νὰ δενώμεθα μὲ αὐτά. Διὰ τοῦτο λοιπὸν καὶ συνήνωσε μὲ τὴν ζωήν μας θλῖψιν καὶ πόνον, ἐνῷ τὰ καλὰ καὶ τὰ εὐχάριστα τὰ ἔκανε νὰ εἶναι εὐκολοδιάλυτα. «Ἂς τερματισθῇ λοιπὸν ἡ κακία τῶν ἁμαρτωλῶν καὶ τότε θὰ ὁδηγήσῃς ἀνεμπόδιστα τὸν δίκαιον εἰς τὸν δρόμον τῆς ἀρετῆς». Τί σημαίνει, «Συντελεσθήτω»; Τιμώρησέ τους, λέγει, καὶ σταμάτησε τὴν κακίαν των. Διότι ὅπως ἀκριβῶς τὸ σάπισμα ὑποχωρεῖ μὲ πικρὰ φάρμακα, καυτηριασμοὺς καὶ ἐγχειρίσεις, ἔτσι καὶ ἡ κακία ἐμποδίζεται ἀπὸ τὴν τιμωρίαν.

9. Γνωρίζοντες λοιπὸν αὐτὰ πρέπει νὰ μὴ κλαίωμεν ἐκείνους ποὺ τιμωροῦνται οὔτε ἐκείνους ποὺ βασανίζονται, ἀλλ' ἐκείνους ποὺ ἁμαρτάνουν καὶ δὲν τιμωροῦνται. Διότι πρῶτον κακὸν εἶναι τὸ ν' ἁμαρτάνῃ κανείς· δεύτερον δέ, τὸ ν' ἁμαρτάνῃ χωρὶς νὰ προβαίνῃ εἰς καμμίαν θεραπείαν. Μᾶλλον δὲ καὶ αὐτὸ δικαίως θὰ ἠμποροῦσε κανεὶς νὰ τὸ ὀνομάσῃ πρῶτον καὶ πολὺ μάλιστα χειρότερον. Διότι ὅπως ἀκριβῶς δὲν εἶναι φοβερὸν τὸ ν' ἀσθενήσῃ κανείς, ἀλλὰ τὸ νὰ μὴ θεραπεύεται ὁ ἀσθενής, οὔτε θρηνοῦμεν ἐκεῖνον ποὺ ἁπλῶς πάσχει ἀπὸ σῆψιν, ἀλλ' ἐκεῖνον ποὺ πάσχει

τυγχάνοντα ἰατρικῶν χειρῶν, τὸν δὲ τεμνόμενον καὶ καιόμενον, τοῦτον φαίημεν ἂν πρὸς ὑγίειαν ὁδεύειν, οὐ τὴν ἀπὸ τῆς τομῆς ὀδύνην βλέποντες, ἀλλὰ τὴν ἀπὸ τῆς τομῆς ὑγίειαν, οὕτω καὶ ἐπὶ τῆς ψυχῆς διακεῖσθαι χρή, οὐχὶ τοὺς κολαζομένους (καὶ γὰρ πρὸς ὑγίειαν ἕλκονται), ἀλλὰ τοὺς ἁμαρτάνοντας ἀτιμωρητὶ θρηνεῖν καὶ πενθεῖν. Καὶ εἰ αἱ τιμωρίαι τῆς πονηρίας εἰσὶ κωλυτικαί, φησί, τίνος ἕνεκεν οὐ καθ' ἑκάστην ἡμέραν διδόαμεν δίκην τῶν ἡμαρτημένων; Ὅτι εἰ τοῦτο ἐγεγόνει, προανηρπάσθη ἂν τὸ γένος τῶν ἀνθρώπων, καὶ ὁ τῆς μετανοίας καιρὸς ἀνῄρητο. Σκόπει γοῦν ἐπὶ τοῦ Παύλου. Εἰ γὰρ ἐκεῖνος ἔδωκε δίκην τῆς διώξεως, καὶ ἀνῃρέθη, πῶς ἂν ἔσχε καιρὸν μετανοῆσαι, καὶ μετὰ τὴν μετάνοιαν τὰ μυρία ἐργάσασθαι ἀγαθά, καὶ πᾶσαν, ὡς εἰπεῖν, τὴν οἰκουμένην ἀπὸ τῆς πλάνης ἐπὶ τὴν ἀλήθειαν χειραγωγῆσαι; Οὐχ ὁρᾷς καὶ τοὺς ἰατρούς, ὅταν τις πολλὰ περικέηται τραύματα, οὐ τοσαύτην ἐπάγοντας θεραπείαν, ὅσην ἀπαιτεῖ τῶν τραυμάτων ἡ φύσις, ἀλλ' ὅσην φέρει τῆς δυνάμεως ἡ ὑπόστασις, ἵνα μή, τὰ τραύματα θεραπεύσαντες, τὸν κάμνοντα ἀπενέγκωσι; Διὰ δὴ τοῦτο ὁ Θεὸς οὔτε πάντας ὁμοῦ κολάζει, οὔτε πάντας κατ' ἀξίαν, ἀλλ' ἠρέμα, καὶ ἐνδιδούς· καὶ πολλάκις ἕνα τιμωρούμενος, δι' ἐκείνου πολλοὺς ἐσωφρόνισε. Τοῦτο καὶ ἐπὶ τοῦ σώματος γίνεται πολλάκις· ἑνὸς ἐκκοπὴ μέλους ἑτέροις πλείοσιν ὑγείαν παρέσχεν.

Ὅρα δὲ τοῦ δικαίου τὴν φιλόστοργον ψυχήν, πῶς πανταχοῦ τὸ κοινῇ συμφέρον ζητεῖ, καὶ τῆς κακίας τὴν ἀναίρε-

ἀπὸ τὴν σῆψιν καὶ ἀφήνει αὐτὴν εἰς τὴν τύχην καὶ δὲν λαμβάνει ἰατρικὴν βοήθειαν, ἐνῷ ἐκεῖνον ποὺ ἐγχειρίζεται καὶ καυτηριάζεται, θὰ ἠμπορούσαμεν νὰ εἰποῦμεν ὅτι αὐτὸς βαδίζει πρὸς ὑγείαν, προσέχοντες ὄχι τὸν πόνον ἀπὸ τὴν ἐγχείρισιν, ἀλλὰ τὴν ὑγείαν ποὺ προέρχεται ἀπὸ τὴν ἐγχείρισιν, ἔτσι πρέπει ν' ἀντιμετωπίζωμεν καὶ τὰ θέματα τῆς ψυχῆς, νὰ θρηνοῦμεν καὶ νὰ πενθοῦμεν ὄχι ἐκείνους ποὺ βασανίζονται (καθ' ὅσον ὁδηγοῦνται πρὸς ὑγείαν), ἀλλ' ἐκείνους ποὺ ἁμαρτάνουν καὶ δὲν τιμωροῦνται. Καὶ ἐάν, λέγει, αἱ τιμωρίαι τῆς κακίας ἐμποδίζουν αὐτήν, διὰ ποῖον λόγον δὲν τιμωρούμεθα καθημερινὰ διὰ τὰ ὅσα ἁμαρτήματα ἔχομεν διαπράξει; Διότι ἐὰν εἶχε γίνει αὐτό, θὰ συνέβαινε νὰ εἶχεν ἐξαφανισθῆ τὸ ἀνθρώπινον γένος καὶ θὰ ἐξέλειπεν ὁ καιρὸς τῆς μετανοίας. Πρόσεχε λοιπὸν τὴν περίπτωσιν τοῦ Παύλου. Διότι ἐὰν ἐκεῖνος ἐτιμωρεῖτο διὰ τὴν δίωξιν τῶν χριστιανῶν καὶ ἐθανατώνετο, πῶς θὰ ἦτο δυνατὸν νὰ εὕρῃ καιρὸν νὰ μετανοήσῃ καὶ μετὰ τὴν μετάνοιαν νὰ πραγματοποιήσῃ τὰ ἀμέτρητα ἐκεῖνα ἀγαθὰ καὶ νὰ ὁδηγήσῃ, ὅπως θὰ ἠμπορούσαμεν νὰ εἰποῦμεν, ὅλην τὴν οἰκουμένην ἀπὸ τὴν πλάνην εἰς τὴν ἀλήθειαν; Δὲν βλέπεις καὶ τοὺς ἰατρούς, ὅταν κανεὶς πάσχῃ ἀπὸ πολλὰ τραύματα, δὲν προσθέτουν τόσην θεραπείαν, ὅσην ἀπαιτεῖ ἡ φύσις τῶν τραυμάτων, ἀλλ' ὅσην ἠμπορεῖ νὰ βαστάσῃ ἡ δύναμις τοῦ ὀργανισμοῦ, διὰ νὰ μή, θεραπεύσαντες τὰ τραύματα, ὁδηγήσουν εἰς τὸν θάνατον τὸν ἀσθενῆ; Διὰ τοῦτο λοιπὸν ὁ Θεὸς οὔτε τιμωρεῖ ὅλους μαζί, οὔτε ὅλους ὅπως ἀξίζει, ἀλλ' ἤρεμα καὶ προβαίνων εἰς ὑποχωρήσεις· καὶ πολλὲς φορὲς μὲ τὸ νὰ τιμωρήσῃ ἕνα, ἐσωφρόνισε μέσῳ ἐκείνου πολλούς. Αὐτὸ πολλὲς φορὲς γίνεται καὶ μὲ τὸ σῶμα· ἡ ἀποκοπὴ ἑνὸς μέλους ἐχάρισε τὴν ὑγείαν εἰς πολλὰ ἄλλα.

Πρόσεχε δὲ τοῦ δικαίου τὴν φιλόστοργον ψυχήν, πῶς παντοῦ ζητεῖ τὸ κοινὸν συμφέρον, καὶ τὴν ἐξάλειψιν τῆς κακίας, ὄχι διὰ νὰ λάβῃ ἐκδίκησιν ἀπὸ τὴν τιμωρίαν τῶν

σιν, οὐχ ἵνα αὐτὸς δίκην λάβῃ παρὰ τῶν ἐχθρῶν, ἀλλ' ἵνα οἱ ἐχθροὶ παύσωνται τῆς πονηρίας. Τοῦτο τοίνυν πανταχοῦ σκοπῶμεν, ὅπως σταίη τὰ τῆς κακίας, καὶ θρηνῶμεν τοὺς ἐν ταύτῃ ὄντας, κἂν σηρικὰ ὦσι περικείμενοι ἱμάτια, καὶ μακαρίζωμεν τοὺς ἐν ἀρετῇ, κἂν πενίᾳ ἐσχάτῃ παλαίωσιν, ἀπὸ τῶν ἔξωθεν εἰς τὴν διάνοιαν ἑκατέρων εἰσιόντες. Τότε γὰρ ὀψόμεθα τοῦ μὲν τὸν πλοῦτον, τοῦ δὲ τὴν πενίαν. Τί γάρ, εἰ λαμπρὰν στολὴν ἔξωθεν περιβέβληται; τί τῶν ἐργαστηρίων διενήνοχε, καὶ τῶν ξύλων τῶν ἀνεχόντων αὐτά; τί τῶν λαμβανόντων αὐτὰ πωλεῖν οὗτος εὐπορώτερος; Ἀλλ' οὐχ ὁ τοῦ δικαίου πλοῦτος τοιοῦτος, ἀλλὰ μόνιμος καὶ πεπηγώς. Εἰ δὲ οὐκ αἰσθάνονται οἱ πλουτοῦντες ἐν πενίᾳ ὄντες, οὐδὲν θαυμαστόν. Οὐδὲ οἱ φρενίτιδι κατεχόμενοι αἴσθησιν τῆς νόσου λαμβάνουσι, καὶ διὰ τοῦτο μάλιστά εἰσιν ἐλεεινοί, οὐ μακαριστοί. Εἰ γὰρ ᾔσθοντο, κἂν πρὸς τὸν ἰατρὸν ἔτρεχον, νῦν δὲ τῆς κακίας τοῦτο τὸ χαλεπώτατον, ὅτι ἐν αὐτῇ ὄντες, οὐδ' ὅτι εἰσὶν ἐν αὐτῇ συνορῶσι. Μὴ δὴ τοῦτο ἴδῃς, ὅτι χαίρει πλουτῶν ὁ πλούσιος, ἀλλὰ δι' αὐτὸ τοῦτο μάλιστα αὐτὸν δάκρυσον, ὅτι οὐδὲ αἰσθάνεται, ἐν ὅσῳ κεῖται κακῷ. Οὐ γὰρ ἀνθρώπινον τὸ ἐπὶ τούτοις ἀγάλλεσθαι, ἀλλ' ἀλογίας ἐσχάτης.

Καὶ κατευθυνθεὶς δίκαιον». Τί ἐστι τοῦτο; Τῶν γὰρ πονηρῶν κολασθέντων, φησί, προσεκτικώτεροι οἱ δίκαιοι γίνονται. Ὥστε δύο ἐντεῦθεν τὰ ἀγαθά· ἐκεῖνοί τε γὰρ τῆς πονηρίας ἀφίστανται, καὶ οὗτοι τῇ ἀρετῇ μᾶλλον προσέρχονται. Ὥσπερ γὰρ ὑγιαίνων ἄνθρωπος ἰδών τινα καιόμενον, ἢ τε-

ἐχθρῶν του, ἀλλὰ διὰ νὰ σταματήσουν οἱ ἐχθροὶ τὴν κακίαν. Αὐτὸ λοιπὸν παντοῦ ἄς σκεπτώμεθα, τὸ πῶς νὰ σταματήσουν τὰ ἀποτελέσματα τῆς κακίας, καὶ νὰ θρηνοῦμεν αὐτοὺς ποὺ ζοῦν μέσα εἰς τὴν κακίαν, καὶ ἄν ἀκόμη εἶναι ἐνδεδυμένοι μὲ μεταξωτὰ ἐνδύματα, καὶ νὰ μακαρίζωμεν ἐκείνους ποὺ ἀσκοῦν τὴν ἀρετήν, καὶ ἄν ἀκόμη παλεύουν μὲ τὴν πιὸ χειροτέραν φτώχειαν, εἰσερχόμενοι ἀπὸ τὰ ἐξωτερικὰ γνωρίσματα εἰς τὸν ἐσωτερικὸν κόσμον καὶ τῶν δύο. Καθ' ὅσον τότε θὰ διοπιστώσωμεν τὸν πλοῦτον τοῦ ἑνὸς καὶ τὴν φτώχειαν τοῦ ἄλλου. Διότι τί σημασίαν ἔχει ἐὰν φορᾷ ἐξωτερικὰ λαμπρὰν στολήν; Τί διαφέρει ἀπὸ τὰ ἐργαστήρια καὶ ἀπὸ τὰ δένδρα ποὺ βλαστάνουν αὐτά; Ὡς πρὸς τί εἶναι αὐτὸς πλουσιώτερος ἀπὸ ἐκείνους ποὺ τὰ παίρνουν διὰ νὰ τὰ πωλοῦν; Ὅμως δὲν εἶναι τέτοιος ὁ πλοῦτος τοῦ δικαίου, ἀλλ' εἶναι μόνιμος καὶ σταθερός. Ἐὰν ὅμως οἱ πλούσιοι δὲν αἰσθάνωνται τὴν φτώχειαν των, δὲν εἶναι καθόλου ἀξιοθαύμαστον. Οὔτε καὶ οἱ φρενοβλαβεῖς αἰσθάνονται τὴν ἀσθένειάν των καὶ διὰ τοῦτο πρὸ πάντων εἶναι ἀξιολύπητοι καὶ ὄχι ἀξιομακάριστοι. Διότι ἐὰν τὴν ᾐσθάνοντο, θὰ ἔτρεχον τουλάχιστον πρὸς τὸν ἰατρόν, τώρα ὅμως αὐτὸ εἶναι τὸ πιὸ φοβερὸν τῆς κακίας των, ὅτι δηλαδὴ ἄν καὶ ζοῦν μέσα εἰς αὐτήν, δὲν αἰσθάνονται ὅτι ζοῦν μέσα εἰς αὐτήν. Μὴ λοιπὸν βλέπεις αὐτό, ὅτι ὁ πλούσιος χαίρεται μὲ τὸν πλοῦτον του, ἀλλ' ἀκριβῶς δι' αὐτὸ πρὸ πάντων κλάψε δι' αὐτόν, διὰ τὸ ὅτι δὲν αἰσθάνεται μέσα εἰς πόσον κακὸν εὑρίσκεται. Διότι δὲν εἶναι ἀνθρώπινον τὸ νὰ χαίρεται κανεὶς δι' αὐτά, ἀλλ' εἶναι γνώρισμα τῆς πιὸ χειροτέρας παραφροσύνης.

«Καὶ κατευθυνεῖς δίκαιον». Τί σημαίνει αὐτό; Διότι, ὅταν, λέγει, τιμωρηθοῦν οἱ κακοί, οἱ δίκαιοι γίνονται προσεκτικώτεροι. Ὥστε δύο εἶναι ἀπὸ ἐδῶ τὰ ἀγαθά· διότι καὶ ἐκεῖνοι ἀπομακρύνονται ἀπὰ τὴν κακίαν καὶ αὐτοὶ πλησιάζουν περισσότερον τὴν ἀρετήν. Ὅπως ἀκριβῶς δηλαδὴ ἕνας ὑγιὴς ἄνθρωπος, ἐὰν ἴδῃ κάποιον ποὺ νὰ

μνόμενον, προσεκτικώτερος περὶ τὴν ὑγείαν γίνεται, οὕτω δὴ καὶ ἐνταῦθα. Καὶ γὰρ πολλοὶ τῶν τότε ἐσκανδαλίζοντο, καὶ τῶν δοκούντων ἑαυτοῖς προσέχειν, ἐπὶ τῇ τῶν πονηρῶν εὐημερίᾳ ἀτελέστερον ἔτι διακείμενοι. Διὸ καὶ οὗτος ἀλλαχοῦ ἔλεγε· «Παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου, ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις». Ἄλλος δὲ πάλιν· «Τί ὅτι ὁδὸς ἀσεβῶν εὐοδοῦται;». Καὶ ὁ Ἰὼβ δὲ πολλὰ τοιαῦτα ἐζήτει. Ἀλλὰ τότε μὲν ἀτελέστερον διακείμενοι, ταῦτα ἔφασκον οἱ φάσκοντες, καὶ ἐζήτουν οἱ ζητοῦντες, νῦν δὲ οὐδεμιᾶς συγγνώμης ἄξιος ὁ τούτοις θορυβούμενος, ὁ τοσαῦτα φιλοσοφεῖν μαθών, καὶ περὶ τῶν μελλόντων τοιαῦτα δόγματα δεξάμενος, καὶ τὸν περὶ γεέννης καὶ τὸν περὶ βασιλείας σαφέστερον διδαχθεὶς λόγον, καὶ ὅτι τὰ κατ' ἀξίαν ἕκαστος ἐκεῖ ἀπολήψεται.

«Ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεὸς δίκαιος. Ἡ βοήθειά μου παρὰ τοῦ Θεοῦ τοῦ σώζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ». Ἄλλος· «Ὁ ἐταστὴς καρδιῶν καὶ νεφρῶν ὁ Θεὸς δίκαιος ὁ ὑπερασπιστής μου». Καὶ ἕτερος· «Ὁ Θεὸς δίκαιος». Οἱ ἑβδομήκοντα δὲ οὕτως εἶπον· «Ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεός. Δικαία ἡ βοήθειά μου παρὰ τοῦ Θεοῦ». Εἶπεν ὅτι κρινεῖ τὴν οἰκουμένην, λέγει λοιπὸν καὶ πῶς κρινεῖ. Εἶπεν ὅτι οὐ μαρτύρων δεόμενος, οὐκ ἐλέγχων, οὐκ ἀποδείξεων, οὐ γραμματείων, οὐκ ἄλλου τῶν τοιούτων οὐδενός· αὐτὸς γάρ ἐστιν ὁ τὰ ἀπόρρητα ἐπιστάμενος. Μὴ τοίνυν λεγέτω τις τῶν ἀνοήτων· καὶ πῶς κρινεῖ τὸν κόσμον τοσοῦτον ὄντα;

52. Ψαλμ. 72, 2-3.
53. Ἱερ. 12, 1.
54. Ρωμ. 8, 27.

καυτηριάζεται ἤ νὰ ἐγχειρίζεται, γίνεται προσεκτικώτερος διὰ τὴν ὑγείαν του, ἔτσι λοιπὸν καὶ ἐδῶ. Καθ' ὅσον πολλοὶ ἀπὸ τοὺς ἀνθρώπους τῆς ἐποχῆς ἐκείνης ἐσκανδαλίζοντο καὶ ἀπὸ αὐτοὺς ἀκόμη ποὺ ἐνόμιζαν ὅτι προσέχουν τὸν ἑαυτόν των, ἐπειδὴ ἀκόμη ἦσαν πνευματικὰ ἀτελεῖς ὡς πρὸς τὸ γεγονὸς τῆς εὐημερίας τῶν κακῶν. Διὰ τοῦτο καὶ αὐτὸς ἀλλοῦ ἔλεγε· «Παρ' ὀλίγον νὰ ἐξέκλιναν τὰ βήματά μου, διότι ἔνοιωσα ζήλειαν καὶ δυσαρέσκειαν διὰ τὰ ὅσα συμβαίνουν εἰς τοὺς ἁμαρτωλούς»[52]. Ἄλλος δὲ πάλιν· «Διατί ἡ ὁδὸς τῶν ἀσεβῶν εὐοδώνεται;»[53]. Καὶ ὁ Ἰὼβ δὲ πολλὰ παρόμοια ἐζητοῦσε νὰ μάθῃ. Ἀλλὰ τότε μέν, ἐπειδὴ ἦσαν πνευματικὰ ἀνώριμοι, ἔλεγον αὐτὰ ἐκεῖνοι ποὺ τὰ ἔλεγον, καὶ ἐζητοῦσαν νὰ τὰ κατανοήσουν ἐκεῖνοι ποὺ τὰ ἐζητοῦσαν, τώρα ὅμως δὲν εἶναι ἄξιος καμμιᾶς συγγνώμης ἐκεῖνος ποὺ θορυβεῖται ἀπὸ τέτοιου εἴδους σκέψεις, ἐκεῖνος ποὺ ἔμαθε τόσα πολλὰ διὰ τὴν ἄσκησιν τῆς εὐσεβοῦς ζωῆς καὶ ἐδέχθη τέτοιας ἀληθείας περὶ τῶν μελλοντικῶν πραγμάτων καὶ ἐδιδάχθη σαφέστερα τὴν περὶ τῆς γεέννης καὶ τῆς οὐρανίου βασιλείας διδασκαλίαν καὶ ὅτι ὁ καθ' ἕνας ἐκεῖ θὰ λάβῃ ἐκεῖνα ποὺ τοῦ ἀξίζουν.

«Διότι σὺ γνωρίζεις τὰ βάθη τῶν καρδιῶν τῶν ἀνθρώπων καὶ εἶσαι Θεὸς δίκαιος· θὰ μὲ βοηθήσῃ ὁ Θεὸς ποὺ σώζει ἐκείνους ποὺ ἔχουν καρδίαν εὐθεῖαν καὶ ἄκακον». Ἄλλος, «ὁ Θεὸς ὁ δίκαιος, ποὺ γνωρίζει τὰ βάθη τῶν καρδιῶν τῶν ἀνθρώπων, εἶναι ὁ ὑπερασπιστής μου». Καὶ ἄλλος, «Ὁ Θεὸς εἶναι δίκαιος». Οἱ ἑβδομήκοντα δὲ ἔτσι μετέφρασαν, «Σὺ ὁ Θεός μου, ποὺ γνωρίζεις τὰ βάθη τῶν καρδιῶν τῶν ἀνθρώπων. Δίκαια θὰ μὲ βοηθήσῃ ὁ Θεός». Εἶπεν ὅτι θὰ κρίνῃ τὴν οἰκουμένην, λέγει πλέον καὶ πῶς θὰ τὴν κρίνῃ. Εἶπεν ὅτι δὲν ἔχει ἀνάγκην ἀπὸ μάρτυρας, οὔτε ἀπὸ ἐλέγχους, οὔτε ἀπὸ ἀποδείξεις, οὔτε ἀπὸ κατάστιχα οὔτε ἀπὸ τίποτε ἄλλο παρόμοιον, διότι αὐτὸς εἶναι ἐκεῖνος ποὺ γνωρίζει τὰ ἀπόρρητα. Ἄς μὴ λέ-

Ὁ γὰρ ποιήσας οὐκ ὄντα, καὶ γενόμενον κρινεῖ. Νεφροὺς δὲ ἐνταῦθα τὰ ἀπόρρητα τῆς διανοίας λέγει, τὰ ἐνδόtατα, τὰ βαθύτατα, ἀπὸ τῆς θέσεως τοῦ μορίου αἰνιξάμενος.

10. Τί ἐστιν, «Ἐτάζων»; Ὅπερ ὁ ἄλλος εἶπε, «Δοκιμάζων». Εἰ δὲ καὶ ἀνθρώπιναι αἱ λέξεις, ἀλλὰ θεοπρεπῆ τὰ νοήματα. Ὥσπερ γὰρ ὁ Παῦλος λέγων, «Ὁ δὲ ἐρευνῶν τὰς καρδίας», τὸ ἐρευνᾶν, ἀντὶ τοῦ σαφῶς εἰδέναι, τίθησιν, οὕτω καὶ οὗτος, τὸ «Ἐτάζων», ἀντὶ τοῦ ἀκριβῶς ἐπίστασθαι. Καὶ τὸ βασανίσαι δὲ τὸ γυμνῶσαί ἐστιν, ὅπερ ἀκριβοῦς ἐστιν ἐπιστήμης καὶ γνώσεως, ὡς καὶ Παῦλός φησι· «Πάντα δὲ γυμνὰ καὶ τραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ». «Δικαία ἡ βοήθειά μου». Ἄλλος, «Δίκαιος ὁ ὑπερασπιστής μου». Τί ἐστι, «Δικαία ἡ βοήθειά μου παρὰ τοῦ Θεοῦ»; Δικαίως ἂν γένοιτό μοι, φησί, παρὰ τοῦ Θεοῦ· οὐδὲν γὰρ ἄδικον αἰτῶ. Ὥστε εἰ μέλλοιμεν ἀπολαύειν συμμαχίας τῆς ἄνωθεν, τοιαῦτα αἰτεῖν δεῖ, ἃ καὶ τὸν τοῦ δικαίου λόγον ἔχει· ἵνα τῇ φύσει τῆς αἰτήσεως τὴν ῥοπὴν ἐπισπασώμεθα. «Τοῦ σώζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ». Τοῦτο ἔργον αὐτῷ, τοῦτο ἔθος αὐτῷ. Ἐπειδὴ τοίνυν καὶ ἐγὼ οὐκ ἦρξα χειρῶν ἀδίκων, οὐδὲ ἀμύνασθαι ἐπιθυμῶ, διὰ τοῦτο δικαία ἂν γένοιτο ἡ βοήθειά μου παρὰ τοῦ Θεοῦ.

Ταῦτα οὖν εἰδότες, μηδὲν τοιοῦτον αἰτῶμεν, ὃ κωλύει τὴν δόσιν. Ὅταν γὰρ κατὰ ἐχθρῶν αἰτῇς, οὐκ ἔστι δικαία ἡ βοήθειά σου· ἐναντία γάρ ἐστι τῷ νόμῳ τοῦ παρέχοντος· κἂν πλοῦτον αἰτῇς, κἂν κάλλος αἰτῇς, κἂν ὁτιοῦν τοιοῦτον

55. Ἑβρ. 4, 13.

γῃ λοιπὸν κανεὶς ἀπὸ τοὺς ἀνοήτους· καὶ πῶς θὰ κρίνῃ τὸν κόσμον ποὺ εἶναι τόσος πολύς; Ἐκεῖνος ποὺ τὸν ἐδημιούργησεν ἐνῷ δὲν ὑπῆρχεν, αὐτὸς θὰ τὸν κρίνῃ καὶ τώρα ποὺ ὑπάρχει. Νεφροὺς δὲ ἐδῶ ὀνομάζει τὰ ἀπόρρητα τῆς διανοίας, τὰ ἐσωτερικά, τὰ βαθύτατα, ὑπαινιχθεὶς αὐτὰ ἀπὸ τὴν θέσιν αὐτοῦ τοῦ μέλους τοῦ σώματος.

10. Τί σημαίνει, «Ἐτάζων»; Αὐτὸ ποὺ εἶπεν ὁ ἄλλος «ἐρευνῶν». Ἂν καὶ αἱ λέξεις εἶναι ἀνθρώπιναι, ὅμως, τὰ νοήματα εἶναι θεοπρεπῆ. Διότι ὅπως ἀκριβῶς ὁ Παῦλος λέγων, «Ἐκεῖνος δὲ ποὺ ἐρευνᾷ τὰς καρδίας», θέτει τὸ «ἐρευνᾷ» ἀντὶ τοῦ 'γνωρίζει σαφῶς', ἔτσι καὶ αὐτός, θέτει τὸ «Ἐτάζων» ἀντὶ τοῦ 'γνωρίζει ἀκριβῶς'. Καὶ τὸ βασανίζω δὲ ἔχει τὴν σημασίαν τοῦ γυμνώνω, πρᾶγμα ποὺ σημαίνει ἀκριβῆ ἐπιστήμην καὶ γνῶσιν, καθὼς καὶ ὁ Παῦλος λέγει· «Ὅλα εἶναι γυμνὰ καὶ φανερὰ εἰς τὰ μάτια του»[55]. «Εἶναι δικαία ἡ βοήθειά μου». Ἄλλος, «Εἶναι δίκαιος ὁ ὑπερασπιστής μου». Τί σημαίνει, «Δικαία ἡ βοήθειά μου παρὰ τοῦ Θεοῦ»; Δίκαιος, λέγει, θὰ ἦτο ἡ βοήθεια ἐκ μέρους τοῦ Θεοῦ· διότι τίποτε τὸ ἄδικον δὲν ζητῶ. Ὥστε ἐὰν θέλωμεν ν' ἀπολαμβάνωμεν τὴν οὐράνιον βοήθειαν, πρέπει τέτοια νὰ ζητοῦμεν, ποὺ ἀποτελοῦν ἔκφρασιν τοῦ δικαίου, ὥστε μὲ τὴν φύσιν τῆς αἰτήσεώς μας ν' ἀποσπάσωμεν τὴν βοήθειαν «Ἐκείνου ποὺ σώζει ἐκείνους ποὺ ἔχουν εὐθεῖαν καὶ εἰλικρινῆ καρδίαν». Αὐτὸ εἶναι τὸ ἔργον αὐτοῦ, αὐτὴ εἶναι ἡ συνήθειά του. Ἐπειδὴ λοιπὸν καὶ ἐγὼ δὲν ἠδίκησα, οὔτε ἐπιθυμῶ ν' ἀμυνθῶ, διὰ τοῦτο θὰ ἦτο δικαία ἡ βοήθειά μου ἐκ μέρους τοῦ Θεοῦ.

Γνωρίζοντες λοιπὸν αὐτά, ἂς μὴ ζητῶμεν τίποτε τέτοιο ποὺ ἐμποδίζει τὴν δόσιν του. Διότι, ὅταν ζητῇς κάτι ἐναντίον τῶν ἐχθρῶν σου, δὲν εἶναι δικαία ἡ βοήθειά σου· καθ' ὅσον εἶναι ἀντίθετος μὲ τὸν νόμον ἐκείνου ποὺ τὴν παρέχει. Ἐπίσης δὲν εἶναι δικαία ἡ βοήθεια εἴτε ζητεῖς πλοῦτον, εἴτε ζητεῖς κάλλος, εἴτε ζητεῖς ὁτιδήποτε παρόμοιον κοσμικὸν πρᾶγμα, ποὺ ἔρχεται καὶ φεύγει καὶ χά-

αὐτῆς βιωτικόν, παραρρέον καὶ ἐναντίον τῇ τῆς ψυχῆς φιλοσοφίᾳ. Αἰτῶμεν τοίνυν ὥστε καὶ ἐπιτυχεῖν. «Ὁ Θεὸς κριτὴς δίκαιος, καὶ ἰσχυρός, καὶ μακρόθυμος, καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν». Ἄλλος φησίν, «Ἐμβριμώμενος κατὰ πᾶσαν ἡμέραν». Ὁ δὲ Ἑβραῖος, «Κατὰ πᾶσαν ζωήν». Καὶ ἄλλος, «Ἀπειλούμενος, ἐμβριμώμενος, οὐ κολάζων». Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. Εἰ δίκαιος, πάντως βουλήσεται τοὺς ἀδίκους κολάσαι· εἰ ἰσχυρός, πάντως δυνήσεται. Καὶ ποῦ, φησί, τὰ τῆς φιλανθρωπίας, εἰ κατὰ τὸ δίκαιον κρινεῖ; Πρῶτον μέν, ἐν τῷ μὴ κατὰ πόδας ἐπάγειν τὴν δίκην, μᾶλλον δὲ πρὸ τούτου, ἐν τῷ πάντα ἀφεῖναι τὰ ἁμαρτήματα διὰ λουτροῦ παλιγγενεσίας· δεύτερον δὲ ἐν τῷ καὶ μετάνοιαν δοῦναι. Ἂν γὰρ ἐννοήσῃς, ὅτι καθ' ἑκάστην ἁμαρτάνομεν ἡμέραν, τότε μάλιστα ὄψει αὐτοῦ τὸ ἄφατον μέγεθος τῆς φιλανθρωπίας. Ὃ δὴ καὶ ἐμφαίνων ἐπήγαγε, λέγων· «Ὁ Θεὸς κριτὴς δίκαιος, καὶ ἰσχυρός, καὶ μακρόθυμος».

Ἀπορεῖς, ἐπεὶ καὶ δύναται καὶ βούλεται, τίνος ἕνεκεν οὐ κολάζει; Μάνθανε, φησίν, ὅτι μακρόθυμος, καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν. Ἵνα γὰρ μή τις τῶν ἀνοήτων νομίσῃ, ὅτι δι' ἀσθένειαν οὐκ ἐπεξέρχεται, δείκνυσι τῆς μελλήσεως τὴν αἰτίαν· ὅτι μεγάλα καὶ ἡ μακροθυμία μέτρα ἔχει. Ἐπειδὴ γὰρ διὰ τοῦτο μακροθυμεῖ, εἰς μετάνοιάν σε ἄγων, ὅταν ἀπὸ τοῦ φαρμάκου τούτου μηδὲν κερδάνῃς, καὶ ἐπεξέρχεται. Ἄρα καθ' ἑκάστην ἡμέραν τοῦ κολάζεσθαί ἐσμεν ἄξιοι. Οὐδὲ γὰρ ἄν, εἰ μὴ τοῦτο ἦν, ὡς μέγα τι τέθεικε τό, «Μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν». Ἀλλ' ὡς τῶν πραγμάτων μὲν τοῦτο ἀπαιτούντων, τῆς δὲ τοῦ Θεοῦ φιλαν-

νεται καὶ εἶναι ἀντίθετον μὲ τὴν εὐσέβειαν τῆς ψυχῆς. Ἂς ζητῶμεν λοιπὸν τέτοια ὥστε νὰ ἠμποροῦμεν καὶ νὰ τὰ ἐπιτύχωμεν. «Ὁ Θεὸς εἶναι κριτὴς δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος καὶ δὲν ἐκδηλώνει τὴν ὀργήν του μὲ καθημερινὰς τιμωρίας». Ἄλλος λέγει, «Δυσανασχετῶν κάθε ἡμέραν». Ὁ δὲ Ἑβραῖος λέγει «Εἰς ὅλην τὴν ζωήν». Καὶ ἄλλος, «Ἂν καὶ ἀπειλεῖ καὶ δυσανασχετεῖ, ὅμως δὲν τιμωρεῖ». Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Ἐὰν εἶναι δίκαιος, ὁπωσδήποτε θὰ θελήσῃ νὰ τιμωρήσῃ τοὺς ἀδίκους· ἐὰν εἶναι ἰσχυρός, ὁπωσδήποτε θὰ ἠμπορέσῃ. Καὶ ποῦ, λέγει, εἶναι τὰ τῆς φιλανθρωπίας του, ἐὰν θὰ κρίνῃ μὲ δικαιοσύνην; Πρῶτον μὲν μὲ τὸ ὅτι δὲν τιμωρεῖ ἀμέσως μετὰ τὴν διάπραξιν τῆς ἁμαρτίας, μᾶλλον δὲ πρὶν ἀπὸ αὐτὸ μὲ τὸ ὅτι συγχωρεῖ ὅλα τὰ ἁμαρτήματα μὲ τὸ λουτρὸν τῆς παλιγγενεσίας· δεύτερον δὲ μὲ τὸ ὅτι δίδει καὶ εὐκαιρίαν διὰ μετάνοιαν. Διότι, ἐὰν σκεφθῇς, ὅτι καθημερινὰ ἁμαρτάνομεν, τότε πρὸ πάντων θὰ διαπιστώσῃς τὸ ἀπερίγραπτον μέγεθος τῆς φιλανθρωπίας του. Θέλων λοιπὸν νὰ δείξῃ αὐτό, ἐπρόσθεσε τὰ λόγια· Ὁ Θεὸς εἶναι δίκαιος κριτὴς καὶ ἰσχυρὸς καὶ μακρόθυμος»

Ἀπορεῖς διατί δὲν τιμωρεῖ, ἀφοῦ καὶ ἠμπορεῖ καὶ θέλει; Μάθε, λέγει, ὅτι εἶναι μακρόθυμος καὶ ὅτι δὲν ἐκδηλώνει τὴν ὀργήν του καθημερινὰ μὲ τιμωρίας. Διὰ νὰ μὴ νομίσῃ λοιπὸν κανεὶς ἀπὸ τοὺς ἀνοήτους, ὅτι ἀπὸ ἀδυναμίαν δὲν προχωρεῖ εἰς τὴν τιμωρίαν, δείχνει τῆς ἀργοπορίας τὴν αἰτίαν· ὅτι δηλαδὴ ἔχει μεγάλα περιθώρια ἡ μακροθυμία. Ἐπειδὴ λοιπὸν διὰ τοῦτο μακροθυμεῖ, διὰ νὰ σὲ ὁδηγήσῃ εἰς μετάνοιαν, ὅταν δὲν κερδίσῃς τίποτε ἀπὸ αὐτὸ τὸ φάρμακον, τότε καὶ προχωρεῖ εἰς τὴν τιμωρίαν. Συνεπῶς καθημερινὰ εἴμεθα ἄξιοι τῆς τιμωρίας. Οὔτε βέβαια, ἐὰν δὲν συνέβαινεν αὐτό, θ' ἀνέφερε ὡς κάτι τὸ σπουδαῖον τὸ «Δὲν ἐκδηλώνει καθημερινὰ τὴν ὀργήν του μὲ τιμωρίας». Ἀλλὰ τὸ λέγει αὐτὸ ἐπειδὴ ἡ μὲν φύσις τῶν πραγμάτων ἀπαιτεῖ αὐτό, ἡ δὲ φιλανθρωπία τοῦ Θεοῦ

θρωπίας ἐπεχούσης τὴν ἀξίαν κόλασιν, τοῦτό φησιν. Εἶδες καὶ ἐνταῦθα πῶς τὸ ἀνεπαχθὲς τοῦ Θεοῦ δείκνυσι, καὶ τὴν κόλασιν ὀργὴν λέγει; Οὐδεὶς γὰρ ὀργὴν ἐπάγει ἄλλῳ, ἀλλὰ τὴν μὲν ὀργὴν αὐτὸς ἔχει, τὴν δὲ κόλασιν ἐπάγει ἑτέρῳ. Οὐδὲν οὖν ἄλλο, ἢ τὴν κόλασιν δηλοῖ τῷ εἰπεῖν, «Καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν».

Καὶ πῶς φησι, «Καθ' ἑκάστην ἡμέραν; Εἰσελθέτω ἕκαστος εἰς τὸ ἑαυτοῦ συνειδός, καὶ τότε ὄψεται. Ἵνα γὰρ παρῶ τὰ ἀπόρρητα ἑκάστου ἁμαρτήματα, ταῦτα δὴ τὰ κοινὰ τίς διαφεύξεται; Ποῖα δὴ ταῦτα; Ποία ἐστὶν ἡμέρα, ἡ μὴ ῥαθύμως εὐχόμεθα καὶ μετὰ πολλῆς ὀλιγωρίας; Ὅτι δὲ τοῦτο ὀργῆς ἄξιον, δῆλον ἐντεῦθεν. Εἰπὲ γάρ μοι· εἰ δικαστῇ χασμώμενος προσῆλθες, καὶ διελέχθης, οὐκ ἄν σε εὐθέως δίκην ἀπήτησε, καὶ εἰς τὴν ὑπερορίαν μετέστησε; Ναί, φησίν· ἄνθρωπος γάρ ἐστι. Καὶ τί τοῦτο; Ἄνθρωπος μὲν γὰρ ὑβρισθείς, οὐκ ἂν εἴη δίκαιος ἀγανακτεῖν· παρὰ γὰρ τοῦ ὁμοτίμου ὑβρίσθη· ὁ δὲ Θεὸς ὑβριζόμενος, δικαίως ἂν ἐπαγάγοι τὴν δίκην. Μείζων γὰρ αὕτη ἡ ἁμαρτία τῆς εἰς ἄνθρωπον. Καὶ ὁ μὲν ἄνθρωπος τὸ ἑαυτοῦ ζητῶν τοῦτο ποιεῖ· ὁ δὲ Θεὸς τὸ σόν. Ὥστε κατὰ τοῦτο, ἄξιον τοῦτο μᾶλλον ἀγανακτήσεως. Οὐ γάρ ἐστιν ἴσον καταφρονεῖν τῶν τὰ ἑαυτῶν ζητούντων, καὶ τοῦ τὰ σά. Τοῦτο γὰρ μείζονος ὀργῆς ἄξιον, ὅταν μηδὲ αἰτεῖν μέλλων τὰ σοὶ συμφέροντα, νήφῃς.

Τίς δέ ἐστιν, ὃς οὐχ ὕβρισε τὸν ἀδελφὸν εἰκῇ; Μὴ γάρ μοι εἴπῃς, ὅτι οἰκέτην ὕβρισεν· «Ἐν γὰρ Χριστῷ οὐκ ἄρσεν,

ἐμποδίζει τὴν ἀξίαν τιμωρίαν. Εἶδες καὶ ἐδῶ πῶς δείχνει τὴν ἔλλειψιν κακίας εἰς τὸν Θεὸν καὶ ὀνομάζει τὴν τιμωρίαν ὀργήν; Διότι κανεὶς δὲν ἐπιφέρει τὴν ὀργήν του ἐναντίον ἄλλου, ἀλλὰ τὴν μὲν ὀργὴν τὴν κρατεῖ ὁ ἴδιος, τὴν δὲ τιμωρίαν τὴν ἐπιφέρει ἐναντίον ἄλλου Τίποτε λοιπὸν ἄλλο παρὰ τὴν τιμωρίαν φανερώνουν τὰ λόγια, «Καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν».

Καὶ πῶς λέγει, «Κάθε ἡμέραν»; Ἂς ἐξετάση ὁ καθένας τὴν συνείδησίν του καὶ τότε θὰ τὸ ἀντιληφθῇ. Διότι διὰ ν' ἀφήσω κατὰ μέρος τὰ κρυφὰ ἁμαρτήματα τοῦ καθενός, αὐτὰ λοιπὸν τὰ κοινὰ ἁμαρτήματα ποῖος θὰ τὰ ἀποφύγῃ; Ποῖα λοιπὸν εἶναι αὐτά; Ποία εἶναι ἡ ἡμέρα ἐκείνη κατὰ τὴν ὁποίαν δὲν προσευχόμεθα μὲ ραθυμίαν καὶ μὲ πολλὴν ὀκνηρίαν; Τὸ ὅτι δὲ αὐτὸ εἶναι ἄξιον ὀργῆς, γίνεται φανερὸν ἀπὸ ἐδῶ. Διότι εἰπέ μου· Ἐὰν προσερχόσουν εἰς δικαστὴν καὶ ἐχασμουριόσουν καὶ ἐσυζητοῦσες μαζί του, δὲν θὰ σὲ ἐτιμωροῦσεν ἀμέσως καὶ θὰ σὲ ἔστελλεν ἐξορίαν εἰς ξένην χώραν; Ναί, λέγει· διότι εἶναι ἄνθρωπος. Καὶ τί σημασίαν ἔχει αὐτό; Διότι ὁ μὲν ἄνθρωπος ὅταν προσβληθῇ δὲν θὰ ἦτο δίκαιον ν' ἀγανακτῇ, καθ' ὅσον ἐδέχθη τὴν προσβολὴν ἀπὸ ἰσότιμόν του, ἐνῷ ὁ Θεὸς ὅταν προσβάλλεται δικαίως θὰ ἠμποροῦσε νὰ ἐπιφέρῃ τὴν τιμωρίαν. Διότι αὐτὴ ἡ ἁμαρτία εἶναι μεγαλυτέρα ἀπὸ τὴν ἁμαρτίαν ποὺ γίνεται πρὸς ἕνα συνάνθρωπον. Καὶ ὁ μὲν ἄνθρωπος τὸ κάμνει αὐτὸ ἐπιζητῶν τὸ συμφέρον του, ἐνῷ ὁ Θεὸς θέλει αὐτὸ ποὺ συμφέρει εἰς ἐσένα. Ὥστε σύμφωνα μὲ αὐτά, αὐτὸ μᾶλλον εἶναι ἄξιον ἀγανακτήσεως. Διότι δὲν εἶναι ἴσον πρᾶγμα τὸ νὰ περιφρονῇ κανεὶς αὐτοὺς ποὺ θέλουν τὸ συμφέρον των, καὶ ἐκεῖνον ποὺ θέλει τὸ συμφέρον σου. Καθ' ὅσον αὐτὸ εἶναι ἄξιον μεγαλυτέρας ὀργῆς, ὅταν δείχνῃς ἀδιαφορίαν καὶ δὲν ζητῇς ἐκεῖνα ποὺ σοῦ συμφέρουν.

Ποῖος δὲ εἶναι ἐκεῖνος ποὺ δὲν ἐπρόσβαλε ἄδικα τὸν ἀδελφόν του; Μὴ μοῦ εἰπῇς βέβαια, ὅτι ἐπρόσβαλε δοῦ-

οὐ θῆλυ, οὐ δοῦλος, οὐκ ἐλεύθερός ἐστι». Τίς πάλιν ὃς οὐ κατηγόρησεν, οὐδὲ ἐψεύσατο; ὃς οὐκ εἶδεν ἀκολάστοις ὀφθαλμοῖς γυναῖκα; ὃς οὐκ ἐβάσκηνεν; ὃς οὐκ ἐκενοδόξησεν; ὃς οὐκ ἐφθέγξατο ῥῆμα ἀργόν; Πάντα δὲ ταῦτα ὑπὸ κόλασιν κεῖται. Καὶ εἰ μὲν περὶ τὰ βιωτικὰ μὴ ὄντες σπουδαῖοι, μηδὲ ἐν τοῖς πνευματικοῖς ἦμεν, συγγνώμης ἂν ἦμεν ἄξιοι, νῦν δὲ καὶ ταύτης ἀπεστερήμεθα τῆς ἀπολογίας. Καὶ γὰρ ἐν ἐκείνοις μὲν ἐγρηγορότες ἐσμέν, ἐν τούτοις δὲ ἀναπεπτωκότες. Ὥστε δὲ μὴ ἀκούοντας, ὅτι μακρόθυμος, ῥαθυμοτέρους γενέσθαι, ἐπήγαγεν· «Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει». Ἕτερος δέ φησι, «Τὴν μάχαιραν αὐτοῦ ἀκονήσει». Τὸ τόξον αὐτοῦ ἐνέτεινε καὶ ἡτοίμασεν αὐτό». Ἄλλος φησίν, «Ἐκτενεῖ». «Καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτου. Τὰ βέλη αὐτοῦ τοῖς καιομένοις ἐξειργήσατο». Ἄλλος φησίν, «Εἰς τὸ καίειν».

11. Τί ἐνταῦθα ἐροῦσιν οἱ ἀνθρωπόμορφον τὸν Θεὸν λέγοντες, ἐκ τοῦ λέγεσθαι χεῖρας καὶ πόδας καὶ ὀφθαλμοὺς ἔχειν; Ἆρα τόξα ἄνω, καὶ βέλη, καὶ ἀκόνη, καὶ μάχαιρα, καὶ φαρέτρα; Καὶ μὴν ἄλλος φησίν· «Ἐν τῷ ἐπιβλέψαι σε, ταραχθήσονται ἐπὶ σοῦ ὄρη». Καὶ αὐτὸς οὗτος· «Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν». Εἰ δὲ ὁρῶν μόνον τὴν γῆν, καὶ λίθων τήκει φύσιν, πολλῷ μᾶλλον ἐπ' ἀνθρώπων τοῦτο δυνήσεται. Τίνος οὖν ἕνεκεν ἀπὸ τοῦ μόνον ἰδεῖν καταστρέψαι δυνάμενος τὴν οἰκουμένην, μᾶλλον δὲ ἀπὸ τοῦ ἐθελῆσαι μόνον (ὁ γὰρ θελήματι μόνον ποιήσας αὐτήν,

56. Γαλ. 3, 28.
57. Πρβλ. Σοφ. Σειρ. 16, 19.
58. Ψαλμ. 103, 32.

λον του. Διότι «Ἐν Χριστῷ δὲν ὑπάρχει ἄνδρας καὶ γυναῖκα, οὔτε δοῦλος καὶ ἐλεύθερος»[56]. Ποῖος πάλιν ἐκεῖνος ποὺ δὲν ἐκατηγόρησεν οὔτε εἶπε ψέματα; ποὺ δὲν εἶδε γυναῖκα μὲ ἀκόλαστα μάτια, ποὺ δὲν ἐφθόνησε, ποὺ δὲν ἐκυριεύθη ἀπὸ κενοδοξίον, ποὺ δὲν εἶπε λόγον ἀπρεπῆ; Ὅλα δὲ αὐτὰ εἶναι ἄξια τιμωρίας. Καὶ ἐὰν μὲν δὲν ἐδείχναμεν ἐνδιαφέρον διὰ τὰ κοσμικὰ πράγματα οὔτε δὲ καὶ διὰ τὰ πνευματικά, θὰ ἤμεθα ἄξιοι συγγνώμης, τώρα ὅμως ἀπεστερήθημεν καὶ αὐτῆς τῆς δικαιολογίας. Καθ' ὅσον δι' ἐκεῖνα μὲν εἴμεθα πρόθυμοι, ἐνῷ δι' αὐτὰ ἀδιάφοροι. Ὥστε διὰ νὰ μὴ γινώμεθα πιὸ ἀδιάφοροι, ἀκούοντες ὅτι ὁ Θεὸς εἶναι μακρόθυμος, ἐπρόσθεσεν· «Ἐὰν δὲν μετανοήσετε καὶ ἐπιστρέψετε, θ' ἀκονήση τὴν ρομφαίαν του». Ἄλλος δὲ λέγει, «Θ' ἀκονήση τὴν μάχαιράν του». «Τὸ τόξον του τὸ ἐτέντωσε καὶ τὸ ἡτοίμασεν». Ἄλλος λέγει· «Θὰ τὸ τεντώση». «Καὶ ἐπάνω εἰς αὐτὸ ἡτοίμασε θανατηφόρα ὄργανα. Τὰ βέλη του τὰ κατεσκεύασε δι' ἐκείνους ποὺ φλέγονται ἀπὸ τὴν κακίαν». Ἄλλος λέγει· «Διὰ νὰ τοὺς καταστρέψη».

11. Τί θὰ εἰποῦν ἐδῶ ἐκεῖνοι ποὺ θεωροῦν τὸν Θεὸν ἀνθρωπόμορφον, ἐπειδὴ λέγεται ὅτι ἔχει χέρια καὶ πόδια καὶ ὀφθαλμούς; Ἆρά γε ὑπάρχουν εἰς τὸν οὐρανὸν τόξα καὶ βέλη καὶ ὄργανον δι' ἀκόνισμα, καὶ μάχαιρα καὶ φαρέτρα; Καὶ ὅμως ἄλλος λέγει· «Ὅταν ρίψης τὸ βλέμμα σου ἐπάνω τους θὰ κυριευθοῦν τὰ ὄρη ἀπὸ τρόμον»[57]. Καὶ αὐτὸς ὁ ἴδιος ὁ ψαλμωδὸς λέγει· «Αὐτὸς ποὺ ρίπτει τὸ βλέμμα του εἰς τὴν γῆν καὶ τὴν κάμνει νὰ τρέμη»[58]. Ἐὰν δὲ ρίπτων μόνον τὸ βλέμμα του εἰς τὴν γῆν κάμνη νὰ λειώνουν οἱ λίθοι, πολὺ περισσότερον θὰ ἠμπορέση νὰ τὸ κάμη αὐτὸ εἰς τοὺς ἀνθρώπους. Διὰ ποῖον λόγον λοιπόν, ἂν καὶ μόνον μὲ τὸ βλέμμα του ἠμπορεῖ νὰ καταστρέψη τὴν οἰκουμένην, ἢ καλύτερα ἀρκεῖ καὶ μόνον νὰ τὸ θελήση (διότι ἐκεῖνος ποὺ ἐδημιούργησεν αὐτὴν μόνον ποὺ τὸ ἠθέλησεν, εἶναι ὁλοφάνερον ὅτι ἠμπορεῖ καὶ μόνον μὲ τὸ

εὔδηλον ὅτι καὶ θελήματι μόνῳ ἀνελεῖν δύναται), λέγεται ῥομφαίαν ἔχειν καὶ τόξον; Εἰ γὰρ «Ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς», «Καὶ οἱ ἐνοικοῦντες ἐν αὐτῇ, ὡς ἀκρίδες», καὶ «Πάντα τὰ ἔθνη ὡς σταγὼν ἀπὸ τοῦ κάδου, καὶ ὡς ῥοπὴ ζυγοῦ λογισθήσεται»· καὶ ὁ ἄγγελος δὲ αὐτοῦ ἐξελθών, ἐν βραχείᾳ καιροῦ ῥοπῇ ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας ἀνεῖλε· τί λέγω ἄγγελος; μυῖαι καὶ κάμπαι καὶ σκώληκες τὸ τῶν Αἰγυπτίων στρατόπεδον ἀπώλεσαν· ποῦ τόξου αὐτόθι χρεία; ποῦ δὲ μαχαίρας; Τίνος οὖν ἕνεκεν ταῦτα εἴρηται; Διὰ τὴν τῶν ἀκουόντων παχύτητα, καὶ ὥστε τοῖς ὀνόμασι τοῖς συντρόφοις τῶν ὅπλων κατασεῖσαι αὐτῶν τὴν διάνοιαν. Οὗ γὰρ ἐν τῇ χειρὶ ἡ πνοὴ πάντων ἡμῶν, καὶ οὗ κατὰ πρόσωπον ψύχους αὐτοῦ οὐδαμῶς τις ὑποστήσεται, πῶς ὅπλων δεῖ τούτῳ; Ἀλλ' ὅπερ ἔφθην εἰπών, διὰ τὴν παχύτητα καὶ τὴν ἀναισθησίαν τῶν ἀκουόντων οὕτω ταῦτα εἴρηται.

Τί δέ ἐστι, «Καὶ στιλβώσει»; Ἀκονήσει. Ἆρα οὖν καὶ ἀκόνης χρεία; καὶ ἰὸς περὶ τὴν μάχαιραν; Καὶ τίς ἂν ταῦτα, νοῦν ἔχων, ἀνέξεται οὕτως ἐκλαβεῖν ὡς εἴρηται; Ἀλλ' ὅπερ ἔφθην εἰπών, τὴν τιμωρίαν διὰ πάντων σχηματίζει, καὶ ἐπὶ τὰ παχύτερα πρόεισιν, ὥστε καὶ τοὺς σφόδρα ἀνοήτους συνιδεῖν, ὅτι οὐ δεῖ ταῖς λέξεσι παρακαθῆσθαι, ἀλλὰ θεοπρεπεῖς ἐννοίας ἐκ τούτων λαμβάνειν. Ὥστε εἴ τις ἀπορεῖ τίνος ἕνεκεν θυμὸς εἴρηται περὶ Θεοῦ καὶ ὀργή, πολλῷ μᾶλλον τούτων ἕνεκεν ἀπορήσει. Εἰ δὲ ταῦτα οὐχ ὡς εἴρηται ἐκληπτέον, ἀλλὰ θεοπρεπῶς, εὔδηλον ὅτι καὶ τὰ περὶ θυμοῦ καὶ

---

59. Δ' Βασ. 19, 35.

θέλημά του νά τήν καταστρέψη), λέγεται ὅτι ἔχει ρομφαίαν καί τόξον; Διότι, ἐάν «Εἰς τά χέρια του κρατᾷ τά πέρατα τῆς γῆς», «Καί αὐτοί πού κατοικοῦν εἰς αὐτήν εἶναι ὡσάν ἀκρίδες», καί «Ὅλα τά ἔθνη εἶναι ὡσάν σταγόνα ἀπό κάδον καί θεωροῦνται ὡσάν τήν στιγμιαίαν ἐκείνην ἐναλλαγήν τῆς πλάστιγγος»· καί ὁ ἄγγελος δέ αὐτοῦ ἀφοῦ ἐξῆλθε μέσα εἰς ἐλάχιστον χρονικόν διάστημα ἐφόνευσεν ἑκατόν ὀγδόντα πέντε χιλιάδες[9]· καί διατί λέγω ὁ ἄγγελος; μυῖγαι καί κάμπαι καί σκωλήκια ἐξωλόθρευσαν τό στρατόπεδον τῶν Αἰγυπτίων. Εἰς τί ἐχρειάσθη ἐδῶ τό τόξον; Εἰς τί ἡ μάχαιρα; Διά ποῖον λόγον λοιπόν ἔχουν λεχθῆ αὐτά; Ἐλέχθησαν ἐξ αἰτίας τῆς πνευματικῆς ἀνωριμότητος τῶν ἀκροατῶν καί διά νά διαταράξῃ τήν σκέψιν αὐτῶν μέ τάς ὀνομασίας πού συνδέονται μέ τά ὅπλα. Διότι ἐκεῖνος πού εἰς τά χέρια του κρέμαται ἡ ζωή ὅλων μας καί πού κανείς δέν ἠμπορεῖ νά σταθῇ ἐμπρός εἰς τό ψυχρόν πρόσωπόν του, πῶς αὐτός ἔχει ἀνάγκην ἀπό ὅπλα; Ἀλλ', ὅπως προανέφερα, αὐτά ἔχουν λεχθῆ ἔτσι ἐξ αἰτίας τῆς πνευματικῆς ἀνωριμότητος καί τῆς ἀναισθησίας τῶν ἀκροατῶν.

Τί σημαίνει δέ, «Καί στιλβώσει»; Θ' ἀκονήσῃ. Ὥστε λοιπόν χρειάζεται καί ἀκόνι; Χρειάζεται καί δηλητήριον διά τήν μάχαιραν; Καί ποῖος λογικός ἄνθρωπος θά ἠμποροῦσε ν' ἀνεχθῇ νά ἐκλάβῃ αὐτά ὅπως ἔχουν λεχθῆ; Ἀλλ', ὅπως προανέφερα, προετοιμάζει μέ ὅλα τήν τιμωρίαν καί χρησιμοποιεῖ αὐτάς τάς παχυτέρας ἐκφράσεις, ὥστε νά κάνῃ ν' ἀντιληφθοῦν καί οἱ πάρα πολύ ἀνόητοι, ὅτι δέν πρέπει νά σταμοτοῦν εἰς τάς λέξεις, ἀλλά νά ὁδηγοῦνται ἀπό αὐτάς εἰς θεοπρεπεῖς ἐννοίας. Ὥστε, ἐάν κάποιος ἀπορῇ διά ποῖον λόγον ἔχει λεχθῆ περί τοῦ Θεοῦ, ὅτι θυμώνει καί ὀργίζεται, πολύ περισσότερον θ' ἀπορήσῃ ἐξ αἰτίας αὐτῶν. Ἐάν ὅμως αὐτά πρέπει νά τά ἐκλάβωμεν ὄχι ὅπως ἔχουν λεχθῆ, ἀλλά μέ θεοπρεπῆ ἔννοιαν, εἶναι ὁλοφάνερον ὅτι πρέπει κατά τήν αὐτήν ἔννοιαν νά

ὀργῆς· ἡ δὲ παχύτης τῶν λέξεων, ὥστε καθικέσθαι τῆς τῶν ἀκροατῶν παχύτητος. Διά τοι τοῦτο οὐδὲ τοῖς εἰρημένοις ἠρκέσθη, ἀλλ᾽ ἔτι πρόεισιν ἐπὶ τὸ ἀνθρωπινότερον, τὸν φόβον αὔξων. Οὐ γὰρ ῥομφαίαν αὐτὸν ἔχοντα εἰσάγει μόνον, ἀλλὰ καὶ ὁπλιζόμενον. Ἐπειδὴ γὰρ οὐχ ὁμοίως τις φοβεῖται ἀκούων, ὅτι ἀκονᾶται ἡ μάχαιρα, καὶ ὅτι τὸ τόξον μετὰ χεῖρας, ἀπὸ τῶν ἀνθρωπίνων σχημάτων κατασείει τὴν διάνοιαν τῶν ἀκουόντων, λέγων, «Τὸ τόξον αὐτοῦ ἐνέτεινε, καὶ ἡτοίμασεν αὐτό», φοβῶν τὸν ἀκούοντα, ὁμοῦ καὶ τὴν μακροθυμίαν καὶ τὴν ὀργὴν ἐνδεικνύμενος. Οὐ γὰρ εἶπεν, 'ἀφῆκεν', οὐδέ, 'ἔβαλεν', ἀλλ', «Ἐνέτεινε καὶ ἡτοίμασε», τουτέστιν, ἕτοιμός ἐστι πρὸς ἄφεσιν.

Καὶ τί θαυμάζεις, εἰ ἐν τῇ Παλαιᾷ οὕτως εἴρηται, ὅπουγε καὶ ἐν τῇ Καινῇ Ἰουδαίοις διαλεγόμενος ὁ Ἰωάννης τοιοῦτόν τι λέγει; «Ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται». Τί οὖν; δρυτόμον ὁ Θεὸς μιμεῖται ἀξίνῃ κόπτοντα ξύλα; καὶ ἀξίνην ἐκληπτέον καὶ ξύλα; Ἄπαγε· ὥσπερ οὐδὲ ἄχυρα καὶ σῖτον, ὅταν λέγῃ· «Οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ τὸν μὲν σῖτον συνάξει εἰς τὴν ἀποθήκην αὐτοῦ, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ». Τί οὖν ἐστιν ἡ ἀξίνη; Ἡ τιμωρία καὶ ἡ κόλασις. Τίνα δὲ τὰ δένδρα; Οἱ ἄνθρωποι. Τίνα δὲ τὰ ἄχυρα; Οἱ φαῦλοι. Τίς ὁ σῖτος; Οἱ χρηστοί. Τί τὸ πτύον; Ἡ διάκρισις. Οὕτω καὶ ἐνταῦθα ῥομφαία, καὶ τόξον, καὶ βέλη, ἡ κόλασις καὶ ἡ τιμωρία ἐστίν. Εἶτα τὴν μέλλησιν, καὶ τὸ ἀφεστηκέναι μὲν τὴν τιμωρίαν, μὴ πολὺ δὲ ἀφεστηκέναι,

60. Λουκᾶ 3, 9.
61. Ματθ. 3, 12.

ἐκλάβωμεν καὶ τὰ λεγόμενα περὶ θυμοῦ καὶ ὀργῆς, ἡ δὲ παχύτης τῶν λέξεων ἀποσκοπεῖ εἰς τὸ νὰ πλησιάσῃ τὴν πνευματικὴν ἀνωριμότητα τῶν ἀκροατῶν. Διὰ τοῦτο βέβαια δὲν ἠρκέσθη οὔτε εἰς τὰ ὅσα ἐλέχθησαν, ἀλλὰ προχωρεῖ ἀκόμη περισσότερον πρὸς ἀνθρωπινοτέρας ἐκφράσεις, αὐξάνων τὸν φόβον. Διότι δὲν παρουσιάζει αὐτὸν νὰ κρατᾷ μόνον ρομφαίαν, ἀλλὰ τὸν παρουσιάζει καὶ ὁπλιζόμενον. Ἐπειδὴ δηλαδὴ δὲν φοβεῖται κανεὶς ὅμοια ἀκούων, ὅτι ἀκονίζεται ἡ μάχαιρα καὶ ὅτι τὸ τόξον εὑρίσκεται εἰς τὰ χέρια, μὲ ἀνθρώπινα σχήματα συνταράσσει τὴν διάνοιαν τῶν ἀκροατῶν, λέγων, «Ἐτέντωσε τὸν τόξον του καὶ τὸ ἡτοίμασεν», ἐκφοβίζων ἔτσι τὸν ἀκροατήν, καὶ συγχρόνως δείχνει τὴν μακροθυμίαν καὶ τὴν ὀργὴν αὐτοῦ. Διότι δὲν εἶπε, 'τὸ ἄφησεν', οὔτε, 'τὸ ἔρριψεν', ἀλλά, «Τὸ ἐτέντωσε καὶ τὸ ἡτοίμασε», δηλαδὴ εἶναι ἕτοιμος διὰ νὰ τὸ ρίψῃ.

Καὶ διατί ἀπορεῖς, ἐὰν ἔτσι ἐλέχθησαν αὐτὰ εἰς τὴν Παλαιὰν Διαθήκην, τὴν στιγμὴν βέβαια ποὺ καὶ εἰς τὴν Καινὴν Διαθήκην, συνομιλῶν ὁ Ἰωάννης μὲ τοὺς Ἰουδαίους, λέγει κάτι παρόμοιον; «Ἡ ἀξίνα εὑρίσκεται πλέον κοντὰ εἰς τὴν ρίζαν τῶν δένδρων»[60]. Τί λοιπόν; ὁ Θεὸς μιμεῖται ξυλοκόπον καὶ κόπτει ξύλα μὲ τὴν ἀξίνην; πρέπει νὰ ἐκλάβωμεν τὰ λεγόμενα καὶ σὰν ἀξίνα καὶ σὰν ξύλα; Κάθε ἄλλο· ὅπως ἀκριβῶς οὔτε ὅταν ὁμιλῇ δι' ἄχυρα καὶ σιτάρι· «Εἰς τὸ χέρι του εὑρίσκεται τὸ φτυάρι καὶ θὰ καθαρίσῃ τὸ ἁλώνισμά του, καὶ τὸ μὲν σιτάρι θὰ τὸ συγκεντρώσῃ εἰς τὴν ἀποθήκην του, τὸ δὲ ἄχυρον θὰ τὸ κατακαύσῃ μὲ φωτιὰν ἄσβεστον»[61]. Ποία λοιπὸν εἶναι ἡ ἀξίνα; Εἶναι ἡ τιμωρίο καὶ ἡ κόλασις. Ποῖα δὲ τὰ δένδρα; Οἱ ἄνθρωποι. Ποῖα δὲ τὰ ἄχυρα; Οἱ κακοὶ ἄνθρωποι. Ποῖο δὲ τὸ σιτάρι; Οἱ καλοὶ ἄνθρωποι. Ποῖο δὲ τὸ φτυάρι; Τὸ ξεχώρισμα. Ἔτσι καὶ ἐδῶ ρομφαία καὶ τόξον καὶ βέλη εἶναι ἡ κόλασις καὶ ἡ τιμωρία. Ὕστερα παρουσίασε τὴν προετοιμασίαν καὶ τὴν ἀναβολὴν μὲν τῆς τιμωρίας, ὄχι

ἀλλ' ἐπὶ θύραις εἶναι, τῷ τεῖναι καὶ ἑτοιμάσαι παρέστησε. Σκεύη δὲ θανάτου τὰ βέλη φησίν. Ὥσπερ σκεύη γεωργίας, τὰ γεωργίαν ποιοῦντα, καὶ ναυτιλίας, τὰ πλεῖν ἡμᾶς παρασκευάζοντα, καὶ ὑφαντικῆς, τὰ ὑφαίνειν ποιοῦντα, οὕτω καὶ θανάτου σκεύη, τὸ θάνατον ἐργαζόμενα. Εἶτα ἑρμηνεύων τίνα ἐστὶ τὰ σκεύη τοῦ θανάτου, ἐπάγει. «Τὰ βέλη αὐτοῦ», δεικνὺς τὸ τάχος τῆς τιμωρίας, ὅταν βουληθῇ. Τί δέ ἐστι, «Τοῖς καιομένοις»; Τοῖς τιμωρουμένοις, τοῖς κολαζομένοις.

Εἶτα οὐκ ἀρκεῖ τὸ πῦρ, ἀλλὰ βελῶν χρεία; Ὁρᾷς ὅτι πάντα μεταφορικῶς εἴρηται καὶ ἐμφαντικῶς, καὶ ὥστε διὰ πάντων αὐξηθῆναι τὸν φόβον; Ὃ γὰρ λέγει τοιοῦτόν ἐστι. Ἡτοίμασε τὰς τιμωρίας τοῖς μέλλουσι τιμωρεῖσθαι. Ἀλλ' εἰ μὴ οὕτως εἶπεν, οὐκ ἂν οὕτως ἔπληξε, νῦν δὲ βελῶν, καὶ ῥομφαίας, καὶ τόξου, καὶ ἀφέσεως, καὶ τάσεως, καὶ σκευῶν θανάτου καὶ ἐμπρησμοῦ μνημονεύσας, τῇ ποικιλίᾳ τῶν ὀνομάτων ἐπέτεινε τὴν ἀγωνίαν. Εἶτα παραμυθούμενος πάλιν τὸν φόβον, ἐπήγαγε, «Τοῖς καιομένοις». Ἵνα γὰρ μὴ νομίσῃ τις τῶν ἀνοητοτέρων, ἐπὶ πάντας αὐτὸν ἄγειν τὴν χεῖρα, καὶ κατὰ πάντων ὡπλίσθαι, ἐπήγαγε, «Τοῖς καιομένοις», ὅπερ καὶ ὁ Παῦλος αἰνίττεται περὶ ἄρχοντος λέγων· «Οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ». Εἰ δὲ ἐπὶ τῶν ἀρχόντων ἡ μάχαιρα τοῦτο ποιεῖ καὶ φοβεῖ, πολλῷ μᾶλλον ἐπὶ τοῦ Θεοῦ. Καὶ τοῦτο δὲ οὐ τῆς τυχούσης φιλανθρωπίας, τὸ διὰ τῶν ῥημάτων φοβεῖν καὶ ἐξογκοῦν τὴν τιμωρίαν, ὥστε μὴ γενέσθαι ἐν πείρᾳ τῶν πραγμάτων. Διὰ γὰρ τοῦτο ἐνέτεινε, διὰ τοῦτο

---

62. Ρωμ. 13, 4.

ὅμως μακρὰν ἀναβολήν, ἀλλ' ἀναβολὴν ποὺ εὑρίσκεται μπροστὰ εἰς τὴν θύραν, μὲ τὸ νὰ εἰπῇ ὅτι τὰ ἐτέντωσε καὶ τὰ ἑτοίμασε. Σκεύη δὲ ὀνομάζει τὰ βέλη τοῦ θανάτου. Ὅπως ἀκριβῶς σκεύη γεωργίας εἶναι τὰ ἐργαλεῖα μὲ τὰ ὁποῖα καλλιεργεῖται ἡ γῆ, καὶ τῆς ναυτιλίας, ἐκεῖνα ποὺ μᾶς βοηθοῦν νὰ πλέωμεν, καὶ τῆς ὑφαντικῆς, ἐκεῖνα μὲ τὰ ὁποῖα γίνεται ἡ ὕφανσις, ἔτσι καὶ σκεύη θανάτου εἶναι ἐκεῖνα ποὺ προκαλοῦν τὸν θάνατον. Ἔπειτα διὰ νὰ ἐξηγήση ποῖα εἶναι τὰ σκεύη τοῦ θανάτου, προσθέτει, «τὰ βέλη αὐτοῦ», δείχνοντας ἔτσι τὴν ταχύτητα τῆς τιμωρίας, ὅταν θελήσῃ. Τί σημαίνει δέ, «Τοῖς καιομένοις»; Δι' αὐτοὺς ποὺ θὰ τιμωρηθοῦν, δι' αὐτοὺς ποὺ θὰ βασανισθοῦν.

Καὶ λοιπὸν δὲν ἀρκεῖ ἡ φωτιά, ἀλλὰ χρειάζονται καὶ βέλη; Βλέπεις ὅτι ὅλα ἔχουν λεχθῇ μὲ μεταφορικὴν ἔννοιαν καὶ κατὰ τρόπον ἐντυπωσιακόν, ὥστε μὲ ὅλα ν' αὐξηθῇ ὁ φόβος; Αὐτὸ λοιπὸν ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Ἑτοίμασε τὰς τιμωρίας δι' ἐκείνους ποὺ πρόκειται νὰ τιμωρηθοῦν. Ἀλλ' ἐὰν δὲν τὸ ἔλεγε ἔτσι, δὲν θὰ τοὺς ἔκαμνε ν' ἀνησυχήσουν τόσον πολύ, τώρα ὅμως ἀναφέροντας βέλη καὶ ρομφαία καὶ τόξον καὶ ρίψιμον αὐτοῦ καὶ τέντωμα καὶ σκεύη θανάτου καὶ ἐμπρησμοῦ, μὲ τὴν ποικιλίαν τῶν ὀνομάτων ἐμεγάλωσε τὴν ἀγωνίαν. Ὕστερα διὰ νὰ μετριάσῃ καὶ πάλιν τὸν φόβον, ἐπρόσθεσε· «Δι' αὐτοὺς ποὺ θὰ τιμωρηθοῦν». Διὰ νὰ μὴ νομίσῃ δηλαδὴ κανεὶς ἀπὸ τοὺς πιὸ ἀνοήτους, ὅτι ὁδηγεῖ τὸ χέρι του πρὸς ὅλους καὶ ὅτι ἔχει ὁπλισθῇ ἐναντίον ὅλων, ἐπρόσθεσε· «Δι' αὐτοὺς ποὺ θὰ τιμωρηθοῦν», πρᾶγμα ποὺ ὑπαινίσσεται καὶ ὁ Παῦλος ὁμιλῶν διὰ τὸν ἄρχοντα· «Διότι δὲν φέρει μαζί του ἄσκοπα τὸ μαχαίρι»[62]. Ἂν δὲ εἰς τὴν περίπτωσιν τῶν ἀρχόντων ἔχῃ αὐτὸ τὸ ἀποτέλεσμα καὶ προκαλῇ φόβον, πολὺ περισσότερον αὐτὸ συμβαίνει εἰς τὴν περίπτωσιν τοῦ Θεοῦ. Καὶ αὐτὸ δὲ εἶναι δεῖγμα ὄχι τυχαίας φιλανθρωπίας, τὸ νὰ φοβερίζῃ μὲ λόγια καὶ νὰ ἐξογκώνῃ τὴν τιμωρίαν, ὥστε νὰ μὴ πραγματοποιηθοῦν αὐτά. Διότι δι'

ἡτοίμασε, διὰ τοῦτο ἐνέθηκε τὰ βέλη, διὰ τοῦτο πρὸς τὴν τιμωρίαν εὐτρεπίζεται, ἵνα μὴ ἔλθῃ πρὸς τὴν τιμωρίαν.

12. Καὶ ἐξογκοῖ τὸν λόγον, τῷ μὲν «Στιλβώσει» τὴν σφοδρότητα καὶ τὴν ὀξύτητα τῆς τιμωρίας ἐμφαίνων, τῷ δὲ «Ἐνέτεινε», τὴν ἐγγύτητα, τῷ δὲ «Ἡτοίμασε», τὸ πάντως ἐσόμενον, εἰ μὴ μεταβάλλοιντο, τὸ δὲ «Τοῖς καιομένοις», τοὺς ὑπευθύνους ἐνδεικνύμενος, ἵνα διὰ πάντων παιδευθέντες, ἀναστείλωσι τὴν πονηρίαν. Εἰ δὲ θυμοῦ ταῦτα ἦν καὶ ὀργῆς, οὐκ ἄν, οἷς ἔμελλεν ἐπιθήσεσθαι, προεῖπεν. Ὁ γὰρ θυμὸς οὐκ ἀνέχεται τοῦτο· ἀλλὰ καὶ τοὐναντίον ποιεῖ, καὶ μάλιστα ὅταν ἐν αὐτῇ ᾖ τῇ ἀκμῇ, καὶ τῇ κολάσει, καὶ τῇ κατασκευῇ τῆς τιμωρίας. Οἱ γοῦν πολέμιοι, καὶ βουλόμενοι τὴν τιμωρίαν ἐπαγαγεῖν, οὐ μόνον οὐ λέγουσιν, ἀλλὰ καὶ κρυπτόμενοι ἐπιτίθενται, ὥστε μὴ μαθόντας τοὺς κολάζεσθαι μέλλοντας φυλάξασθαι. Ἀλλ' οὐχ ὁ Θεὸς οὕτως, ἀλλὰ τοὐναντίον ἅπαν· καὶ προλέγει, καὶ ἀναβάλλεται, καὶ φοβεῖ διὰ ῥημάτων, καὶ πάντα ποιεῖ, ὥστε μὴ ἐπαγαγεῖν ἅπερ ἀπειλεῖ. Τοῦτο καὶ ἐπὶ Νινευιτῶν ἐποίησε. Καὶ γὰρ καὶ ἐκεῖ τόξον ἐνέτεινε, καὶ τὴν ῥομφαίαν ἐστίλβωσε, καὶ τὰ μέλη ἡτοίμασε, καὶ τὴν πληγὴν οὐκ ἐπήγαγεν. Ἢ οὐ δοκεῖ σοι τὰ ῥήματα τοῦ προφήτου τόξον εἶναι καὶ βέλος καὶ ῥομφαίαν ἠκονημένην, ὅταν λέγῃ, «Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὴ καταστραφήσεται»; Ἀλλ' οὐκ ἀφῆκε τὸ βέλος· οὐδὲ γὰρ διὰ τοῦτο ηὐτρέπιστο ἵνα ἀφεθῇ, ἀλλ' ἵνα ἐναποτεθῇ. Οἱ μὲν γὰρ στρατιῶται διὰ τοῦτο ὁπλίζονται, ἵνα κολάσωσιν, ὁ δὲ Θεὸς οὐχ οὕτως, ἵνα τῷ φόβῳ σωφρονεστέρους ποιήσας, ἀνάσχῃ τῆς τιμωρίας τὴν χεῖρα.

63. Ἰωνᾶ 3, 4.

αὐτὸ ἐτέντωσε τὸ τόξον, δι᾽ αὐτὸ τὸ ἑτοίμασε, δι᾽ αὐτὸ ἔβαλε τὰ βέλη, δι᾽ αὐτὸ ἑτοιμάζεται διὰ τὴν τιμωρίαν, διὰ νὰ μὴ φθάση εἰς τὸ σημεῖον νὰ τιμωρήση.

12. Καὶ ἐξογκώνει τὸν λόγον, δείχνοντας μὲ τὸ μὲν γυάλισμα» τὸ ὑπερβολικὸν μέγεθος καὶ τὴν ταχύτητα τῆς τιμωρίας, μὲ τὸ «τέντωμα» τὸ ὅτι ἡ τιμωρία βρίσκεται πλησίον, μὲ τὸ «ἑτοίμασε» τὸ ὅτι αὐτὸ θὰ συμβῆ ὁπωσδήποτε, ἂν δὲν μετανοήσουν, μὲ τὸ δὲ «τοὺς καιομένους» διὰ νὰ δείξη τοὺς ὑπευθύνους, ὥστε, ἀφοῦ διδαχθοῦν ἀπὸ ὅλα αὐτά, νὰ σταματήσουν τὴν κακίαν των. Ἂν δὲ αὐτὰ ἦσαν δείγματο θυμοῦ καὶ ὀργῆς, δὲν θὰ ἦτο δυνατὸν νὰ τὰ προείπη εἰς ἐκείνους ποὺ ἐπρόκειτο νὰ ἐπιτεθῇ. Διότι ὁ θυμὸς δὲν τὸ ἀνέχεται αὐτό, ἀλλὰ κάμνει καὶ τὸ ἀντίθετον, καὶ μάλιστα ὅταν βρίσκεται πλέον εἰς τὸ ἀποκορύφωμά του καὶ εἰς τὸ σημεῖον τῆς κολάσεως καὶ τῆς ἐπιβουλῆς τῆς τιμωρίας. Οἱ ἐχθροὶ δηλαδὴ καὶ ποὺ θέλουν νὰ προβοῦν εἰς τιμωρίαν, ὄχι μόνον δὲν προλέγουν αὐτήν, ἀλλὰ καὶ ἐπιτίθενται κρυφὰ ὥστε νὰ μὴ τὸ μάθουν αὐτοὶ ποὺ πρόκειται νὰ τιμωρηθοῦν, καὶ προφυλαχθοῦν. Ὁ Θεὸς ὅμως δὲν ἐνεργεῖ ἔτσι, ἀλλ᾽ ἐντελῶς ἀντίθετα· καὶ προλέγει καὶ ἀναβάλλει τὴν τιμωρίαν καὶ φοβερίζει μὲ λόγια, καὶ κάμνει τὰ πάντα, ὥστε νὰ μὴ πραγματοποιήση ἐκεῖνα ποὺ ἀπειλεῖ. Αὐτὸ ἔκαμε καὶ μὲ τοὺς Νινευίτας. Καθ᾽ ὅσον καὶ ἐκεῖ ἐτέντωσε τὸ τόξον καὶ ἐγυάλισε τὴν ρομφαίαν καὶ ἑτοίμασε τὰ βέλη καὶ δὲν ἐπραγματοποίησε τὸ πλῆγμα. Ἢ νομίζεις ὅτι δὲν εἶναι τὰ λόγια τοῦ προφήτου τόξον καὶ βέλος καὶ ρομφαία ἀκονισμένη, ὅταν λέγη, «Ἀκόμη τρεῖς ἡμέραι καὶ ἡ Νινευὴ θὰ καταστραφῆ»[63]; Ἀλλ᾽ ὅμως δὲν τὸ ἔρριψε τὸ βέλος· καθ᾽ ὅσον ἡ ἑτοιμασία δὲν ἔγινε δι᾽ αὐτό, διὰ νὰ ριφθῆ, ἀλλὰ διὰ νὰ τοποθετηθῆ εἰς τὴν θέσιν του. Διότι οἱ μὲν στρατιῶται δι᾽ αὐτὸ ὁπλίζονται, διὰ νὰ τιμωρήσουν, ὁ Θεὸς ὅμως ὄχι δι᾽ αὐτὸν τὸν λόγον, ἀλλ᾽ ἀφοῦ μὲ τὸν φόβον μᾶς κάνη πιὸ σώφρονας, ν᾽ ἀναβάλη τὴν τιμωρίαν.

Μὴ τοίνυν θορυβώμεθα· φιλανθρωπίας γὰρ πολλῆς ὁ τῶν ῥημάτων φόβος, καὶ ὅσῳ ἂν ἀφορητότερα λέγῃ, τοσούτῳ ἀπὸ πολλῆς ἡμερότητος ταῦτα φθέγγεται. Ἐπεὶ καὶ πατέρες, ὅταν μὴ βούλωνται κολάζειν τοὺς παῖδας, διὰ τῶν ῥημάτων τὴν ὀργὴν αἴρουσιν· οὕτω καὶ αὐτός, ἐπεὶ μὴ βούλεται κολάζειν, ἐξογκοῖ διὰ τῶν ῥημάτων τὸν φόβον. Λέγει καὶ γέενναν ἑτοιμάσαι, ἵνα μὴ βάλῃ εἰς γέενναν· διά τοι τοῦτο καὶ πολλοὶ λόγοι περὶ τιμωρίας τοῖς εὐαγγελίοις ἐναπόκεινται, καὶ πλείους, ἢ οἱ περὶ βασιλείας. Ἐπειδὴ γὰρ ἐπὶ τῶν ἀναισθητοτέρων οὐχ οὕτως ἡ τῶν ἀγαθῶν ἐπαγγελία, ὡς ὁ τῶν λυπηρῶν φόβος ἐφέλκεται πρὸς ἀρετήν, καὶ ἀπάγει τῆς κακίας, διὰ δὴ τοῦτο καὶ τούτοις πλέον ἐμφιλοχωρεῖ, καὶ συνεχῶς αὐτὰ τίθησι. Μὴ τοίνυν ἀλγῶμεν ἀκούοντες φορτικῶν ῥημάτων (πολὺ γὰρ κέρδος ἔχουσιν), ἀλλ' ἐννοοῦντες αὐτοῦ καὶ τὴν μακροθυμίαν καὶ τὴν δικαιοκρισίαν, μήτε ἀπογινώσκωμεν τῆς σωτηρίας, μακρόθυμος γάρ ἐστι, μήτε ἀθυμῶμεν, δίκαιος γάρ ἐστιν· ἐνταῦθα μὲν πολλὴν τὴν μακροθυμίαν ἐνδεικνύμενος, ἐκεῖ δὲ τοὺς μὴ κερδάναντας ἐντεῦθεν τῇ πείρᾳ τῆς κολάσεως παραδιδούς· ὅπερ ἵνα μὴ γένηται, ἀποκρουσώμεθα ἐντεῦθεν ἤδη τὴν τιμωρίαν.

«Ἰδοὺ ὠδίνησεν ἀδικίαν». Ὁ δὲ Ἑβραῖος, **ἀντὶ** *τοῦ «Ὠδίνησεν», «Ἰέβαλ». «Συνέλαβε πόνον». Ἄλλος, «Καὶ κυήσας». «Καὶ ἔτεκεν ἀνομίαν». Ἄλλος, «Ψεῦδος». «Λάκκον ὤρυξε, καὶ ἀνέσκαψεν αὐτόν, καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο». Ἄλλος, «Εἰς διαφθορὰν ἣν εἰργάσατο». Εἶπεν ὅτι παρεσκεύασται πρὸς τιμωρίαν ὁ Θεός, εἶπεν ὅτι ἐπαφίησι τὰς κολάσεις. Ἐσωφρόνισε τούτῳ τὴν ἀκροατήν, τὴν ἄνωθεν ὀργὴν ἐπικρεμάσας. Παιδεύει λοιπὸν καὶ ἀπὸ τῶν πραγμάτων*

῞Ας μὴ θορυβούμεθα λοιπόν· διότι ὁ φόβος μὲ λόγια εἶναι δεῖγμα μεγάλης φιλανθρωπίας, καὶ ὅσον περισσότερον ἀνυπόφορα εἶναι τὰ λόγια του, τόσον περισσότερον τὰ λέγει αὐτὰ ἀπὸ μεγάλην ἐπιείκειαν. Διότι καὶ οἱ πατέρες, ὅταν δὲν θέλουν νὰ τιμωρηθοῦν τὰ παιδιά τους, μὲ τὰ λόγια ἀπομακρύνουν τὴν ὀργήν τους· ἔτσι καὶ αὐτός, ἐπειδὴ δὲν θέλει νὰ τιμωρῇ, μεγαλώνει τὸν φόβον μὲ τὰ λόγια. Λέγει ὅτι ἑτοίμασε καὶ γέενναν διὰ νὰ μὴ μᾶς ρίψῃ εἰς τὴν γέενναν· δι' αὐτὸ βέβαια καὶ γίνεται εἰς τὰ εὐαγγέλια πολὺς λόγος περὶ τιμωρίας καὶ πολὺ περισσότερος ἀπὸ ὅ,τι περὶ βασιλείας. Ἐπειδὴ δηλαδὴ τοὺς ἀναισθητοτέρους δὲν τοὺς προσελκύει πρὸς τὴν ἀρετὴν καὶ δὲν τοὺς ἀπομακρύνει ἀπὸ τὴν κακίαν τόσο πολὺ ἡ ὑπόσχεσις τῶν ἀγαθῶν ὅσον ὁ φόβος τῶν λυπηρῶν, δι' αὐτὸ λοιπὸν ἀσχολεῖται περισσότερον μὲ τὰ λυπηρὰ καὶ αὐτὰ ἀναφέρει συνεχῶς. ῞Ας μὴ λυπούμεθα λοιπὸν ἀκούοντες λόγια δυσάρεστα (διότι περιέχουν πολὺ κέρδος), ἀλλ' ἀναλογιζόμενοι καὶ τὴν μακροθυμίαν του καὶ τὴν δικαιοκρισίαν του, οὔτε νὰ κυριευώμεθα ἀπὸ ἀπογοήτευσιν διὰ τὴν σωτηρίαν μας, διότι εἶναι μικρόθυμος, οὔτε νὰ λιποψυχοῦμεν, διατί εἶναι δίκαιος· ἐδῶ μὲν δείχνει πολλὴν μακροθυμίαν, ἐκεῖ ὅμως ἐκείνους ποὺ δὲν ἐκέρδισαν τίποτε ἀπὸ αὐτήν, θὰ τοὺς παραδώσῃ εἰς τὴν δοκιμασίαν τῆς κολάσεως, πρᾶγμα ποὺ διὰ νὰ μὴ συμβῇ, ἂς ἀποκρούσωμεν ἀπὸ ἐδῶ πλέον τὴν τιμωρίαν.

«Νὰ ὁ διώκτης μου ἐπροξένησε μεγάλην ἀδικίαν». Ὁ δὲ Ἑβραῖος ἀντὶ τοῦ «Ὠδίνησεν», λέγει «Ἰέβαλ». «Συνέλαβε μέσα εἰς τὴν ψυχήν του σχέδιον πόνου ἐναντίον μου». Ἄλλος λέγει «ἐκυκλοφόρησε». «Καὶ ἐγέννησε ἀνομίαν». Ἄλλος λέγει «ψεῦδος». «Ἔσκαψε καὶ ἤνοιξε λάκκον καὶ θὰ πέσῃ μέσα εἰς τὸν βόθρον ποὺ κατεσκεύασεν». Ἄλλος «Μέσα εἰς τὴν διαφθορὰν ποὺ ἐδημιούργησεν». Εἶπεν ὅτι ἑτοιμάσθη ὁ Θεὸς διὰ τιμωρίαν, εἶπεν ὅτι ἐξαπολύει τὰς τιμωρίας. Ἐσωφρόνισε μὲ αὐτὸ τὸν ἀκροατήν, ἀφοῦ ἐκρέμασεν ἀπὸ ἐπάνω του τὴν ὀργὴν τοῦ Θεοῦ. Διδάσκει πλέον μὲ τὰ

αὐτῶν, δεικνύς, ὅτι καὶ πρὸ τῆς τιμωρίας αὐτὴ ἡ κακία κόλασις. Ὅπερ οὖν καὶ ὁ Παῦλος ἐνδεικνύμενος ἔλεγε «Καὶ τὴν ἀντιμισθίαν, ἣν ἔδει, τῆς πλάνης ἐν ἑαυτοῖς ἀπολαμβάνοντες», καὶ ἄγει εἰς μέσον τοὺς τὰ ἔσχατα παθόντας ὑπὸ τῆς κακίας. Ἐπειδὴ γὰρ εἰώθασιν οἱ πολλοὶ τῶν παχυτέρων τότε μάλιστα σωφρονίζεσθαι, ὅταν τοὺς πεπονθότας ἴδωσι, διὰ τοῦτο καὶ αὐτοὺς εἰς μέσον ἄγει. Οὕτω καὶ ὁ Χριστὸς ποιεῖ, πολλὰ περὶ γεέννης διαλεχθεὶς καὶ τοὺς ἐκεῖ βαλλομένους εἰς μέσον ἄγει· οἷον, τὸν πλούσιον τὸν ἐπὶ Λαζάρου, τὰς παρθένους τὰς μωράς, τὸν τὸ τάλαντον τὸ ἓν κατακρύψαντα· καὶ ἐν τῷ παρόντι βίῳ, τοὺς ἐν τῷ πύργῳ καταχωσθέντας, καὶ ὧν τὸ αἷμα Πιλάτος ἀνέμιξαι ταῖς θυσίαις. Οὕτω καὶ Πέτρος πολλὰ περὶ γεέννης διαλεχθείς, τότε μάλιστα αὐτοὺς ἔπληξεν, ὅτε τοὺς κολασθέντας εἰς μέσον ἤγαγε, καὶ πρὸ τῶν ὀφθαλμῶν τὴν τιμωρίαν ἔδειξε τοῦ Ἀνανίου καὶ τῆς Σαπφείρας, ὅπερ οὖν καὶ Παῦλος ἐποίει ἐπὶ τοῦ μάγου.

Καὶ ἑτέρῳ δὲ τρόπῳ κατασκευάζει τὸ τοιοῦτον, ὅτε τῶν ἐν τῇ ἐρήμῳ μέμνηται, λέγων οὕτως· «Οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσθησαν, καὶ βρῶμα πνευματικὸν ἔφαγον, καὶ πόμα πνευματικὸν ἔπιον· ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν ηὐδόκησεν ὁ Θεός, ἀλλ' ἀπώλοντο καὶ κατέπεσον». Ἐπειδὴ γὰρ περὶ μελλόντων διελέγετο, γεέννης λέγω, καὶ κολάσεως, καὶ τιμωρίας, ἀπὸ τῶν παρελθόντων καὶ τὴν περὶ ἐκείνων ἀπόδειξιν φέρει, αὐτοὺς τοὺς κολασθέντας εἰς μέσον ἄγων, τοὺς ὑπὸ τῶν ὄφεων, τοὺς ὑπὸ

64. Ρωμ. 1, 27.
65. Λουκᾶ 16, 19.
66. Ματθ. 25, 1. ἑ.
67. Ματθ. 25, 18 ἑ.
68. Λουκᾶ 13, 1 - 4.
69. Πράξ. 5, 1 ἑ.
70. Πράξ. 13, 11 ἑ.
71. Α΄ Κορ. 10, 1 - 5.

ἴδια τὰ πράγματα, καὶ δείχνει, ὅτι καὶ πρὶν ἀπὸ τὴν τιμωρίαν ἡ ἰδία ἡ κακία εἶναι κόλασις. Αὐτὸ ἀκριβῶς διὰ νὰ δείξη καὶ ὁ Παῦλος, ἔλεγεν· «Ἀπολαμβάνοντες ὁ ἕνας ἀπὸ τὸν ἄλλον τὴν ἀνταμοιβὴν τῆς πλάνης των ποὺ τοὺς ἤξιζε»[64], καὶ παρουσιάζει ἐκείνους ποὺ ἔπαθαν ἀπὸ τὴν κακίαν τὰ πιὸ χειρότερα πράγματα. Ἐπειδὴ δηλαδὴ συνήθως οἱ περισσότεροι ἀπὸ τοὺς παχυτέρους τότε πρὸ πάντων σωφρονίζονται, ὅταν ἰδοῦν ἐκείνους ποὺ ἔπαθαν αὐτά, διὰ τοῦτο καὶ παρουσιάζει αὐτούς. Ἔτσι κάμνει καὶ ὁ Χριστός· ἀφοῦ εἶπε πολλὰ διὰ τὴν γέενναν, παρουσιάζει καὶ ἐκείνους ποὺ ρίπτονται εἰς αὐτήν, ὅπως παραδείγματος χάριν τὸν πλούσιον κοντὰ εἰς τὸν ὁποῖον ζοῦσε ὁ Λάζαρος[65], τὰς μωρὰς παρθένους[66], ἐκεῖνον ποὺ ἔκρυψε τὸ ἕνα τάλαντον[67], καὶ εἰς τὴν παροῦσαν ζωὴν ἐκείνους ποὺ κατεπλακώθησαν ἀπὸ τὸν πύργον καὶ ἐκείνους ποὺ τὸ αἷμα των τὸ ἀνέμιξεν ὁ Πιλᾶτος μὲ τὰς θυσίας[68]. Ἔτσι καὶ ὁ Πέτρος, ἀφοῦ εἶπε πολλὰ διὰ τὴν γέενναν, τότε πρὸ πάντων τοὺς κατέπληξεν, ὅταν τοὺς ἐπαρουσίασε τοὺς τιμωρηθέντας καὶ ἔδειξεν ἐμπρὸς εἰς τὰ μάτια των τὴν τιμωρίαν τοῦ Ἀνανίου καὶ τῆς Σαπφείρας[69], πρᾶγμα βέβαια ποὺ καὶ ὁ Παῦλος ἔκαμνεν εἰς τὴν περίπτωσιν τοῦ μάγου[70].

Καὶ μὲ ἄλλον δὲ τρόπον διδάσκει αὐτό, ὅταν ἐνθυμῆται ἐκείνους ποὺ ἔζησαν εἰς τὴν ἔρημον, λέγων τὰ ἑξῆς· «Δὲν θέλω, ἀδελφοί, ν' ἀγνοῆτε, ὅτι ὅλοι οἱ πατέρες μας ἦσαν κάτω ἀπὸ τὴν νεφέλην καὶ ὅτι ὅλοι ἐβαπτίσθησαν εἰς τὸν Μωϋσῆν, καὶ ἔφαγον πνευματικὴν τροφὴν καὶ ἤπιαν πνευματικὸν ποτόν, καὶ ὅμως δὲν ἦσαν οἱ περισσότεροι ἀπὸ αὐτοὺς ἀρεστοὶ εἰς τὸν Θεόν, ἀλλ' ἐξέπεσαν ἀπὸ τὴν ἀγάπην τοῦ Θεοῦ καὶ ὡδηγήθησαν εἰς τὴν ἀπώλειαν»[71]. Ἐπειδὴ δηλαδὴ ὡμιλοῦσε διὰ τὰ μελλοντικὰ πράγματα, ἐννοῶ τὴν γέενναν, τὴν κόλασιν καὶ τὰς τιμωρίας, παρουσιάζει καὶ τὴν ἀπόδειξιν δι' ἐκείνους ἀπὸ τὰ παρελθόντα, ἀναφέρων τοὺς ἰδίους τοὺς τιμωρηθέντας

τοῦ ὀλοθρευτοῦ. Ὃ δὴ καὶ ἐνταῦθα ποιεῖ ὁ Δαυίδ, εἴτε περὶ τοῦ Ἀχιτόφελ, εἴτε περὶ τοῦ Ἀβεσσαλὼμ λέγων. Τινὲς μὲν οὖν περὶ τοῦ Ἀχιτόφελ φασὶν εἰρῆσθαι. Οὐ γὰρ ἦν τοῦ αὐτοῦ λέγειν, «Φείσασθέ μοι τοῦ παιδαρίου Ἀβεσσαλώμ», καὶ μετὰ τὸ πάθος, «Τίς δώῃ μοι θάνατον ἀντὶ σοῦ;» καὶ ταῦτα νῦν λέγειν· ἀλλ' ἐκεῖνα μὲν ὑπὸ τῆς φύσεως κατεχόμενος ἔλεγε, νῦν δὲ ὑπὸ τοῦ Πνεύματος ἔνθους γενόμενος. Πλὴν εἴτε περὶ τοῦ Ἀβεσσαλώμ, εἴτε περὶ τοῦ Ἀχιτόφελ εἴρηται, σκοπητέον τὰ εἰρημένα· οὐ γὰρ πολύς μοι περὶ τῶν προσώπων ὁ λόγος.

13. Τί οὖν ἐντεῦθεν μανθάνομεν; Δείκνυσι, ὅτι ὁ ὀρύσσων βόθρον τῷ πλησίον, εἰς αὐτὸν ἐμπεσεῖται· καὶ καθάπερ αἱ ὠδίνουσαι γυναῖκες ὑπὸ τῶν ὠδίνων διακόπτονται, οὕτω καὶ ὁ δόλον ἐργαζόμενος, πρὶν ἢ τὸν πλησίον ἀδικῆσαι, αὐτὸς διακόπτεται καὶ ὀδυνᾶται, καὶ οὐχ ὡς ἔτυχεν, ἀλλὰ μετὰ πολλῆς τῆς δριμύτητος. Διὸ καὶ τὸ πικρὸν τῆς ὀδύνης παραστῆσαι βουλόμενος, ὠδῖνα τὸ πρᾶγμα ἐκάλεσεν. Ὅπου γὰρ ἐὰν βούληται ἡ Γραφὴ ἀφόρητόν τινα ἡμῖν ὀδύνην ἐνδείξασθαι, τῷ ὀνόματι τῆς ὠδῖνος αὐτὴν ὑπογράφει. Διὸ καὶ ἀλλαχοῦ φησιν, «Ὠδῖνες ἔλαβον κατοικοῦντας Φυλιστιείμ», τουτέστι, φόβος, τρόμος, πόνος, ὀδύνη. Καὶ πάλιν ὁ Παῦλος· «Ὅταν δὲ λέγωσιν, εἰρήνη καὶ ἀσφάλεια τότε αὐτοῖς αἰφνίδιος ἐφίσταται ὄλεθρος, ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ». Ἐνταῦθα δύο αἰνίττεται, καὶ τὸ ἀφόρητον, καὶ τὸ ἀπροσδόκητον. Καὶ ὁ Ἠσαΐας· «Ὅτι ἥκει ἡ ὠδὶν τῇ τικτούσῃ, ἰσχὺν δὲ οὐκ ἔχει τοῦ τεκεῖν», τὸν ἀφόρητον αὐτοῦ φόβον καὶ πόνον διὰ τῆς ὠδῖνος ἐνδεικνύμενος.

72. Ἐξ. 12, 29.
73. Β΄ Βασ. 18, 5.
74. Β΄ Βασ. 18, 33.
75. Ἐξ. 15, 14.
76. Α΄ Θεσ. 5, 3.
77. Ἠσ. 37, 3.

τόσον ἀπὸ τὰ φίδια ὅσον καὶ ἀπὸ τὸν ἐξολοθρευτήν[72]. Αὐτὸ λοιπὸν κάμνει καὶ ὁ Δαυὶδ ἐδῶ, ὁμιλῶν εἴτε διὰ τὸν Ἀχιτόφελ, εἴτε διὰ τὸν Ἀβεσσαλώμ. Μερικοὶ βέβαια λέγουν ὅτι αὐτὸ ἐλέχθη διὰ τὸν Ἀχιτόφελ. Διότι δὲν ἠμποροῦσεν ὁ ἴδιος νὰ λέγῃ, «Λυπηθῆτε τὸ παιδί μου τὸν Ἀβεσσαλώμ»[73], καὶ μετὰ τὸν θάνατόν του, «Διατί νὰ μὴ ἀποθάνω ἐγὼ εἰς τὴν θέσιν τὴν ἰδικήν σου;»[74], καὶ τώρα νὰ λέγῃ αὐτά· ἀλλ' ἐκεῖνα μὲν τὰ ἔλεγε κυριευμένος ἀπὸ τὴν φυσικὴν ἀγάπην, ἐνῷ τώρα τὰ λέγει ἐμπνεόμενος ὑπὸ τοῦ ἁγίου Πνεύματος. Πλὴν ὅμως εἴτε ἐλέχθησαν διὰ τὸν Ἀβεσσαλώμ, εἴτε διὰ τὸν Ἀχιτόφελ, πρέπει νὰ ἐξετάσωμεν τὰ λόγια ποὺ ἐλέχθησαν· διότι δὲν ἔχω σκοπὸν ν' ἀσχοληθῶ ἐπὶ μακρὸν μὲ τὰ πρόσωπα.

13. Τί μαθαίνομεν λοιπὸν ἀπὸ ἐδῶ; Δείχνει, ὅτι ἐκεῖνος ποὺ σκάπτει λάκκον διὰ τὸν πλησίον του, θὰ πέσῃ ὁ ἴδιος μέσα εἰς αὐτόν· καὶ ὅπως ἀκριβῶς αἱ γυναῖκες, ποὺ κοιλοπονοῦν πρὶν γεννήσουν, κατασπαράσσουν ἀπὸ τοὺς πόνους αὐτούς, ἔτσι καὶ ἐκεῖνος ποὺ ἀσχολεῖται μὲ δολοπλοκίας, πρὶν ἀκόμη ἀδικήσῃ τὸν πλησίον του, ὁ ἴδιος καταπληγώνεται καὶ ὑποφέρει, καὶ ὄχι ἀπὸ τυχαίους πόνους, ἀλλ' ἀπὸ πάρα πολὺ ἰσχυρούς. Διὰ τοῦτο, θέλων νὰ δείξῃ τὸ πικρὸν τῆς ὀδύνης, ὠνόμασε τὸ πρᾶγμα ὠδῖνα. Διότι ὅπου θέλει ἡ Γραφὴ νὰ δείξῃ κάποιον ἀβάστακτον πόνον τὸν ἀναφέρει μὲ τὸ ὄνομα τῆς ὠδῖνος. Διὰ τοῦτο καὶ ἀλλοῦ λέγει, «Ὠδῖνες ἐκυρίευσαν τοὺς κατοίκους Παλαιστίνης»[75], δηλαδὴ φόβος, τρόμος, πόνος, ὀδύνη. Καὶ πάλιν ὁ Παῦλος· «Ὅταν δὲ λέγουν, εἰρήνη καὶ *ἀσφάλεια, τότε ἐμφανίζεται εἰς αὐτοὺς αἰφνιδία* καταστροφή, ὅπως ἀκριβῶς ὁ κοιλόπονος εἰς τὴν ἔγκυον»[76]. Ἐδῶ ὑπαινίσσεται δύο πράγματα, καὶ τὸ ἀνυπόφορον καὶ τὸ αἰφνίδιον. Καὶ ὁ Ἠσαΐας· «Διότι πιάνουν τὴν γυναῖκα ποὺ εἶναι νὰ γεννήσῃ ἰσχυροὶ πόνοι, ἀλλὰ δὲν ἔχει τὴν δύναμιν νὰ γεννήσῃ»[77], διὰ νὰ δείξῃ μὲ τὸν κοιλόπονον τὸν ἀνυπόφορον φόβον καὶ πόνον.

Οὕτω δὴ καὶ ἐνταῦθα ὁ προφήτης. Κἂν γὰρ μυριάκις πονηρός τις ᾖ, τὸ κριτήριον τοῦ συνειδότος οὐ διαφθείρεται· φυσικὸν γάρ ἐστι, καὶ παρὰ τοῦ Θεοῦ ἡμῖν τὴν ἀρχὴν ἐντεῦθεν. Κἂν μυρία φιλονεικήσωμεν, ἐφέστηκεν ἐκεῖνο καταβοῶν, κολάζον, καταδικάζον, καὶ οὐδείς ἐστι τῶν ἐν κακίᾳ ζώντων, ὃς οὐ μυρίαν ὀδύνην ὑπομένει, καὶ βουλευόμενος τὰ κακά, καὶ εἰς ἔργον ἐκφέρων τὴν βουλήν. Τί γὰρ τοῦ Ἀχαὰβ πονηρότερον; Ἀλλ' ὅμως ἐκεῖνος ἐπιθυμήσας τοῦ ἀμπελῶνος, ἐννόησον πόσην ὀδύνην ἔσχε. Βασιλεὺς γοῦν ὢν καὶ πάντων κρατῶν, καὶ οὐδένα ἔχων ἀντιλέγοντα, εἰσῆλθε σκυθρωπάζων, κάτω κύπτων, συγκεχυμένος, πολλὴν ἀχλὺν ἐπὶ τῆς ὄψεως φέρων, τῆς ἀπὸ τοῦ συνειδότος καταδίκης τὸν ἔλεγχον ἐπὶ τοῦ προσώπου κηρύττων καὶ οὐ δυνάμενος συσκιάσαι τὴν ἀπὸ τῆς ἀθυμίας ἐγγενομένην αὐτῷ ὀδύνην. Οὕτω γοῦν καὶ ἀπὸ τῆς γυναικὸς ἐγένετο κατάφωρος. Ὁ μέντοι προδότης, ὁ πρὸς τοσαύτην ἐξωκείλας πονηρίαν, ἐπειδὴ τὴν ὀδύνην οὐκ ἤνεγκε τὴν ἀπὸ τοῦ κριτηρίου τοῦ συνειδότος, καὶ βρόχον ἀνῆψε, καὶ οὕτω τὸν βίον κατέλυσεν. Ὥσπερ οὖν ὁ ἐν πονηρίᾳ τοσαῦτα πάσχει, οὕτως ὁ ἐν ἀρετῇ γαλήνης ἀπολαύει καὶ ἀταράχου διανοίας.

Σκόπει δέ. Εἰ βουληθῇ τίς τινα ἀμύνασθαι, ἢ ἄρξαι χειρῶν ἀδίκων, ὅρα πόσα πάσχει δεινά. Πληροῦται θυμοῦ, διακόπτεται ὑπὸ ὀργῆς, μυρία κύματα κινεῖ λογισμῶν, ὁδοὺς ἔρχεται μυρίας, φόβος ἔπεισι καὶ ἀγωνία καὶ τρόμος, τοῦ

78. Γ' Βασ. κεφ. 20.
79. Ματθ. 27, 5 καὶ Πράξ. 1, 18.

Ἔτσι λοιπὸν καὶ ἐδῶ ὁ προφήτης. Καὶ ἂν ἀκόμη δηλαδὴ εἶναι κανεὶς εἰς ἀμέτρητον βαθμὸν κακός, ὅμως τὸ κριτήριον τῆς συνειδήσεως δὲν διαφθείρεται· διότι εἶναι φυσικὸν δῶρον καὶ ἔχει τοποθετηθῆ μέσα μας ἀπὸ τὸν Θεὸν ἐξ ἀρχῆς. Καὶ ἂν ἀκόμη φιλονεικήσωμεν ἀμετρήτους φορὰς ἐκεῖνο σηκώνεται ἐπάνω καὶ φωνάζει, τιμωρεῖ, καταδικάζει καὶ κανεὶς δὲν ὑπάρχει ἀπὸ ἐκείνους ποὺ ζοῦν μέσα εἰς τὴν κακίαν, ποὺ νὰ μὴ ὑπομένῃ ἀμέτρητον πόνον καὶ ὅταν σκέπτεται τὰ κακὰ καὶ ὅταν πραγματοποιῇ τὴν σκέψιν του. Πράγματι ποῖος ὑπῆρξε πιὸ κακὸς ἀπὸ τὸν Ἀχαάβ; Ἀλλ᾽ ὅμως ἐκεῖνος μὲ τὸ νὰ ἐπιθυμήσῃ τὸν ἀμπελῶνα[78], σκέψου πόσον πόνον ἐδοκίμασε. Ἐνῷ δηλαδὴ ἦτο βασιλεὺς καὶ ἐξουσίαζεν ὅλους καὶ κανεὶς δὲν ἠμποροῦσε νὰ προβάλλῃ ἀντίρρησιν, ἐπειδὴ δὲν ὑπέφερε τὸν ἔλεγχον τῆς συνειδήσεως, εἰσῆλθε μὲ πρόσωπον σκυθρωπὸν καὶ κεφαλὴν σκυμμένην κάτω, μὲ πολλὴν σύγχυσιν, ἔχων ζωγραφισμένον εἰς τὸ πρόσωπόν του πολὺ σκοτάδι, ποὺ διεκήρυττε τὸν ἔλεγχον καὶ τὴν καταδίκην τῆς συνειδήσεώς του καὶ χωρὶς νὰ ἠμπορῇ νὰ κρύψῃ τὸν πόνον ποὺ τοῦ ἐδημιουργοῦσεν ἡ στενοχώρια του. Ἔτσι λοιπὸν ἔγινεν ἀντιληπτὸς ἀπὸ τὴν γυναῖκα του. Ὁ προδότης λοιπόν, ποὺ παρεσύρθη καὶ ἔπεσεν εἰς τόσον μεγάλην κακίαν, ἐπειδὴ δὲν ὑπέφερε τὸν πόνον ἀπὸ τοὺς ἐλέγχους τῆς συνειδήσεως ἔδεσε θηλειὰν καὶ ἔδωσε ἔτσι τέλος εἰς τὴν ζωήν του[79]. Ὅπως ἀκριβῶς λοιπὸν ἐκεῖνος ποὺ ζῇ μέσα εἰς τὴν κακίαν πάσχει ἀπὸ τόσα πολλά, ἔτσι καὶ ἐκεῖνος ποὺ ζῇ ἐνάρετα ἀπολαμβάνει γαλήνην καὶ ἔχει ἀτάραχον τὸν ψυχικόν του κόσμον.

Πρόσεχε δέ. Ἐὰν θελήσῃ κάποιος νὰ ἐπιτεθῇ ἐναντίον ἄλλου ἢ νὰ τὸν ἀδικήσῃ, πρόσεχε πόσα κακὰ ὑποφέρει. Κυριεύεται ἀπὸ θυμόν, καταπληγώνεται ἀπὸ τὴν ὀργήν του, δημιουργεῖ μέσα του ἀμέτρητα κύματα λογισμῶν, μεταχειρίζεται ἀμέτρητα μέσα, τὸν κυριεύει φόβος καὶ ἀγωνία καὶ τρόμος, ὁ θυμὸς τὸν καταξεσχίζει, ὁ φόβος

θυμοῦ διακόπτοντος, τοῦ φόβου κατασείοντος, πῶς ἐπιτύχῃ, πῶς ἐπεξέλθῃ· καὶ πρὸ τοῦ μέλλοντος ἀδικεῖσθαι, ἑαυτὸν ἀπόλλυσιν. Ὁ δὲ ἐκβαλὼν τὴν ὀργήν, ἁπάντων ἀπήλλακται τούτων· καὶ μάλα εἰκότως. Τούτου γὰρ αὐτὸς κύριός ἐστι, καὶ τὸ πᾶν ἀπήρτισεν· ἐκείνου δὲ οὐκ ἔτι, ἀλλὰ καὶ καιροῦ χρεία, καὶ τόπου, καὶ δόλου, καὶ κακουργίας, καὶ ὅπλων, καὶ μηχανημάτων, καὶ προσκρουσμῶν, καὶ κολακείας, καὶ δουλείας, καὶ ὑποκρίσεως. Ὁρᾷς πῶς εὔκολον ἡ ἀρετή, δύσκολον δὲ ἡ κακία; πῶς τὸ μὲν ἀτάραχον, τὸ δὲ θορύβων γέμον; Ταύτην τοίνυν ὑπογράφων ὁ προφήτης ἔλεγεν· «Ἰδοὺ ὠδίνησεν ἀδικίαν, συνέλαβε πόνον, καὶ ἔτεκεν ἀνομίαν». Ἐντεῦθεν δείκνυται ὅτι οὐ κατὰ φύσιν ἡμῖν ἡ ἀδικία, ἀλλὰ καὶ ἀλλότριόν τι. Διὸ καὶ βαρύνει, καὶ ἕως ἂν ἀπαλλαγῶμεν, ὠδῖσι περιβάλλει. Ἐπεὶ καὶ τὸ ἔμβρυον ἕως ἂν ἀπαρτίζηται, κατὰ φύσιν ἔγκειται τῇ γαστρί· διὰ τοῦτο καὶ μένει, καὶ πόνον οὐκ ἔχει, μετὰ δὲ τὸ τελεσθῆναι, ἐὰν ἔνδον μένῃ, παρὰ φύσιν ἐστὶν ἡ διατριβή· ὅθεν καὶ ὠδῖνες γίγνονται. Διόπερ ἡ φύσις ἐνοχλουμένη βιάζεται ἐξωθήσασθαι, ἅτε ἐργασαμένη τὸ πᾶν καὶ ἀπαρτίσασα, καὶ οὐκ ἔτι δυναμένη φέρειν. Ἀλλ' ἐκεῖ μὲν πρῶτον σύλληψις γίνεται, καὶ τότε ὠδίς, ἐνταῦθα δὲ πρῶτον ὠδίνησε, καὶ τότε συνέλαβε καὶ ἔτεκε.

Τί οὖν ἐστιν εἰπεῖν; Ὅτι ἐκεῖ μὲν ἐν καιρῷ τοῦ τόκου ἡ ὠδίς, ἐνταῦθα δὲ ἐξ ἀρχῆς ἡ ὠδίς. Ὁμοῦ τε γὰρ ἐβου-

τὸν συνταράσσει, πῶς θὰ τὸ ἐπιτύχη αὐτό, πῶς θὰ τὸ φέρῃ εἰς πέρας, καὶ πρὶν ἀπὸ ἐκεῖνον ποὺ πρόκειται ν' ἀδικηθῇ καταστρέφει τὸν ἑαυτόν του. Ἐκεῖνος ὅμως ποὺ ἀπεμάκρυνε τὴν ὀργήν, ἀπηλλάγη ἀπὸ ὅλα αὐτά· καὶ πολὺ εὔλογα. Διότι ὁ ἴδιος εἶναι κύριος αὑτοῦ καὶ κατορθώνει τὸ πᾶν, ἐνῷ ἐκεῖνο δὲν ἐξαρτᾶται ἀπὸ αὐτόν, ἀλλὰ χρειάζεται καὶ χρόνος καὶ τόπος, καὶ δόλος καὶ κακουργία καὶ ὅπλα καὶ ἔξυπνα τεχνάσματα καὶ ἀποκρούσεις καὶ ἐπιθέσεις, καὶ κολακεία, καὶ δουλεία, καὶ ὑποκρισία. Βλέπεις πῶς ἡ ἀρετὴ εἶναι εὔκολον πρᾶγμα, ἐνῷ ἡ κακία δύσκολον; πῶς τὸ μὲν πρῶτον χαρίζει γαλήνην, τὸ δὲ ἄλλο εἶναι γεμᾶτον ἀπὸ ἀνησυχίας; Αὐτὴν λοιπὸν θέλων ὁ προφήτης νὰ παρουσιάση, ἔλεγε· «Νὰ αὐτὸς ἐγέννησε μὲ πολὺν πόνον ἀδικίαν ἐναντίον μου, συνέλαβε μέσα εἰς τὴν ψυχήν του σχέδιον πόνου δι' ἐμένα καὶ ἐγέννησε ἀνομίαν». Ἀπὸ ἐδῶ γίνεται φανερόν, ὅτι ἡ ἀδικία δὲν ὑπάρχει μέσα μας ἐκ φύσεως, ἀλλ' εἶναι κάτι τὸ ξένον. Διὰ τοῦτο καὶ εἶναι ἀνυπόφορον πρᾶγμα καὶ μᾶς περιβάλλει μὲ τρομεροὺς πόνους μέχρις ὅτου ἀπαλλαγῶμεν ἀπὸ αὐτήν. Διότι καὶ τὸ ἔμβρυον, καθ' ὃν χρόνον σχηματίζεται καὶ μεγαλώνει εἶναι φυσιολογικὴ ἡ παραμονή του μέσα εἰς τὴν κοιλίαν καὶ διὰ τοῦτο καὶ παραμένει ἐκεῖ καὶ δὲν προκαλεῖ πόνον, μετὰ ὅμως ἀπὸ τὴν ὁλοκλήρωσίν του, ἐὰν παραμένῃ μέσα εἰς τὴν κοιλίαν, ἡ διαμονή του δὲν εἶναι φυσιολογική, καὶ διὰ τοῦτο δημιουργοῦνται ἰσχυροὶ πόνοι. Καὶ ἀκριβῶς διὰ τοῦτο ἡ φύσις, ἐπειδὴ ἐνοχλεῖται, βιάζεται νὰ τὸ βγάλῃ ἔξω, ἐπειδὴ ἔκαμεν αὐτὴ τὸ πᾶν καὶ τὸ ὡλοκλήρωσε καὶ δὲν ἠμπορεῖ ἄλλο νὰ τὸ ὑποφέρῃ. Ἀλλ' ἐκεῖ μὲν πρῶτα γίνεται ἡ σύλληψις καὶ μετὰ ἀκολουθεῖ ὁ τρομερὸς πόνος, ἐνῷ ἐδῶ πρῶτα ἐδημιουργήθη ὁ πόνος καὶ μετὰ συνέλαβε καὶ ἐγέννησε.

Τί ἠμποροῦμεν λοιπὸν νὰ εἰποῦμεν; Ὅτι ἐκεῖ μὲν ὑπάρχει ὁ φοβερὸς πόνος κατὰ τὴν στιγμὴν τοῦ τοκετοῦ, ἐνῷ ἐδῶ ὑπάρχει ὁ πόνος ἀπὸ τὴν ἀρχήν. Συγχρόνως

λεύσατό τις τι πονηρόν, καὶ πρὶν ἢ πῆξαι τῇ διανοίᾳ, θόρυβος καὶ ταραχὴ κατὰ τὴν διάνοιαν. Ἐπὶ μὲν γὰρ τῆς γυναικὸς τὸ καταβληθὲν ἅπαξ σπέρμα αὐτὸ καὶ διαπλάττεται πρὸς τὴν σύστασιν τοῦ τικτομένου· ἐπὶ δὲ τῶν δόλους ῥαπτόντων σήμερον οὕτως κατεβλήθη ὁ λογισμός, καὶ πάλιν αὔριον ἕτερος· καὶ μυρίαι μεταβολαὶ τῶν πονηρῶν τούτων πραγμάτων, καὶ καθ' ἑκάστην ἡμέραν συλλήψεις καὶ ὠδῖνες διαφθείρουσαι τὴν ταῦτα τίκτουσαν διάνοιαν. Οὐ γὰρ τοιοῦτος ὁ τόκος, οἷος ἐπὶ τῶν γυναικῶν· ἀλλ' ὥσπερ ἐπὶ τῶν ἐχιδνῶν, τὴν μήτραν διασπῶσι, καὶ τὰ πλευρὰ διακόπτοντα τὰ παιδία πρόεισιν, οὕτω καὶ ἐπὶ τῶν δόλων καὶ ἐπὶ τῆς ἀδικίας. Ἀλλὰ κἂν μυρία φιλονεικήσωμεν οὐ δυνησόμεθα παραστῆσαι τῷ λόγῳ τὴν ἀλγηδόνα, ἣν ὑπομένουσιν οἱ κακοί. Διὸ καί τίς φησιν· «Ὁ δὲ κακὸς μόνος ἀντλήσει τὰ κακά». Τί γὰρ χαλεπώτερον καὶ ἀλγεινότερον τοῦ βασκαίνοντος, τοῦ ἐπιβουλεύοντος, τοῦ τῶν ἀλλοτρίων ἐφιεμένου; Δημίου παντὸς χαλεπώτερον τὰ πάθη ταῦτα τὴν ψυχὴν καταξαίνει.

14. Ὥστε εἰκότως ὠδῖνας ἐκάλεσε τοὺς τοιούτους λογισμούς. Ἀλλ' ὥσπερ αἱ γυναῖκες ἀπὸ συνουσίας τίκτουσι, κἂν μὲν ὑγιεινὰ τὰ σώματα ᾖ, τοιαῦτα εἰκότως καὶ τὰ τικτόμενα, ἂν δὲ διεφθαρμένα, μιμεῖται τῶν γονέων τὴν φύσιν, οὕτω καὶ ἐπὶ τῶν λογισμῶν. Κἂν μὲν ἀγαθοῖς συγγένῃ, τοιαῦτα ἔσται καὶ τὰ ἔκγονα, ἂν δὲ πονηροῖς, καὶ μὴ προσέχῃς, πολλὴν

δηλαδὴ ἐσκέφθη κανεὶς κάποιο κακόν, καὶ πρὶν ἀκόμη τὸ σταθεροποιήσῃ μέσα εἰς τὴν σκέψιν του, καταλαμβάνεται ἡ διάνοιά του ἀπὸ ἀνησυχίαν καὶ ταραχήν. Διότι εἰς τὴν περίπτωσιν τῆς γυναικὸς τὸ σπέρμα ποὺ ἐρρίφθη μίαν φοράν, τὸ ἴδιο καὶ διαπλάσσεται διὰ νὰ γίνῃ ἐκεῖνο ποὺ θὰ γεννηθῇ, ἐνῷ εἰς τὴν περίπτωσιν ἐκείνων ποὺ μηχανορραφοῦν σήμερα ἐγεννήθη αὐτὸς ὁ λογισμός, ἐνῷ αὔριον γεννᾶται ἄλλος καὶ εἶναι ἀμέτρητα τὰ σπέρματα αὐτῶν τῶν πονηρῶν πραγμάτων καὶ καθημερινὰ συλλήψεις καὶ φοβεροὶ πόνοι καταστρέφουν τὴν διάνοιαν ἐκείνην ποὺ γεννᾷ αὐτά. Δὲν εἶναι λοιπὸν αὐτὸς ὁ τοκετὸς ὅμοιος μὲ τὸν τοκετὸν τῶν γυναικῶν, ἀλλ' ὅπως ἀκριβῶς εἰς τὴν περίπτωσιν τῶν ἐχιδνῶν τὰ παιδιά των γεννῶνται ἀφοῦ σχίσουν τὴν μήτραν καὶ σπάσουν τὰ πλευρά, ἔτσι συμβαίνει καὶ εἰς τὴν περίπτωσιν τῶν δόλων καὶ τῆς ἀδικίας. Ἀλλὰ καὶ ἂν ἀκόμη διατυπώσωμεν ἀμετρήτους λογομαχίας, δὲν θὰ ἠμπορέσωμεν νὰ παραστήσωμεν μὲ τὸν λόγον τὸν φοβερὸν πόνον ποὺ ὑπομένουν οἱ κακοί. Διὰ τοῦτο καὶ κάποιος λέγει· «Ὁ δὲ κακὸς μόνος του θὰ ὑπομείνῃ τὰ κακά». Διότι τί ὑπάρχει φοβερώτερον καὶ πιὸ ἀνυπόφορον ἀπὸ ἐκεῖνον ποὺ φθονεῖ, ποὺ ἐπιβουλεύεται τὸν πλησίον του, ποὺ ποθεῖ τὰ ξένα πράγματα; Αὐτὰ τὰ πάθη κατακομματιάζουν τὴν ψυχὴν φοβερώτερα ἀπὸ ὁποιονδήποτε δήμιον.

14. Ὥστε πολὺ εὔλογα ὠνόμασεν ὠδῖνας τοὺς λογισμοὺς αὐτοῦ τοῦ εἴδους. Ἀλλ' ὅπως ἀκριβῶς αἱ γυναῖκες γεννοῦν μετὰ ἀπὸ συνουσίαν μὲ τὸν ἄνδρα, καὶ ἂν μὲν εἶναι ὑγιῆ τὰ σώματα, τέτοια φυσικὸν εἶναι νὰ εἶναι καὶ ἐκεῖνα ποὺ γεννῶνται, ἂν δὲ εἶναι ἄρρωστα τὰ τέκνα κληρονομοῦν τὴν ἀρρώστιαν τῶν γονέων, ἔτσι συμβαίνει καὶ μὲ τοὺς λογισμούς. Ἐὰν μὲν συναναστρέφεσαι καλοὺς ἀνθρώπους, τέτοια θὰ εἶναι καὶ αὐτὰ ποὺ προκύπτουν ἀπὸ αὐτὴν τὴν συναναστροφήν, ἂν ὅμως συναναστρέφεσαι κακοὺς καὶ δὲν προσέχῃς, θὰ εἶναι μεγάλη ἡ

ἐκεῖθεν λήψῃ τὴν λύμην. Ἄκουσον γοῦν ὁ προφήτης τί φησιν· «Ἀπὸ τοῦ φόβου σου ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν πνεῦμα σωτηρίας». Ἐπὶ δὲ τῶν ἐκ τοῦ διαβόλου· «Ὠὰ ἀσπίδων ἔρρηξαν, καὶ ἱστὸν ἀράχνης ὑφαίνουσι». Φεύγωμεν τοίνυν τοὺς πονηρούς. Πῶς γὰρ οὐκ ἄτοπον, ἐξὸν ἀπὸ τῶν τοῦ Θεοῦ προσταγμάτων καὶ συλλαβεῖν καὶ τεκεῖν, μὴ βούλεσθαι, ἀλλὰ τὰς τῶν πονηρῶν συνουσίας διώκειν, ταὐτὸν ποιοῦντας ὥσπερ ἂν γυναῖκα, ἔχουσαν ἐξουσίαν βασιλεῖ συναφθῆναι, μὴ ἀνέχεσθαι, ἀλλ' ἀντ' ἐκείνου λῃστὴν καὶ τοιχωρύχον αἱρεῖσθαι λαβεῖν σύνοικον;

«Λάκκον ὤρυξε, καὶ ἀνέσκαψεν αὐτόν, καὶ ἐμπεσεῖται εἰς βόθρον, ὃν εἰργάσατο». Πάλιν ταῖς μεταφοραῖς κέχρηται, ὥσπερ διὰ τῆς ὠδῖνος τὸν πόνον δηλῶν, οὕτω διὰ τοῦ λάκκου τὸ δυσαπάλλακτον ἐνδεικνύμενος. «Καὶ ἐμπεσεῖται εἰς βόθρον, ὃν εἰργάσατο». Ὅπερ ἕτερός φησιν· «Ὁ ὀρύσσων βόθρον τῷ πλησίον αὐτοῦ, ἐμπεσεῖται εἰς αὐτόν». Καὶ τοῦτο δὲ τῆς τοῦ Θεοῦ φιλανθρωπίας, τὸ τοιαύτην συγκληρῶσαι τῇ ἐπιβουλῇ τὴν φύσιν, ὥστε εἰς τοὺς ἐπιβουλεύοντας περιτρέπεσθαι τὰ δίκτυα, ἵνα καὶ ἐντεῦθεν ἀποστῶσι τῆς κατὰ τοῦ πλησίον μάχης καὶ μηχανῆς. Τοῦτο καὶ ἐπὶ τοῦ Μωϋσέως γέγονεν. Ὁ μὲν γὰρ μέλλων ἀναιρεῖσθαι διεσώθη, ὁ δὲ Φαραὼ διὰ τῆς ὁδοῦ, ἧς κατὰ τῶν παίδων ἐμηχανήσατο, δι' αὐτῆς ἀπώλετο. Κελεύσας γὰρ ἀναιρεῖσθαι τὰ παιδία, ἠνάγκασε τὴν μητέρα Μωϋσέως ἔκθετον διὰ τὸ δέος ποιῆσαι τὸ βρέφος· καὶ ἀπὸ τοῦ ποταμοῦ ἀνελομένη τὴν θήγην ἡ θυγάτηρ τοῦ Φαραώ,

80. Ἡσ. 26, 18.
81. Ἡσ. 59, 5.

καταστροφή σου άπό αύτό τό πρᾶγμα. Ἄκουσε λοιπόν τί λέγει ὁ προφήτης. «Κυριευμένοι ἀπό τόν ἱερόν φόβον σου ἐσυλλάβαμεν εἰς τήν κοιλίαν μας καί ἐδοκιμάσαμεν φοβερούς πόνους καί ἐγεννήσαμεν πνεῦμα σωτηρίας»[80]. Διά δέ τούς λογισμούς πού πηγάζουν ἀπό τόν διάβολον, λέγει· «Αὐτοί ἐπώασαν καί ἔσπασαν αὐγά ἀσπίδων καί ὑφαίνουν ἱστόν ἀράχνης»[81]. Ἄς ἀποφεύγωμεν λοιπόν τούς κακούς. Διότι πῶς δέν εἶναι παράλογον, ἐνῷ εἶναι δυνατόν ἀπό τάς ἐντολάς τοῦ Θεοῦ καί νά συλλάβωμεν καί νά γεννήσωμεν, νά μή θέλωμεν, ἀλλά νά ἐπιδιώκωμεν τάς συναναστροφάς μέ τούς κακούς, κάμνοντες τό ἴδιο μέ μίαν γυναῖκα, πού, ἐνῷ ἠμπορεῖ νά ὑπανδρευθῇ βασιλέα, νά μή δέχεται, ἀλλά νά προτιμᾷ νά λάβῃ ὡς σύζυγον ἀντί ἐκείνου ἕνα ληστήν καί κλέπτην;

«Ἔσκαψε καί ἤνοιξε λάκκον καί τόν ἐσκέπασεν ἀπό ἐπάνω, ἀλλ' ὁ ἴδιος θά πέσῃ εἰς τόν βόθρον πού ἔκαμε». Πάλιν χρησιμοποιεῖ τάς μεταφοράς καί ὅπως ἀκριβῶς μέ τήν ὠδῖνα τοῦ τοκετοῦ δηλώνει τόν πόνον, ἔτσι καί μέ τόν λάκκον δείχνει τό δύσκολον τῆς ἀπαλλαγῆς ἀπό τήν κακίαν. «Καί θά πέσῃ μέσα εἰς τόν βόθρον πού ἔκαμε». Αὐτό τό ἴδιο ἄλλος τό λέγει ὡς ἑξῆς· «Ἐκεῖνος πού σκάπτει λάκκον διά τόν πλησίον του, θά πέσῃ ὁ ἴδιος εἰς αὐτόν». Καί αὐτό εἶναι δεῖγμα τῆς φιλανθρωπίας τοῦ Θεοῦ, τό ὅτι συνένωσε τήν ἐπιβουλήν μέ τήν ἀνθρωπίνην φύσιν ἔτσι, ὥστε τά δίκτυα νά καταντοῦν νά τυλίγουν ἐκείνους πού ἐπιβουλεύονται τούς ἄλλους, διά νά σταματήσουν ἐξ αἰτίας αὐτοῦ τήν μάχην καί τήν μηχανορραφίαν ἐναντίον τοῦ πλησίον των. Αὐτό συνέβη καί μέ τόν Μωϋσῆν. Διότι ἐκεῖνος πού ἐπρόκειτο νά φονευθῇ, διεσώθη, ἐνῷ ὁ Φαραώ ὡδηγήθη εἰς τήν ἀπώλειαν διά τῆς ὁδοῦ ἐκείνης πού ἐμηχανεύθη ἐναντίον τῶν παιδιῶν. Μέ τό νά δώσῃ δηλαδή ἐντολήν νά φονευθοῦν τά παιδιά, ἠνάγκασε τήν μητέρα τοῦ Μωϋσέως νά ἐγκαταλείψῃ ἀπό τόν φόβον της τό βρέφος, ἡ δέ θυγατέρα τοῦ Φαραώ ἀφοῦ ἀνέσυρε

καὶ εὑροῦσα τὸ βρέφος ἀνέθρεψε, καὶ αὐξηθεὶς ἐκεῖνος πάντας ἀπώλεσεν. Ἐντεῦθεν καὶ ἡ εὐμηχανία τοῦ Θεοῦ μάλιστα διαλάμπει καὶ τοῖς πονηροῖς πολὺς ὁ σωφρονισμός, καὶ τοῖς διαφεύγουσιν ἡ ἡδονή.

Οὕτω καὶ ἐπὶ τοῦ παγκάλου Ἰωσὴφ γέγονεν. Ἐμβαλόντες γὰρ αὐτὸν εἰς δουλείαν οἱ ἀδελφοί, ἔπαθον ἅπερ ἔπαθον, καὶ τὸν μὲν ἔβλαψαν οὐδέν, ἀλλὰ καὶ ὤνησαν, αὐτοὶ δὲ τὴν τραγῳδίαν ἐκείνην ὑπέμειναν. Καὶ πολλὰ τοιαῦτα λέγειν ἐξόν, σκόπει καὶ ἐπὶ τῶν ἄλλων. Ἐπλεονέκτησέ τις; Ἑαυτὸν ἀπώλεσε. Τὸν μὲν γὰρ πλεονεκτηθέντα πολλάκις καὶ ὤνησε, τὴν δὲ ἑαυτοῦ ψυχὴν προύδωκεν. Ἠδίκησέ τις; Ἑαυτῷ τὸ ξίφος περιέπειρεν. Οὐ γὰρ τὸ παθεῖν κακῶς, ἀλλὰ τὸ ποιῆσαι κακῶς, τοῦτο μάλιστά ἐστι τὸ πάσχειν κακῶς. Διὰ τοῦτο καὶ Παῦλος παρῄνει μᾶλλον ἀδικεῖσθαι, καὶ μὴ ἀδικεῖν· καὶ ὁ Χριστός, ῥαπίζεσθαι καὶ μὴ ἀντιρραπίζειν, ἀλλὰ καὶ παρέχειν ἑαυτὸν εἰς τὸ πάσχειν. Τοῦτο μεγίστης ἰσχύος, τοῦτο ὑπομονὴν ἐργάζεται, τοῦτο ἰσχυρὰν τὴν ψυχὴν κατασκευάζει, τοῦτο τῶν παθῶν ἀνώτερον ποιεῖ. Ὁ γὰρ ἀδικῶν ἕτερον, ἢ τύπτων, ἢ ὑβρίζων, πρότερον αὐτὸς ὑπὸ τοῦ πάθους χειρωθείς, καὶ αἰχμάλωτος γενόμενος, τότε δοκεῖ τὸν πλησίον ἀδικεῖν· αὐτὸς δὲ χαλεπώτερα πέπονθε, τὴν ἐσχάτην δουλείαν δουλεύσας.

«Ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται». Καὶ περὶ τοῦ Ἀχιτόφελ καὶ περὶ τοῦ Ἀβεσσαλὼμ ταῦτα εἰρῆσθαί φασιν·

. . . .

. . . .

. . . .

82. Ματθ. 5, 39.

τὸ καλάθι ἀπὸ τὸν ποταμὸν καὶ ηὗρε τὸ βρέφος, τὸ ἀνέθρεψε, καὶ ἐκεῖνος ἀφοῦ ἐμεγάλωσε κατέστρεψεν ὅλους. Μὲ αὐτὸ τὸ γεγονὸς καὶ διαλάμπει κατ' ἐξοχὴν ἡ σοφία τοῦ Θεοῦ πρὸς ἐξεύρεσιν τρόπων καὶ σωφρονίζονται πάρα πολὺ οἱ κακοὶ καὶ νοιώθουν μεγάλην εὐχαρίστησιν ἐκεῖνοι ποὺ διαφεύγουν τὰ κακά.

Τὸ ἴδιο συνέβη καὶ μὲ τὸν πάγκαλον Ἰωσήφ. Διότι, ἀφοῦ τὸν ἐπώλησαν ὡς δοῦλον, ἔπαθον ἐκεῖνα ποὺ ἔπαθον, καὶ ἐκεῖνον μὲν δὲν τὸν ἔβλαψαν καθόλου, ἀντίθετα μάλιστα καὶ τὸν ὠφέλησαν, οἱ ἴδιοι ὅμως ὑπέμειναν τὴν τραγωδίαν ἐκείνην. Καὶ πολλὰ παρόμοια εἶναι δυνατὸν ν' ἀναφέρωμεν, σκέψου δὲ καὶ τὰ ἑξῆς. Εἶναι κάποιος πλεονέκτης. Ὡδήγησε τὸν ἑαυτόν του εἰς τὴν ἀπώλειαν. Διότι ἐκεῖνον μὲν ποὺ τοῦ ἥρπαξε τὰ ὑπάρχοντά του, πολλὲς φορὲς καὶ τὸν ὠφέλησε, ἐνῷ τὴν ψυχήν του τὴν ἐπρόδωσεν. Ἠδίκησε κάποιος; Εἰς τὸν ἑαυτόν του ἐβύθισε τὸ ξίφος. Διότι αὐτὸ κατ' ἐξοχὴν εἶναι κακοπάθημα, ὄχι τὸ νὰ δέχεται κανεὶς κακοπαθήματα, ἀλλὰ τὸ νὰ προκαλῇ κακοπαθήματα. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἐσυμβούλευε νὰ προτιμᾷ κανεὶς ν' ἀδικῆται, παρὰ νὰ ἀδικῇ. Καὶ ὁ Χριστὸς ἔδιδεν ἐντολὴν νὰ δέχεται κανεὶς ῥάπισμα καὶ νὰ μὴ ἀνταποδίδῃ ῥάπισμα[52], ἀλλὰ καὶ νὰ παρέχῃ τὸν ἑαυτόν του εἰς κακοπαθήματα. Αὐτὸ εἶναι δεῖγμα μεγίστης δυνάμεως, αὐτὸ δημιουργεῖ ὑπομονήν, αὐτὸ κάμνει τὴν ψυχὴν ἰσχυράν, αὐτὸ κάμνει τὸν ἄνθρωπον ἀνώτερον ἀπὸ τὰ πάθη. Διότι ἐκεῖνος ποὺ ἀδικεῖ ἄλλον, ἢ τὸν κτυπᾷ ἢ τὸν ὑβρίζει, αὐτὸς προηγουμένως ἀφοῦ δουλωθῇ ἀπὸ τὸ πάθος καὶ γίνῃ αἰχμάλωτος αὐτοῦ, τότε νομίζει ὅτι ἀδικεῖ τὸν πλησίον του· ὁ ἴδιος ὅμως ἔπαθε χειρότερα, ὑποδουλώσας τὸν ἑαυτόν του εἰς τὴν πιὸ χειροτέραν δουλείαν.

«Θὰ ἐπιστρέψῃ τὸ κακὸν αὐτό, ποὺ μὲ πόνον ἡτοίμασε, καὶ θὰ πέσῃ εἰς τὴν κεφαλήν του καὶ θὰ κατεβῇ εἰς τὴν κορυφὴν τοῦ σώματός του ἡ ἀδικία». Αὐτά, λέγουν, ὅτι ἔχουν λεχθῇ καὶ διὰ τὸν Ἀχιτόφελ καὶ διὰ τὸν Ἀβεσ-

ἀμφοτέρων γὰρ ἡ κεφαλὴ εἰς τιμωρίαν κατέβη. Ὁ μὲν γαρ ἀγχόνῃ χρησάμενος, οὕτω τὸν βίον κατέλυσεν· ἐκεῖνος δὲ ἀπὸ τὸ δένδρον ἐλθών, καὶ ἐξαρτηθεὶς ὑπὸ τῆς κόμης, πολὺν ἐκρέματο χρόνον. Οὕτω καὶ Ἰούδας ἀγχόνῃ τὸν βίον κατέλυσεν, εἰδὼς ὅτι ἐπὶ κακῷ τῆς αὐτοῦ κεφαλῆς πάντα εἰργάσατο. Καὶ ὁ Ἀχιτόφελ νοήσας ὅτι πάντως περιέσται ὁ Δαυίδ, ἀπελθὼν ἀπήγξατο· καὶ ὁ Ἀβεσσαλὼμ ἄκων ἐκρέματο, και οὐκ εὐθέως ἀνῃρεῖτο, ἀλλ' ὥσπερ ἐν δικαστηρίῳ πρότερον ἀνηρτήθη, καὶ τῷ ξύλῳ προσηλώθη, καὶ τοῦ Θεοῦ τὴν ψῆφον ἄνωθεν φέροντος, ἐπὶ πολὺν ἐκρέματο χρόνον, ὑπὸ τοῦ συνειδότος λοιπὸν μαστιζόμενος. Αὐτὸς μὲν γὰρ ἐπεθύμει τὴν δεξιὰν τῷ λαιμῷ βαπτίσαι τῷ πατρικῷ, ὁ δὲ πατὴρ καὶ οὕτω φείσασθαι αὐτοῦ παρῄνει τοῖς στρατιώταις. Καὶ οὕτως οὐκ ἦν κενοδοξίας τὸ λεγόμενον, ὅτι καὶ μετὰ θάνατον ἀποδύρεται.

Καὶ ἵνα μάθῃς ὅτι οὐκ ἀνθρωπίνης ἦν σπουδῆς τὸ γινόμενον, ἀλλ' ὅλον θεῖον ἦν τὸ δικαστήριον, τρίχες καὶ ξύλον αὐτὸν ἔδησαν, καὶ ζῶον ἄλογον παρέδωκε, καὶ ἀντὶ μὲν σχοινίου ἡ κόμη, ἀντὶ δὲ ξύλου τὸ δένδρον γέγονεν, ἀντὶ δὲ στρατιώτου προήγαγεν αὐτὸν ἡ ἡμίονος. Καὶ σκόπει τὸ παράδοξον. Ταῦτα παθόντος, οὐδεὶς ἐτόλμησε προσελθεῖν τῶν αὐτοῦ, καὶ καθελεῖν αὐτόν, τοσαύτης γενομένης σχολῆς. Καὶ τοῦτο δὲ ὁ Θεὸς ᾠκονόμει, ὥστε μήτε καθαιρεθῆναι, μήτε δεδεμένον ἀπενεχθῆναι τῷ πατρί, ἐπειδὴ τὰ πατρικὰ σπλάγχνα πέρα τοῦ μέτρου τὴν φειδὼ ἐπεδείκνυντο· καὶ τὸ δὴ θαυμαστότερον, ὅτι ὁ καταλλάξας αὐτῷ τὸν πατέρα, οὗτος αὐτὸν

σαλώμ˙ διότι καὶ τῶν δύο ἡ κεφαλὴ ἐδέχθη τὴν τιμωρίαν. Καθ' ὅσον ὁ μὲν Ἀχιτὸφελ, ἀφοῦ ἐχρησιμοποίησεν ἀγχόνην, ἔτσι ἐτερμάτισε τὴν ζωήν του, ἐνῷ ὁ Ἀβεσσαλώμ, ἐλθὼν κάτω ἀπὸ τὸ δένδρον καὶ περιπλακεῖσα ἡ κόμη του ἀπὸ τὰ κλαδιά, ἔμεινεν ἐκεῖ κρεμασμένος πολὺν χρόνον. Ἔτσι καὶ ὁ Ἰούδας μὲ ἀγχόνην ἐτερμάτισε τὴν ζωήν του, ἀντιληφθεὶς ὅτι ὅλα τὰ ἔκαμε διὰ τὸ κακὸν τῆς κεφαλῆς του. Καὶ ὁ Ἀχιτόφελ ἀντιληφθεὶς ὅτι θὰ ὑπερισχύσῃ ὁπωσδήποτε ὁ Δαυίδ, ἔφυγε καὶ ἐπῆγε καὶ ἐκρεμάσθη. Καὶ ὁ Ἀβεσσαλὼμ ἐκρεμάσθη χωρὶς τὴν θέλησίν του, καὶ δὲν ἀπέθανεν ἀμέσως, ἀλλ' ὅπως ἀκριβῶς συμβαίνει εἰς δικαστήριον, προηγουμένως ἐκρεμάσθη καὶ ἐκαρφώθη εἰς τὸ δένδρον, καὶ δεχθεὶς τὴν καταδικαστικὴν ἀπόφασιν τοῦ Θεοῦ, ἔμεινεν ἐκεῖ κρεμασμένος ἐπὶ πολὺν χρόνον, βασανιζόμενος καὶ ἀπὸ τὴν συνείδησίν του. Αὐτὸς δηλαδὴ ἐπιθυμοῦσε νὰ βυθίσῃ τὸ δεξί του χέρι εἰς τὸν λαιμὸν τοῦ πατέρα του, ἐνῷ ὁ πατέρας του ἀκόμη καὶ ἔτσι ἐπαρακαλοῦσε τοὺς στρατιώτας του νὰ τὸν λυπηθοῦν. Καὶ ἐπομένως δὲν τὸ κάνει ἀπὸ ματαιοδοξίαν τὸ ὅτι λέγει ὅτι θρηνεῖ μετὰ τὸν θάνατόν του.

Καὶ διὰ νὰ μάθῃς ὅτι αὐτὸ ποὺ συνέβη δὲν ἦτο ἀνθρωπίνη ἐνέργεια, ἀλλ' ἦτο ἀποτέλεσμα τῆς θείας δικαιοσύνης, τρίχες καὶ κλαδιὰ δένδρου τὸν ἔδεσαν καὶ ὅτι τὸν παρέδωσε ζῶον ἄλογον, καὶ ἔγιναν ἀντὶ σχοινίου τὰ μαλλιά του, ἀντὶ ξύλου τὸ δένδρον, καὶ ἀντὶ στρατιώτου τὸν ὡδήγησεν ἡμίονος. Καὶ πρόσεχε τὸ παράδοξον. Ἂν καὶ ἔπαθεν αὐτά, κανεὶς δὲν ἐτόλμησεν ἀπὸ τοὺς ἰδικούς του νὰ τὸν πλησιάσῃ καὶ νὰ τὸν ξεκρεμάσῃ, ἂν καὶ ἔμειναν ἐκεῖ τόσον πολὺν χρόνον. Καὶ αὐτὸ δέ τὸ ἐρρύθμισεν ἔτσι ὁ Θεός, ὥστε οὔτε νὰ καθαιρεθῇ οὔτε νὰ ὁδηγηθῇ δεμένος εἰς τὸν πατέρα του, ἐπειδὴ τὰ πατρικὰ σπλάγχνα ἐξεδήλωναν τὰν λύπην των πέραν τοῦ μέτρου˙ καὶ τὸ πιὸ θαυμαστὸν βέβαια εἶναι, ὅτι ἐκεῖνος ποὺ τὸν ἐσυμφιλίωσε μὲ τὸν πατέρα του αὐτὸς τὸν ἐφόνευε, γενόμενος σφο-

ἀνῄρει, μονονουχὶ κατήγορος σφοδρὸς ἐπιστάς· ἀλλ' ἀνῄρει μὲν οὗτος, ἐψηφίζετο δὲ ὁ Θεός.

15. Ὅτι γὰρ ἄνωθεν ἡ ψῆφος κατεφέρετο, ἄκουσον αὐτοῦ τοῦτο πῶς παρέστησε· εἰπὼν γάρ, «Ἐπὶ κορυφὴν ἡ ἀδικία αὐτοῦ καταβήσεται», φησίν· «Ἐξομολογήσομαι τῷ Κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου». Εὐχαριστήσωμεν, φησίν, οὐ ταῖς ἑτέρων χαίρων σφαγαῖς, ἀλλὰ τοῦ Θεοῦ τὴν ψῆφον ἀποδεχόμενος. Καὶ τίς δύναται αὐτῷ εὐχαριστῆσαι κατὰ τὴν δικαιοσύνην αὐτοῦ; τίς δὲ αὐτὸν αἰνέσει, ὡς ἔστιν; Οὐδείς. Τί ἐστι, «Κατὰ τὴν δικαιοσύνην αὐτοῦ»; Ἀντὶ τοῦ, 'ἐπὶ δικαιοσύνῃ αὐτοῦ'. Καὶ ᾄσω τῷ Κυρίῳ τῷ ὑψίστῳ. Αὐτοῦ γάρ ἐστι τὰ νικητήρια, αὐτοῦ τὰ τρόπαια, οὐκ ἐμά. Καθάπερ γὰρ ἐπὶ τῶν πολέμων, βασιλέως νικήσαντος, χοροὺς στήσαντες ᾄδουσιν, εἰς ἐκεῖνον τὰς εὐφημίας ἀναφέροντες· οὕτω κἀγὼ ποιήσω, φησί. Διὰ τοῦτο, οὐκ εἶπεν, 'ἐξομολογοῦμαι', ἀλλ' «Ἐξομολογήσομαι», δηλῶν, ὅτι οὐδὲ μετὰ τὸ τυχεῖν τῶν ἀγαθῶν ἐπιλανθάνεται, οὐδὲ γίνεται ῥαθυμότερος, ἀλλὰ νήφει καὶ ἐγρήγορεν· οὐκ ἐπειδὴ ὁ Θεὸς τούτου δεῖται, ἀλλ' ἐπειδὴ ἡμῖν τοῦτο χρήσιμον καὶ κερδαλέον. Ὥσπερ γὰρ θυσίας ἔλαβεν, οὐχὶ δεόμενος θυσιῶν (Ἐὰν γὰρ πεινάσω, φησίν, οὐ μή σοι εἴπω), ἀλλ' ἐνάγων τοὺς ἀνθρώπους εἰς τὴν αὐτοῦ τιμήν, οὕτω καὶ ὕμνους δέχεται, οὐ δεόμενος τῆς παρ' ἡμῶν εὐφημίας, ἀλλ' ἐπιθυμῶν τῆς ἡμῶν σωτηρίας. Θεῷ γὰρ περισπούδαστον ἡμῶν ἐπίδοσις ἡ κατ' ἀρετήν. Οὐδὲν δὲ οὕτως ἐπιδιδόναι ποιεῖ εἰς ἀρετὴν ὡς τὸ συνεχῶς ὁμιλεῖν Θεῷ καὶ διηνεκῶς εὐχα-

δρὸς κατήγορος αὐτοῦ· ἀλλὰ τὸν ἐφόνευε μὲν αὐτός, τὸ ἀπεφάσιζεν ὅμως ὁ Θεός.

15. Τό ὅτι λοιπὸν ἡ ἀπόφασις ἐλαμβάνετο ἀπὸ τὸν Θεόν, ἄκουσε αὐτὸν πῶς τό ἐπαρουσίασεν αὐτό· διότι, ἀφοῦ εἶπε, «Θὰ κατεβῆ ἡ ἀδικία του εἰς τὴν κεφαλήν του», λέγει εἰς τὴν συνέχειαν· «Θὰ ὑμνήσω καὶ θά δοξάσω τὸν Κύριον σύμφωνα μὲ τὴν δικαιοσύνην ποὺ ἔδειξε δι' ἐμένα, καὶ θὰ ψάλω εἰς τὸ ὄνομα τοῦ Κυρίου τοῦ ὑψίστου ὕμνον εὐχαριστίας». Ἂς εὐχαριστήσωμεν, λέγει, ὄχι ἐπειδὴ χαίρομαι μὲ τὰς σφαγὰς τῶν ἄλλων, ἀλλ' ἐπειδὴ ἀποδέχομαι τὴν ἀπόφασιν τοῦ Θεοῦ. Καὶ ποῖος ἠμπορεῖ νὰ εὐχαριστήσῃ αὐτὸν σύμφωνα μὲ τὴν δικαιοσύνην του; Ποῖος θὰ τὸν ἐξυμνήσῃ ἐπαξίως; Κανείς. Τί σημαίνει, «Κατὰ τὴν δικαιοσύνην αὐτοῦ»; Λέγεται ἀντὶ τοῦ, 'διὰ τὴν δικαιοσύνην αὐτοῦ'. Καὶ θὰ ἐξυμνήσω τὸν Κύριον τὸν ὕψιστον. Διότι εἰς αὐτὸν ἀνήκουν τὰ νικητήρια, ἰδικά του εἶναι τὰ τρόπαια καὶ ὄχι ἰδικά μου. Διότι ὅπως ἀκριβῶς κατὰ τοὺς πολέμους, ὅταν νικήσῃ ὁ βασιλεύς, ἀφοῦ στήσουν χορούς, τραγουδοῦν, ἀποδίδοντες εἰς ἐκεῖνον τὰς ἐπευφημήσεις· ἔτσι θὰ κάνω καὶ ἐγώ, λέγει. Διὰ τοῦτο δὲν εἶπεν, 'τὸν εὐχαριστῶ', ἀλλά «Θὰ τὸν εὐχαριστήσω», διὰ νὰ δείξῃ, ὅτι δὲν τὸν λησμονεῖ μετὰ τὴν ἀπολαβὴν τῶν ἀγαθῶν, οὔτε γίνεται πιὸ ἀδιάφορος, ἀλλὰ συνεχίζει τὸ ἐνδιαφέρον του καὶ τὴν ἐπαγρύπνησίν του· ὄχι ἐπειδὴ τὸ ἔχει αὐτὸ ἀνάγκη ὁ Θεός, ἀλλ' ἐπειδὴ αὐτὸ εἶναι χρήσιμον δι' ἡμᾶς καὶ ὠφέλιμον. Διότι ὅπως ἀκριβῶς ἔλαβε θυσίας, ἂν καὶ δὲν ἐχρειάζετο θυσίας (Διότι λέγει, ἐὰν πεινάσω, δὲν θὰ σοῦ τὸ εἰπῶ), ἀλλὰ διὰ νὰ κάνῃ τοὺς ἀνθρώπους νὰ τὸν τιμήσουν, δέχεται καὶ ὕμνους, ὄχι ἐπειδὴ ἔχει ἀνάγκην ἀπὸ τὴν ἰδικήν μας δοξολογίαν, ἀλλ' ἐπειδὴ ἐπιθυμεῖ τὴν σωτηρίαν μας. Διότι περιπόθητον πρᾶγμα διὰ τὸν Θεόν εἶναι ἡ ἐπίδοσίς μας εἰς τὴν ἀρετήν. Τίποτε δὲ δὲν συντελεῖ τόσον πολὺ εἰς τὴν ἐπίδοσιν τῆς ἀρετῆς, ὅσον τὸ νὰ συνομιλῇ κανεὶς συνεχῶς μὲ τὸν Θεόν καὶ νὰ εὐχαριστῇ διαρκῶς

ριστεῖν καὶ ψάλλειν τῷ Θεῷ· ψάλλει δὲ τῷ Θεῷ, ἐκπληττόμενος αὐτοῦ τὴν δικαιοκρισίαν, τὴν μακροθυμίαν.

Καὶ ποῦ, φησίν, ἡ μακροθυμία, ἀναιρεθέντος τοῦ τυράννου; Πολλὴ μὲν οὖν καὶ μεγάλη. Καὶ γὰρ ἀφῆκεν αὐτὸν πολὺν χρόνον, ὥστε εἰς μετάνοιαν ἐλθεῖν· καὶ τὰ βασίλεια κατασχεῖν ἔδωκεν, ἵνα τὴν οἰκίαν ἰδών, εἰς ἣν ηὐξήθη καὶ ἐτράφη, καὶ τὰ τοῦ πατρὸς σύμβολα, εἰς μετάνοιαν ἔλθῃ. Εἰ γὰρ μὴ θηρίον ἦν καὶ λιθίνην εἶχε ψυχήν, ἱκανὰ πάντα ἐκεῖνα αὐτὸν ἐπαγαγεῖν· ἡ τράπεζα, καθ' ἣν ἐκοινώνει τῷ πατρί, ὁ οἶκος τὰ συνέδρια, ἔνθα οἱ λόγοι αὐτὸν κατήλλαξαν φόνον τοιοῦτον πεποιηκότα· μετὰ τούτων καὶ ἕτερα ἦν ἱκανὰ αὐτὸν μαλάξαι. Καὶ γὰρ ἤκουσεν ὅτι φυγὰς καὶ ἀλήτης περιήρχετο, ὅτι τὰ ἔσχατα ἔπασχε δεινά. Εἰ δὲ μὴ ταῦτα ἐμάλαττεν, ἔδει αὐτὸν τὰ τοῦ Ἀχιτόφελ σωφρονίσαι, τὴν ἀγχόνην, τὸν θάνατον, ὥστε διὰ πάντων ἐλθεῖν εἰς μετάνοιαν. Οὐδὲ γὰρ ἠγνόησε τὰ τοῦ φίλου. Τί δὲ καὶ ἔχων ἐγκαλεῖν τῷ πατρί, ταῦτα ἐποίει; Ὅτι ἐξ ὄψεως αὐτὸν πεποίηκεν; Ἀλλ' ἔδει διὰ τοῦτο καὶ θαυμάσαι καὶ ἀποδέξασθαι ὅτι ἀδελφοκτόνον γενόμενον ἡμέρως ἤνεγκεν. Ἀλλ' οὐδὲν ἔχων ἐγκαλεῖν, ἀλλ' ἐπιθυμίᾳ ἁλοὺς ἀκαίρῳ, καὶ ταῦτα λοιπὸν γέροντος ὄντος τοῦ πατρός, καὶ ἐπὶ θύραις τῆς προσδοκίας οὔσης, οὐκ ἀνέμεινεν οὐδὲ σμικρόν. Πῶς δὲ οὐκ ἐνενόησεν, ὅτι καὶ νικήσας πάντων ἀθλιώτερον ἕξει βίον, ἐναγὴς ὢν καὶ ἀκάθαρτος, καὶ ἀπὸ τοῦ τροπαίου;

καὶ νὰ δοξολογῇ τὸν Θεόν. Αὐτὸς δὲ δοξολογεῖ τὸν Θεὸν ἐπειδὴ ἐκπλήσσεται ἀπὸ τὴν δικαίαν κρίσιν του καὶ τὴν μακροθυμίαν του.

Καὶ ποῦ εἶναι, λέγει, ἡ μακροθυμία του, ἀφοῦ ἐφονεύθη ὁ τύραννος; Πράγματι εἶναι πολλὴ καὶ μεγάλη. Καθ' ὅσον τὸν ἄφησε ἐπὶ πολὺν χρόνον, ὥστε νὰ μετανοήσῃ· τὸν ἐπέτρεψε νὰ κυριεύσῃ τὰ ἀνάκτορα, ὥστε, βλέποντας τὴν οἰκίαν, εἰς τὴν ὁποίαν ἐμεγάλωσε καὶ ἀνετράφη, καὶ τὰ σύμβολα τοῦ πατέρα του, νὰ μετανοήσῃ. Διότι, ἐὰν δὲν ἦτο θηρίον καὶ δὲν εἶχε πέτρινην ψυχήν, ἦσαν ἀρκετὰ ὅλα ἐκεῖνα νὰ τὸν ὁδηγήσουν εἰς τὴν μετάνοιαν· ἡ τράπεζα, εἰς τὴν ὁποίαν ἐπικοινωνοῦσε μὲ τὸν πατέρα του, ἡ οἰκία, τὰ συνέδρια, ὅπου τὸν ἐσυμφιλίωσαν οἱ λόγοι ἂν καὶ διέπραξε τέτοιον φόνον, καὶ μαζὶ μὲ αὐτὰ καὶ ἄλλα ὑπῆρχαν ποὺ ἦσαν ἱκανὰ νὰ μαλακώσουν τὴν ψυχήν του. Καθ' ὅσον ἤκουσεν ὅτι περιεφέρετο ἐδῶ καὶ ἐκεῖ ὡσὰν φυγὰς καὶ ἀλήτης, ὅτι ὑπέφερε τὰ πιὸ χειρότερα κακά. Ἐὰν ὅμως αὐτὰ δὲν τὸν ἐμαλάκωναν, ἔπρεπε νὰ τὸν σωφρονίσουν τὰ παθήματα τοῦ Ἀχιτόφελ, ἡ ἀγχόνη αὐτοῦ, ὁ θάνατος, ὥστε μὲ ὅλα αὐτὰ νὰ ὁδηγηθῇ εἰς μετάνοιαν. Διότι ἐγνώριζε τὰ παθήματα τοῦ φίλου του. Διὰ ποῖο δὲ πρᾶγμα ἠμποροῦσε νὰ κατηγορήσῃ τὸν πατέρα του, διὰ τὸ ὁποῖο ἔκαμνεν αὐτά; Ἐπειδὴ ἐξ ὄψεως τὸν ἔκρινεν; Ἀλλ' ἔπρεπε δι' αὐτὸ νὰ τὸν θαυμάσῃ καὶ νὰ τὸν παραδεχθῇ, διότι ἂν καὶ ἔγινεν ἀδελφοκτόνος, ἐκεῖνος τὸ ὑπέφερεν αὐτὸ μὲ ἠρεμίαν. Ὅμως διὰ τίποτε ἄλλον δὲν ἠμποροῦσε νὰ τὸν κατηγορήσῃ, ἀλλὰ κυριευθεὶς ἀπὸ παράκαιρον ἐπιθυμίαν, καὶ ὅλα αὐτὰ τὴν στιγμὴν ποὺ πλέον ὁ πατέρας του ἦτο γέρων καὶ ἡ ἐλπὶς διὰ τὴν ἀνάληψιν τῆς ἐξουσίας εὑρίσκετο πρὸ τῆς θύρας, δὲν ἐπερίμενεν οὔτε δι' ὀλίγον. Πῶς δὲ δὲν ἐσκέφθη, ὅτι καὶ ἂν ἀκόμη νικήσῃ θὰ εἶναι ἡ ζωή του ἀθλιωτέρα ἀπὸ τὴν ζωὴν ὅλων, ἀφοῦ θὰ εἶναι βδελυρὸς καὶ ἀκάθαρτος καὶ ἀπὸ τὸ ἴδιο τὸ τρόπαιον τῆς νίκης;

16. Ποῦ νῦν εἰσιν οἱ πενίαν ὀδυρόμενοι; Πόσης ταῦτα πενίας οὐ χαλεπώτερα; πόσης νόσου; πόσης ὀδύνης; Οὐκ εἶπεν οὐδὲν τοιοῦτον πρὸς ἑαυτόν, ἀλλ' οὐδὲ ἀπεδυσπέτησεν, οὐδὲ ἐθρήνησε λέγων· καλάς γε ἀπολαμβάνω τὰς ἀμοιβάς, ὁ ἐν τῷ νόμῳ αὐτοῦ μελετῶν ἡμέρας καὶ νυκτός, ὁ ἐν ἀξιώματι τοιούτῳ, πάντων γενόμενος ταπεινότερος· ὁ τῶν ἐχθρῶν φεισάμενος, εἰς χεῖρας ἀκολάστου παιδὸς ἐξεδόθην. Οὐδὲν τοιοῦτον οὐκ εἶπεν, οὐκ ἐνενόησεν, ἀλλ' ἔφερεν ἅπαντα μετὰ φιλοσοφίας, μίαν ἔχων παραμυθίαν ἐν τοῖς γινομένοις, τὸ τοῦ Θεοῦ ταῦτα εἰδότος γίνεσθαι. Καθάπερ καὶ οἱ τρεῖς παῖδες ἔλεγον· «Καὶ ἐὰν μή γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν»· εἰ δέ τις εἶπε πρὸς αὐτούς· καὶ ποίᾳ ἐλπίδι ἀποθνήσκετε; τί προσδοκῶντες, τί δὲ ἐλπίζοντες μετὰ τὸν θάνατον, μετὰ τὸ πῦρ (οὐδέπω γὰρ τῆς ἀναστάσεως ἦν ἡ προσδοκία); ἤκουσεν ἂν ὅτι αὕτη μεγίστη ἡμῖν ἀντίδοσις, τὸ διὰ Θεὸν ἀποθανεῖν. Οὕτω καὶ αὐτὸς μεγίστην ταύτην ἡγεῖτο παραμυθίαν, τὸ τὸν Θεὸν εἰδότα ταῦτα μὴ κωλύειν. Καὶ γὰρ ἐραστὴς μυριάκις ἂν ἕλοιτο ὑπὲρ ἐρωμένης κατασφαγῆναι, καίτοι οὐδὲν μετὰ θάνατον προσδοκῶν παρ' ἐκείνης.

Οὕτω δὴ καὶ ἡμᾶς δεῖ, μὴ βασιλείας προσδοκίᾳ, μηδὲ ἄλλη τινὶ τῶν μελλόντων ἀγαθῶν ἐλπίδι, ἀλλὰ καὶ δι' αὐτὸν τὸν Θεὸν πάντα πάσχειν. Ἀλλ' οὕτως εἰσὶ πολλοὶ καὶ ἔτι ἀναπεπτωκότες, καὶ νωθροί, ὅτι οὐδὲ μετὰ μισθοῦ τῆς ἀρετῆς ἐφίενται. Καὶ ὁ μὲν Θεὸς καὶ βασιλείαν ἐπαγγελλόμενος, οὐκ

16. Ποῦ εἶναι λοιπὸν ἐκεῖνοι ποὺ θρηνοῦν διὰ τὴν πτωχείαν των; Ἀπὸ ποίαν πτωχείαν αὐτὰ δὲν εἶναι χειρότερα; ἀπὸ ποίαν ἀσθένειαν; ἀπὸ ποῖον πόνον; Δὲν εἶπε τίποτε παρόμοιον πρὸς τὸν ἑαυτόν του, ἀλλ' οὔτε ἔχασε τὴν ἐλπίδα του, οὔτε ἐθρήνησε καὶ εἶπε· Ἀπολαμβάνω καλὰς ἀμοιβὰς ἐγὼ ποὺ μελετῶ νύκτα καὶ ἡμέραν τὸν νόμον αὐτοῦ, ἐγὼ ποὺ εὑρισκόμουν εἰς τόσον ὑψηλὸν ἀξίωμα, τώρα νὰ καταντήσω ταπεινότερος ἀπὸ ὅλους· ἐγὼ ποὺ ἐλυπήθην τοὺς ἐχθρούς μου, παρεδόθην εἰς τὰ χέρια ἀκολάστου παιδιοῦ. Τίποτε παρόμοιον δὲν εἶπεν οὔτε ἐσκέφθη, ἀλλ' ὑπέμενεν ὅλα μὲ φιλοσοφικότητα, ἔχων μίαν παρηγορίαν διὰ τὰ ὅσα συνέβαιναν, ὅτι αὐτὰ ἐγίνοντο ἐπειδὴ τὸ ἐπέτρεπεν ὁ Θεός. Ὅπως ἀκριβῶς καὶ τὰ τρία παιδιὰ ἔλεγον· «Καὶ ἂν αὐτὸ δὲν συμβῇ, μάθε, βασιλεῦ, ὅτι ἡμεῖς δὲν λατρεύομεν τοὺς θεούς σου καὶ δὲν προσκυνοῦμεν τὸ χρυσὸν ἄγαλμα ποὺ ἔστησες»[83]. Ἐὰν δὲ κάποιος ἔλεγε πρὸς αὐτά· καὶ μὲ ποίαν ἐλπίδα πεθαίνετε; τί περιμένετε, τί ἐλπίζετε μετὰ τὸν θάνατον, μετὰ τὸ πῦρ (διὸ δὲν ὑπῆρχεν ἀκόμη ἡ ἐλπὶς τῆς ἀναστάσεως); θὰ ἦτο δυνατὸν ν' ἀκούσῃ, ὅτι αὐτὴ εἶναι ἡ πιὸ μεγάλη ἱκανοποίησις δι' ἡμᾶς, τὸ ὅτι πεθαίνομεν διὰ τὸν Θεόν. Ἔτσι καὶ αὐτὸς ἐθεωροῦσεν ὡς τὴν πιὸ μεγάλην παρηγορίαν αὐτήν, τὸ ὅτι δὲν τὰ ἐμποδίζει αὐτὰ ὁ Θεὸς ἂν καὶ τὰ γνωρίζει. Καθ' ὅσον ἕνας ἐραστὴς θὰ ἐπροτιμοῦσε μυριάκις νὰ σφαγῇ διὰ τὴν ἐρωμένην του, ἂν καὶ δὲν περιμένει τίποτε ἀπὸ ἐκείνην μετὰ τὸν θάνατόν του.

Ἔτσι λοιπὸν πρέπει καὶ ἐμεῖς νὰ κάμνωμεν, ὅλα τὰ κακὰ νὰ τὰ ὑπομένωμεν ὄχι μὲ τὴν ἐλπίδα διὰ τὴν οὐράνιον βασιλείαν, οὔτε μὲ κάποιαν ἄλλην ἐλπίδα διὰ τὰ μελλοντικὰ ἀγαθά, ἀλλὰ διὰ τὸν ἴδιον τὸν Θεόν. Καὶ ὅμως ὑπάρχουν πολλοὶ ποὺ ἀκόμη εἶναι δειλοὶ καὶ νωθροὶ καὶ ποὺ δὲν ἀσκοῦν τὴν ἀρετὴν οὔτε καὶ μὲ ἀμοιβήν. Καὶ ὁ μὲν Θεός, ἂν καὶ ὑπόσχεται βασιλείαν, δὲν εἰσακούεται, ἐνῷ ὁ διάβολος, ἂν καὶ γίνεται αἰτία τῆς γεέννης, ἀγαπᾶ-

ἀκούεται, ὁ δὲ διάβολος γέενναν προξενῶν, φιλεῖται. Τί ταύτης τῆς μανίας χαλεπώτερον; Καὶ τί λέγω γέενναν; Καὶ πρὸ τῆς γεέννης ἐνταῦθα ὀδύνην, καὶ αἰσχύνην καὶ γέλωτα ἐπάγων καὶ μυρίας κολάσεις, πολλοὺς ἔχει τοὺς προστρέχοντας. Ἐννόησον γοῦν τὸν μοιχόν, πῶς ἀθλιώτερον πάντων ζῇ, καὶ πρὸ τῆς γεέννης πάντα ὑποπτεύων, καὶ τὰς σκιὰς τρέμων, καὶ πρὸς οὐδένα ἐλευθέροις ἀντιβλέπων ὀφθαλμοῖς, ἀλλὰ πάντας δεδοικώς, τοὺς εἰδότας, τοὺς οὐκ εἰδότας, ξίφη βλέπων ἠκονημένα, θανάτους ἐπηρτημένους, δημίους, δικαστήρια. Τί τοιοῦτον ἡ σωφροσύνη ἔχει, κἂν μυρίους πόνους ἔχῃ; Οὐκ ἀεὶ ἐν ἡδονῇ ὁ σώφρων, ἀεὶ δὲ ἐν ὀδύνῃ ὁ μοιχός, καὶ ἐν σκότῳ;

Οὕτω καὶ ἐπὶ τῶν ἄλλων ἐστὶν ἰδεῖν τῶν ἡττωμένων ὀργῆς, καὶ τῶν κρατούντων ὀργῆς· τῶν ἁρπαζόντων, καὶ τῶν τὰ ἑαυτῶν διδόντων διὰ τὸν Θεόν, ἢ μᾶλλον εἰπεῖν προϊέντων. Οἱ μὲν γὰρ ἐν λιμένι κάθηνται, οἱ δὲ εἰς τὸν εὔριπον τῶν παρόντων ἐξενεχθέντες κακῶν, καθ' ἑκάστην περιέρχονται τὴν ἡμέραν. Χωρὶς δὲ τούτων, ὅταν ἡλικίαν προβαίνουσαν ὁ πλεονεξίᾳ συζῶν καὶ ἀκολασίαν οὐκ ἀρκοῦσαν αὐτῷ πρὸς ἀπόλαυσιν ἔχῃ, καὶ τοῦ θανάτου τὸν φόβον ἐπικείμενον, ἐννόησον οἷα πάσχει δεινά. Ἀλλ' οὐχ ὁ ἐν ἀρετῇ, ἀλλὰ τότε μᾶλλον χαίρει καὶ εὐφραίνεται, ὅταν εἰς γῆρας ἐλάσῃ, οὐ καταμαραινομένης αὐτῷ τῆς ἀπολαύσεως, ἀλλὰ μᾶλλον ἀνθούσης. Τοῖς μὲν οὖν μοιχοῖς, καὶ ἀκολάστοις, καὶ πλεονέκταις, καὶ γαστριμάργοις, ἔκπτωσις τῆς ἀπολαύσεως ἐκείνων

ται. Τί ὑπάρχει ἀπὸ αὐτὴν τὴν μανίαν φοβερώτερον. Καὶ διατί λέγω γέενναν; Ἂν καὶ πρὶν ἀπὸ τήν γέενναν προξενεῖ ἐδῶ πόνον, ἐντροπήν, γέλωτα καὶ ἀμετρήτους κολάσεις, ἔχει πολλοὺς ποὺ τὸν ἀκολουθοῦν. Σκέψου λοιπὸν τὸν μοιχόν, πῶς ζῇ ἀθλιώτερα ἀπὸ ὅλους, καὶ πρὶν ἀπὸ τὴν γέενναν ὅλα τὰ ὑποψιάζεται, τρέμει τὰς σκιάς, καὶ πρὸς κανένα δὲν βλέπει μὲ ἐλευθέρους τοὺς ὀφθαλμούς, ἀλλ' ὅλους τοὺς φοβεῖται, ἐκείνους ποὺ γνωρίζουν τὴν πρᾶξιν του καὶ ἐκείνους ποὺ δὲν τὴν γνωρίζουν, καὶ βλέπει ξίφη ἀκονισμένα, πεθαμένους κρεμασμένους, δημίους καὶ δικαστήρια. Τί παρόμοιον ἔχει ἡ σωφροσύνη, καὶ ἂν ἀκόμη συνοδεύεται ἀπὸ ἀμετρήτους πόνους; Δὲν εἶναι πάντοτε χαρούμενος ὁ σώφρων ἄνθρωπος, ἐνῷ ὁ μοιχὸς ζῇ πάντοτε μέσα εἰς τὴν στενοχώριαν καὶ εἰς τὸ σκότος;

Τὸ ἴδιο ἠμποροῦμεν νὰ ἰδοῦμεν νὰ συμβαίνῃ καὶ εἰς τοὺς ἄλλους, εἰς ἐκείνους ποὺ νικῶνται ἀπὸ τὴν ὀργὴν καὶ εἰς ἐκείνους ποὺ νικοῦν τὴν ὀργήν· εἰς ἐκείνους ποὺ ἁρπάζουν τὰ ὑπάρχοντα τῶν ἄλλων καὶ εἰς ἐκείνους ποὺ δίδουν καὶ τὰ ἰδικά των χάριν τοῦ Θεοῦ, ἢ καλύτερα νὰ εἰποῦμεν ποὺ προτίθενται νὰ δώσουν. Διότι οἱ μὲν ἐνάρετοι κάθονται ἀναπαυμένοι μέσα εἰς λιμάνι, ἐνῷ οἱ ἄλλοι περνοῦν τὴν κάθε ἡμέραν των ρίπτοντες τὸν ἑαυτόν των μέσα εἰς τὴν ἀβεβαιότητα τῶν κακῶν τῆς παρούσης ζωῆς. Ἐκτὸς δὲ ἀπὸ αὐτά, ὅταν προχωρήσῃ ἡ ἡλικία ἐκεῖνος ποὺ συζῇ μὲ τὴν πλεονεξίαν καὶ τὴν ἀκολασίαν καὶ δὲν τὸν ἱκανοποιεῖ πλέον αὐτὴ καὶ ὁ φόβος τοῦ θανάτου εὑρίσκεται ἐμπρός του, σκέψου ποῖα κακὰ πάσχει. Ὅμως δὲν συμβαίνει τὸ ἴδιο καὶ μὲ ἐκεῖνον ποὺ ζῇ ἐνάρετα, ἀλλὰ τότε περισσότερον χαίρεται καὶ εὐφραίνεται, ὅταν φθάσῃ εἰς τὰ γηρατειά, διότι δὲν κατομαραίνεται ἡ ἀπόλαυσις δι' αὐτόν, ἀλλ' ἀνθίζει περισσότερον. Εἰς μὲν λοιπὸν τοὺς μοιχούς, τοὺς ἀκολάστους, τοὺς πλεονέκτας καὶ τοὺς δούλους τῆς κοιλίας τὰ γηρατειὰ ὁδηγοῦν εἰς τὴν ἐλάττωσιν τῆς ἀπολαύσεως ἐκείνων ποὺ ἔγιναν δοῦλοι, ἐνῷ εἰς ἐκεί-

τὸ γῆρας, τοῖς δὲ ἀρετὴν μετιοῦσιν ἐπίτασις τῆς ἀπολαύσεως τότε γίνεται. Ὥστε καὶ πρὸ τῆς γεέννης, καὶ πρὸ τῶν ἐντεῦθεν ἀνιαρῶν, ἱκανὸν καὶ τοῦτο κατασεῖσαι τὴν διάνοιαν.

Ταῦτα οὖν ἐννοοῦντες φεύγωμεν κακίαν, ἑλώμεθα ἀρετήν, φιλῶμεν τὸν Θεόν, μὴ διὰ τὰ αὐτοῦ, ἀλλὰ δι' αὐτόν. Οὕτω κατὰ τὸν παρόντα βίον καὶ τὴν κατ' ἀρετὴν ὁδεύσομεν ὁδόν, στενὴν μὲν οὖσαν τῇ φύσει, εὐρεῖαν δὲ τῇ προαιρέσει τῶν ὁδοιπόρων γινομένην· ἧς γένοιτο πάντας ἡμᾶς εἰς τὸ ἄκρον ἐλθεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

νους ποὺ ἀσκοῦν τὴν ἀρετὴν τότε γίνεται αὔξησις τῆς ἀπολαύσεως. Ὥστε καὶ πρὶν ἀπὸ τὴν γέενναν καὶ πρὶν ἀπὸ τὰ ἐκεῖ δυσάρεστα, εἶναι ἱκανὸν καὶ αὐτὸ νὰ διαταράξῃ τὴν διάνοιαν.

Σκεπτόμενοι λοιπὸν αὐτά, ἄς ἀποφεύγωμεν τὴν κακίαν, ἄς προτιμῶμεν τὴν ἀρετήν, καὶ ἄς ἀγαπῶμεν τὸν Θεόν, ὄχι δι᾽ αὐτὰ ποὺ μᾶς δίδει, ἀλλὰ δι᾽ αὐτὸν τὸν ἴδιον. Ἔτσι κατὰ τὴν παροῦσαν ζωὴν καὶ θὰ βαδίσωμεν τὴν ὁδὸν τῆς ἀρετῆς, ποὺ εἶναι μὲν στενὴ ἀπὸ τὴν φύσιν της, ἀλλὰ γίνεται εὐρύχωρος μὲ τὴν προαίρεσιν τῶν ὁδοιπόρων, τὴν ὁποίαν εἴθε νὰ συμβῇ νὰ βαδίσωμεν μέχρι τὸ ἄκρον της μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ
ΕΙΣ ΤΟΝ Η΄ ΨΑΛΜΟΝ

«Εἰς τὸ τέλος ὑπὲρ τῶν ληνῶν». Ἄλλος, «Ἐπινίκιον ὑπὲρ τῶν ληνῶν». Ἄλλος, «Τῷ νικοποιῷ, ὑπὲρ τῆς γεττίτιδος». Ὁ δὲ Ἑβραῖος, «Λαμανασσή, ἃλ ἀγεθθίθ».

«Κύριε, ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ». Ἄλλος· «Τί μέγα τὸ ὄνομά σου»

1. Ἐν τῷ πρὸ τούτου ψαλμῷ ἔλεγεν· «Ἐξομολογήσομαι τῷ Κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου»· ἐνταῦθα τὴν ὑπόσχεσιν πληροῖ, ὕμνον ἀναφέρων αὐτῷ. Καὶ ἐν ἐκείνῳ μέν, ὡς ἐξ ἑνός ἐστι προσώπου τὰ λεγόμενα. «Κύριε γὰρ ὁ Θεός μου», φησίν, «ἐπὶ σοὶ ἤλπισα, σῶσόν με». Ἐνταῦθα δέ, ὡς ἐκ πολλῶν. «Κύριε» γάρ, φησίν, «ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου». Ἀλλὰ παρέχετε σιγὴν καὶ μετὰ ἀκριβείας ἀκούετε. Εἰ γὰρ θεάτρῳ, χορῶν ᾀδόντων σατανικῶν, πολλὴ γίνεται ἡσυχία, ὥστε τὰ ὀλέθρια ἐκεῖνα δέξασθαι μέλη· καὶ ταῦτα τοῦ μὲν χοροῦ ἐκ μίμων καὶ ὀρχηστῶν συνισταμένου ἀνδρῶν, χοροστατοῦντος δὲ παρ᾽ αὐτοῖς βεβήλου τινὸς καὶ κιθαρῳδοῦ, τοῦ δὲ μέλους σατανικοῦ καὶ ὀλεθρίου τυγχάνοντος, ᾀδομένου δὲ μιαροῦ καὶ πονηροῦ δαίμονος, ἐνταῦθα, ἔνθα ὁ μὲν χορὸς ἐξ ἁγίων ἀνδρῶν, ὁ δὲ χοροστάτης ἐστὶν ὁ προφήτης, τὸ δὲ μέλος οὐχὶ ἐκ σατανικῆς ἐνεργείας, ἀλλ᾽ ἐκ πνευματικῆς χάριτος, ὁ δὲ ᾀδόμενος, οὐχὶ δαίμων, ἀλλὰ Θεός, πῶς οὐ πολλὴν δεῖ παρέ-

---

1. Εἰς τὸν ψαλμὸν αὐτὸν ἐξυμνεῖται τὸ μεγαλεῖον τοῦ Θεοῦ, ὅπως φανερώνεται ἀπὸ τὴν δημιουργίαν τοῦ κόσμου. Καὶ ἔχει μὲν ὑπ᾽ ὄψιν ὁ ψαλμωδὸς τὸν πρῶτον ἄνθρωπον, τὸν Ἀδάμ, πρὶν αὐτὸς ἁμαρτήσῃ, ὅμως ὁλοφάνερον γίνεται ὅτι τὰ λεγόμενα ἐφαρμόζονται εἰς τὸν δεύτερον Ἀδάμ, τὸν Μεσσίαν, τὸν ἀναμάρτητον, ὡς δέχονται αὐτὸ πολλοὶ τῶν ἑρμηνευτῶν Ἰουδαῖοι καὶ Πατέρες τῆς Ἐκκλησίας. Ἄλλωστε ὁ ἴδιος ὁ Κύριος ἐφήρμοσε τοὺς λόγους τοῦ ψαλμοῦ περὶ ὕμνου ἐκ στόματος νηπίων καὶ θηλαζόντων εἰς τὰς ἐπευφημίας τῶν παιδιῶν κατὰ τὴν θριαμβευτικήν του εἴσοδον εἰς Ἱεροσόλυμα, εἰς δὲ τὴν πρὸς Ἑβραίους ἐπιστολὴν 2, 6 ὁ Κύριος χαρακτηρίζεται ρητῶς «ὡς βραχύ τι παρ᾽ ἀγγέλους ἠλαττωμένος». Πρβλ. καὶ Α΄ Κορ. 15,

Ο Μ Ι Λ Ι Α
ΕΙΣ ΤΟΝ Η΄ ΨΑΛΜΟΝ[1]

Ἐπιγράφεται εἰς τὸ τέλος ὑπὲρ τῶν ληνῶν» Ἄλλη ἐπιγραφή, «Ἐπινίκιος ὑπὲρ τῶν ληνῶν». Ἄλλη, «Εἰς τὸν νικοποιὸν ὑπὲρ τῆς Γετθίτιδος». Ἡ δὲ ἑβραϊκὴ ἐπιγραφή του εἶναι, «Λαμανασή, ἄλ ἀγεθθίδ».

«Κύριε, ὁ Κύριός μας, πόσον θαυμαστὸν εἶναι τὸ ὄνομά σου εἰς ὅλην τὴν γῆν». Καὶ ἄλλος λέγει· «Πόσον μέγα εἶναι τὸ ὄνομά σου».

1. Εἰς τὸν προηγούμενον ψαλμὸν ἔλεγε· «Θὰ δοξολογήσω τὸν Κύριον σύμφωνα μὲ τὴν δικαιοσύνην πού ἔδειξε καὶ θὰ ψάλω ὕμνον εἰς τὸ ὄνομα τοῦ Κυρίου τοῦ Ὑψίστου»[1α]· ἐδῶ ἐκπληρώνει τὴν ὑπόσχεσιν, ἀναφέρων ὕμνον εἰς αὐτόν. Καὶ εἰς ἐκεῖνον μὲν τὸν ψαλμὸν τὰ λεγόμενα εἶναι ὡσὰν νὰ λέγωνται ἀπὸ ἕνα πρόσωπον. Διότι λέγει· «Κύριε ὁ Θεός μου, εἰς ἐσένα ἐστήριξα τὴν ἐλπίδα μου, σῶσε με»[2]. Ἐδῶ ὅμως εἶναι ὡσὰν νὰ λέγωνται ἀπὸ πολλὰ πρόσωπα. Διότι λέγει· «Κύριε, ὁ Κύριός μας, πόσον θαυμαστόν εἶναι τὸ ὄνομά σου». Ἀλλὰ κάμετε ἡσυχίαν καὶ ἀκούετε μὲ προσοχήν. Διότι, ἐὰν εἰς τὸ θέατρον, ὅπου ψάλλουν σατανικοὶ χοροί, γίνεται πολλὴ ἡσυχία, ὥστε νὰ ἀκούσουν τὰ ὀλέθρια ἐκεῖνα ᾄσματα, καὶ ὅλα αὐτὰ τὴν στιγμὴν πού ὁ μὲν χορὸς ἀποτελεῖται ἀπὸ μίμους καὶ χορευτὰς ἄνδρας, χοροστατεῖ δὲ αὐτῶν κάποιος βέβηλος κιθαρωδὸς καὶ τὸ ᾆσμα εἶναι σατανικὸν καὶ καταστρεπτικόν, διὰ τοῦ ὁποίου ὑμνολογεῖται μιαρὸς καὶ πονηρὸς δαίμων, ἐδῶ, ὅπου ὁ μὲν χορὸς ἀποτελεῖται ἀπὸ ὁγίους ἄνδρας, ὁ δὲ χοροστάτης εἶναι ὁ προφήτης, καὶ τὸ μὲν μέλος δέν προέρχεται ἀπὸ σατανικὴν ἐνέργειαν, ἀλλὰ ἀπὸ πνευματικὴν χάριν, ὁ δὲ ὑμνολογούμενος δὲν

---

26 - 28 καὶ Ἐφ. 1, 22. Ἀποτελεῖ ἑσπερινὸν ὕμνον.
1α. Ψαλμ. 7, 18.
2. Ψαλμ. 7, 2.

χειν τὴν ἡσυχίαν, καὶ μετὰ φρίκης ἀκούειν; Καὶ γὰρ συγχορευταὶ γεγόναμεν τῶν ἄνω δυνάμεων. Καὶ γὰρ οἱ ἄνω χοροί, καὶ τὰ Χερουβὶμ καὶ τὰ Σεραφὶμ τοῦτο ἔργον ἔχουσι, τὸ διηνεκῶς ὑμνεῖν τὸν Θεόν. Ἐκ τούτων τῶν χορῶν καὶ ἐπὶ τῆς γῆς ἐφάνησαν μετὰ τῶν ἀγραυλούντων ποιμένων ᾄδοντες. Ἀκούσωμεν τοίνυν καὶ ταύτης τῆς ᾠδῆς.

Οἱ μὲν οὖν βασιλέα ὑμνοῦντες τὸν ἐπὶ γῆς, περὶ ἀρχῆς αὐτῷ διαλέγονται, περὶ τῶν τροπαίων, περὶ τῆς νίκης, καὶ τὰ ἔθνη λέγουσι τὰ ἡττηθέντα, πορθητὰς καλοῦντες αὐτούς, καὶ βαρβάρων νικητάς, καὶ ὅσα τοιαῦτα. Τοιαύτην τινὰ ᾠδὴν καὶ ὁ μακάριος οὗτος ᾄδει. Νίκην γὰρ διηγεῖται καὶ τρόπαιον, καὶ πολέμων κατάλυσιν, οὐχὶ τοιούτων, ἀλλὰ πολλῷ χαλεπωτέρων. Καὶ ὅρα πῶς ἄρχεται. «Κύριε, ὁ Κύριος ἡμῶν». Τῶν μὲν γὰρ ἄλλων τῶν οὐ πιστευόντων εἰς αὐτόν, ἑνὶ τρόπῳ Κύριός ἐστιν, ἡμῶν δὲ διπλῷ· τῷ τε ἐξ οὐκ ὄντων ποιῆσαι, τῷ τε γνωσθῆναι παρ' ἡμῶν. Καὶ ὅρα πῶς ἐκ προοιμίων τίθησι τὸ κεφάλαιον τῆς εὐεργεσίας. Ἂν γὰρ μάθῃς πῶς σου Κύριος γέγονεν, ὅτι ἀπηλλοτριωμένους καὶ ἐχθρούς τινας καὶ νεκρωθέντας ᾠκειώσατο καὶ ἐζωοποίησεν, ὄψει καλῶς ὅτι τὸ κεφάλαιον τῆς εὐεργεσίας τοῦτο. Τοῦτο τοίνυν ἐκπληττόμενος ὁ προφήτης, φησίν· «Ὡς θαυμαστὸν τὸ ὄνομά σου», τουτέστι, σφόδρα θαυμαστόν. Πόσον δὲ θαυμαστόν, οὐκ εἶπεν· οὐδὲ γὰρ μετρῆσαι ἴσχυσεν, ἀλλὰ τὴν ἐπίτασιν παρέστησε καὶ τὴν ὑπερβολήν. Ποῦ οἱ τὴν οὐσίαν περιεργαζόμενοι τοῦ Θεοῦ; Εἰ γὰρ τὸ ὄνομα αὐτοῦ εἰπών, οὕτως ἐθαύμασεν, ὡς ἐκπλαγῆναι, τίνα ἂν σχοῖεν ἐκεῖνοι συγγνώμην, οἱ

3. Λουκᾶ 2, 13.

εἶναι ὁ δαίμων, ἄλλὰ ὁ Θεός, πῶς δὲν πρέπει νὰ κάμνετε πολλὴν ἡσυχίαν καὶ νὰ ἀκούετε μὲ φρίκην; Καθ' ὅσον ἐγίναμεν συγχορευταὶ τῶν οὐρανίων δυνάμεων. Οἱ δὲ οὐράνιοι χοροί, καὶ τὰ Χερουβὶμ καὶ τὰ Σεραφὶμ αὐτὸ ἔχουν ὡς ἔργον, τὸ νὰ ὑμνοῦν διαρκῶς τὸν Θεόν. Ἀπὸ αὐτοὺς τοὺς χοροὺς ἐφάνησαν καὶ εἰς τὴν γῆν ψάλλοντες μαζὶ μὲ τοὺς ποιμένας ποὺ διενυκτέρευον[3]. Ἂς ἀκούσωμεν λοιπὸν καὶ αὐτὴν τὴν ᾠδήν.

Ἐκεῖνοι λοιπὸν ποὺ ἐξυμνοῦν βασιλέα ἐπίγειον ὁμιλοῦν εἰς αὐτὸν περὶ τῆς ἐξουσίας του, περὶ τῶν τροπαίων, περὶ τῆς νίκης, καὶ ἀναφέρουν τὰ ἡττηθέντα ἔθνη, ὀνομάζοντες αὐτοὺς πορθητὰς καὶ νικητὰς βαρβάρων καὶ πολλὰ ἄλλα παρόμοια. Παρόμοιον ὕμνον ψάλλει καὶ αὐτὸς ὁ μακάριος. Διότι διηγεῖται νίκην καὶ τρόπαιον καὶ τερματισμὸν πολέμων, ὄχι ὡσὰν καὶ αὐτοὺς τοὺς ἐπιγείους, ἀλλὰ πολὺ πιὸ φοβερωτέρους. Καὶ πρόσεχε πῶς ἀρχίζει. «Κύριε, ὁ Κύριός μας». Διότι τῶν μὲν ἄλλων ποὺ δὲν πιστεύουν εἰς αὐτόν, εἶναι Κύριος μὲ ἕνα τρόπον, ἐνῷ δι' ἡμᾶς εἶναι Κύριος κατὰ διπλοῦν τρόπον· καὶ μὲ τὸ ὅτι μᾶς ἔπλασεν ἀπό τὸ μηδέν, καὶ μὲ τὸ ὅτι ἐγνωρίσαμεν αὐτὸν καὶ ἐπιστεύσαμεν εἰς αὐτόν. Καὶ πρόσεχε πῶς ἀπὸ τὴν ἀρχὴν ἀναφέρει τὸ ἀποκορύφωμα τῆς εὐεργεσίας. Διότι, ἐὰν μάθης πῶς ἔγινε Κύριός σου, πῶς ὡρισμένους, ἂν καὶ ἦσαν ἀποξενωμένοι ἀπὸ αὐτὸν καὶ ἐχθροί, τοὺς ἔκαμεν ἰδικούς του καὶ τοὺς ἐχάρισε τὴν ζωήν, θὰ ἀντιληφθῇς καλῶς ὅτι αὐτὸ εἶναι τὸ ἀποκορύφωμα τῆς εὐεργεσίας. Νοιώθων λοιπὸν δι' αὐτὸ ἔκπληξιν ὁ προφήτης, λέγει· «Ὡς θαυμαστὸν τὸ ὄνομά σου», δηλαδή, εἶναι πάρα πολὺ θαυμαστόν. Πόσον δὲ θαυμαστὸν εἶναι, δὲν τὸ εἶπε· διότι δὲν ἠμπόρεσε νὰ τὸ μετρήση, ἀλλὰ παρουσίασε τὴν ἔντασιν καὶ τὴν ὑπερβολήν. Ποῦ εἶναι ἐκεῖνοι ποὺ περιεργάζονται τὴν οὐσίαν τοῦ Θεοῦ; Διότι, ἐάν, ἀναφέρων τὸ ὄνομα αὐτοῦ, τόσον πολὺ ἐθαύμασεν, ὥστε νὰ νοιώση ἔκπληξιν, ποίαν συγγνώμην θὰ ἠμποροῦσαν νὰ

τὴν οὐσίαν αὐτοῦ λέγοντες εἰδέναι, τοῦ προφήτου μηδὲ πόσον ἐστὶ θαυμαστὸν τὸ ὄνομα δυναμένου μαθεῖν;

«Ὡς θαυμαστὸν τὸ ὄνομά σου». Ἐν γὰρ τῷ ὀνόματι τούτῳ θάνατος ἐλύθη, δαίμονες ἐδέθησαν, οὐρανὸς ἀνεῴχθη, παραδείσου θύραι ἀνεπετάσθησαν, Πνεῦμα κατεπέμφθη, οἱ δοῦλοι γεγόνασιν ἐλεύθεροι, οἱ ἐχθροί, οἱ υἱοί, οἱ ἀλλότριοι, κληρονόμοι, οἱ ἄνθρωποι, ἄγγελοι. Τί λέγω, ἄγγελοι; Θεὸς ἄνθρωπος γέγονε, καὶ ἄνθρωπος Θεός· ὁ οὐρανὸς ἐδέξατο τὴν φύσιν τὴν ἀπὸ τῆς γῆς· ἡ γῆ ἐδέξατο τὸν ἐπὶ τῶν Χερουβεὶμ καθήμενον μετὰ τῆς στρατιᾶς ἀγγελικῆς. Τὸ μεσότοιχον ἀνηρέθη, ὁ φραγμὸς ἐλύθη, τὰ διεστῶτα ἡνώθη, τὸ σκότος ἐσβέσθη, τὸ φῶς ἔλαμψεν, ὁ θάνατος κατεπόθη. Ταῦτα πάντα ἐννοῶν καὶ τὰ τούτων πλείονα ὁ προφήτης ἀνεβόα, λέγων· «Ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ». Ποῦ νῦν οἱ Ἰουδαίων παῖδες, οἱ πρὸς τὴν ἀλήθειαν ἀναισχυντοῦντες; Ἡδέως γὰρ αὐτοὺς ἂν ἐροίμην, περὶ τίνος ταῦτα λέγονται. Περὶ τοῦ παντοκράτορος, φήσουσιν. Ἀλλ' οὐκ ἦν αὐτοῦ θαυμαστὸν τὸ ὄνομα ἐν πάσῃ τῇ γῇ. Καὶ μαρτυρεῖ Ἡσαΐας λέγων, ὅτι «Δι' ὑμᾶς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν. Εἰ δὲ οἱ θεραπεύοντες αὐτὸν αἴτιοι βλασφημεῖσθαι αὐτὸν ἐγίνοντο, ποῦ ἦν θαυμαστόν;

Ὅτι μὲν γὰρ τῇ φύσει θαυμαστόν, δῆλον, παρὰ δὲ ἀνθρώποις τότε οὐ θαυμαστὸν τοῖς πλείοσιν, ἀλλὰ καὶ εὐκαταφρόνητον. Ἀλλ' οὐχὶ νῦν οὕτως· ἀλλ' ὅτε ὁ μονογενὴς Υἱὸς παρεγένετο, πανταχοῦ τὸ ὄνομα αὐτοῦ θαυμαστὸν μετὰ τοῦ Χριστοῦ. «Ἀπὸ ἀνατολῶν ἡλίου», φησί, «μέχρι δυσμῶν τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσι». Καὶ πάλιν· «Ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται τῷ ὀνόματί μου «καὶ θυσία κα-

---

4. Ἡσ. 52, 5· Ρωμ. 2, 24.
5. Μαλαχ. 1, 11.

ἔχουν ἐκεῖνοι, ποὺ λέγουν ὅτι γνωρίζουν τὴν οὐσίαν αὐτοῦ, τὴν στιγμὴν ποὺ ὁ προφήτης δὲν ἠμπορεῖ νὰ γνωρίσῃ οὔτε τὸ πόσον θαυμαστὸν εἶναι τὸ ὄνομά του;

«Πόσον θαυμαστόν εἶναι τὸ ὄνομά σου». Διότι διὰ τοῦ ὀνόματος αὐτοῦ κατελύθη ὁ θάνατος, ἐδέθησαν οἱ δαίμονες, ἠνοίχθη ὁ οὐρανός, ἤνοιξαν αἱ θύραι τοῦ παραδείσου, ἐστάλη τὸ Πνεῦμα, οἱ δοῦλοι ἔγιναν ἐλεύθεροι, οἱ ἐχθροὶ ἔγιναν υἱοί, οἱ ξένοι ἔγιναν κληρονόμοι, οἱ ἄνθρωποι ἄγγελοι. Διατί, λέγω, ἄγγελοι; Ὁ Θεὸς ἔγινεν ἄνθρωπος καὶ οἱ ἄνθρωποι Θεός· ὁ οὐρανὸς ἐδέχθη τὴν γηΐνην φύσιν, ἡ γῆ ἐδέχθη ἐκεῖνον ποὺ κάθεται ἐπάνω εἰς τὰ Χερουβὶμ μαζὶ μὲ τὴν ἀγγελικὴν στρατιάν. Τὸ μετότοιχον κατέπεσεν, ὁ φραγμὸς κατελύθη, τὰ διῃρημένα ἡνώθησαν, τὸ σκότος ἔσβησε, τὸ φῶς ἔλαμψεν, ὁ θάνατος κατετροπώθη. Ἀναλογιζόμενος ὁ προφήτης ὅλα αὐτὰ καὶ τὰ πολὺ περισσότερα ἀπὸ αὐτά, ἐβροντοφώναξε, λέγων· «Πόσον θαυμαστὸν εἶναι τὸ ὄνομά σου εἰς ὅλην τὴν γῆν». Ποῦ εἶναι τώρα οἱ υἱοὶ τῶν Ἰουδαίων, ποὺ ἀναισχυντοῦν πρὸς τὴν ἀλήθειαν; Διότι εὐχαρίστως θὰ ἠμποροῦσα νὰ τοὺς ἐρωτήσω, διὰ ποῖον λέγονται αὐτά. Διὰ τὸν παντοκράτορα, θὰ εἰποῦν. Ἀλλὰ δὲν ἦτο θαυμαστὸν τὸ ὄνομά του εἰς ὅλην τὴν γῆν. Καὶ τὸ βεβαιώνει αὐτὸ ὁ Ἡσαΐας, λέγων ὅτι, «Ἐξ αἰτίας σας βλασφημεῖται τὸ ὄνομά μου μεταξὺ τῶν ἐθνικῶν»[4]. Ἐὰν δὲ αὐτοὶ ποὺ τὸν ἐλάτρευον ἐγίνοντο αἴτιοι νὰ βλασφημῆται αὐτός, ποῦ ἦτο θαυμαστόν;

Τὸ ὅτι βέβαια ἦτο θαυμαστὸν εἰς τὴν φύσιν, εἶναι ὁλοφάνερον, εἰς τοὺς περισσοτέρους ὅμως τότε ἀνθρώπους δὲν ἦτο θαυμαστόν, ἀντίθετα ἦτο καὶ περιφρονημένον. Ὅμως δὲν συμβαίνει τώρα τὸ ἴδιον, ἀλλὰ ὅταν ὁ μονογενὴς Υἱὸς ἦλθεν εἰς τὸν κόσμον, παντοῦ τὸ ὄνομα αὐτοῦ εἶναι θαυμαστὸν μαζὶ μὲ τὸ ὄνομα τοῦ Χριστοῦ. «Ἀπὸ ἐκεῖ ποὺ ἀνατέλλει ὁ ἥλιος», λέγει, «μέχρις ἐκεῖ ποὺ δύει τὸ ὄνομά μου ἐδοξάσθη μεταξὺ τῶν ἐθνικῶν»[5]. Καὶ πάλιν· «Εἰς κάθε τόπον προσφέρεται θυμίαμα εἰς τὸ

θαρά. Ὑμεῖς δὲ βεβηλοῦτε αὐτό». Καὶ ἄλλος· «Ἐπληρώθη ἡ σύμπασα γῆ τοῦ γνῶναι τὸν Κύριον». Καὶ πάλιν· «Ἥξουσι λέγοντες, ψευδῆ οἱ πατέρες ἡμῶν ἐκτήσαντο εἴδωλα».

2. Ὁρᾷς ὅτι περὶ τοῦ Υἱοῦ τὰ εἰρημένα πάντα ἐστίν; Αὐτοῦ γὰρ θαυμαστὸν τὸ ὄνομα ἐν πάσῃ τῇ γῇ ἐγένετο. «Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν». Ἄλλος· «Ὃς ἔταξας τὸν ἔπαινόν σου ὑπεράνω τῶν οὐρανῶν». Ἐπειδὴ γὰρ τῆς γῆς ἐμνημόνευσε, μετάγει τὸν λόγον καὶ ἐπὶ τὸν οὐρανόν, ὅπερ εἴωθεν ἀεὶ ποιεῖν, πᾶσαν τὴν οἰκουμένην δεικνὺς εὐφημοῦσαν τὸν ἑαυτῆς Δεσπότην. Τοῦτο δὴ καὶ ἐνταῦθα δεικνὺς λέγει, θαυμαστὸν κάτω, θαυμαστὸν ἄνω. Οὐ γὰρ ἄνθρωποι μόνον, ἀλλὰ καὶ ἄγγελοι ὑμνοῦσι τὰ γεγενημένα, καὶ ὑπὲρ τῶν εἰς ἀνθρώπους εὐεργεσιῶν χάριτας ὁμολογοῦσιν· ὃ δὴ καὶ ἐποίησαν ἐκ προοιμίων, χορὸν στήσαντες ἐπὶ τῆς γῆς. Ἢ τοίνυν τοῦτο λέγει, ὅτι καὶ ἄγγελοι ᾄδουσιν, ἢ τὸ μέγεθος αὐτοῦ παραστῆσαι βούλεται. Ὅταν γάρ τι μέγα λέγειν ἐθέλῃ ἡ Γραφή, τὰ διαστήματα τῶν στοιχείων τούτων εἰς μέσον ἄγει· ὡς ὅταν λέγῃ· «Κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς». Καὶ πάλιν· «Καθ' ὅσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν».

Ἐνταῦθα τοίνυν ἐκπλήττεται τὰ γεγενημένα, πῶς μεγάλα, πῶς ὑπέρογκα· τὴν γὰρ οὐσίαν τὴν πάντων κατωτέραν ἀνωτέρω πάντων ἔταξεν. «Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον». Ἄλλος· «Ἐκ στόματος βρεφῶν ἐθεμελίωσας κράτος». Ἄλλος· «Συνεστήσω ἰσχύν». Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὅτι τὴν ἰσχύν σου ἐντεῦθεν μάλιστα ἔδειξας,

6. Μολαχ. 1, 12.
7. Ἡσ. 11, 9.
8. Ἱερ. 16, 19.
9. Ψαλμ. 8, 2.
10. Ψαλμ. 102, 11.
11. Ψαλμ. 102, 12.
12. Ψαλμ. 8, 3.

ὄνομά μου καὶ θυσία καθαρά. Σεῖς ὅμως βεβηλώνετε αὐτό»[6]. Καὶ ἄλλος λέγει· «Ἐγνώρισεν ὁλόκληρη ἡ γῆ τὸν Κύριον»[7]. Καὶ πάλιν· «Θὰ ἔλθουν λέγοντες, ψεύτικα εἴδωλα ἀπέκτησαν οἱ πατέρες μας»[8]

2. Βλέπεις ὅτι ὅλα τὰ λεχθέντα ἀναφέρονται περὶ τοῦ Υἱοῦ; Διότι τὸ ὄνομα αὐτοῦ ἔγινε θαυμαστὸν εἰς ὅλην τὴν γῆν. «Διότι ὑψώθη ἡ μεγαλοπρέπειά σου πιὸ ἐπάνω ἀπὸ τοὺς οὐρανούς»[9]. Ἄλλος λέγει· «Σὺ ὁ ὁποῖος ἔθεσες τὴν δόξαν σου ὑψηλότερα τῶν οὐρανῶν». Ἐπειδὴ δηλαδὴ ὡμίλησε περὶ τῆς γῆς, μεταφέρει τὸν λόγον καὶ εἰς τὸν οὐρανόν, πρᾶγμα ποὺ συνηθίζει πάντοτε νὰ κάμνῃ, παρουσιάζων ὅλην τὴν οἰκουμένην νὰ δοξολογῇ τὸν Κύριόν της. Θέλων λοιπὸν νὰ δείξῃ καὶ ἐδῶ αὐτό, λέγει ὅτι εἶναι θαυμαστὸν τὸ ὄνομά του εἰς τὴν γῆν, θαυμαστὸν δὲ καὶ εἰς τὸν οὐρανόν. Διότι ὄχι μόνον ἄνθρωποι, ἀλλὰ καὶ ἄγγελοι ὑμνοῦν τὰ ὅσα ἔγιναν ἀπὸ αὐτὸν καὶ τὸν εὐχαριστοῦν διὰ τὰς εὐεργεσίας του ὑπὲρ τῶν ἀνθρώπων, πρᾶγμα βέβαια ποὺ ἔκαμαν ἀπὸ τὴν ἀρχήν, στήσαντες χορὸν ἐπὶ τῆς γῆς. Ἢ λοιπὸν αὐτὸ ἐννοεῖ, ὅτι καὶ οἱ ἄγγελοι ὑμνοῦν αὐτόν, ἢ θέλει νὰ παρουσιάσῃ τὸ μέγεθος αὐτοῦ. Διότι, ὅταν θέλῃ ἡ Γραφὴ νὰ εἰπῇ κάτι τὸ μέγα, χρησιμοποιεῖ τὰ διαστήματα αὐτῶν τῶν στοιχείων, ὅπως ὅταν λέγῃ· «Κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς»[10]. Καὶ πάλιν· «Ὅσον ἀπέχουν αἱ ἀνατολαὶ ἀπὸ τὰς δυσμάς, τόσον ἀπεμάκρυνεν ἀπὸ ἡμᾶς τὰς ἀνομίας μας»[11].

Ἐδῶ λοιπὸν μένει κατάπληκτος ὁ ψαλμωδὸς ἀπὸ τὰ ὅσα συνέβησαν, ποὺ εἶναι τόσον μεγάλα καὶ τόσον ὑπέρογκα· διότι τὴν οὐσίαν ποὺ εἶναι ἡ πιὸ ἀσήμαντος ἀπὸ ὅλα τὴν ἔθεσεν ὡς τὴν πιὸ ἀνωτέραν ἀπὸ ὅλα. «Ἀπὸ τὸ στόμα τῶν νηπίων καὶ παιδιῶν ποὺ θηλάζουν ἔκαμες τέλειον ὕμνον δοξολογίας»[12]. Ἄλλος λέγει· «Μὲ τὰ λόγια τῶν βρεφῶν ἐθεμελίωσες ἰσχυρὰν δύναμιν». Ἄλλος· «Ἐδημιούργησες δύναμιν». Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· ὅτι δηλαδὴ τὴν δύναμίν σου μὲ αὐτὸ πρὸ πάντων τὴν

τὴν δύναμιν τὴν ἄμαχον κινήσας, καὶ τὴν ψελλίζουσαν γλῶτταν πρὸς τὴν δοξολογίαν ἐκείνην τρανώσας. Τῶν γὰρ παιδίων τὴν ὑμνολογίαν τὴν ἐν τῷ ἱερῷ γενομένην, ταύτην προαναφωνεῖ νῦν. Καὶ τί δήποτε τὰ ἄλλα παραδραμὼν θαύματα, νεκρῶν ἀνάστασιν, λεπρῶν κάθαρσιν, δαιμόνων δίωξιν, τοῦ τῶν παίδων μέμνηται θαύματος; Ὅτι ἐκεῖνα μὲν καὶ πρὸ τούτου γέγονε, κἂν μὴ οὕτως, ἀλλ' ὅμως γέγονε, καὶ εἶχέ τινα κοινωνίαν, εἰ καὶ μὴ τρόπον. Καὶ γὰρ νεκρὸς ἠγέρθη ἐπὶ τοῦ Ἐλισσαίου, καὶ λεπρὸς ἐκαθαρίσθη, καὶ δαίμων ἠλάθη ἐπὶ τοῦ Δαυίδ, ὅτε ὁ Σαοὺλ ἐδαιμόνα, χορὸς δὲ παιδίων θηλαζόντων τότε πρῶτον ἐφθέγξατο.

Ἵν' οὖν μὴ ἀναισχυντῇ ὁ Ἰουδαῖος, λέγων περὶ τῶν ἐν τῇ Παλαιᾷ ταῦτα εἰρῆσθαι, ἐπελέξατο σημεῖον τότε πρῶτον καὶ μόνον γινόμενον. Ἄλλως δὲ καὶ τύπος ἦν τῶν ἀποστόλων τὰ γινόμενα· καὶ γὰρ οὗτοι νήπιοι σφόδρα ὄντες, καὶ τῶν ἰχθύων αὐτῶν ἀφωνότεροι, τὴν οἰκουμένην ἅπασαν ἐσαγήνευσαν. Ὅτι δὲ τοῦτο δύναμις Θεοῦ μάλιστά ἐστιν, ὅρα καὶ ἐν τῇ Παλαιᾷ τοῦτο περὶ τοῦ Πατρὸς αὐτοῦ λέγοντα τὸν προφήτην. Τῷ γὰρ Μωϋσεῖ διαλεγόμενός φησι· «Τίς ἐποίησε δύσκωφον καὶ κωφόν, βλέποντα καὶ τυφλόν»; Καὶ πάλιν· «Διδοὺς γλώσσας τρανὰς μογιλάλοις». Καὶ πάλιν· «Κύριος δίδωσί μοι γλῶσσαν παιδείας, τοῦ γνῶναι ἡνίκα δεῖ εἰπεῖν λόγον». Καὶ ἐν ἀρχῇ δέ φησιν· «Δεῦτε, καταβάντες συγχέωμεν αὐτῶν τὰς γλώσσας». Μεγάλη τοίνυν καὶ ἰσχυρὰ ἡ ἀπόδειξις. Ἐπὶ μὲν γὰρ τῶν ἄλλων, εἰ καὶ παραλόγως, ὅμως

13. Ματθ. 21, 15.
14. Δ΄ Βασ. 4, 33 - 35.
15. Δ΄ Βασ. 5, 14.
16. Α΄ Βασ. 16, 23.
17. Ἐφ. 4, 11.
18. Ἡσ. 35, 6.
19. Ἡσ. 50, 4.
20. Γεν. 11, 7.

ἔδειξες, μὲ τὸ νὰ θέσῃς εἰς κίνησιν τὴν ἀνίσχυρον δύναμιν καὶ τὴν γλῶσσαν ποὺ ψελλίζει νὰ σοῦ προσφέρῃ μεγαλοπρεπῆ δοξολογίαν. Διότι τῶν παιδιῶν τὴν δοξολογίαν ποὺ συνέβη εἰς τὸ ἱερόν, αὐτὴν προλέγει ἐδῶ[13]. Καὶ διατί τέλος πάντων παραβλέψας τὰ ἄλλα θαύματα, τὴν ἀνάστασιν δηλαδὴ νεκρῶν, τὸν καθαρισμὸν λεπρῶν, τὴν ἐκδίωξιν δαιμόνων, κάμνει λόγον διὰ τὸ θαῦμα τῶν παιδιῶν; Διότι τέτοια μὲν θαύματα συνέβησαν καὶ πρὶν ἀπὸ αὐτό, ἂν καὶ ὄχι κατὰ τὸν ἴδιον τρόπον, ἀλλ' ὅμως συνέβησαν, καὶ εἶχον κάποιαν σχέσιν, ἂν καὶ συνέβησαν κατὰ διαφορετικὸν τρόπον. Καθ' ὅσον νεκρὸς ἀνεστήθη ἀπὸ τὸν Ἐλισσαῖον[14], καὶ λεπρὸς ἐκαθαρίσθη[15] καὶ δαίμων ἐξεδιώχθη ὑπὸ τοῦ Δαυΐδ[16], ὅταν ὁ Σαοὺλ ὑπέφερεν ἀπὸ δαιμόνιον, ἀλλ' ὅμως ὁμάδα παιδιῶν, ποὺ ἀκόμη ἐθήλαζον, τότε διὰ πρώτην φορὰν ἐξέπεμψαν ὕμνον δοξολογίας.

Διὰ νὰ μὴ ἀναισχυντῇ λοιπὸν ὁ Ἰουδαῖος, λέγων ὅτι αὐτὰ ἐλέχθησαν δι' ἐκεῖνα ποὺ συνέβησαν εἰς τὴν ἐποχὴν τῆς Παλαιᾶς Διαθήκης, ἐδιάλεξε θαῦμα ποὺ διὰ πρώτην φορὰν τότε μόνον συνέβη. Ἄλλως τε δὲ τὰ ὅσα συνέβησαν ἦσαν προτύπωσις τῶν ἀποστόλων· καθ' ὅσον αὐτοί, ἂν καὶ ἦσαν πάρα πολὺ νήπιοι καὶ πιὸ ἄφωνοι καὶ ἀπὸ τὰ ἴδια τὰ ψάρια, προσήλκυσαν μὲ τὸν λόγον των ὅλην τὴν οἰκουμένην. Τὸ ὅτι δὲ αὐτὸ ἀποτελεῖ δεῖγμα τῆς δυνάμεως κατ' ἐξοχὴν τοῦ Θεοῦ, πρόσεχε τὸν προφήτην ποὺ λέγει αὐτὸ εἰς τὴν Παλαιὰν Διαθήκην διὰ τὸν ἴδιον τὸν Πατέρα. Διότι συνομιλῶν μὲ τὸν Μωυσῆν, λέγει· «Ποῖος ἐδημιούργησε τὸν βαρήκουον καὶ τὸν κωφόν, ἐκεῖνον ποὺ βλέπει καὶ τὸν τυφλόν»[17]. Καὶ πάλιν· «Αὐτὸς ποὺ δίδει μεγάλην ρητορικὴν ἱκανότητα εἰς τοὺς κωφαλάλους»[18]. Καὶ πάλιν· «Ὁ Κύριος μοῦ ἔδωσε γλῶσσαν παιδείας καὶ σοφίας, διὰ νὰ γνωρίζω τί καὶ πότε πρέπει νὰ ὁμιλῶ»[19]. Καὶ εἰς τὴν ἀρχὴν δὲ λέγει· «Ἐλᾶτε νὰ κατεβοῦμεν καὶ νὰ δημιουργήσωμεν σύγχυσιν εἰς τὰς γλώσσας των»[20]. Αὐτὰ λοιπὸν ἀποτελοῦν μεγάλην καὶ ἰσχυρὰν ἀπόδειξιν τῆς δυνάμεως τοῦ

ὑπώπτευσόν τινα εἶναι ἀναισχυντοῦντες, ἐνταῦθα δὲ οὐδὲν εἶχον εἰπεῖν, αὐτῆς καθ' ἑαυτὴν τῆς φύσεως γυμνῆς ἀγωνιζομένης. Διὰ δὴ τοῦτο οὐδὲ ἁπλῶς εἶπε, «Νηπίων», ἵνα μή τις τοὺς ἀκάκους αὐτὸν καὶ τοὺς ἁπλουστέρους λέγειν νομίσῃ, ἀλλ' ἐπήγαγε, «Καὶ θηλαζόντων», τῇ προσθήκῃ τῆς τραπέζης τὴν ἡλικίαν χαρακτηρίζων. Οὐχ ἁπλῶς γάρ φησι, «Νηπίων», ἀλλὰ τῶν ὑπομαζίων, τῶν μηδέποτε στερεᾶς τροφῆς μεταλαβόντων. Οὐ τοίνυν τοῦτο μόνον ἐστὶ τὸ θαυμαστόν, ὅτι φωνὴν ἀφῆκαν, καὶ φωνὴν τετρανωμένην, ἀλλ' ὅτι καὶ μυρίων γέμουσαν ἀγαθῶν. Ἅπερ γὰρ οἱ ἀπόστολοι οὐδέπω ᾔδεσαν, ταῦτα τὰ παιδία ὕμνουν. Ἀπὸ τούτου καὶ ἕτερόν τι αἰνίττεται, τὸ δεῖν τοῖς δόγμασι προσιόντας παιδία γίνεσθαι τῇ διανοίᾳ. Ἂν γὰρ μή τις δέξηται τὴν βασιλείαν τῶν οὐρανῶν ὡς παιδίον, φησίν, οὐ δύναται εἰσελθεῖν εἰς αὐτήν.

«Ἕνεκεν τῶν ἐχθρῶν σου». Λέγει καὶ τὴν αἰτίαν δι' ἣν τοῦτο γέγονε τὸ θαῦμα· τὰ μὲν γὰρ ἄλλα οὐ τῶν ἐχθρῶν ἕνεκεν ἐγίνετο, ἀλλ' ὥστε προσιόντας ἀπολαύειν εὐεργεσίας καὶ ἑτέρους παιδεύεσθαι, τοῦτο δὲ οὐ διὰ τοῦτο γέγονε μόνον, ἀλλ' ὥστε καὶ ἐπιστομισθῆναι τοὺς ἐχθρούς, οὓς καὶ ἕτερος, ἀκριβέστερον αὐτοὺς δηλῶν, φησί· «Διὰ τοὺς ἐνδεσμοῦντάς σε». Αὐτοὶ γὰρ ἦσαν δήσαντες αὐτὸν ἐπὶ τὸν σταυρὸν ἀγόμενον. «Τοῦ καταλῦσαι ἐχθρὸν καὶ ἐκδικητήν». Ἄλλος· «Ὥστε παῦσαι ἐχθρόν, καὶ τιμωροῦντα ἑαυτῷ», τὸν λαὸν τὸν Ἰουδαϊκὸν ἐνταῦθα λέγων. Ἤλαυνον μὲν γὰρ ὡς ἐχθρὸν τὸν Χριστόν, προσεποιοῦντο δὲ τὸν Πατέρα ἐκδικοῦντες τοῦτο ποιεῖν. Διὰ τοῦτο ταύτης αὐτοὺς ἀποστερῶν τῆς ἀπολογίας, ἔλεγεν· «Ὁ

21. Ματθ. 18, 3.

Θεοῦ. Διότι διὰ μὲν τὰ ἄλλα ἠμποροῦσαν, ἔστω καὶ παράλογα, νὰ προβάλλουν μὲ ἀδιαντροπίαν μίαν κάποιαν ἀντίρρησιν, εἰς αὐτὴν ὅμως τὴν περίπτωσιν δὲν ἠμποροῦσαν νὰ εἰποῦν τίποτε, ἀφοῦ ἡ ἰδία ἡ φύσις ἠγωνίζετο γυμνή. Καὶ διὰ τοῦτο λοιπὸν δὲν εἶπεν ἁπλῶς, «Νηπίων», διὰ νὰ μὴ νομίσῃ κανεὶς ὅτι ἐννοεῖ τοὺς ἀκάκους καὶ τοὺς πιὸ ἁπλοϊκούς, ἀλλὰ ἐπρόσθεσε «καὶ θηλαζόντων», χαρακτηρίζων μὲ τὴν προσθήκην τῆς τραπέζης τὴν ἡλικίαν. Διότι δὲν λέγει ἁπλῶς «Νηπίων», ἀλλὰ τῶν νηπίων ἐκείνων ποὺ τρέφονται ἀπὸ τοὺς μαστούς, ποὺ δὲν λαμβάνουν ἀκόμη στερεὰν τροφήν. Δὲν εἶναι λοιπὸν αὐτὸ μόνον τὸ θαυμαστόν, ὅτι αὐτὰ ὡμίλησαν καὶ μάλιστα μὲ μεγαλοπρεπῆ φωνήν, ἀλλὰ τὰ λόγια των ἦσαν γεμᾶτα ἀπὸ ἀμέτρητα ἀγαθά. Διότι αὐτὰ ποὺ οὔτε οἱ ἀπόστολοι ἀκόμη ἐγνώρισαν, αὐτὰ ὑμνοῦσαν τὰ παιδιά. Μὲ αὐτὸ ὑπαινίσσεται καὶ κάτι ἄλλο, ὅτι πρέπει αὐτοὶ ποὺ ἀσχολοῦνται μὲ τὰ δόγματα τῆς πίστεως νὰ γίνωνται παιδιὰ ὡς πρὸς τὴν διάνοιαν. Διότι λέγει, ἐὰν κανεὶς δὲν δεχθῇ τὴν βασιλείαν τῶν οὐρανῶν ὡσὰν παιδί, δὲν ἠμπορεῖ νὰ εἰσέλθῃ εἰς αὐτήν[21].

«Ἐξ αἰτίας τῶν ἐχθρῶν σου». Λέγει καὶ τὴν αἰτίαν διὰ τὴν ὁποίαν ἔγινεν αὐτὸ τὸ θαῦμα· διότι τὰ μὲν ἄλλα δὲν ἐγίνοντο ἐξ αἰτίας τῶν ἐχθρῶν, ἀλλὰ διὰ νὰ ἀπολαμβάνουν εὐεργεσίαν αὐτοὶ εἰς τοὺς ὁποίους συνέβαινον καὶ ἄλλοι νὰ διδάσκωνται, αὐτὸ τὸ θαῦμα ὅμως δὲν ἔγινε μόνον δι' αὐτό, ἀλλὰ διὰ νὰ ἀποστομωθοῦν οἱ ἐχθροί, τοὺς ὁποίους ἐχθροὺς καὶ ἄλλος ψαλμὸς διὰ νὰ δηλώσῃ ἀκριβέστερα, λέγει· «Δι' ἐκείνους ποὺ θέλουν νὰ σὲ ἐξουθενώσουν». Διότι αὐτοὶ ἦσαν ἐκεῖνοι ποὺ τὸν ἔδεσαν καὶ τὸν ὡδηγοῦσαν εἰς τὸν σταυρόν. «Διὰ νὰ ἐξευτελισθῇ κάθε ἐχθρὸς καὶ ἐκδικητής». Ἄλλου· «Ὥστε νὰ σταματήσῃ ὁ ἐχθρὸς καὶ νὰ αὐτοτιμωρηθῇ», ἐννοῶν ἐδῶ τὸν ἰουδαϊκὸν λαόν. Διότι ἐξεδίωκον τὸν Χριστὸν ὡς ἐχθρόν, προσεποιοῦντο δὲ ὅτι τὸ ἔκαμνον πρὸς ἐκδίκησιν ὑπὲρ τοῦ Πατρός. Διὰ τοῦτο, διὰ νὰ τοὺς ἀφαιρέσῃ αὐτὴν τὴν δικαιολογίαν, ἔλεγεν· «Ἐκεῖνος ποὺ μισεῖ ἐμένα, μισεῖ καὶ τὸν

ἐμὲ μισῶν, καὶ τὸν Πατέρα μου μισεῖ»· καὶ πάλιν· «Ὁ πιστεύων εἰς ἐμέ, πιστεύει εἰς τὸν πέμψαντά με», ἄνω καὶ κάτω συνάπτων τῇ πρὸς ἑαυτὸν τιμῇ καὶ ὕβρει τὸν Πατέρα. Καὶ ὅρα τὴν ἀκρίβειαν τοῦ προφήτου. Οὐκ εἶπε, 'τοῦ κολάσαι', ἀλλά, «Τοῦ καταλῦσαι», ὅπερ ὁ ἕτερος σαφέστερον δηλοῖ, λέγων, «Τοῦ παῦσαι», τουτέστι, τὴν ἀναισχυντίαν αὐτῶν ἀνελεῖν, οὐ τοῦ διδάξαι· ἀδιόρθωτα γὰρ ἐνόσουν.

Ὁρῶντες γοῦν τοιοῦτον θαῦμα καὶ μηδὲν ἔχοντες ἀντειπεῖν, πρὸς αὐτὸν ἀπεστρέφοντο, λέγοντες· «Οὐκ ἀκούεις τί οὗτοι λέγουσι;». Δέον λοιπὸν προσκυνῆσαι καὶ θαυμάσαι, οἱ δὲ ἐν ἀμηχανίᾳ ἦσαν πολλῇ, καὶ ὀφείλοντες ἀλλήλοις λέγειν ἕκαστος τῷ πλησίον, «οὐκ ἀκούεις τί οὗτοι λέγουσιν;» ἀφέντες ἑαυτοὺς τῷ Χριστῷ ἔλεγον. Καὶ τίνος ἕνεκεν οὐκ ἀγγέλων ἠνέχθη φωνή; Ὅτι ἐκεῖνο μὲν φάντασμα αὐτοῖς ἔδοξεν ἂν εἶναι, πρὸς τοῦτο δὲ οὐδὲν εἶχον ἀντειπεῖν. Τί δὲ ἔλεγον τὰ παιδία; Οὐδὲν φορτικόν, οὐδὲ ἐπαχθές, οὐδὲ ἱκανὸν αὐτοὺς πλῆξαι, ἀλλὰ μάλιστα τὴν συμφωνίαν τὴν πρὸς τὸν Πατέρα δηλοῦν, «Εὐλογημένος», ἔλεγον, «ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου».

3. Τότε μὲν οὖν κατέλυσεν αὐτῶν τὴν ἀναισχυντίαν, ὕστερον δὲ πόλιν, καὶ μέρος οὐδέν ἐστι τῆς οἰκουμένης τῶν Ἰουδαϊκῶν ἄπειρον συμφορῶν, ἀλλ' ὥσπερ σῶμα ἀνάπηρον, πανταχοῦ διαδέδοται, τὰ τραύματα ἐπιδεικνύμενον· καὶ καθάπερ οἱ δικασταὶ πολλοὺς τῶν ἀνδροφόνων ἐπειδὰν ἀνέλωσιν, ἕνα ἀνασκολοπίζουσιν, ἵνα καὶ τελευτησάντων αὐτῶν, ὥσπερ νεωστὶ γεγενημένον τὸ πάθος σωφρονίζῃ τοὺς ζῶντας· οὕτω δὴ

23. Ἰω. 11, 23.
24. Ἰω. 12, 24.
25. Ματθ. 21, 15 ἑ.

Πατέρα μου»[23]· καὶ πάλιν· «Ἐκεῖνος ποὺ πιστεύει εἰς ἐμένα, πιστεύει εἰς ἐκεῖνον ποὺ μὲ ἔστειλεν εἰς τὸν κόσμον»[24], συνδέων εἰς ὅλας τὰς περιπτώσεις τὸν Πατέρα μὲ τὴν τιμὴν καὶ προσβολὴν τοῦ ἑαυτοῦ του. Καὶ πρόσεχε τὴν ἀκρίβειαν τοῦ προφήτου. Δὲν εἶπε 'διὰ νὰ τιμωρηθῇ', ἀλλά, «διὰ νὰ καταλυθῇ», πρᾶγμα ποὺ διὰ νὰ δηλώσῃ ἄλλος, λέγει, «διὰ νὰ σταματήσῃ», δηλαδὴ διὰ νὰ σταματήσῃ τὴν ἀναισχυντίαν των, ὄχι διὰ νὰ τοὺς διδάξῃ· διότι ἦτο ἀθεράπευτος ἡ ἀσθένειά των.

Βλέποντες λοιπὸν τέτοιο θαῦμα καὶ μὴ ἠμποροῦντες τίποτε νὰ εἰποῦν, ἀπηυθύνοντο πρὸς αὐτὸν λέγοντες· «Δὲν ἀκούεις τί λέγουν αὐτά;». Ἐνῷ ἔπρεπε δηλαδὴ νὰ προσκυνήσουν καὶ νὰ θαυμάσουν, ἀντίθετα αὐτοὶ εὑρίσκοντο εἰς μεγάλην ἀμηχανίαν, καὶ ἐνῷ ἔπρεπεν ἀναμεταξύ των νὰ λέγῃ ὁ καθένας εἰς τὸν πλησίον του, «δὲν ἀκούεις τί λέγουν αὐτά;», ἀφήσαντες τοὺς ἑαυτούς των, ἔκαμνον τὴν ἐρώτησιν αὐτὴν εἰς τὸν Χριστόν. Καὶ διὰ ποῖον λόγον δὲν ἠκούσθη φωνὴ ἀγγέλων; Διότι ἐκεῖνο μὲν θὰ ἦτο δυνατὸν νὰ θεωρηθῇ ἀπὸ αὐτοὺς ὅτι εἶναι φάντασμα, ἐνῷ πρὸς αὐτὸ τὸ θαῦμα δὲν ἠμποροῦσαν καμμίαν ἀντίρρησιν νὰ προβάλουν. Τί ἔλεγον δὲ τὰ παιδιά; Τίποτε τὸ ἐνοχλητικόν, οὔτε δυσάρεστον, οὔτε ἱκανὸν νὰ τοὺς στενοχωρήσῃ, ἀλλὰ κάτι ποὺ κατ' ἐξοχὴν ἐφανέρωνε τὴν συμφωνίαν τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα. «Εὐλογημένος», ἔλεγον, «ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου».

3. Τότε λοιπὸν κατέλυσε τὴν ἀναισχυντίαν των, ἀργότερον δὲ καὶ τὴν πόλιν των καὶ δὲν ὑπάρχει κανὲν μέρος τῆς οἰκουμένης ποὺ νὰ μὴ γνωρίζῃ τὰς ἰουδαϊκὰς συμφοράς, ἀλλὰ ὅπως ἀκριβῶς σῶμα ἀνάπηρον παντοῦ διαδίδει τὴν ἀναπηρίαν, δεικνύων τὰ τραύματά του, καὶ ὅπως ἀκριβῶς οἱ δικασταὶ πολλοὺς ἀπὸ τοὺς δολοφόνους ὅταν τοὺς καταδικάζουν εἰς θάνατον, ἕνα σουβλίζουν, ὥστε καὶ ὅταν πεθάνουν αὐτοί, νὰ σωφρονίζῃ τὸ πάθημά των τοὺς ζῶντας, ὡσὰν κάτι ποὺ συνέβη πρόσφατα, ἔτσι λοι-

καὶ ἐνταῦθα οὐ τελευτήσαντας, ἀλλὰ ζῶντας παράδειγμα πᾶσιν ἐποίησε, διασπείρας αὐτούς· καὶ οἱ μίαν οἰκοῦντες χώραν, νῦν πανταχοῦ τῆς γῆς εἰσι διεσπαρμένοι. Κἂν ἐρωτήσῃς τὴν αἰτίαν, οὐδεμίαν ἄλλην εὑρήσεις, ἀλλ' ἢ τὸ σταυρῶσαι τὸν Χριστόν. Διὰ τί γὰρ οὕτως, εἰπέ μοι, τοῦτο μὴ γέγονεν; Ἀλλ' εἰ καὶ γέγονέ ποτε, εἰς ἔθνος ἓν ἀφωρίσθησαν, καὶ ἐπὶ ἔτεσιν ὀλίγοις, νυνὶ δὲ οὐχ οὕτως, ἀλλ' ἀπέραντα κολάζονται.

Κἂν ἐρωτήσῃς αὐτούς, 'διὰ τί ἐσταυρώσατε τὸν Χριστόν; λέγουσιν, ὡς πλάνον καὶ γόητα ὄντα. Οὐκοῦν ὑπὲρ τούτου τιμηθῆναι ἔδει καὶ πλείονα χώραν προσλαβεῖν, ὡς ἀρέσαντας τῷ Θεῷ. Ὁ γὰρ πλάνον καὶ γόητα καὶ ἀντίθεον ἀνελών, ἐχθρὸν τοῦ Θεοῦ ἀνεῖλε, ὁ δὲ ἐχθρὸν ἀνελών, εὐδοκιμεῖν ἂν εἴη δίκαιος. Νῦν δὲ ὁ μὲν Φινεές, ἵνα μίαν ἀνέλῃ πόρνην, οὕτως εὐδοκίμησε παρὰ τῷ Θεῷ, ὡς καὶ ἱερωσύνης ἀξιωθῆναι καὶ τοσαύτης τιμῆς, ὑμεῖς δέ, οἱ μᾶλλον ἐκείνου ὀφείλοντες εὐδοκιμεῖν πολλῷ, εἴγε πλάνον ἀνείλετε, ἀλῆται καὶ ἀπόλιδες περιάγετε πανταχοῦ. Ὥστε οὐ δι' ἄλλο τι ταῦτα πεπόνθατε, ἀλλ' ἢ ὅτι προστάτην καὶ εὐεργέτην καὶ ἀληθείας διδάσκαλον ἐσταυρώσατε. Εἰ γὰρ πλάνος ἦν καὶ ἀντίθεος, καί, μὴ ὢν Θεός, Θεὸς εἶναι ἐβούλετο, καὶ τὸ τοῦ Πατρὸς σέβας εἰς ἑαυτὸν ἐπεσπᾶτο, καὶ τοῦ Φινεὲς καὶ τοῦ Σαμουήλ, καὶ πάντων ἐκείνων μᾶλλον ὑμᾶς εὐδοκιμῆσαι ἔδει, τοσοῦτον ὑπὲρ τοῦ νόμου ζηλώσαντας. Νυνὶ δέ, ἃ μηδέποτε πεπόνθατε εἰδωλολατροῦντες, ἀσεβοῦντες, παῖδας σφάζοντες, ταῦτα πεπόνθατε νῦν, καὶ λύσις οὐδεμία τῶν δεινῶν, καὶ ἀλῆται καὶ φυγάδες καὶ πλάνοι, καὶ νόμοις Ῥωμαίων δουλεύον-

---

28. Πρόκειται περί τής βαβυλωνείου αιχμαλωσίας.

πόν καὶ ἐδῶ, δὲν τοὺς ἐθανάτωσε, ἀλλὰ διασκορπίσας αὐτούς, τοὺς ἔκαμε ζῶντας παράδειγμα εἰς ὅλους· καὶ αὐτοὶ ποὺ κατοικοῦσαν εἰς μίαν χώραν, τώρα εἶναι διασκορπισμένοι εἰς ὅλα τὰ μέρη τῆς γῆς. Καὶ ἐὰν ζητήσῃς νὰ μάθῃς τὴν αἰτίαν, καμμίαν ἄλλην δὲν θὰ εὕρῃς, παρὰ τὸ ὅτι ἐσταύρωσαν τὸν Χριστόν. Καὶ διατί λοιπόν, εἰπέ μου, αὐτὸ δὲν συνέβη ἔτσι; Ἀλλά, ἂν καὶ συνέβη κάποτε, ὁλόκληρον τὸ ἔθνος ἐξωρίσθη καὶ διὰ ὀλίγα ἔτη[20], τώρα ὅμως δὲν συνέβη τὸ ἴδιο, ἀλλὰ τιμωροῦνται ἀσταμάτητα.

Καὶ ἐὰν ἐρωτήσῃς αὐτούς, 'διατί ἐσταυρώσατε τὸν Χριστόν;' λέγουν, ἐπειδὴ ἦτο πλάνος καὶ γόης. Καὶ βέβαια δι' αὐτὸ ἔπρεπε νὰ τιμηθοῦν καὶ νὰ λάβουν μεγαλυτέραν χώραν, ἐπειδὴ ἐφάνησαν ἀρεστοὶ εἰς τὸν Θεόν. Διότι ἐκεῖνος ποὺ φονεύει πλάνον καὶ γόητα καὶ ἀντίθεον, ἐφόνευσεν ἐχθρὸν τοῦ Θεοῦ, καὶ ἐκεῖνος ποὺ φονεύει ἐχθρόν, δίκαιον θὰ ἦτο νὰ εὐτυχῇ. Τώρα ὅμως ὁ μὲν Φινεές, ἐπειδὴ ἐφόνευσε μίαν πόρνην, τόσην εὐδοκίμησιν ἔλαβεν ἐκ μέρους τοῦ Θεοῦ, ὥστε νὰ ἀξιωθῇ καὶ ἱερωσύνης καὶ τόσον μεγάλης τιμῆς, σεῖς ὅμως, οἱ ὁποῖοι ἔπρεπε νὰ εὐτυχῆτε πολὺ περισσότερον ἀπὸ ἐκεῖνον, ἐφ' ὅσον βέβαια ἐφονεύσατε πλάνον, περιπλανᾶσθε εἰς ὅλα τὰ μέρη τῆς γῆς ὡσὰν ἀλῆται καὶ ἀπάτριδες. Ὥστε αὐτὰ δὲν τὰ ἐπάθατε διὰ κάτι ἄλλο, ἀλλ' ἐπειδὴ ἐσταυρώσατε προστάτην καὶ εὐεργέτην καὶ διδάσκαλον ἀληθείας. Διότι ἐὰν ἦτο πλάνος καὶ ἀντίθεος καὶ ἐὰν ἤθελε νὰ εἶναι Θεός, χωρὶς νὰ εἶναι Θεός, καὶ ἤθελεν ν' ἀποσπάσῃ διὰ τὸν ἑαυτόν του τὸν σεβασμὸν πρὸς τὸν Πατέρα, ἔπρεπε νὰ εὐτυχήσετε σεῖς περισσότερον ἀπὸ τὸν Φινεὲς καὶ τὸν Σαμουὴλ καὶ ἀπὸ ὅλους ἐκείνους, ἀφοῦ τόσον ζῆλον ἐδείξατε ὑπὲρ τοῦ νόμου. Τώρα ὅμως, ἐκεῖνα ποὺ δὲ ἐπάθατε ποτὲ καταφεύγοντες εἰς τὴν εἰδωλολατρίαν, ἀσεβοῦντες καὶ σφάζοντες παιδιά, αὐτὰ τὰ ἐπάθατε τώρα, καὶ ἀπαλλαγὴ ἀπὸ τὰς συμφορὰς δὲν ὑπάρχει καμμία, καὶ εἶσθε ἀλῆται καὶ φυγάδες καὶ περιπλανώμενοι καὶ δοῦλοι τῶν Ρω-

τες, μετέρχεσθε γῆν καὶ θάλατταν, μετανάσται καὶ ἀπόλιδες, ἄοικοι καὶ ἐξηνδραποδισμένοι, ἐλευθερίας καὶ πατρίδος καὶ ἱερωσύνης καὶ πάντων τῶν πρώην ἐκβεβλημένοι, ἐν μέσοις βαρβάροις καὶ μυρίοις ἔθνεσι διεσπαρμένοι, μισούμενοι παρὰ πάντων ἀνθρώπων, βδελυροὶ καὶ πᾶσιν εἰς τὸ κακῶς παθεῖν προκείμενοι. Πάνυ γε· οὐ γὰρ ἐλάβετε τὰ ἔπαθλα ὅτι τοῦ Θεοῦ τὸν ἐχθρὸν ἐσφάξατε· μανία ταῦτα καὶ λῆρος. Ἃ γὰρ πάσχετε νῦν, οὐ τῶν ἐχθροὺς τοῦ Θεοῦ ἀναιρούντων ἐστίν, ἀλλὰ τῶν φίλους διαχρωμένων.

Ἀλλ', ὦ τᾶν, ταῦτα οὐ λέγομεν, φασί· διὰ τὰς ἁμαρτίας ταῦτα πάσχομεν. Νῦν ἐξομολογεῖσθε οἱ ἀπειθεῖς; καὶ ποίας ἁμαρτίας; εἰπέ μοι. Μὴ γὰρ νῦν πρῶτον ἡμαρτήκατε; Νῦν μὲν οὖν καὶ ἐπιεικέστεροι γεγόνατε. Ἀλλὰ μήπω τοῦτο· ἀλλ' ἐκεῖνο ἂν ὑμᾶς ἐροίμην· τίνος ἕνεκεν ἀεὶ ἁμαρτάνοντες πρότερον ἐτυγχάνετε φιλανθρωπίας παρὰ Θεοῦ, νῦν δὲ οὐκέτι, καὶ τὸ δὴ παραδοξότερον, ὅτι καὶ ἐλάττονα νῦν ἁμαρτάνοντες; Τότε μὲν γὰρ καὶ τῷ Βεελφεγὼρ ἐτελεῖσθε, καὶ μόσχον προσεκυνήσατε, καὶ τοὺς υἱοὺς ἐσφάξατε, καὶ τὰς θυγατέρας ὑμῶν ἀνείλετε, καὶ ταῦτα σημείων ἀπολαύοντες· νῦν δὲ οὐ θάλατταν ὁρῶντες σχιζομένην, οὐ πέτραν ῥηγνυμένην, οὐ προφήτας παραγινομένους, οὐ τῆς συνήθους ἀπολαύοντες προνοίας, ὅμως μείζονα ἐπιδείκνυσθε τὴν ἐπιείκειαν· τί δήποτε οὖν, ὅτε καὶ τὰ ἁμαρτήματα ἐλάττονα, καὶ ἡ σωφροσύνη πλείων, μείζων ἡ κόλασις καὶ ἡ τιμωρία; Οὐκ εὔδηλον καὶ τοῖς σφόδρα ἀνοήτοις, ὅτι ἐπειδὴ μεῖζον τὸ νῦν ἁμάρτημα; Ἕως μὲν γὰρ

27. Ἀρ. 25.
28. Ἐξ. 32, 19 ἑ.

μαίων, διασχίζετε γῆν καὶ θάλασσαν, εἶσθε μετανάσται καὶ χωρὶς πόλιν, χωρὶς οἰκίαν καὶ ὑποδουλωμένοι, στερούμενοι τῆς ἐλευθερίας καὶ τῆς πατρίδος καὶ τῆς ἱερωσύνης καὶ ὅλων τῶν ἄλλων ἀγαθῶν, διασπαρμένοι μεταξὺ βαρβάρων καὶ πολλῶν ἄλλων ἐθνῶν, εἶσθε μισητοὶ καὶ ἐκτεθειμένοι εἰς ὅλους πρὸς κακοποίησιν. Καὶ πολὺ σωστά˙ διότι δὲν ἐλάβετε τὰ ἔπαθλα, ἐπειδὴ ἐσφάξατε τόν ἐχθρὸν τοῦ Θεοῦ! ὅλα αὐτὰ εἶναι δείγματα μανίας καὶ ἀνοησίας. Διότι αὐτὰ ποὺ πάσχετε τώρα δὲν εἶναι παθήματα ἐκείνων ποὺ φονεύουν τοὺς ἐχθροὺς τοῦ Θεοῦ, ἀλλὰ ἐκείνων ποὺ κακομεταχειρίζονται φίλους αὐτοῦ.

Ἀλλά, φίλε μου, δὲν λέγομεν, λέγει, αὐτά˙ αὐτὰ τὰ παθαίνομεν ἐξ αἰτίας τῶν ἁμαρτιῶν. Τώρα ἐξομολογεῖσθε σεῖς οἱ ἀπειθεῖς; καὶ εἰπέ μου, ποίας ἁμαρτίας; Μήπως δηλαδὴ τώρα διὰ πρώτην φορὰν ἡμαρτήσατε; Βέβαια τώρα ἐγίνατε καὶ ἐπιεικέστεροι. Ὅμως δὲν συμβαίνει ἀκόμη αὐτό˙ ἀλλ' ἐκεῖνο θὰ ἠμποροῦσα νὰ σᾶς ἐρωτήσω˙ διατί ἂν καὶ προηγουμένως ἡμαρτάνετε συνεχῶς, ὅμως ἐδέχεσθε φιλανθρωπίαν ἐκ μέρους τοῦ Θεοῦ, τώρα ὅμως ὄχι πλέον, καὶ τὸ πιὸ παράδοξον βέβαια εἶναι, ὅτι τώρα διαπράττετε μικρότερα ἁμαρτήματα; Διότι τότε μὲν καὶ εἰς τὰς τελετὰς τοῦ Βεελφεγὼρ μετέσχετε[27] καὶ μόσχον ἐπροσκυνήσατε[28] καὶ τοὺς υἱοὺς ἐσφάξατε καὶ τὰς θυγατέρας σας ἐφονεύσατε καὶ ὅλα αὐτὰ τὴν στιγμὴν ποὺ ἀπολαμβάνατε θαύματα, τώρα ὅμως δὲν βλέπετε θάλασσαν νὰ σχίζεται εἰς τὰ δύο, οὔτε πέτραν νὰ διαρρήγνεται, οὔτε προφήτας νὰ παρουσιάζωνται, οὔτε ἀπολαμβάνετε τὴν συνήθη τότε πρόνοιαν τοῦ Θεοῦ, καὶ ὅμως δείχνετε μεγαλυτέραν ἐπιείκειαν˙ διατί τέλος πάντων λοιπόν, ὅταν καὶ τὰ ἁμαρτήματα εἶναι μικρότερα καὶ ἡ σωφροσύνη μεγαλυτέρα, ὅμως εἶναι μεγαλυτέρα ἡ κόλασις καὶ ἡ τιμωρία; Δὲν εἶναι ὁλοφάνερον καὶ εἰς τοὺς πάρα πολὺ ἀνοήτους, ὅτι αὐτὸ συμβαίνει ἐπειδὴ τώρα εἶναι μεγαλύτερον τὸ ἁμάρτημα; Διότι, ἐν ὅσῳ μὲν ἡμαρτάνετε εἰς τοὺς δούλους, ἐλαμβάνετε

εἰς τοὺς δούλους ἡμαρτάνετε, ἐτυγχάνετε συγγνώμης, προφήτας ἀναιροῦντες καὶ λιθάζοντες, ἐπειδὴ δὲ εἰς τὸν Δεσπότην τὰς χεῖρας ἐξετείνατε, ἀνίατον γέγονεν ὑμῖν τὸ ἕλκος λοιπόν. Διὸ τετρακόσια λοιπὸν ἔτη παρῆλθον, ἀφ᾿ οὗ καὶ αὐτὸ τῆς πόλεως τὸ ἔδαφος ἠφάνισται, ἡ ἱερωσύνη ἀνῄρηται, ἡ βασιλεία λέλυται, τὰ τῶν φυλῶν συγκέχυται, πάντα τὰ σεμνὰ ἐκεῖνα καὶ λαμπρὰ ἠφάνισται, καὶ οὐδὲ ἴχνος παρ᾿ ὑμῖν, ὅπερ οὐδέποτε γέγονεν. Ἀλλ᾿ ἐν ἀρχῇ μέν, καὶ τοῦ ναοῦ καθῃρημένου, οἱ προφῆται παρέμενον, καὶ Πνεύματος χορηγίαι, καὶ θαύματα, νυνὶ δέ, ἵνα σαφῶς μάθητε ὅτι ὁ Θεὸς ὑμᾶς ἀπέστραπται διηνεκῶς, καὶ ταῦτα ἀνῄρηται· καὶ δουλεία, καὶ αἰχμαλωσία, καὶ πάντων ἔκπτωσις κατέλαβε, καὶ τὸ πάντων χαλεπώτερον, Θεοῦ ἐγκατάλειψις.

4. Καὶ ταὐτὸν πεποίηκεν ὁ Θεός, οἷον ἂν εἴ τις δοῦλον ἀγνώμονα πολλάκις μαστιχθέντα καὶ μὴ διορθωθέντα ἀποδύσας τῶν ἱματίων, γυμνόν, ἔρημον, ἀλήτην ἀφῇ πλανᾶσθαι, προσαιτοῦντα καὶ ἐλαυνόμενον πανταχοῦ. Πρότερον δὲ οὐ τοιαῦτα τὰ ὑμέτερα, ἀλλὰ καὶ προφῆται παρ᾿ ὑμῖν, καὶ ἐν Αἰγύπτῳ καὶ ἐν Βαβυλῶνι καὶ ἐν ἐρήμῳ· Μωϋσῆς ἐν Αἰγύπτῳ, ἐν Βαβυλῶνι Δανιὴλ καὶ Ἰεζεκιήλ, ἐν Αἰγύπτῳ πάλιν Ἱερεμίας· καὶ θαύματα ἐπὶ θαύμασι, καὶ λαμπρότερον τὸ ἔθνος ἐγίνετο, τῶν παρ᾿ ὑμῖν αἰχμαλώτων βασιλέων ὑψηλοτέρων γενομένων. Ἀλλὰ νῦν πάντα ἐκεῖνα οἴχεται, καὶ ἡ τιμωρία χαλεπωτέρα τῶν προτέρων, οὐ μόνον τῷ μήκει τοῦ χρόνου, ἀλλὰ καὶ τῇ πολλῇ ἐγκαταλείψει. Τίνος οὖν ἕνεκεν, εἰπέ μοι, ὅτε μείζονα ἡμαρτάνετε, τοσαύτης ἀπελαύετε προνοίας, ὅτε δέ, ὥς φατε, καὶ ἐζηλώσατε ὑπὲρ τοῦ νόμου, χείρονα ἐπάθε-

συγχώρησιν, προφήτας φονεύοντες καὶ λιθοβολοῦντες, ὅταν ὅμως ἡπλώσατε τὰ χέρια σας εἰς τὸν Κύριον, ἀπὸ τότε πλέον ἔγινεν ἀθεράπευτον τὸ τραῦμα. Διὰ τοῦτο τετρακόσια πλέον ἔτη ἐπέρασαν ἀπὸ τότε ποὺ καὶ τὸ ἴδιο τὸ ἔδαφος τῆς πόλεως ἐξηφανίσθη, ἡ ἱερωσύνη κατηργήθη, ἡ βασιλεία κατελύθη, αἱ φυλαὶ ἀνεμείχθησαν, ὅλα ἐκεῖνα τὰ σεμνὰ καὶ λαμπρὰ ἐξηφανίσθησαν καὶ δὲν ὑπάρχει εἰς ἐσᾶς οὔτε ἴχνος αὐτῶν, πρᾶγμα ποὺ ποτὲ δὲν συνέβη. Ἀλλ' εἰς τὴν ἀρχὴν μέν, καὶ ὅταν συνέβαινε νὰ κρημνίζεται ὁ ναός, οἱ προφῆται παρέμενον καὶ ἐδίδοντο αἱ δωρεαὶ τοῦ Πνεύματος καὶ θαύματα ἐγίνοντο, τώρα ὅμως, διὰ νὰ γνωρίσετε καλῶς ὅτι ὁ Θεὸς σᾶς ἀπεστράφη διὰ παντός, καὶ αὐτὰ σᾶς ἀφῃρέθησαν· καὶ σᾶς κατέλαβε δουλεία, αἰχμαλωσία καὶ στέρησις τῶν πάντων, καὶ τὸ φοβερώτερον ἀπὸ ὅλα, σᾶς ἐγκατέλειψεν ὁ Θεός.

4. Καὶ τὸ ἴδιο ἔκαμεν ὁ Θεός, ποὺ κάμνει κάποιος ὅταν δοῦλον ἀχάριστον ποὺ ἐμαστιγώθη πολλὲς φορὲς καὶ δὲν διωρθώθη, τοῦ ἀφαιρεῖ τὰ ἐνδύματα καὶ τὸν ἀφήνει γυμνόν, ἔρημον καὶ ἀλήτην περιπλανώμενον, περιφερόμενον παντοῦ καὶ ζητιανεύοντα. Παλαιότερα ὅμως ἐκεῖνα ποὺ συνέβαιναν σὲ σᾶς δὲν ἦσαν τέτοια, ἀλλὰ καὶ προφήτας εἴχατε καὶ εἰς τὴν Αἴγυπτον καὶ εἰς τὴν Βαβυλῶνα καὶ εἰς τὴν ἔρημον· ὁ Μωυσῆς εἰς τὴν Αἴγυπτον, εἰς τὴν Βαβυλῶνα ὁ Δανιὴλ καὶ ὁ Ἰεζεκιήλ, εἰς τὴν Αἴγυπτον πάλιν ὁ Ἰερεμίας· καὶ θαύματα ἐγίνοντο τὸ ἕνα μετὰ τὸ ἄλλο, καὶ λαμπρότερον τὸ ἔθνος ἐγίνετο, καὶ οἱ αἰχμάλωτοι βασιλεῖς σας ἐγίνοντο λαμπρότεροι. Ἀλλὰ τώρα ὅλα ἐκεῖνα ἐξηφανίσθησαν καὶ ἡ τιμωρία εἶναι φοβερωτέρα ἀπὸ τὰς προηγουμένας τιμωρίας, ὄχι μόνον ὡς πρὸς τὸ μέγεθος τοῦ χρόνου, ἀλλὰ καὶ ὡς πρὸς τὸ ὅτι εἶναι μεγαλυτέρα ἡ ἐγκατάλειψις ἐκ μέρους τοῦ Θεοῦ. Διότι εἰπέ μου, διὰ ποῖον λόγον, ὅταν διεπράττετε μεγαλύτερα ἁμαρτήματα, ἀπολαμβάνετε τόσον μεγάλην πρόνοιαν, ὅταν δέ, ὅπως λέγετε, καὶ ἐδείξατε μεγαλύτερον ζῆλον διὰ τὸν νό-

τε; Ἀπὸ γὰρ τούτου ἀδικίαν καταγινώσκετε τοῦ Θεοῦ, ὅτι ἁμαρτάνοντας μὲν ἐτίμα, κατορθοῦντας δὲ ἠτίμασεν. Εἰ γὰρ πλάνον ἀνείλετε, ὥς φατε, καὶ κατωρθώσατε· ἤ, εἰ δίκαιος ὁ Θεός, ὥσπερ οὖν καὶ δίκαιος, τιμᾶν ὑμᾶς ἔδει, οὐχὶ κολάζειν· εἰ δὲ κολάζει, εὔδηλον ὅτι τὰ νῦν ἁμαρτήματα ὑμῶν χαλεπώτερα. Εἰ δὲ οὔτε ἀσεβεῖτε νῦν, οὔτε τέκνα θύετε, ὡς πρὸ τούτου, ποῖον ἄλλο ἁμάρτημά ἐστι δι' ὃ χαλεπώτερα ἐπάθετε; Ἢ εὔδηλον, ὅτι τὸ τοῦ σταυροῦ τόλμημα ὁ κολοφὼν τῶν κακῶν; Τοῦτο καὶ εἰδωλολατρίας καὶ μοσχοποιίας καὶ παιδοκτονίας μᾶλλον ὑμᾶς ἀπώλεσεν. Οὐ γάρ ἐστιν ἴσον, υἱὸν σφάξαι τὸν ἑαυτοῦ, καὶ Δεσπότην τὸν ἑαυτοῦ σταυρῶσαι. Διὰ τοῦτο, ὅτε μὲν τοὺς υἱοὺς ἔσφατες, φιλανθρωπίας ἀπέλαυες, ὅτε δὲ τοῦ Θεοῦ τὸν Υἱὸν καὶ σὸν Δεσπότην, ἀσύγγνωστα λοιπὸν κολάζῃ.

Πόσα ἔτη ἀπὸ τῆς ἐξόδου τῆς κατ' Αἴγυπτον ἕως τῆς τοῦ Χριστοῦ παρουσίας; Οἶμαι χίλια πεντακόσια εἶναι καὶ πλείονα. Πῶς οὖν ἐν τούτοις ἅπασιν ἁμαρτάνοντας ὑμᾶς ἔφερε, νῦν δὲ ὑμᾶς ἔρριψεν, ὅτε μάλιστα στεφανῶσαι ἔδει, κἂν πολλὰ ἡμαρτηκότες ἦτε; Τὸ γὰρ κατόρθωμα ὑμῶν πολὺ μέγιστον ἦν, εἴγε πλάνον ἐσφάξατε. Μετὰ δὲ τούτου καὶ σάββατα δοκεῖτε φυλάττειν νῦν, καὶ εἴδωλα οὐ προσκυνεῖτε, καὶ τὰ ἄλλα φιλονεικεῖτε διατηρεῖν. Ὅτε τοίνυν καὶ ὁ βίος ὑμῶν βελτίων, καὶ τὸ κατόρθωμα, ὥς φατε, τοσοῦτον, τότε τὰ ἔ-

μον τοῦ Θεοῦ, ἐπάθατε χειρότερα; Ἐξ αἰτίας αὐτοῦ βέβαια ἀποδίδετε ἀδικίαν εἰς τὸν Θεόν, διότι ὅταν μὲν ἡμαρτάνατε σᾶς ἐτιμοῦσε, ὅταν δὲ διεπρέψατε εἰς τὴν ἀρετὴν σᾶς περιεφρόνησεν. Διότι, ἐάν, ὅπως λέγετε, ἐφονεύσατε πλάνον, τότε καὶ διεπρέψατε μεγάλο κατόρθωμα, καί, ἐὰν ὁ Θεὸς εἶναι δίκαιος, ὅπως βέβαια καὶ εἶναι δίκαιος, ἔπρεπε νὰ σᾶς τιμᾷ, ὄχι νὰ σᾶς τιμωρῇ· ἐὰν δὲ σᾶς τιμωρῇ, εἶναι ὁλοφάνερον ὅτι τὰ σημερινὰ ἁμαρτήματά σας εἶναι φοβερώτερα. Ἐὰν δὲ οὔτε ἀσεβῆτε τώρα, οὔτε τέκνα θυσιάζετε, ὅπως ἀκριβῶς πρὶν ἀπὸ αὐτό τό ἁμάρτημά σας, ποῖο ἄλλο ἁμάρτημα εἶναι ἐκεῖνο ἐξ αἰτίας τοῦ ὁποίου ἐπάθατε φοβερώτερα; Δὲν εἶναι ὁλοφάνερον, ὅτι τό τόλμημα τοῦ σταυρικοῦ θανάτου τοῦ Χριστοῦ εἶναι τό ἀποκορύφωμα τῶν κακῶν σας; Αὐτό σᾶς ἐπροξένησε μεγαλυτέραν καταστροφὴν καὶ ἀπὸ τὴν εἰδωλολατρίαν καὶ ἀπὸ τὴν λατρείαν τοῦ μόσχου καὶ ἀπὸ τὴν παιδοκτονίαν. Διότι δὲν εἶναι ἴσον τό νὰ σφάξῃ κανεὶς τὸν υἱόν του καὶ τὸ νὰ σταυρώσῃ τὸν Κύριόν του. Διὰ τοῦτο, ὅταν μὲν ἔσφαζες τοὺς υἱούς σου, ἀπελάμβανες φιλανθρωπίαν, ὅταν ὅμως ἐφόνευσες τόν Υἱὸν τοῦ Θεοῦ καὶ τόν ἰδικόν σου Κύριον, τιμωρεῖσαι πλέον ἀσυγχώρητα.

Πόσα χρόνια πέρασαν ἀπὸ τὴν ἔξοδόν σας ἀπὸ τὴν Αἴγυπτον μέχρι τὴν παρουσίαν τοῦ Χριστοῦ εἰς τὴν γῆν; Νομίζω εἶναι χίλια πεντακόσια καὶ περισσότερα. Πῶς λοιπόν κατὰ τὴν διάρκειαν ὅλων αὐτῶν τῶν χρόνων ἂν καὶ διεπράττατε ἁμαρτήματα σᾶς ἔφερεν εἰς τὴν πατρίδα σας, τώρα δὲ σᾶς περιεφρόνησε, τὴν στιγμὴν μάλιστα ποὺ ἔπρεπε νὰ σᾶς στεφανώσῃ, ἔστω καὶ ἂν διεπράξατε πολλὰ ἁμαρτήματα; Διότι τὸ κατόρθωμά σας ἦτο πολὺ πιό μεγαλύτερον, ἐὰν βέβαια ἐσφάξατε πλάνον. Μαζὶ μὲ αὐτό δὲ καὶ σάββατα φαίνεσθε νὰ φυλάσσετε σήμερα καὶ εἴδωλα δὲν προσκυνεῖτε καὶ τὰ ἄλλα ἰσχυρίζεσθε ὅτι τὰ φυλάσσετε. Ὅταν λοιπὸν καὶ ὁ βίος σας ἐκαλυτέρευσε καὶ τὸ κατόρθωμά σας, ὅπως ἰσχυρίζεσθε, τόσον μεγάλο εἶναι,

σχατα πάσχετε. Τί ταύτης τῆς μανίας γένοιτ' ἂν χεῖρον; τί τῆς ἀνοίας, ὅτι ὑπὲρ ὑμῶν αὐτῶν ἀπολογήσασθαι βουλόμενοι, εἰς τὸν Θεὸν βλασφημεῖτε; Εἰ γὰρ οὐ μεῖζον τὸ ἁμάρτημα τὸ κατὰ Χριστοῦ πάντων ἐκείνων, ἀλλὰ καὶ δικαίωμα, ὥς φατε, καὶ κατόρθωμα, τί δήποτε κατορθοῦντας μὲν κολάζει, ἁμαρτανόντων δὲ ἐφείδετο; Τοῦτο γὰρ οὐχ ὁ Θεός, ἀλλ' οὐδὲ ἄνθρωπος ὅστις δήποτε νοῦν ἔχων ἀνάσχοιτο ἂν ποιῆσαι. Ἀλλὰ τί φασι πρὸς ταῦτα; Ἐρρίφημεν, ἵνα καὶ διδάσκαλοι γενώμεθα τῆς οἰκουμένης. Λῆρος ταῦτα καὶ φλυαρίαι. Τοὺς γὰρ μέλλοντας εἶναι διδασκάλους πρότερον αὐτοὺς κατωρθωκέναι δεῖ, καὶ τότε πέμπεσθαι εἰς τοῦτο· οἷοι ἦσαν οἱ προφῆται, οἱ ἀπόστολοι. Ὅταν δὲ αὐτοὶ διεστραμμένοι ὦσι καὶ πάσης γέμοντες κακίας, πῶς ἂν εἰς τὸ διδάσκειν ἐξηνέχθησαν;

Ἴδωμεν τοίνυν οἷος αὐτῶν καὶ ὁ πρὸ τούτου βίος. Εὑρήσομεν γὰρ θηρίων ὄντας χαλεπωτέρους. Καὶ γὰρ πατραλοῖαι καὶ παιδοκτόνοι καὶ εἰδωλολάτραι καὶ πλεονέκται γεγόνασι· καὶ τούτων εἰσὶν αἱ προφητεῖαι πλήρεις. Καὶ τὸ μὲν λάγνον ὑμῶν Ἱερεμίας δηλῶν, ἔλεγεν· «Ἵπποι θηλυμανεῖς ἐγεννήθησαν· ἕκαστος ἐπὶ τὴν γυναῖκα τοῦ πλησίον ἐχρεμέτιζε». Τί ταύτης τῆς ἀκαθαρσίας χεῖρον; Οὐ γὰρ ὡς ἄνθρωποι συνεγίνοντο ταῖς ἀλλήλων γυναιξί· διὸ καὶ τὴν μανίαν αὐτῶν χρεμετισμὸν ἐκάλεσε. Καὶ οὐχὶ πορνείαν μόνον, ἀλλὰ καὶ μοιχείαν αὐτοῖς ἐγκαλεῖ, καὶ ταύτην ἀνέδην γινομένην, καθάπερ ἐπὶ τῶν ἀλόγων. Ἕτερος δὲ προφήτης φησίν· «Εἰσῆλθον πρὸς τὴν γυναῖκα ποιοῦντες παραπετάσματα, υἱὸς καὶ πατὴρ πρὸς

29. Ἱερ. 5, 8.

τότε πάσχετε τά πιό χειρότερα. Τί θά ἠμποροῦσε νά ὑπάρξη χειρότερον ἀπό αὐτήν τήν μανίαν; Τί χειρότερον ἀπό αὐτήν τήν ἀνοησίαν σας, διότι, θέλοντες νά δικαιολογήσετε τόν ἑαυτόν σας, βλασφημεῖτε εἰς τόν Θεόν; Διότι, ἐάν τό ἁμάρτημά σας κατά τοῦ Χριστοῦ δέν ἦτο μεγαλύτερον ἀπό ὅλα ἐκεῖνα, ἀλλ' ἀντιθέτως ἦτο πρᾶξις δικαία, ὅπως ἰσχυρίζεσθε, καί κατόρθωμα, διατί τέλος πάντων ὅταν μέν διαπράττετε κατορθώματα σᾶς τιμωρεῖ ὁ Θεός, ἐνῷ ὅταν ἡμαρτάνατε σᾶς εὐσπλαγχνίζετο; Ὅμως αὐτό, ὄχι ὁ Θεός, ἀλλ' οὔτε ὁποιοσδήποτε ἄνθρωπος πού ἔχει νοῦν θά ἠμποροῦσε νά τό κάμῃ. Ἀλλά τί λέγουν δι' αὐτά; Ἀπερρίφθημεν, ὥστε νά γίνωμεν καί διδάσκαλοι τῆς οἰκουμένης. Αὐτά εἶναι ἀνοησίαι καί φλυαρίαι. Διότι ἐκεῖνοι πού πρόκειται νά γίνουν διδάσκαλοι προηγουμένως οἱ ἴδιοι πρέπει νά διαπρέψουν καί μετά ν' ἀποστέλλωνται διά τό ἔργον αὐτό· τέτοιοι ἦσαν οἱ προφῆται καί οἱ ἀπόστολοι. Ὅταν δέ αὐτοί εἶναι διεστραμμένοι καί γεμᾶτοι ἀπό κάθε κακίαν, πῶς θά ἦτο δυνατόν ν' ἀσκήσουν τό ἔργον τοῦ διδασκάλου;

Ἄς ἰδοῦμεν λοιπόν ποῖος ἦτο καί ὁ προηγούμενος τρόπος ζωῆς των. Πράγματι θά εὕρωμεν νά εἶναι χειρότεροι καί ἀπό τά θηρία. Καθ' ὅσον καί πατροκτόνοι ἔγιναν καί παιδοκτόνοι καί εἰδωλολάτραι καί πλεονέκται· καί ἀπό αὐτά αἱ προφητεῖαι εἶναι γεμᾶται. Καί τήν μέν φιληδονίαν σας θέλων ὁ Ἱερεμίας νά δηλώση, ἔλεγεν· «Ἔγιναν θηλυμανῆ ἄλογα· ὁ καθένας ὡσάν ἄλογο ἐχλιμίντριζε διά τήν γυναῖκα τοῦ πλησίον»[28]. Τί ὑπάρχει χειρότερον ἀπό αὐτήν τήν ἀκαθαρσίαν; Διότι δέν ἐφέροντο πρός τάς γυναῖκας των ὡσάν ἄνθρωποι· διά τοῦτο καί ὠνόμασε τήν μανίαν των χλιμεντρισμόν. Καί ὄχι μόνον διά πορνείαν, ἀλλά καί διά μοιχείαν τούς κατηγορεῖ, καί αὐτήν τήν διέπραττον κατά τρόπον ἀχαλίνωτον, ὅπως ἀκριβῶς συμβαίνει μέ τά ἄλογα. Ἄλλος δέ προφήτης λέγει· «Εἰσῆλθον πρός τήν ἰδίαν γυναῖκα μεταχειριζόμενοι προσχήματα, πρός τήν

τὴν αὐτὴν παιδίσκην». Διὰ τοῦτο οὖν διδασκάλους, εἰπέ μοι, ἔπεμψεν ὑμᾶς, ἵνα μάθωμεν πορνείας καὶ μοιχείας, καὶ ὅτι δεῖ τὴν αὐτὴν εὐνὴν ἔχειν πατέρα καὶ υἱόν; Τί δὲ ὁ Ἰεζεκιήλ; Οὐδὲ κατὰ τὰ νόμιμα τῶν ἐθνῶν ἐποιήσατε, φησί. Τοὺς οὖν ἐθνῶν χείρους, τούτους ἔπεμψε διδασκάλους; εἰπέ μοι. Τὰς δὲ μιαιφονίας αὐτῶν τίς ἂν ἐνέγκοι; Υἱοὺς γὰρ καὶ θυγατέρας κατέσφαξαν τοῖς δαιμονίοις, καὶ κατέκαιον αὐτούς. Δείκνυσι καὶ τοῦτο ὁ Δαυὶδ λέγων· «Καὶ ἔσφαξαν τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις». Διὰ ταῦτα οὖν ἀπέστειλεν, ἵνα μάθῃ τοῦτο τῶν ἀνθρώπων ἡ φύσις, ὅτι υἱοὺς δεῖ κατασφάττειν καὶ θυγατέρας; Οὐκ αἰσχύνεσθε, οὐδὲ ἐγκαλύπτεσθε τοιαύτας ληδωρίας συντιθέντες; Καὶ γὰρ ἕτερός φησιν· «Αἵματα ἐφ' αἵμασι μίσγουσι· καὶ ἀρὰ καὶ ψεῦδος καὶ κλοπὴ καὶ φόνος καὶ μοιχεία κέχυται ἐπὶ τῆς γῆς». Ἄλλος δέ, ὅτι «Ὄψις πόρνης ἐγένετό σοι, ἀπηναισχύντησας πρὸς πάντας». Ἕτερος πάλιν· «Οἱ ἄρχοντες ὑμῶν ὡς λύκοι τῆς Ἀραβίας». Ἄλλος πάλιν· «Οὐκ ἔστιν ὁ συνιών, οὐκ ἔστιν ὁ ἐκζητῶν τὸν Θεόν. Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν».

5. Ταῦτα οὖν ἐξήλθετε διδάσκοντες, ἀναισχυντίαν, ἄνοιαν, πορνείαν, μοιχείας, φόνους, πᾶσαν κακίας ὁδόν; Οὐ παύεσθε ἀναγκάζοντες ἡμᾶς τὰ κακὰ ὑμῶν ἐκπομπεύειν; Ὑμεῖς «Οἱ αἱρόμενοι ἐκ κοιλίας, καὶ παιδευόμενοι ἕως γήρως»· ὑμεῖς τυφλοί καὶ εἰς βόθυνον ἀλλήλους ἐμβάλλοντες. «Τυφλὸς γὰρ τυφλόν», φησίν, «ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον ἐμπεσοῦνται». Οἱ καθ' ἑκάστην προφητῶν ἀπολαύοντες, καὶ μη-

30. Ἀμὼς 2, 7.
31. Ἰεζ. 5, 7.
32. Ψαλμ. 105, 37.
33. Ὠσηὲ 4, 2.
34. Ἱερ. 3, 3.
35. Ἰεζ. 22, 27.
36. Ψαλμ. 13, 2-3.
37. Ἠσ. 46, 3.
38. Ματθ. 15, 14. Λουκᾶ 6, 39.

Φεύγωμεν τοίνυν αὐτῶν τοὺς συλλόγους, καὶ μαθόντες τοῦ Μονογενοῦς τὴν προαιώνιον ὕπαρξιν, τὴν δημιουργικὴν δύναμιν, τὴν ἐξουσίαν τὴν αὐθεντικήν, τὸ ἀπαράλλακτον αὐ-

Ὥστε παραμένοντα Υἱὸν νὰ τὸν τιμᾶτε ὅπως τὸν Πατέρα. Ἂν ὅμως ὀνομάσης τὸν Υἱὸν Πατέρα, ὅλα τὰ ἔχεις συγχύσει. Ἐφ' ὅσον λοιπὸν παραμένει αὐτὴ ἡ ἰδιότης, εἶναι κοινὰ τὰ τῆς τιμῆς. Διὰ τοῦτο λοιπὸν εἶπεν Υἱὸν καὶ Πατέρα, διὰ νὰ μὴ συγχέετε τὰς ὑποστάσεις. Ἐὰν δὲ δὲν ἦτο ἡ ἰδία οὐσία, πῶς θὰ ἠμποροῦσε νὰ ἀπαιτήση ἴσην τιμήν;

Διατί λοιπόν, λέγει, ὁ Χριστὸς λέγει πολλὰ ταπεινὰ λόγια; Καὶ διὰ νὰ διδάξη ταπεινοφροσύνην καὶ ἐπειδὴ φέρει τὴν ἀνθρωπίνην σάρκα καὶ λόγῳ τῆς ἀναισθησίας τῶν Ἰουδαίων, καὶ ἐπειδὴ πρέπει σιγὰ-σιγὰ νὰ ὁδηγήση εἰς γνῶσιν τὸ ἀνθρώπινον γένος καὶ ἐξ αἰτίας τῆς πνευματικῆς ἀτελείας τῶν ἀκροατῶν του· ἄλλως τε πολλὲς φορὲς ὁμιλεῖ ἀνάλογα μὲ τὴν πνευματικὴν ἱκανότητα τῶν ἀκροατῶν του. Διότι τὰ πνευματικὰ ἀνώτερα ἀνήκουν μόνον εἰς τὴν ἀξίαν· μᾶλλον δὲ ὅ,τι καὶ ἂν εἰπῆς περὶ τοῦ Θεοῦ, εἶναι πάρα πολὺ κατώτερον τῆς θείας ἐκείνης οὐσίας καὶ λέγεται κατὰ συγκατάβασιν. Τί δηλαδὴ θέλεις νὰ εἰπῆς; Ὅτι εἶναι μέγας ὁ Θεός; Ἀλλὰ αὐτὸ λεγόμενον περὶ τοῦ Θεοῦ εἶναι μικρόν· διότι τὸ μέγα ὅσο μεγάλο καὶ ἂν εἶναι, εἶναι πεπερασμένον. Ἀλλ' ὁ Θεὸς εἶναι ἄπειρος. Καὶ αὐτὸ λεγόμενον περὶ τοῦ Θεοῦ εἶναι μικρόν. Διότι, ὅτι μὲν δὲν ἔχει πέρας, τὸ γνωρίζω, ἀλλὰ δὲν γνωρίζω οὔτε τί εἶναι, οὔτε ποῦ εὑρίσκεται. Καὶ εἴτε σοφὸν τὸν ὀνομάσης, εἴτε ἀγαθὸν τὸν εἰπῆς, καὶ αὐτὰ ἔστω καὶ εἰς ἄπειρον βαθμόν, τίποτε δὲν εἶπες ἀντάξιον τῆς οὐσίας ἐκείνης, ἀλλὰ πρέπει νὰ ἀποδίδης εἰς τὸν λόγον θεοπρεπῆ ἔννοιαν. Ἐὰν λοιπὸν τὰ τόσον μεγάλα δὲν ἀποδίδουν τὴν ἀξίαν, ποίας συγγνώμης θὰ ἠμποροῦσαν νὰ εἶναι ἄξιοι ἐκεῖνοι ποὺ προσπαθοῦν καὶ αὐτὰ νὰ τὰ κολοβώνουν;

Ἂς ἀποφεύγωμεν λοιπὸν τοὺς συλλόγους αὐτῶν, καὶ ἀφοῦ ἐγνωρίσαμεν τοῦ Μονογενοῦς Υἱοῦ τὴν προαιώνιον ὕπαρξιν, τὴν δημιουργικὴν δύναμιν, τὴν αὐθεντικὴν ἐξουσίαν, τὴν τελείαν ὁμοιότητα αὐτοῦ πρὸς τὸν Πατέρα,

τοῦ τὸ πρὸς τὸν Πατέρα, τῆς οἰκονομίας τὴν συγκατάβασιν, τῆς περὶ ἡμᾶς κηδεμονίας τὴν πολυειδῆ πρόνοιαν (ταῦτα γὰρ ἅπαντα καὶ τούτων πλείονα ὁ θησαυρὸς ὁ ἐν τῷ ψαλμῷ κείμενος διδάσκει τοὺς μετὰ ἀκριβείας προσέχοντας), διατηρῶμεν τῶν δογμάτων τὴν ἀκρίβειαν, καὶ πολιτείαν ἀξίαν ἐπιδειξώμεθα, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τὴν συγκατάβασιν τῆς οἰκονομίας, τὴν πολύμορφον πρόνοιαν τῆς κηδεμονίας του δι' ἡμᾶς (διότι ὅλα αὐτὰ καὶ περισσότερα ἀπὸ αὐτὰ διδάσκει ὁ θησαυρὸς ποὺ εὑρίσκεται εἰς τὸν ψαλμὸν εἰς ἐκείνους ποὺ προσέχουν μὲ ἀκρίβειαν), ἂς διατηρῶμεν τὴν ἀκρίβειαν τῶν δογμάτων, καὶ ἂς ἐπιδείξωμεν ἀντάξιον τρόπον ζωῆς, ὥστε νὰ ἐπιτύχωμεν καὶ τὰ μελλοντικὰ ἀγαθά, τὰ ὁποῖα εὔχομαι ὅλοι μας ν' ἀξιωθῶμεν ν' ἀπολαύσωμεν, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα συγχρόνως δὲ καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ
ΕΙΣ ΤΟΝ Θ΄ ΨΑΛΜΟΝ

«*Εἰς τὸ τέλος ὑπὲρ τῶν κρυφίων τοῦ υἱοῦ, ψαλμὸς τῷ Δαυίδ*». Ἄλλος· «*Ἐπινίκιον ὑπὲρ τοῦ θανάτου τοῦ υἱοῦ, ᾆσμα τῷ Δαυίδ*». Ἄλλος· «*Νεανικότητος τοῦ υἱοῦ*».

«*Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου*».

1. Μακρὸς οὗτος ὁ ψαλμός. Καὶ τοῦτο δὲ τῆς σοφίας τοῦ Πνεύματος. Οὔτε γὰρ πάντας βραχεῖς ἐποίησεν οὔτε πάντας εἰς μῆκος ἐξήγαγεν, ἀλλ' ἐποίκιλε καὶ τῷ μέτρῳ τὸ βιβλίον, τῷ μὲν μήκει διεγείρων τὴν ῥαθυμίαν, τῇ δὲ βραχύτητι διαναπαύων τὸν κάματον. «Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου». Διπλοῦν τὸ τῆς ἐξομολογήσεως εἶδός ἐστιν. Ἢ γὰρ τῶν οἰκείων ἁμαρτημάτων ἐστὶ κατάγνωσις, ἢ εὐχαριστία εἰς τὸν Θεόν. Ἐνταῦθα μέντοι τὴν εὐχαριστίαν δηλοῖ. Τί δέ ἐστιν, «Ἐν ὅλῃ καρδίᾳ μου»; Μετὰ προθυμίας ἁπάσης, μετὰ σπουδῆς, φησίν. Οὐχ ὑπὲρ εὐημερίας, ἀλλὰ καὶ ἐπὶ τοῖς ἐναντίοις. Τοῦτο γὰρ μάλιστα εὐχαρίστου, τοῦτο φιλοσόφου ψυχῆς, τὸ καὶ ἐν τοῖς λυπηροῖς εὐχαριστεῖν, τὸ ὑπὲρ ἁπάντων δοξάζειν, μὴ μόνον ὑπὲρ τῶν εὐεργεσιῶν, ἀλλὰ καὶ ὑπὲρ τῶν τιμωριῶν. Τοῦτο γὰρ πλείονος μισθοῦ πρόξενον. Ἐπὶ μὲν γὰρ τῶν ἀγαθῶν εὐχαριστῶν, χρέος ἀποδέδωκας, ἐπὶ δὲ τῶν κακῶν,

1. Ὁ ψαλμὸς αὐτὸς εἶναι ψαλμὸς τοῦ Δαυὶδ καὶ ἠμπορεῖ νὰ χαρακτηρισθῇ ὡσὰν κάποιο ἐπινίκιον ἢ θριαμβευτικὸν ᾆσμα, εἰς τὸ ὁποῖον κυριαρχεῖ ἡ αἴνεσις καὶ δοξολογία μετὰ τὴν ἀπόκρουσιν καὶ κατάρρευσιν τῶν ἐχθρῶν. Ἡ ἐπιγραφὴ «ὑπὲρ τῶν κρυφίων τοῦ υἱοῦ» ἑρμηνεύεται ποικιλοτρόπως. Πολλοὶ δέχονται ὅτι τὸ περιεχόμενόν του εἶναι μεσσιακὸν καὶ ἀναφέρεται εἰς τὸ ὅλον μυστήριον τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ καὶ ἰδίως εἰς τὸν θάνατον, τὴν εἰς Ἅδου κάθοδον, τὴν Ἀνάστασιν καὶ Ἀνάληψιν αὐτοῦ ποὺ ἀποτελοῦν τὸ ἐπισφράγισμα τῶν κρυφίων τοῦ Χριστοῦ ἐν τῷ μυστηρίῳ. Ἄλλοι, ὡς ὁ Ζιγαβηνός, δέχονται καὶ τὸν μεσσιακὸν χαρακτῆρα αὐτοῦ, ἀλλὰ πολλὰ λε-

ΟΜΙΛΙΑ
ΕΙΣ ΤΟΝ Θ΄ ΨΑΛΜΟΝ[1]

«Εἰς τὸ τέλος ὑπὲρ τῶν κρυφίων τοῦ υἱοῦ· ψαλμὸς τοῦ Δαυΐδ». Ἄλλη ἐπιγραφή· «Ἐπινίκιον ὑπὲρ τοῦ θανάτου τοῦ υἱοῦ, ἆσμα τοῦ Δαυΐδ». Ἄλλη· «Περὶ τῆς νεανικότητος τοῦ υἱοῦ».

«Θὰ σὲ εὐχαριστήσω, Κύριε, καὶ θὰ σὲ δοξάσω μὲ ὅλην τὴν καρδίαν μου, θὰ διηγηθῶ ὅλα τὰ θαυμαστὰ ἔργα σου».

1. Αὐτὸς ὁ ψαλμὸς εἶναι μακρός. Καὶ αὐτὸ εἶναι γνώρισμα τῆς σοφίας τοῦ Πνεύματος. Διότι οὔτε ὅλους τοὺς συνέθεσε συντόμους, οὔτε ὅλους τοὺς κατέστησε μακρούς, ἀλλὰ ἐποίκιλε τὸ βιβλίον τῶν ψαλμῶν καὶ μὲ τὸ μέτρον, μὲ τὸ μὲν μῆκος διεγείρων τὴν ραθυμίαν, μὲ τὴν δὲ συντομίαν ἐπαναπαύων ἀπὸ τὴν κούρασιν. «Θὰ σὲ εὐχαριστήσω καὶ θὰ σὲ δοξάσω, Κύριε, μὲ ὅλην τὴν καρδίαν μου, θὰ διηγηθῶ ὅλα τὰ θαυμαστὰ ἔργα σου». Εἶναι διπλῆ ἡ ἔννοια τῆς ἐξομολογήσεως. Ἢ δηλαδὴ δηλώνει ἀναγνώρισιν καὶ καταδίκην τῶν ἁμαρτημάτων μας, ἢ εὐχαριστίαν εἰς τὸν Θεόν. Ἐδῶ βέβαια δηλώνει τὴν εὐχαριστίαν. Τί σημαίνει δὲ «Ἐν ὅλῃ καρδίᾳ μου»; Μὲ ὅλην τὴν προθυμίαν, μὲ πολλὴν φροντίδα, λέγει. Ὄχι ὑπὲρ τῆς εὐημερίας, ἀλλὰ καὶ διὰ τὴν ἀντίθετον περίπτωσιν. Διότι αὐτὸ εἶναι πρὸ πάντων δεῖγμα εὐχαρίστου, αὐτὸ δεῖγμα εὐσεβοῦς ψυχῆς, τὸ νὰ εὐχαριστῇ καὶ διὰ τὰ δυσάρεστα, τὸ νὰ δοξάζῃ τὸν Θεὸν δι' ὅλα, ὄχι μόνον διὰ τὰς εὐεργεσίας, ἀλλὰ καὶ διὰ τὰς τιμωρίας. Καθ' ὅσον αὐτὸ γίνεται αἰτία μεγαλυτέρας ἀμοιβῆς. Εὐχαριστῶν δηλαδὴ τὸν Θεὸν διὰ τὰ ἀγαθά, ἐκπληρώνεις τὸ χρέος σου, ὅταν ὅμως τὸν εὐχαριστῇς διὰ

γόμενα εἰς αὐτὸν ἐξηγοῦνται μόνον ἱστορικῶς καὶ ἐφαρμόζονται μόναν εἰς τὸν Δαυΐδ.

τὸν Θεὸν ὀφειλέτην κατέστησας. Ὁ μὲν γὰρ εὖ παθών, καὶ χάριν εἰδώς, ἀπέδωκε τὴν ὀφειλήν, ὁ δὲ κακῶς παθών, καὶ δοξάζων, ὄφλημα κατεσκεύασεν. Ἀντὶ τῆς εὐχαριστίας οὖν ταύτης πολλὰ ἕτερα ἀγαθὰ ἀποδίδωσιν ὁ Θεὸς καὶ τότε καὶ νῦν· ὥστε οὐδὲ αἴσθησιν ληψόμεθα τῶν δεινῶν. Οὐδεὶς γὰρ ὑπὲρ ὧν χάριν οἶδε τῷ Θεῷ, ὑπὲρ τούτων ἀλγεῖ· ὥστε καὶ ἕτερον καρπωσόμεθα κέρδος τὸ διακρούεσθαι τὴν ἀθυμίαν.

Ὅταν γὰρ ἀποστερηθῇς χρημάτων καὶ εὐχαριστήσῃς, οὐ τοσοῦτόν σε ἡ ζημία δύναται δάκνειν, ὅσον ἡ εὐχαριστία εὐφραίνει. Τοῦτο τῷ διαβόλῳ καιρία πληγή· τοῦτο ποιεῖ τὴν διάνοιαν φιλόσοφον· τοῦτο τὴν ἀληθινὴν περὶ τῶν παρόντων πραγμάτων ἐγκατασκευάζει κρίσιν. Πολλοὶ γὰρ τῶν ἀνθρώπων οὐ τὴν οὖσαν ψῆφον ἔχουσι περὶ τῶν ἐνταῦθα· διὸ καὶ ἀθυμοῦσιν. Οὕτω καὶ οἱ μαινόμενοι φοβοῦνται τὰ οὐ φοβερά, καὶ τὰ οὐχ ἑφεστῶτα πολλάκις δεδοίκασι, καὶ τὰς σκιὰς φεύγουσι. Τούτοις ἐοίκασι καὶ οἱ χρημάτων ζημίαν δεδοικότες. Οὐ γὰρ τῆς φύσεως ὁ φόβος, ἀλλὰ τῆς προαιρέσεως. Εἰ γὰρ τὸ πρᾶγμα ἦν λυπηρόν, πάντας ἔδει ἀλγεῖν τοὺς ἀπεστερημένους· εἰ δὲ μὴ πάντες ἀλγοῦμεν ἀποτυγχάνοντες οὐκ ἔτι τῆς τοῦ πράγματος φύσεως, ἀλλὰ τῆς ἀτελοῦς διανοίας. Καθάπερ γὰρ ἐν σκότῳ πολλάκις καὶ σχοινίον τις ἔδεισεν, ὄφιν νομίσας, καὶ πάντα ὑποπτεύει, καὶ τοὺς φίλους πολεμίους ἡγεῖται, οὕτω καὶ οἱ ἀλογίᾳ κατεχόμενοι, ὥσπερ τινὶ σκότῳ βαθεῖ ἁλόντες, οὐκ ἐπιγινώσκουσι τῶν πραγμάτων τὴν φύσιν, ἀλλ' ἐγκυλινδοῦνται τῷ βορβόρῳ, καὶ τὸν χόρτον οὐχ ἡγοῦνται χόρτον εἶναι· καὶ τῆς φιλαργυρίας ἐμπεπλησμένοι, οὐκ αἰσθάνονται τῆς δυσωδίας· ἂν δὲ ἀποστῶσι, τότε εἴσονται.

τὰ κακά, τότε κατέστησες τὸν Θεὸν ὀφειλέτην σου. Διότι ἐκεῖνος ποὺ εὐεργετήθη καὶ γνωρίζει νὰ εὐχαριστῇ τὸν Θεόν, ἀπέδωσε τὴν ὀφειλήν, ἐνῷ ἐκεῖνος ποὺ ἐκακοπάθησε καὶ δοξάζει τὸν Θεόν, κατέστησε τὸν Θεὸν ὀφειλέτην. Ἀντὶ λοιπὸν αὐτῆς τῆς εὐχαριστίας ὁ Θεὸς δίδει πολλὰ ἄλλα ἀγαθὰ καὶ τότε καὶ τώρα· ὥστε οὔτε κἂν θὰ αἰσθανθοῦμεν τὰ δυσάρεστα. Διότι κανεὶς δὲν λυπεῖται δι' ἐκεῖνα ποὺ εὐχαριστεῖ τὸν Θεόν· ὥστε θὰ καρπωθοῦμεν καὶ ἄλλο κέρδος, τὸ νὰ ἀποκρούωμεν τὴν λύπην.

Ὅταν δηλαδὴ χάσῃς χρήματα καὶ εὐχαριστήσῃς, δὲν ἠμπορεῖ τόσον πολὺ νὰ σὲ πληγώσῃ ἡ ζημία, ὅσον σὲ εὐχαριστεῖ ἡ εὐχαριστία. Αὐτὸ ἀποτελεῖ καίριον πλῆγμα κατὰ τοῦ διαβόλου· αὐτὸ κάμνει τὴν διάνοιαν φιλόσοφον· αὐτὸ δημιουργεῖ τὴν ἀληθινὴν κρίσιν διὰ τὰ παρόντα πράγματα. Διότι πολλοὶ ἀπὸ τοὺς ἀνθρώπους δὲν ἔχουν τὴν πρέπουσαν γνώμην διὰ τὰ ἐδῶ πράγματα· διὰ τοῦτο καὶ λυποῦνται. Ἔτσι καὶ οἱ μανιακοὶ φοβοῦνται ἐκεῖνα ποὺ δὲν εἶναι φοβερὰ καὶ πολλὲς φορὲς φοβοῦνται καὶ ἐκεῖνα ποὺ δὲν ὑπάρχουν καὶ ἀποφεύγουν τὰς σκιάς. Μὲ αὐτοὺς ὁμοιάζουν καὶ ἐκεῖνοι ποὺ φοβοῦνται τὴν ζημίαν τῶν χρημάτων. Διότι ὁ φόβος δὲν εἶναι τῆς φύσεως, ἀλλὰ τῆς προαιρέσεως. Διότι ἐὰν τὸ πρᾶγμα ἦτο λυπηρόν, ἔπρεπεν ὅλοι ποὺ χάνουν χρήματα νὰ λυποῦνται, ἐφ' ὅσον ὅμως δὲν λυπούμεθα ὅλοι ὅταν ἀποτυγχάνωμεν, αὐτὸ δὲν ὀφείλεται εἰς τὴν φύσιν τοῦ πράγματος, ἀλλὰ εἰς τὴν ἀτελῆ διάνοιαν. Διότι ὅπως ἀκριβῶς μέσα εἰς τὸ σκοτάδι πολλὲς φορὲς κανεὶς καὶ σχοινὶ ἐφοβήθη, νομίσας αὐτὸ φίδι, καὶ ὅλα τὰ ὑποπτεύεται καὶ τοὺς φίλους τοὺς θεωρεῖ ἐχθρούς, ἔτσι καὶ ἐκεῖνοι ποὺ εἶναι κυριευμένοι ἀπὸ παραλογισμόν, ὡσὰν νὰ κατελήφθησαν ἀπὸ κάποιο βαθὺ σκοτάδι, δὲν διακρίνουν τὴν φύσιν τῶν πραγμάτων, ἀλλὰ κυλίονται μέσα εἰς τὸν βοῦρκον καὶ τὸ χόρτον δὲν τὸ ἀντιλαμβάνονται ὅτι εἶναι χόρτον· καὶ κυριευμένοι ἀπὸ τὴν φιλαργυρίαν, δὲν αἰσθάνονται τὴν δυσωδίαν· ἂν δὲ ἀπο-

Καὶ καθάπερ οἱ γυναικὸς ἀμόρφου ἐρῶντες, ὅταν παύσωσι τὸ νόσημα, τότε ἐπίστανται τὸ εἰδεχθές, οὕτω καὶ οἱ τῆς φιλαργυρίας ἐρασταί. Καὶ πῶς δυνήσομαι, φησί, παῦσαι τὸν ἔρωτα; Πάλιν τῷ αὐτῷ ὑποδείγματι χρήσομαι. Ὥσπερ ὁ τῆς ἀμόρφου γυναικος ἐρῶν, ἐὰν μὲν διηνεκῶς συγγίνηται αὐτῇ, ἀνάπτει τὴν κάμινον, ἐὰν δὲ μικρὸν ἑαυτὸν ἀποστήσῃ, κατὰ μικρὸν ὑπορρέει τὸ πάθος, οὕτω καὶ σὺ μικρὸν ἀπόστηθι, ὀλίγον ἔνδος, καὶ τὸ μικρὸν ἔσται πολὺ διάστημα. Μόνον ἄρξαι τοῦ κατορθώματος. Ἔχεις οἰκίαν περιττήν; Ἀπόδου, καὶ δὸς τοῖς δεομένοις, μὴ ἐκεῖνο λογιζόμενος, ὅτι ἀλλοτριοῖς σου αὐτήν, ἀλλ' ὅτι μᾶλλον οἰκειοῖς. Μὴ τὸ ἀνάλωμα, ἀλλὰ τὴν πρόσοδον σκόπει· μὴ ὅτι ἀποστερῇ αὐτῆς ἐνταῦθα, ἀλλ' ὅτι κύριος αὐτῆς ἐκεῖ γίνῃ. Οὕτω καὶ διηγεῖσθαι τὰ θαυμάσια τοῦ Θεοῦ δυνήσῃ διὰ παντός. Τοῦτο γὰρ ἐξ ἀρχῆς ὁ ψαλμὸς λέγει. Ὡς ὅ γε φιλοχρήματος οὐ σφόδρα τούτῳ ἐνδιατρίβειν δύναται· διὰ παντὸς γὰρ τόκους μεριμνᾷ, συναλλάγματα, συγγραφάς, ὤνια, διαθήκας, τιμὰς ἀγρῶν, τιμὰς οἴκων, κέρδη, καπηλείας, καὶ διηγούμενος καὶ φροντίζων οὐ παύεται. «Ὅπου δὲ ὁ θησαυρὸς τοῦ ἀνθρώπου, ἐκεῖ καὶ ἡ καρδία αὐτοῦ». Ταῦτα φθέγγεται, ταῦτα μεριμνᾷ· καὶ καθάπερ οἱ οἰκέται τὰ τῶν δεσποτῶν μεριμνῶσιν, οὕτω καὶ οὗτος τὰ τοῦ δεσπότου μεριμνᾷ τί ἐπέταξε; τί ἤνυσται; τί οὐδέπω ἤνυσται, μέλλει δέ.

Διὰ δὴ τοῦτο παραινῶ, τῆς πολιορκίας ἐκείνης ἀπαλλαγέντα τούτοις ἐνδιατρίβειν τοῖς διηγήμασι, τὰ καθ' ἑκάστην ἡμέραν γινόμενα θαυμάσια τοῦ Θεοῦ διηγούμενον, τὰ ἴδια,

---

1α. Ματθ. 6. 21.

μακρυνθοῦν ἀπὸ αὐτήν, τότε θὰ τὴν γνωρίσουν. Καὶ ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ ἐρωτεύονται ἄσχημον γυναῖκα, ὅταν ἀπαλλαγοῦν ἀπὸ τὸ νόσημα, τότε ἀντιλαμβάνονται τὴν ἀσχημίαν, ἔτσι καὶ οἱ ἐρασταὶ τῆς φιλαργυρίας. Καὶ πῶς, λέγει, θὰ ἠμπορέσω ν' ἀπαλλαγῶ ἀπὸ τὸν ἔρωτα; Πάλιν θὰ χρησιμοποιήσω τὸ ἴδιο παράδειγμα. Ὅπως ἀκριβῶς ἐκεῖνος ποὺ εἶναι ἐρωτευμένος μέ ἄσχημον γυναῖκα. Ἐάν μὲν συνεχῶς συναναστρέφεται αὐτὴν ἀνάπτει τὴν κάμινον, ἐὰν δέ δι' ὀλίγον ἀπομακρυνθῇ ἀπὸ αὐτήν, σιγὰ-σιγὰ σβήνει τὸ πάθος, ἔτσι καὶ σὺ ἀπομακρύνσου ὀλίγον, ὑποχώρησε ὀλίγον, καὶ τὸ μικρὸν θὰ γίνῃ μεγάλο διάστημα. Μόνον κάμε ἀρχὴν τοῦ κατορθώματος. Ἔχεις οἰκίαν περιττήν; Δῶσε αὐτήν, δῶσε την εἰς ἐκείνους ποὺ τὴν ἔχουν ἀνάγκην, μὴ σκεπτόμενος ἐκεῖνο, ὅτι τὴν χάνεις, ἀλλ' ὅτι μᾶλλον τὴν κάμνεις ἰδικήν σου. Μὴ σκέπτεσαι τὴν ζημίαν, ἀλλὰ τὸ κέρδος· μὴ σκέπτεσαι ὅτι τὴν στερεῖσαι ἐδῶ, ἀλλ' ὅτι θὰ γίνῃς κύριος αὐτῆς ἐκεῖ. Ἔτσι θὰ ἠμπορέσῃς διὰ παντὸς νὰ διηγῆσαι τὰ θαυμαστὰ ἔργα τοῦ Θεοῦ. Καθ' ὅσον αὐτὸ λέγει ὁ ψαλμὸς εἰς τὴν ἀρχήν. Διότι ὁ φιλοχρήματος δέν ἠμπορεῖ νὰ ἀπασχολῇ πάρα πολὺ τὴν σκέψιν του μέ τέτοια πράγματα, καθ' ὅσον συνεχῶς φροντίζει διὰ τόκους, συναλλάγματα, ἔγγραφα συμφωνητικά, ἀγοράς, διαθήκας, τιμὰς ἀγρῶν, τιμὰς οἴκων, κέρδη, ἐκμεταλλεύσεις, καὶ δὲν σταματᾷ νὰ διηγῆται καὶ νὰ φροντίζῃ δι' αὐτά. «Ὅπου δὲ εἶναι ὁ θησαυρὸς τοῦ ἀνθρώπου, ἐκεῖ εἶναι καὶ ἡ καρδία του»[1α]. Δι' αὐτὰ ὁμιλεῖ, δι' αὐτὰ φροντίζει· καὶ ὅπως ἀκριβῶς οἱ δοῦλοι μεριμνοῦν διὰ τὰ πράγματα τοῦ κυρίου των, ἔτσι καὶ αὐτὸς μεριμνᾷ διὰ τὰ πράγματα τοῦ κυρίου του· τί διέταξε; τί ἔκαμε; τί ἀκόμη δὲν ἔκαμε, πρόκειται δέ νὰ τὸ κάμῃ εἰς τὸ μέλλον.

Διὰ τοῦτο λοιπὸν σέ παρακαλῶ, ἀφοῦ ἀπαλλαγῇς ἀπὸ ἐκείνην τὴν πολιορκίαν, νὰ ἀσχοληθῇς μέ αὐτὰ τὰ διηγήματα, διηγούμενος τὰ θαυμαστὰ ἔργα τοῦ Θεοῦ ποὺ συμβαίνουν καθημερινά, τὰ κατ' ἰδίαν καὶ τὰ κοινά, τὰ

καὶ τὰ κοινῇ, τὰ εἰς πάντας καὶ τὰ εἰς ἕνα ἕκαστον. Γέμει γὰρ τὰ ἐν τῷ βίῳ τούτων τῶν διηγημάτων· καὶ ὅθεν ἂν ἄρξῃ, λαμπρότερον ὄψει τὸ προοίμιον ἀναβρύον, ἄν τε ἀπὸ τοῦ οὐρανοῦ, ἄν τε ἀπὸ τῆς γῆς, ἄν τε ἀπὸ τοῦ ἀέρος, ἄν τε ἀπὸ τῶν ἀλόγων, ἂν ἀπὸ σπερμάτων, ἂν ἀπὸ φυτῶν· ἂν τὰς παλαιὰς θέλῃς διηγήσασθαι δωρεάς, ἂν τὰς πρὸ τοῦ νόμου, ἂν τὰς ἐν τῷ νόμῳ, ἂν τὰ ἐν τῇ χάριτι, ἂν τὰ μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν, ἂν τὰ ἐν αὐτῷ τῷ θανάτῳ, μυρία εὕρῃς πελάγη ταῦτα διηγημάτων. Πόσης οὖν οὐκ ἂν εἴη ἀνοίας, τοσαῦτα ἔχοντας διηγεῖσθαι, δι' ὧν καὶ ἡδονὴ καὶ κέρδος καὶ ὠφέλεια τῆς ψυχῆς ἐγγίνεται, τῷ βορβόρῳ τὸν λογισμὸν ἀναφύρειν, περὶ πλεονεξίας καὶ ἁρπαγῆς διηγούμενον;

2. Καὶ εἰ βούλει τὰ ἄνω ἀφέντες, περὶ τῆς γῆς διαλεχθῶμεν, τοῦ μεγέθους αὐτῆς, τῆς θέσεως, τῆς χρήσεως, τῆς φύσεως, τῶν ὠδίνων τῶν διηνεκῶν, τῶν γεννημάτων τῶν ἐξ αὐτῆς τῶν ποικίλων καὶ διαφόρων, τῶν σπερμάτων, τῶν βοτανῶν, τῶν φυτῶν, τῶν ἀνθέων, τῶν λειμώνων, τῶν παραδείσων. Ἀπὸ τούτων πάλιν τέμωμεν τῷ λόγῳ ἑκάστου δένδρου τὸ σχῆμα, τὴν θέσιν, τὸ ὕψος, τὴν εὐωδίαν, τὸν καρπόν, τὸν καιρόν, τὴν διακονίαν, τὰ ἄλλα πάντα ἀναλογιζόμενοι, αὐτῆς τῆς γῆς τὴν κάρπιμον, τὴν ἄκαρπον· οὐδὲν γὰρ αὐτῆς ἄχρηστον. Καὶ γὰρ ἡ μὲν σίδηρον, ἡ δὲ χαλκόν, ἡ δὲ χρυσίον, ἡ δὲ ἄργυρον ἤνεγκεν· ἡ δὲ ἀρώματα, ἡ δὲ φάρμακα καὶ ποικίλα καὶ παντοδαπά. Τί ἄν τις εἴποι τῶν ὑδάτων τὴν χρείαν, τῶν ποτίμων, τῶν ἁλμυρῶν, τῶν δρῶν τὴν χρῆσιν, τῶν ποικίλων μαρμάρων τὰ μέταλλα, τὰς πηγὰς τὰς ἐν αὐτοῖς, τὰ

συμβαίνοντα εἰς ὅλους καὶ τὰ συμβαίνοντα εἰς τὸν καθένα χωριστά. Διότι ὁ βίος εἶναι γεμᾶτος ἀπὸ τέτοιου εἴδους διηγήματα· καὶ ἀπὸ ὅπου καὶ ἂν ἀρχίσῃς, θὰ ἰδῇς νὰ προβάλλῃ λαμπρότερον τὸ προοίμιον τῆς διηγήσεως, εἴτε ἀπὸ τὸν οὐρανόν, εἴτε ἀπὸ τὴν γῆν, εἴτε ἀπὸ τὸν ἀέρα, εἴτε ἀπὸ τὰ ἄλογα, εἴτε ἀπὸ τὰ σπέρματα, εἴτε ἀπὸ τὰ φυτά· ἐὰν θέλῃς νὰ διηγηθῇς τὰς παλαιὰς δωρεάς, ἐὰν τὰς πρὸ τοῦ νόμου, ἂν τὰς κατὰ τὴν διάρκειαν τοῦ νόμου, ἐὰν τὰς κατὰ τὸν χρόνον τῆς δοθείσης χάριτος, ἐὰν τὰ μετὰ τὴν ἀναχώρησίν μας ἀπὸ τὴν ἐδῶ ζωήν, ἐὰν τὰ πράγματα τοῦ ἰδίου τοῦ θανάτου, θὰ εὕρῃς ἀμέτρητα πελάγη διηγημάτων. Πόσης λοιπὸν ἀνοησίας δεῖγμα δὲν θὰ ἦτο, ἐνῷ ἔχομεν τόσα πολλὰ νὰ διηγηθῶμεν, διὰ τῶν ὁποίων προκύπτει εἰς τὴν ψυχὴν καὶ ἡδονὴ καὶ κέρδος καὶ ὠφέλεια, νὰ μολύνωμεν τὸν λογισμόν μας μὲ τὸν βοῦρκον, μὲ τὸ νὰ διηγῆται τὰ τῆς πλεονεξίας καὶ τῆς ἁρπαγῆς;

2. Καὶ ἐὰν θέλῃς, ἀφοῦ ἀφήσωμεν τὰ περὶ τοῦ οὐρανοῦ, ἂς ὁμιλήσωμεν περὶ τῆς γῆς, τοῦ μεγέθους αὐτῆς, τῆς θέσεώς της, τῆς χρησιμότητος, τῆς φύσεως, τῶν συνεχῶν ὠδίνων, τῶν ποικίλων καὶ διαφόρων γεννημάτων της, τῶν σπερμάτων, τῶν βοτανῶν, τῶν φυτῶν, τῶν ἀνθέων, τῶν λιβαδιῶν, τῶν παραδείσων. Ἀπὸ αὐτὰ πάλιν ἂς ἐξετάσωμεν μὲ τὸν λόγον τὸ σχῆμα κάθε δένδρου, τὴν θέσιν, τὸ ὕψος, τὴν εὐωδίαν, τὸν καρπόν, τὸν καιρόν, τὴν ὑπηρεσίαν εἰς τὸν ἄνθρωπον, καὶ ἀναλογιζόμενοι ὅλα τὰ ἄλλα εἴδη τῆς γῆς εἴτε εἶναι αὐτὴ κάρπιμος εἴτε ἄκαρπος· διότι τίποτε ἀπὸ τὰ προϊόντα της δὲν εἶναι ἄχρηστον. Καθ' ὅσον ἄλλο μὲν μέρος αὐτῆς προσφέρει σίδηρον, ἄλλο χαλκόν, ἄλλο χρυσόν, ἄλλο ἄργυρον, ἄλλο ἀρώματα, ἄλλο φάρμακα καὶ ποικίλα καὶ παντὸς εἴδους. Τί θὰ ἠμποροῦσε νὰ εἴπῃ κανεὶς διὰ τὴν χρησιμότητα τῶν ὑδάτων, τῶν ποσίμων, τῶν ἁλμυρῶν, τὴν χρησιμότητα τῶν ὀρῶν, διὰ τὰ μέταλλα τῶν ποικίλων μαρμάρων, τὰς ἐντὸς αὐτῆς πηγάς, τὰ δένδρα ποὺ εἶναι κατάλληλα διὰ τὴν κατασκευὴν πολυ-

δένδρα τὰ πρὸς ὀρόφους ἐπιτήδεια καὶ οἰκοδομήν; Ταῦτα πάντα τῆς ἐρήμου καρπός· αὕτη καὶ ζῶα καὶ θηρία πάντα τρέφει. Τί ἄν τις εἴποι τὰς λίμνας, τὰς πηγάς, τοὺς ποταμούς; Καθάπερ γὰρ αἱ τεκοῦσαι γυναῖκες, πηγὴν γάλακτος προχέουσαι, τοῖς ἐκγόνοις παρέχουσι τροφήν, οὕτω δὴ καὶ ἡ γῆ, κήποις καὶ παραδείσοις ὥσπερ μαστοὺς ἐκτείνουσα τοὺς ποταμοὺς καὶ τὰς πηγάς, πολλὴν παρέχει τὴν ἀρδείαν. Ἀλλ' ἐπὶ μὲν τῶν γυναικῶν, τὸ παιδίον δεῖ πρὸς τὴν θηλὴν ἐλθεῖν, ἐνταῦθα δὲ αὐτὴ τοὺς μαστοὺς ἐκτείνει πανταχοῦ ἀπὸ ὑψηλοῦ καταφέρουσα.

Ἔχει καὶ ἑτέραν χρῆσιν ἡ ἔρημος. Καὶ γὰρ πρὸς τὴν τοῦ σώματος ὑγίειαν ἐπιτηδειότερα, καθαρώτερον παρέχουσα ἀναπνεῖν τὸν ἀέρα, καὶ τὴν οἰκουμένην ἀφ' ὑψηλοῦ πᾶσαν περισκοπεῖν, καὶ τῇ ἐρημίᾳ ἐμφιλοσοφεῖν, καὶ τῶν ἐν τῷ βίῳ φροντίδων ὀλίγον ἀναπνεῖν. Τί ἄν τις εἴποι τοὺς ὄρνιθας τοὺς ᾠδικούς, τῶν ἁλωσίμων ζώων τὴν διαγωγήν; Ἔχει καὶ ἑτέραν χρείαν ἡ ἔρημος. Πολλάκις γὰρ ἀντὶ τειχῶν ταῖς χώραις γέγονε, πρὸς ὕψος ἔχουσα ἀνατεταμένα ὄρη καὶ φάραγγας καὶ κρημνούς. Τί ἄν τις εἴποι τὰς βοτάνας τὰς ἐν αὐταῖς τικτομένας, σώμασι κάμνουσι πολλὴν εἰσφερούσας τὴν λειτουργίαν; Εἰ δὲ ἐρήμων καὶ ὀρῶν τοσαύτη ἡ χρεία, τοσαύτη τῶν ἀγαθῶν ἡ χορηγία, εἰ πρὸς τὴν ἀρόσιμον ἔλθοις καὶ τὰ ὕπτια πεδία, ἐννόησον πόσας ὄψει τὰς πηγὰς τῶν διηγημάτων. Καθάπερ γὰρ ἐν τῷ σώματι τῷ ἡμετέρῳ τὰ μέν ἐστιν ὀστᾶ, τὰ δὲ νεῦρα, τὰ δὲ σάρκες, οὕτω καὶ ἐν τῇ γῇ, τὰ μὲν ὄρη, τὰ δὲ φάραγγες, τὰ δὲ λιπαρὰ χωρία· πάντα δὲ ταῦτα χρήσιμα. Τί λέγω τὴν γῆν τοσοῦτον στοιχεῖον; Ἑνὸς δένδρου μόνου εἰ βουληθείης εἰπεῖν τὸ σχῆμα, τὴν χρείαν,

ρόφων κτισμάτων; Ὅλα αὐτὰ εἶναι καρπὸς τῆς ἐρήμου· αὐτὴ καὶ ζῶα καὶ ὅλα τὰ θηρία τρέφει. Τί θὰ ἠμποροῦσε νὰ εἰπῇ κανεὶς διὰ τὰς λίμνας, τὰς πηγάς, τοὺς ποταμούς; Διότι ὅπως ἀκριβῶς αἱ γυναῖκες ποὺ γεννοῦν, παράγουν πηγὴν γάλακτος, παρέχουσαι αὐτὸ εἰς τὰ τέκνα των, ἔτσι λοιπὸν καὶ ἡ γῆ, ἁπλώνουσα τοὺς ποταμοὺς καὶ τὰς πηγὰς ὡσὰν ἀκριβῶς μαστούς, μέσα εἰς τοὺς κήπους καὶ τοὺς παραδείσους, παρέχει πολλὴν ἄρδευσιν. Ἀλλὰ εἰς τὴν περίπτωσιν μὲν τῶν γυναικῶν πρέπει τὸ παιδὶ νὰ ἔλθῃ πρὸς τὴν θηλήν, ἐδῶ ὅμως ἡ ἰδία ἡ γῆ ἁπλώνει τοὺς μαστοὺς παντοῦ, ἀπὸ τὰ ὑψηλὰ πρὸς τὰ χαμηλὰ μέρη.

Ἔχει καὶ ἄλλην χρησιμότητα ἡ ἔρημος. Καθ᾽ ὅσον εἶναι πολὺ κατάλληλος διὰ τὴν ὑγείαν τοῦ σώματος, παρέχουσα πρὸς ἀναπνοὴν καθαρώτερον τὸν ἀέρα, ὥστε νὰ ἐξετάζῃ ἀφ᾽ ὑψηλοῦ ὅλην τὴν οἰκουμένην, καὶ μέσα εἰς τὴν ἡσυχίαν νὰ φιλοσοφῇ καὶ νὰ ἀναπαύεται ἀπὸ τὰς βιωτικὰς φροντίδας. Τί θὰ ἠμποροῦσε νὰ εἰπῇ κανεὶς διὰ τὰ ᾠδικὰ πτηνὰ καὶ διὰ τὴν συμπεριφορὰν τῶν συλλαμβανομένων ζώων; Ἔχει καὶ ἄλλην χρησιμότητα ἡ ἔρημος. Διότι πολλὲς φορὲς ἀπέβη ὡσὰν τεῖχος διὰ τὰς χώρας, προβάλλουσα τὰ ὑψηλὰ ὄρη της, τὰ φαράγγια καὶ τοὺς κρημνούς. Τί θὰ ἠμποροῦσε νὰ εἰπῇ κανεὶς διὰ τὰ βότανα ποὺ φυτρώνουν εἰς τὰς ἐρήμους, καὶ ποὺ προσφέρουν μεγάλην ὠφέλειαν εἰς τὰ ἀσθενῆ σώματα; Ἐὰν δὲ εἶναι τόσον μεγάλη ἡ χρησιμότης τῶν ἐρήμων καὶ τῶν ὀρῶν, τόσον μεγάλη ἡ χαρηγία τῶν ἀγαθῶν, ἐὰν ἔλθῃς πρὸς τὴν καλλιεργήσιμον γῆν, πρὸς τὰς ὁμαλὰς πεδιάδας, σκέψου πόσας ἀφορμὰς διηγημάτων θὰ εὕρῃς. Διότι ὅπως ἀκριβῶς εἰς τὸ σῶμα μας, ἄλλα μὲν εἶναι ὀστᾶ, ἄλλα δὲ νεῦρα καὶ ἄλλα σάρκες, ἔτσι καὶ εἰς τὴν γῆν, ἄλλα μὲν εἶναι ὄρη, ἄλλα φαράγγια, καὶ ἄλλα δὲ εὔφορα μέρη· ὅλα δὲ αὐτὰ εἶναι χρήσιμα. Καὶ διατί ἀναφέρω τὴν γῆν ποὺ εἶναι ἕνα τόσον μεγάλο στοιχεῖον; Ἐὰν θελήσῃς ἑνὸς μόνον δένδρου νὰ περιγράψῃς τὸ σχῆμα, τὴν χρησιμότητα, τὸν καρπόν, τὰ φύλλα, τὸν

τὸν καρπόν, τὰ φύλλα, τὸν καιρόν, τὰ ἄλλα πάντα, πολὺ ὄψει τὸ διήγημα· εἰ τῶν ὀρῶν τὴν θέσιν, εἰς τὰ ἄλλα ἅπαντα, εἰ τὸν ἄνθρωπον αὐτὸν ἐπέλθοις τῷ λόγῳ, καὶ τὴν διάπλασιν αὐτοῦ τοῦ σώματος, μυρία πάλιν κἀνταῦθα πελάγη εὕροις διηγημάτων.

Τούτοις τοίνυν ἐνδιατρίβωμεν, ἐντεῦθεν ἡμῖν ἔσται ἡδονὴ μεγίστη, ἐντεῦθεν κέρδος, ἐντεῦθεν φιλοσοφία ἄφατος. Διὸ καὶ τοῦτο δηλῶν ἐπήγαγεν· «Εὐφρανθήσομαι καὶ ἀγαλλιάσομαι ἐν σοί». Ἄλλος, «Καὶ γαυριάσω». «Ψαλῶ τῷ ὀνόματί σου, Ὕψιστε». Ἄλλος, «Ἄσω τὸ ὄνομά σου». Οὐ μικρὸν τοῦτο φιλοσοφίας εἶδος, τὸ εὐφραίνεσθαι ἐπὶ τῷ Θεῷ. Ὁ γὰρ ἐπὶ τῷ Θεῷ εὐφραινόμενος, ὡς χρή, πᾶσαν ἐκβάλλει βιωτικὴν ἡδονήν. Τί δέ ἐστιν, «Εὐφρανθήσομαι ἐν σοί;». Τοιοῦτον, φησίν, ἔχων Δεσπότην, τοῦτό μοι ἡδονή, τοῦτό μοι ἀγαλλίασις. Εἴ τις οἶδε ταύτην τὴν ἡδονὴν ὡς εἰδέναι χρή, ἑτέρας ἡδονῆς οὐκ αἰσθάνεται. Τοῦτο γὰρ ἡδονὴ κυρίως· ὡς τά γε ἄλλα πάντα, ὀνόματα μόνον ἐστὶν ἡδονῆς, πράγματος ἔρημα. Αὕτη τὸν ἄνθρωπον μετάρσιον ἐργάζεται, αὕτη τοῦ σώματος ἀπαλλάττει τὴν ψυχήν, αὕτη πρὸς οὐρανὸν πτεροῖ, αὕτη τῶν βιωτικῶν ὑψηλότερον ποιεῖ, αὕτη κακίας ἀπαλλάττει· καὶ μάλα εἰκότως. Εἰ γὰρ οἱ σώματα λαμπρὰ φιλοῦντες, οὐδὲν ἐπαισθάνονται τῶν ἐν τῷ βίῳ, ἀλλ' ἑνὸς μόνου εἰσί, τῆς ἐρωμένης ὄψεως, ὁ Θεὸν φιλῶν, καθὼς φιλεῖν δεῖ, τίνος αἰσθήσεται λοιπὸν ἢ χρηστοῦ τῶν ἐν τῷ βίῳ τούτῳ, ἢ λυπηροῦ; Οὐδενός· ἀλλ' ἔσται πάντων ἀνώτερος, ἀθάνατα τρυφῶν, ἐπεὶ

καιρὸν τῆς καρποφορίας του, καὶ ὅλα τὰ ἄλλα τὰ σχετικά, θὰ εὕρῃς πολλὰς ἀφορμὰς διηγήσεως τῶν μεγαλείων τοῦ Θεοῦ· ἐὰν ἐξετάσῃς μὲ τὸν λόγον τὴν θέσιν τῶν ὀρῶν, ἐὰν ὅλα τὰ ἄλλα, ἐὰν μελετήσῃς τὸν ἄνθρωπον, τὴν διάπλασιν τοῦ σώματός του, θὰ εὕρῃς καὶ ἐδῶ ἀμέτρητα πελάγη διηγημάτων.

Ἂς ἀσχολούμεθα λοιπὸν μὲ αὐτά, διότι ἀπὸ αὐτὰ θὰ προκύψῃ εἰς ἡμᾶς ἡδονὴ μεγίστη, ἀπὸ αὐτὰ κέρδος καὶ φιλοσοφία ἀπερίγραπτος. Διὰ τοῦτο, διὰ νὰ δηλώσῃ καὶ αὐτό, ἐπρόσθεσε· «Θὰ εὐφρανθῶ καὶ θὰ γεμίσω ἀπὸ ἀγαλλίασιν σκεπτόμενος ἐσένα». Ἄλλος λέγει· «Καὶ θὰ νοιώσω ὑπερηφάνειαν. Θὰ ψάλλω ὕμνον δοξολογίας εἰς τὸ ὄνομά σου, Ὕψιστε». Ἄλλος λέγει· «Θὰ ὑμνήσω τὸ ὄνομά σου». Δὲν εἶναι αὐτὸ μικρὸν εἶδος φιλοσοφίας, τὸ νὰ εὐφραίνεται κανεὶς σκεπτόμενος τὰ μεγαλεῖα τοῦ Θεοῦ. Διότι ἐκεῖνος ποὺ εὐφραίνεται, ὅπως πρέπει, ἐξετάζων τὰ μεγαλεῖα τοῦ Θεοῦ, ἀπομακρύνει κάθε βιωτικὴν ἡδονήν. Τί σημαίνει δέ, «Εὐφρανθήσομαι ἐν σοί»; Ἔχων, λέγει, τέτοιον Κύριον, αὐτὸ μοῦ εἶναι ἡδονή, αὐτὸ ἀγαλλίασίς μου. Ἐὰν κανεὶς ἐγνώρισεν αὐτὴν τὴν ἡδονὴν ὅπως πρέπει νὰ τὴν γνωρίσῃ, δὲν αἰσθάνεται ἄλλην ἡδονήν. Διότι αὐτὸ κυρίως εἶναι ἡδονή, ἐνῷ ὅλα τὰ ἄλλα εἶναι μόνον ὀνόματα ἡδονῆς, ἄδεια ἀπὸ περιεχόμενον. Αὐτὴ ὑψώνει τὸν ἄνθρωπον ἐπάνω ἀπὸ τὰ ὑλικὰ πράγματα, αὐτὴ ἀπαλλάσσει τὴν ψυχὴν ἀπὸ τὸ σῶμα, αὐτὴ μεταφέρει τὸν ἄνθρωπον πρὸς τὸν οὐρανόν, αὐτὴ τὸν ἀνεβάζει ὑψηλότερα τῶν βιωτικῶν, αὐτὴ τὸν ἀπαλλάσσει ἀπὸ τὴν κακίαν, καὶ κατὰ πολὺ φυσικὸν λόγον. Διότι, ἐὰν ἐκεῖνοι ποὺ ἐρωτεύονται ὄμορφα σώματα δὲν σκέπτονται τίποτε ἀπὸ τὰ κοσμικὰ πράγματα, ἀλλ' ἕνα μόνον σκέπτονται, τὴν μορφὴν τῆς ἐρωμένης των, ἐκεῖνος ποὺ ἀγαπᾷ τὸν Θεόν, ὅπως πρέπει νὰ τὸν ἀγαπᾷ, ποῖο πρᾶγμα θὰ σκεφθῇ εἰς τὸ ἑξῆς εἴτε ἀπὸ τὰ καλὰ αὐτῆς τῆς ζωῆς εἴτε ἀπὸ τὰ δυσάρεστα; Κανένα, ἀλλὰ θὰ εἶναι ἐπάνω ἀπὸ ὅλα, θὰ ἐντρυφᾷ εἰς ἀθάνατα

καὶ ὁ φιλούμενος τοιοῦτος. Οἱ μὲν γὰρ τὰ ἄλλα φιλοῦντες, ταχέως καὶ ἄκοντες εἰς λήθην μεταβάλλονται, ἀπολλυμένων τῶν φιλουμένων καὶ μαραινομένων, οὗτος δὲ ὁ ἔρως ἄπειρος, ἀτελεύτητος καὶ τὴν ἡδονὴν μείζονα ἔχων, καὶ τὸ κέρδος πλέον καὶ τούτῳ πάλιν ψυχαγωγῶν τὸν φιλοῦντα τῷ μηδέποτε καταλύεσθαι.

«Ψαλῶ τῷ ὀνόματί σου, Ὕψιστε». Τοῦτο μάλιστα φιλοῦντος ἔθος. Καὶ γὰρ οἱ ἐρῶντες εἰς τοὺς φιλουμένους ᾄσματα ᾄδουσι· κἂν μὴ ὁρῶσιν ἐκείνους, διὰ τῆς ᾠδῆς ἑαυτοὺς παραμυθοῦνται. Οὕτω δὴ καὶ ὁ προφήτης ποιεῖ· ἐπεὶ τὸν Θεὸν ἰδεῖν οὐ δυνατόν, ᾄσματα ποιεῖ εἰς αὐτόν, διὰ τῶν ᾠδῶν αὐτῷ συγγινόμενος, καὶ τὸν πόθον ἀνάπτων, καὶ αὐτὸν δοκῶν ὁρᾷν· μᾶλλον δὲ διὰ τοῦ ᾄδειν καὶ ὑμνεῖν εἰς πόθον ἀνάπτει πολλούς. Ὥσπερ γὰρ οἱ φιλοῦντες ἐγκώμια τῶν φιλουμένων λέγουσι καὶ τὰ ὀνόματα αὐτῶν περιφέρουσιν, οὕτω δὴ καὶ οὗτος, «Ψαλῶ τῷ ὀνόματί σου, Ὕψιστε».

3. Ὅρα πῶς ἑαυτὸν τῆς γῆς διήρτησε, καὶ πρὸς ἐκείνην ἀνεκρέμασεν ὅλην ἑαυτοῦ τὴν οὐσίαν, ἀναθεὶς ἑαυτὸν τῷ Θεῷ. Διὰ τοῦτο συνεχῶς αὐτοῦ τὸ ὄνομα περιστρέφει· καὶ γὰρ καὶ τοῦτο τοῦ φιλοῦντος ἔθος. «Ἐν τῷ ἀποστραφῆναι τὸν ἐχθρόν μου εἰς τὰ ὀπίσω, ἀσθενήσουσι, καὶ ἀπολοῦνται ἀπὸ προσώπου σου». Ἄλλος, «Ἀνατραπέντων τῶν ἐχθρῶν μου ὀπίσω, προσκοψάντων καὶ ἀπολομένων ἐκ προσώπου σου». Καὶ τοῦτο μάλιστα φιλοῦντός ἐστι, τὸ τὰς εὐεργεσίας λέγειν διὰ παντός, καὶ ἐγκαλλωπίζεσθαι ταύταις· ἀπό τε γὰρ φίλτρου τοῦτο γίνεται, καὶ αὐτὸ πάλιν ἀνάπτει τὸ φίλτρον. Οὐκ ἂν δέ τις ἁμάρτοι εἰπὼν καὶ νοητοὺς ἐχθροὺς ἐνταῦθα αὐτὸν λέγειν. Ἀποστρέφονται γὰρ καὶ οὗτοι, ὅταν ψυχὴν γενναίαν εὕρωσι.

πράγματα, ἀφοῦ καὶ ὁ ἀγαπώμενος εἶναι ἀθάνατος. Ἐκεῖνοι δηλαδὴ ποὺ ἀγαποῦν τὰ ἄλλα πράγματα, γρήγορα καὶ χωρὶς νὰ τὸ θέλουν λησμονοῦνται, ἀφοῦ χάνονται οἱ ἀγαπώμενοι καὶ μωραίνονται, ἐνῷ αὐτὸς ὁ ἔρως εἶναι ἄπειρος, χωρὶς τέλος, καὶ προξενεῖ μεγαλυτέραν ἡδονήν, καὶ τὸ κέρδος εἶναι μεγαλύτερον, καὶ μὲ αὐτὸ πάλιν ψυχαγωγεῖ τὸν ἀγαπῶντα, μὲ τὸ ὅτι δὲν καταλύεται ποτέ.

«Θὰ ψάλω ὕμνον δοξολογίας εἰς τὸ ὄνομά σου, Ὕψιστε». Αὐτὴ προπάντων εἶναι ἡ συνήθεια αὐτοῦ ποὺ ἀγαπᾷ. Καθ' ὅσον οἱ ἐρασταὶ τραγουδοῦν ἄσματα εἰς τοὺς ἀγαπωμένους των· καὶ ὅταν δὲν βλέπουν ἐκείνους παρηγοροῦνται μὲ τὰ ἄσματα. Ἔτσι λοιπὸν κάμνει καὶ ὁ προφήτης· ἐπειδὴ δὲν εἶναι δυνατὸν νὰ ἰδῇ τὸν Θεόν, συνθέτει ἄσματα δι' αὐτόν, πλησιάζει αὐτὸν μὲ τὰς ᾠδὰς καὶ τὸν πόθον ἀνάπτει καὶ νομίζει ὅτι βλέπει αὐτόν· μᾶλλον δὲ μὲ τὰς ᾠδὰς καὶ τοὺς ὕμνους ἀνάπτει τὸν πόθον εἰς πολλούς. Διότι ὅπως ἀκριβῶς οἱ ἀγαπῶντες πλέκουν ἐγκώμια διὰ τοὺς ἀγαπωμένους, καὶ ἀναφέρουν τὰ ὀνόματα αὐτῶν, ἔτσι λοιπὸν καὶ αὐτὸς λέγει, «Θὰ ψάλω ὕμνους δοξολογίας εἰς τὸ ὄνομά σου, Ὕψιστε».

3. Πρόσεχε πῶς ἀπέσπασε τὸν ἑαυτόν του ἀπὸ τὴν γῆν καὶ ἀπεμάκρυνε ἀπὸ ἐκείνην ὅλην τὴν ὕπαρξίν του, ἀναθέσας τὸν ἑαυτόν του εἰς τὸν Θεόν. Διὰ τοῦτο συνεχῶς ἀναφέρει τὸ ὄνομα αὐτοῦ· καθ' ὅσον καὶ αὐτὸ ἀποτελεῖ συνήθειαν ἐκείνου ποὺ ἀγαπᾷ. «Μὲ τὴν στροφὴν τοῦ ἐχθροῦ μου ὀπίσω, συνετρίβη ἡ δύναμίς των καὶ θὰ ἐξαφανισθοῦν ἀπὸ τὸ πρόσωπόν σου». Ἄλλος λέγει· «Ἀνετράπησαν οἱ ἐχθροί μου ὀπίσω, προσέκρουσαν καὶ ἐχάθησαν ἀπὸ τὸ πρόσωπόν σου». Καὶ αὐτὸ πρὸ πάντων εἶναι γνώρισμα ἐκείνου ποὺ ἀγαπᾷ, τὸ νὰ διηγῆται συνεχῶς τὰς εὐεργεσίας καὶ νὰ νοιώθῃ ὑπερηφάνειαν δι' αὐτάς· καὶ αὐτὸ βέβαια γίνεται ἀπὸ ἀγάπην καὶ αὐτὸ τὸ ἴδιο πάλιν ἀνάπτει τὴν ἀγάπην. Καὶ δὲν θὰ ἔσφαλλε κανεὶς ἐὰν εἴπῃ, ὅτι ὁμιλεῖ ἐδῶ καὶ διὰ τοὺς νοητοὺς ἐχθρούς. Καθ' ὅσον καὶ αὐτοὶ

Καθάπερ γὰρ εἰς ἀσπίδα ἐμπεσὸν δόρυ, μαλακὴν μὲν οὖσαν διατέμνει, σκληρὰν δὲ καὶ ἀντίτυπον οὐδὲν ἐργάζεται, ἀλλὰ τῆς αἰχμῆς ἀνακαμφθείσης ἐκπίπτει, οὕτω δὴ καὶ ἐπὶ τῆς ψυχῆς συμβαίνει. Ἂν μὲν γὰρ μαλακὴν εὕρῃ καὶ χαῦνον τὰ παρὰ τοῦ διαβόλου πεμπόμενα βέλη, διαδύεται εἰς τὸ βάθος, ἐὰν δὲ σκληρὰν καὶ ἰσχυροτέραν, αὐτός τε ἄπρακτος ἄπεισι, καὶ εἰς ταύτην οὐδὲν εἰργάσατο δεινόν· καὶ δύο γίνεται κέρδη, μᾶλλον δὲ καὶ τρία· αὐτήν τε γὰρ οὐδὲν ἔβλαψεν, ἀλλὰ καὶ ἰσχυροτέραν ἐποίησεν, αὐτός τε ἀσθενέστερος ἐντεῦθεν γέγονε.

Σκόπει δὲ πῶς ἀνακηρύττει τοῦ Θεοῦ τὴν ἰσχύν. «Ἀσθενήσουσι», φησί, «καὶ ἀπολοῦνται ἀπὸ προσώπου σου». Πάλιν πρόσωπον ἀκούων, μηδὲν σωματικὸν ὑποπτεύσῃς. Ἐνταῦθα γὰρ τὴν ἐνέργειαν, τὴν ἐπιφάνειαν αὐτοῦ δηλοῖ, τὴν εὐκολίαν αὐτοῦ τῆς ἰσχύος. Ὡς ἀλλαχοῦ φησιν, «Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν», οὕτω δὴ καὶ ἐνταῦθα τὸ αὐτό φησιν. Ἀρκεῖ γὰρ μόνη ἡ ἐποπτεία ἀπολέσαι τοὺς πονηρούς. Εἰ γὰρ ἁγίων παρουσία ἀσθενῆ δαιμόνων ποιεῖ τὴν ἰσχύν, πολλῷ μᾶλλον Θεοῦ. Εἰ ἡ ἀστραπὴ αὐτοῦ φαινομένη καταπλήττει πάντας, ἐννόησον τὴν δύναμιν τὴν ἀνώλεθρον ἐκείνην, πῶς καταπλήττει, πῶς ἀπόλλυσι τοὺς πονηρούς. Εἶδες ὕμνων εἶδος; εἶδες δοξολογίας τρόπον, καὶ πῶς περὶ τῆς δυνάμεως αὐτοῦ διηγεῖται; Οὐ μικρὸν κἀντεῦθεν παιδεύει φιλοσοφίας δόγμα, τῷ εἰπεῖν, «Ψαλῶ τῷ ὀνόματί σου, Ὕψιστε. Ἐν τῷ ἀποστραφῆναι τὸν ἐχθρόν μου εἰς τὰ ὀπίσω». Ποῖον δὴ τοῦτο; Ὅτι οὐ μόνον ἐν ταῖς θλίψεσιν, ἀλλὰ καὶ ἐν ταῖς

ἀπομακρύνονται, ὅταν εὕρουν γενναίαν ψυχήν. Διότι, ὅπως ἀκριβῶς ἕνα δόρυ, ὅταν πέσῃ ἐπάνω εἰς μίαν ἀσπίδα, ἐὰν μὲν εἶναι μαλακὴ τὴν τρυπᾷ, ἐὰν δὲ εἶναι σκληρὰ καὶ τραχεῖα δὲν τῆς προξενεῖ καμμίαν ζημίαν, ἀντίθετα μάλιστα πίπτει κάτω, ἀφοῦ στραβώσῃ ἡ αἰχμή του, τό ἴδιο λοιπόν συμβαίνει καὶ μὲ τὴν ψυχήν. Ἂν δηλαδὴ τὴν εὕρουν μαλθακὴν καὶ χαυνωμένην τὰ ριπτόμενα βέλη τοῦ διαβόλου, εἰσέρχονται εἰς τὸ βάθος αὐτῆς, ἐὰν δὲ σκληρὰν καὶ ἰσχυροτέραν, ὁ ἴδιος ὁ διάβολος ἀπομακρύνεται ἄπρακτος καὶ εἰς τὴν ψυχὴν αὐτὴν δὲν ἐπροξένησε κανένα κακόν· καὶ προκύπτουν δύο κέρδη, μᾶλλον δὲ καὶ τρία· διότι καὶ αὐτὴν δὲν τὴν ἔβλαψεν, ἀλλὰ τὴν ἔκαμε καὶ ἰσχυροτέραν, καὶ ὁ ἴδιος δὲ ὁ διάβολος κατέστη ἀπό αὐτό τὸ γεγονὸς ἀσθενέστερος.

Πρόσεχε δὲ πῶς ἀνακηρύσσει τὴν δύναμιν τοῦ Θεοῦ. «Θὰ συντριβοῦν» λέγει, «καὶ θὰ ἐξαφανισθοῦν ἐμπρὸς εἰς τὸ πρόσωπόν σου». Πάλιν ἀκούων νὰ λέγῃ πρόσωπον, μὴ σκεφθῇς τίποτε τὸ σωματικόν. Διότι ἐδῶ δηλώνει τὴν ἐνέργειαν αὐτοῦ, τὴν ἐπιφάνειαν καὶ τὴν εὐκολίαν τῆς δυνάμεώς του. Ὅπως ἀλλοῦ λέγει, «Αὐτὸς πού μόνον ρίπτει τό βλέμμα του ἐπάνω εἰς τὴν γῆν καὶ τὴν κάμνει νὰ τρέμῃ», ἔτσι λοιπόν καὶ ἐδῶ τὸ ἴδιο λέγει. Καθ' ὅσον ἀρκεῖ μόνον ἡ ἐμφάνισίς του διὰ νὰ συντρίψῃ τοὺς πονηρούς. Διότι, ἐὰν ἡ παρουσία τῶν ἁγίων ἐξασθενῇ τὴν δύναμιν τῶν δαιμόνων, πολὺ περισσότερον τοῦ Θεοῦ. Ἐὰν ἡ ἀστραπὴ αὐτοῦ ἐμφανιζομένη καταπλήσσει ὅλους, σκέψου τὴν δύναμιν ἐκείνην ποὺ δὲν ὑπόκειται εἰς καμμίαν καταστροφήν, πῶς καταπλήσσει, πῶς ἐξαφανίζει τοὺς πονηρούς. Εἶδες εἶδος ὕμνων; Εἶδες τρόπον δοξολογίας καὶ πῶς περιγράφει τὴν δύναμιν τοῦ Θεοῦ; Δὲν εἶναι μικρὰ ἡ ἀλήθεια φιλοσοφίας ποὺ διδάσκει καὶ ἐδῶ μὲ τὸ νὰ εἰπῇ, «Θὰ ψάλω ὕμνον δοξολογίας εἰς τὸ ὄνομά σου, Ὕψιστε. Διότι κατετροπώθησαν καὶ ἐστράφησαν εἰς τὰ ὀπίσω οἱ ἐχθροί μου». Ποία εἶναι αὐτὴ ἡ ἀλήθεια; Ὅτι ὄχι μόνον εἰς τὰς

ἀνέσεσιν ἔνηφε. Πολλοὶ μὲν γὰρ ὑπὸ τῶν κακῶν ταπεινούμενοι, σπουδαιότεροι γίνονται, ὑπὸ δὲ τῶν ἀγαθῶν, ῥαθυμότεροι καὶ χαυνότεροι· ὃ περὶ τῶν Ἰουδαίων προϊὼν λέγει· «Ὅταν ἀπέκτεινεν αὐτούς, τότε ἐξεζήτουν αὐτόν». Ἀλλ' οὐχ οὗτος τοιοῦτος· ἀλλὰ καὶ ἐν εὐημερίαις νήφει, καὶ διεγήγερται. Οὐ μικρὸν εἰς φιλοσοφίαν δὲ τοῦτο. «Ὅτι ἐποίησας τὴν κρίσιν μου καὶ τὴν δίκην μου». Ἄλλος, «Ὑπερεδίκασάς μου». «Ἐκάθισας ἐπὶ θρόνου ὁ κρίνων δικαιοσύνην. Ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβής. Ἄλλος, «Ἀπώλεσας». «Τὸ ὄνομα αὐτοῦ ἐξήλειψας εἰς τὸν αἰῶνα· καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος».

Ὅρα πάλιν τὴν φιλοσοφίαν τοῦ ἀνδρός, πῶς οὐκ αὐτὸς ἀμύνεται τοὺς ἐχθρούς, ἀλλὰ τῷ Θεῷ παραχωρεῖ τῆς δίκης, τὸ ἀποστολικὸν τηρῶν παράγγελμα, «Μὴ ἑαυτοὺς ἐκδικοῦντες». Οὐ τοῦτο δὲ μόνον ἐστὶν ἰδεῖν, ἀλλ' ὅτι καὶ ἀδίκως ταῦτα ἔπασχεν. Εἰ μὴ γὰρ ἀδίκως ἔπασχεν, οὐκ ἂν ὁ Θεὸς ἐπεξῆλθεν. «Ἐκάθισας ἐπὶ θρόνου ὁ κρίνων δικαιοσύνην». Ἀνθρωπινώτερον φθέγγεται, θρόνον καὶ καθέδραν λέγων. Τὸ δέ, «Ὁ κρίνων δικαιοσύνην», τὸ σύνηθες τοῦ Θεοῦ καὶ ἐξαίρετον αὐτοῦ τῆς οὐσίας φησίν. Ἐπὶ μὲν γὰρ τῶν ἀνθρώπων τοῦτο οὐκ ἔστιν εἰπεῖν, οὐ γὰρ πάντως κρίνουσι δικαιοσύνην, κἂν μυριάκις ὦσι δίκαιοι, ποτὲ μὲν ἀγνοίᾳ, ποτὲ δὲ ῥαθυμίᾳ ἀγνοοῦντες τὸ δίκαιον, ὁ δὲ Θεὸς τούτων ἁπάντων ἀπηλλαγμένος, καὶ εἰδὼς καὶ βουλόμενος δικαίαν ἐκφέρει

2. Ψαλμ. 77, 34.
3. Ρωμ. 12, 19.

θλίψεις, ἀλλὰ καὶ εἰς τὰς ἀνέσεις εἶχεν ἐστραμμένην τὴν σκέψιν του εἰς τόν Θεόν. Διότι πολλοὶ μέν, ταπεινούμενοι ἀπὸ τὰ κακά, γίνονται σπουδαιότεροι, ἐνῷ ὅταν ἀπολαμβάνουν τὰ ἀγαθά, γίνονται ραθυμότεροι καὶ νωθρότεροι, πρᾶγμα ποὺ λέγει εἰς ἄλλην περίπτωσιν διὰ τοὺς Ἰουδαίους· «Ὅταν τοὺς παρέδιδεν εἰς θάνατον, τότε ἀναζητοῦσαν αὐτόν»[2]. Αὐτὸς ὅμως δὲν εἶναι τέτοιος, ἀλλὰ καὶ ὅταν εὐημερῇ εἶναι νηφάλιος καὶ ἐξυμνεῖ τὸν Θεόν. Αὐτὸ δὲ παρακινεῖ εἰς εὐσέβειαν ὄχι μικράν. «Διότι σὺ ἔκρινες καὶ ἐδίκασες τὴν ὑπόθεσίν μου». Ἄλλος λέγει· «Μὲ ἔκρινες μὲ πολλὴν δικαιοσύνην». «Ἐκάθισες ἐπάνω εἰς θρόνον δικαστοῦ, σὺ ποὺ δικάζεις μὲ δικαιοσύνην. Ἐπέπληξες ἔθνη καὶ ἀπωλέσθη ὁ ἀσεβής». Ἄλλος ἑρμηνεύει· «Ὡδήγησες εἰς ἀπώλειαν». Τὸ ὄνομά του ἐξηφάνισες διὰ παντὸς καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος».

Πρόσεχε πάλιν τὴν φιλοσοφίαν τοῦ ἀνδρός, πῶς δὲν ἀμύνεται ὁ ἴδιος τοὺς ἐχθρούς, ἀλλὰ ἀναθέτει εἰς τὸν Θεὸν τὴν δίκην, τηρῶν τὸ ἀποστολικὸν παράγγελμα, «Μὴ ἐκδικῆσθε οἱ ἴδιοι»[3]. Καὶ ὄχι μόνον αὐτὸ εἶναι δυνατὸν νὰ διαπιστώσῃ κανείς, ἀλλ' ὅτι καὶ ἔπασχεν αὐτὰ ἀδίκως. Διότι ἐὰν δὲν τὰ ἔπασχεν ἀδίκως, δὲν θὰ ἔσπευδεν εἰς βοήθειάν του ὁ Θεός. «Ἐκάθισες ἐπάνω εἰς δικαστικὸν θρόνον σὺ ποὺ δικάζεις μὲ δικαιοσύνην». Ὁμιλεῖ μὲ πιὸ ἀνθρώπινον τρόπον, ἀναφέρων θρόνον καὶ καθέδραν. Τὸ δὲ «ὁ κρίνων δικαιοσύνην» δηλώνει τὴν συνήθη ἰδιότητα τοῦ Θεοῦ, τὸ ἐξαίρετον γνώρισμα τῆς οὐσίας αὐτοῦ. Διότι εἰς τὴν περίπτωσιν μὲν τῶν ἀνθρώπων αὐτὸ δὲν ἠμποροῦμεν νὰ τὸ εἰποῦμεν, καθ' ὅσον δὲ δικάζουν μὲ ἀπόλυτον δικαιοσύνην, καὶ ἂν ἀκόμη εἶναι εἰς πάρα πολὺ μεγάλον βαθμὸν δίκαιοι, καὶ παραβλέπετο τὸ δίκαιον ἄλλοτε μὲν ἀπὸ ἄγνοιαν, ἄλλοτε δὲ ἀπὸ ἀδιαφορίαν, ἐνῷ ὁ Θεός, ἀπηλλαγμένος ἀπὸ ὅλα αὐτά, καὶ γνωρίζων καὶ θέλων τὸ δίκαιον, δικάζει μὲ δικαιοσύνην. Τὸ «Ἐκάθισας ἐπὶ θρόνον» λοιπόν, σημαί-

τὴν ψῆφον. Τὸ οὖν, «Ἐκάθισας ἐπὶ θρόνου», ἐδίκασάς ἐστιν, ἐπεξῆλθες, ἤμυνας.

Ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβής». Ὁρᾷς πῶς οὐχ ὅπλων αὐτῷ δεῖ, οὐ μαχαίρας, οὐ τόξων καὶ βελῶν, ἀλλ' ἀνθρωπινώτερον ἐκεῖνα εἴρηται· ἀρκεῖ γὰρ ἐπιτιμῆσαι τῷ Θεῷ, καὶ ἀπολέσθαι τοὺς κολάζεσθαι μέλλοντας. Ἵνα δὲ μάθῃς αὐτοῦ τὴν ἰσχύν, ἄκουε καὶ τῶν ἑξῆς. «Τὸ ὄνομα αὐτῶν ἐξήλειψας εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος». Προρρίζους ἀπώλεσας, ἀνέσπασας, οὕτως ἠφάνισας, ὡς καὶ τὴν μνήμην αὐτῶν παραπολέσθαι. «Τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος». Ἄλλος, «Τὰ ἐρείπια», ὁ δὲ Ἑβραῖος, «Ἀρβώθ». «Καὶ πόλεις καθεῖλες». Τί ἐστι τοῦτο; Ὅτι τὰς μηχανὰς αὐτοῦ καὶ τὰς βουλὰς ἀναλώσας, φησίν, ἔρημον αὐτὸν τῶν οἰκείων ὅπλων ἐποίησας. Τοιοῦτον γὰρ ἡ ὀργὴ τοῦ Θεοῦ· πάντα ἀφανίζει καὶ ἀπόλλυσιν. Ἢ ὅπερ ἕτερος ἑρμηνευτὴς διδάσκει, «Ἔρημα» εἰπών· ὅτι οὐ τὰς πόλεις αὐτῶν μόνον, ἀλλὰ καὶ τὰς ἐρήμους ἠφάνισας, καὶ πόλεις καθεῖλες. Οὕτω γὰρ ὁ δίκαιος ἐπολέμει, οὕτω κατέβαλλε τοὺς ἐναντίους, οὐχ ὅπλοις καὶ δόρασι κεχρημένος, ἀλλὰ τὴν παρὰ τοῦ Θεοῦ ῥοπὴν ἔχων. Διὰ τοῦτο καὶ ὁ πόλεμος αὐτῷ λαμπρὸς καὶ περιφανής, καὶ κατὰ κράτος ἡ νίκη. «Ἀπώλετο τὸ μνημόσυνον αὐτοῦ μετ' ἤχου». Ἄλλος, «Σὺν αὐτοῖς», ὁ δὲ Ἑβραῖος, «Ἕμ». Τί ἐστι, «Μετ' ἤχου»; Ἢ τὴν πανωλεθρίαν φησίν, ἢ τὸ διωλύγιον τῶν κακῶν. Καὶ τοῦτο δὲ τῆς τοῦ Θεοῦ κηδεμονίας, τὸ μὴ λανθανόντως ταῦτα ποιεῖν, ἵνα ταῖς ἑτέρων συμφοραῖς καὶ ἕτεροι γένωνται βελτίους. Τὸ περιφανὲς οὖν δηλοῖ τῆς ἀπωλείας.

4. «Καὶ Κύριος εἰς τὸν αἰῶνα μένει». Ἄλλος, «καθεδεῖται».

νει ἐδίκασες, διεκπεραίωσες τὴν ὑπόθεσιν, ὑπερασπίσθης τὸν ἀδικούμενον.

«Ἐπέπληξες ἔθνη καὶ ἐξηφανίσθη ὁ ἀσεβής». Βλέπεις πῶς δὲν χρειάζεται ὅπλα, οὔτε μαχαίρια, οὔτε τόξα καὶ βέλη, ἀλλὰ ἀνθρωπινότερα τὰ περιγράφει ἐκεῖνα· διότι ἀρκεῖ νὰ ἐπιπλήξῃ ὁ Θεὸς καὶ νὰ ὁδηγηθοῦν εἰς τὴν ἀπώλειαν ἐκεῖνοι ποὺ πρόκειται νὰ τιμωρηθοῦν. Διὰ νὰ μάθῃς δὲ τὴν δύναμιν αὐτοῦ, ἄκουε καὶ τὰ ἑξῆς. «Ἐξηφάνισε τὸ ὄνομα αὐτῶν εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος». Τοὺς κατέστρεψες ἀπὸ τὴν ρίζαν, τοὺς ἐξερρίζωσες, ἔτσι τοὺς ἐξηφάνισες, ὥστε καὶ νὰ λησμονηθῇ τὸ ὄνομά των. «Τοῦ ἐχθροῦ ἐχάθησαν διὰ πάντα αἱ ρομφαῖαι». Ἄλλος ἑρμηνεύει, «τὰ ἐρείπια», ἐνῷ ὁ Ἑβραῖος λέγει, «Ἀρβώθ». «Καὶ πόλεις κατεκρήμνισες». Τί σημαίνει αὐτό; Ὅτι, ἀφοῦ, λέγει, διέλυσες τὰ πολυμήχανα σχέδια αὐτοῦ καὶ τὰς ἐπιθυμίας του, τὸν ἀπεγύμνωσες ἀπὸ τὰ ὅλα του. Διότι τέτοια εἶναι ἡ ὀργὴ τοῦ Θεοῦ· ὅλα τὰ ἐξαφανίζει καὶ τὰ καταστρέφει. Ἢ ὅπως ἀκριβῶς ἄλλος ἑρμηνευτὴς λέγει, ἀναφέρων τὴν λέξιν «ἔρημα»· ὅτι δηλαδὴ ἐξηφάνισες ὄχι μόνον τὰς πόλεις των ἀλλὰ καὶ τὰς ἐρήμους καὶ τὰς πόλεις κατεκρήμνισες. Ἔτσι λοιπὸν ὁ δίκαιος ἐπολέμει, ἔτσι κατέβαλλε τοὺς ἐχθρούς του, χρησιμοποιῶν ὄχι ὅπλα καὶ δόρατα, ἀλλὰ ἔχων τὴν βοήθειαν τοῦ Θεοῦ. Διὰ τοῦτο καὶ ὁ πόλεμός του ἦτο λαμπρὸς καὶ περιφανὴς καὶ ἡ νίκη ὁλοκληρωτική. «Ἔσβησε μαζὶ μὲ τὸν θόρυβον ποὺ ἔκαμε καὶ ἡ ἐνθύμισις τοῦ ὀνόματός του». Ἄλλος λέγει «Μαζὶ μὲ αὐτούς», ὁ δὲ Ἑβραῖος λέγει «Ἔμ». Τί σημαίνει, «Μετ' ἤχου»; Ἡ ἐννοεῖ τὴν πανωλεθρίαν ἢ τὸ ὑπερμεγέθες τῶν κακῶν. Καὶ αὐτὸ δὲ εἶναι γνώρισμα τῆς κηδεμονίας τοῦ Θεοῦ, τὸ νὰ μὴ τὰ κάμνει αὐτὰ κρυφά, διὰ νὰ γίνωνται καλύτεροι καὶ ἄλλοι μὲ τὰς συμφορὰς ἄλλων. Δηλώνει λοιπὸν τὸν ἐντυπωσιακὸν τρόπον τῆς καταστροφῆς των.

4. «Καὶ ὁ Κύριος μένει εἰς τὸν αἰῶνα». Ἄλλος, «Κάθε-

Τὸ γὰρ καθῆσθαι πολλαχοῦ ἐπὶ τοῦ μονίμου τῆς οὐσίας κεῖται· ὡς καὶ Ἱερεμίας δηλοῖ λέγων, «Σὺ καθήμενος εἰς τὸν αἰῶνα». Καὶ ὁ Ἑβραῖος ἐνταῦθα «Ἰησήβ» φησι. Συνεχῶς τοῦτο λέγει ὁ προφήτης ἐπὶ τῆς ἀπωλείας τῶν ἀνθρώπων, δεικνὺς αὐτοῦ τὸ ἀτελεύτητον τῆς οὐσίας, καὶ ὅτι τὸ μὲν τῶν ἀνθρώπων γένος ἐπίκηρον, ἡ δὲ ἐκείνου οὐσία καὶ ἡ μεγαλωσύνη ἀτελεύτητος. Τοῦτο δὲ ποιεῖ τὸν φόβον ἐπαρτῶν, ἵνα ἑκατέρωθεν ὦσιν αὐτὸν τρέμοντες καὶ διὰ τὸ μέγεθος αὐτοῦ τῆς δόξης, καὶ διὰ τὸ ἀτελὲς τῆς οἰκείας οὐσίας, καὶ ὡς ἀεὶ μένοντα, καὶ ὡς ἀεὶ μεθ' ὑπερβολῆς κολάζοντα. Εἰ δὲ χρή τι καὶ κατὰ ἀναγωγὴν εἰπεῖν, οὐ παραιτητέον. Τὰ μὲν γάρ ἐστι καὶ θεωρῆσαι, τὰ δὲ οὕτω δεῖ νοεῖν, ὡς εἴρηται μόνον· ὡς τό, «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν». τὰ δὲ ἀπεναντίας ταῖς λέξεσιν· ὡς τό, «Ἔλαφος φιλίας, καὶ πῶλος τῶν χαρίτων, ὁμιλείτω σοι». Καὶ πάλιν· «Ἔστω σοι μόνῳ ὑπάρχοντα, καὶ μηδεὶς ἀλλότριος μετασχέτω σοι». Καὶ πάλιν· «Ἡ πηγή σου τοῦ ὕδατός σοι ἔστω μόνῳ». Τοῦτο γάρ, ἂν τὸ κείμενον νοήσῃς, καὶ μὴ φύγῃς μὲν τὸ ῥῆμα, διώκῃς δὲ τὸ νόημα, καὶ πολλῆς ἀπανθρωπίας ἐστί, τὸ μηδὲ ὕδατός τινι μεταδοῦναι· ἀλλ' ἐνταῦθα περὶ γυναικὸς ὁ λόγος, ὥστε αὐτῆς ἀπολαύειν μετὰ σωφροσύνης, πηγὴν καλῶν αὐτήν, καὶ ἔλαφον, διὰ τὸ καθαρὸν τῆς τοῦ γάμου συνουσίας.

Καὶ ἐνταῦθα μὲν οὕτως· ἀλλαχοῦ δὲ δεῖ καὶ τὸ κείμενον δέχεσθαι, καὶ τὸ ἐξ αὐτοῦ δηλούμενον ὡς ἔχει τό, «Καθὼς τὸν ὄφιν ὕψωσε Μωϋσῆς». Καὶ γὰρ τοῦτο δεῖ πιστεύειν ὅτι

4. Βαρούχ 3, 3.
5. Γέν. 1, 1.
6. Παροιμ. 5, 19.
7. Αὐτόθι 17.
8. Αὐτόθι 18.

ται ἐπάνω εἰς τὸν θρόνον». Διότι τὸ 'κάθομαι' παντοῦ τίθεται πρὸς δήλωσιν μονίμου καταστάσεως, καθὼς καὶ ὁ Ἱερεμίας δηλώνει, λέγων, «Σὺ κάθεσαι εἰς τὸν θρόνον σου αἰωνίως»[4]. Καὶ ὁ Ἑβραῖος ἐδῶ λέγει «Ἰησήβ». Συνεχῶς αὐτὸ λέγει ὁ προφήτης ὅταν ὁμιλεῖ διὰ τὴν ἀπώλειαν τῶν ἀνθρώπων, διὰ νὰ δείξῃ τὴν αἰωνιότητα τῆς οὐσίας του καὶ ὅτι τὸ μὲν γένος τῶν ἀνθρώπων εἶναι πρόσκαιρον, ἐνῷ ἡ οὐσία τοῦ Θεοῦ καὶ ἡ μεγαλωσύνη τοῦ αἰῶνος. Αὐτὸ δὲ τὸ ἐπιτυγχάνει θέτων ὑπεράνω αὐτῶν τὸν φόβον, ὥστε νὰ τρέμουν αὐτὸν διὰ δύο λόγους, καὶ διὰ τὸ μέγεθος τῆς δόξης του καὶ διὰ τὴν ἀτέλειαν τῆς φύσεώς των, καὶ διότι εἶναι αἰώνιος καὶ τιμωρεῖ πάντοτε μὲ ὑπερβολήν. Ἐὰν δὲ πρέπει νὰ εἴπουμεν αὐτὰ καὶ κατὰ τρόπον ἀναγωγικόν, δὲν πρέπει νὰ τὸ ἀποφύγωμεν. Διότι ἄλλα μὲν εἶναι δυνατὸν καὶ νὰ τὰ ἐρευνήσωμεν, ἄλλα δὲ πρέπει ἔτσι νὰ τὰ ἐννοοῦμεν, ὅπως ἐλέχθησαν μόνον, ὅπως τό, «Εἰς τὴν ἀρχὴν ἐδημιούργησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν»[5], ἄλλα δὲ σημαίνουν ἀντίθετον ἀπὸ ὅτι αἱ λέξεις, ὅπως τό, «Ἡ ἀγαπητὴ σύζυγός σου, ὡσὰν ἔλαφος καὶ ὡσὰν χαριτωμένος πῶλος, ἂς εἶναι ἡ μόνη συναναστροφή σου»[6]. Καὶ πάλιν· «Τὰ ὑπάρχοντά σου ἂς ἀνήκουν μόνον εἰς ἐσένα καὶ κανεὶς ἄλλος ἂς μὴ γίνεται συμμέτοχος εἰς τὰ ἀγαθά σου»[7]. Καὶ πάλιν· «Ἡ πηγὴ τοῦ ὕδατός σου ἂς ἀνήκῃ μόνον εἰς ἐσένα»[8]. Αὐτὸ λοιπὸν τὸ χωρίον, ἐὰν ἐξετάσῃς τὸ περιεχόμενόν του καὶ δὲν ἀποφύγῃς μὲν τὰς λέξεις, προσπαθῇς δὲ νὰ εὕρῃς τὸ νόημά του, δείχνει πολλὴν ἀπανθρωπίαν, ἀφοῦ λέγει οὔτε νερὸ νὰ δίδῃς εἰς κάποιον· ἀλλ' ἐδῶ γίνεται λόγος διὰ τὴν γυναῖκα, ὥστε νὰ τὴν ἀπολαμβάνῃ κανεὶς μὲ σωφροσύνην, ὀνομάζων αὐτὴν πηγὴν καὶ ἔλαφον, ἐξ αἰτίας τῆς καθαρότητος τῶν συζυγικῶν σχέσεων.

Καὶ ἐδῶ μὲν πρέπει ἔτσι νὰ ἐξετάζωμεν τὸ νόημα τοῦ χωρίου, ἀλλοῦ δὲ πρέπει νὰ δεχώμεθα καὶ τὰς λέξεις καὶ τὸ νόημα τῶν λέξεων, ὅπως λόγῳ χάριν τὸ «Ὅπως ἀκρι-

ἐγένετο (ἐγένετο γάρ), καὶ τὸ ἐξ αὐτοῦ, εἰς τύπον τοῦ Χριστοῦ. Οὕτω καὶ ἐνταῦθα οὐκ ἄν τις ἁμάρτοι εἰς τὰ Ἰουδαϊκὰ ἐκλαμβάνων τὰ εἰρημένα. «Ἐκάθισας ἐπὶ θρόνου ὁ κρίνων δικαιοσύνην. Ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβής· τὸ ὄνομα αὐτοῦ ἐξήλειψας εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος, καὶ πόλεις καθεῖλες. Ἀπώλετο τὸ μνημόσυνον αὐτοῦ μετ' ἤχου». Ἥ τε γὰρ συμφορὰ αὐτῶν τῶν τὸν Χριστὸν σταυρωσάντων πανταχοῦ τῆς οἰκουμένης κατάδηλος, αἵ τε πόλεις αὐτῶν καθῃρέθησαν, τοῦ τε διαβόλου ἐξέλιπε τὰ μηχανήματα, τῆς τοῦ φιλομαθέσι καταλιπόντες ἁρμόζειν, τῶν προκειμένων ἐχώμεθα.

«Ἡτοίμασεν ἐν κρίσει τὸν θρόνον αὐτοῦ». Ἄλλος, «Ἥδρασεν εἰς κρίσιν». «Καὶ αὐτὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, κρινεῖ λαοὺς ἐν εὐθύτητι». Εἶδες πῶς κατὰ μικρὸν ἀνάγει τὸν λόγον; Ἐπειδὴ γὰρ θρόνου ἐμνημόνευσε, δείκνυσι τοῦ θρόνου τὴν φύσιν, οὐκ ἀπὸ ξύλων συγκειμένην, οὐδέ τινος ὕλης, ἀλλ' ἀπὸ δικαιοσύνης. Ἐν γὰρ τῇ δικαιοσύνῃ, φησίν, ἵδρυται. «Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ». Καὶ τὰ παρόντα καὶ τὰ μέλλοντα προαναφωνεῖ. Ἡ μὲν γὰρ καθόλου κρίσις ἐκεῖ τεταμίευται, ἡ δὲ ἐκ μέρους καὶ ἐνταῦθα· πολλὰ γὰρ καὶ νῦν ἐργάζεται, ὥστε μὴ τοὺς ἀναισθήτους ἀπρονόητα εἶναι νομίζειν τὰ ὄντα. Εἰ δὲ μὴ πάντες ἐνταῦθα τοὺς στεφάνους ἀπολαμβάνουσι, μὴ θαυμάσῃς. Ἡτοίμασε γὰρ ἡμέραν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην· τὸ δὲ παρόν, στάδιον, καὶ ἀγών, καὶ παλαίσματα.

. . . .

---

9. Ἰω. 3 14.

βῶς ὁ Μωϋσῆς ὕψωσε τὸν ὄφιν»[9]. Καθ' ὅσον πρέπει καὶ νὰ πιστεύωμεν ὅτι αὐτὸ συνέβη (διότι πράγματι συνέβη), καὶ ὅτι συνέβη ὡς προτύπωσις τοῦ σταυροῦ τοῦ Χριστοῦ. Ἔτσι καὶ ἐδῶ δὲν θὰ ἔσφαλε κανεὶς ἐὰν τὰ λεγόμενα τὰ ἐκλάβη ὡς ἀναφερόμενα εἰς τὰ ὅσα συνέβησαν εἰς τοὺς Ἰουδαίους. «Ἐκάθισες ἐπάνω εἰς δικαστικὸν θρόνον, σὺ ποὺ δικάζεις μὲ δικαιοσύνην. Ἐπέπληξες ἔθνη καὶ ὡδηγήθη εἰς ἀπώλειαν ὁ ἀσεβής· ἐξηφάνισες τὸ ὄνομά του εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Συνετρίβησαν διὰ παντὸς αἱ ρομφαῖαι τοῦ ἐχθροῦ καὶ κατεκρήμνισες τὰς πόλεις του. Ἐχάθη διὰ παντὸς ἡ ἐνθύμισις αὐτοῦ μετὰ θορύβου». Διότι καὶ ἡ συμφορὰ αὐτῶν ποὺ ἐσταύρωσαν τὸν Χριστὸν εἶναι ὁλοφάνερος εἰς ὅλα τὰ μέρη τῆς οἰκουμένης, καὶ αἱ πόλεις των κατεκρημνίσθησαν, καὶ αἱ μηχανορραφίαι τοῦ διαβόλου ἐξέλιπον, καὶ τὰ πάντα κατέλαβεν ἡ πρόνοια τοῦ Χριστοῦ. Ἀλλὰ αὐτὰ ἀφοῦ τὰ ἀφήσωμεν νὰ τὰ ἐφαρμόζουν οἱ φιλομαθεῖς, ἂς προχωρήσωμεν εἰς τὴν συνέχειαν τοῦ ψαλμοῦ.

«Ἑτοίμασε τὸν θρόνον του διὰ νὰ δικάση». Ἄλλος, «Ἐγκατέστησε δικαστήριον διὰ νὰ δικάση». «Καὶ αὐτὸς θὰ δικάσῃ τὴν οἰκουμένην μὲ δικαιοσύνην, θὰ κρίνῃ τοὺς λαοὺς μὲ εὐθύτητα». Εἶδες πῶς προχωρεῖ σιγὰ - σιγὰ τὸν λόγον; Ἐπειδὴ δηλαδὴ ὡμίλησε διὰ θρόνον, δείχνει τοῦ θρόνου τὴν φύσιν, ποὺ δὲν συνίσταται ἀπὸ ξύλα, οὔτε ἀπὸ κάποιαν ὕλην, ἀλλὰ ἀπὸ δικαιοσύνην. Διότι, λέγει, ἐστήθη ἐπὶ τῆς δικαιοσύνης αὐτοῦ. «Θὰ δικάση τὴν οἰκουμένην μὲ δικαιοσύνην». Προλέγει καὶ τὰ παρόντα καὶ τὰ μέλλοντα». Διότι ἡ καθολικὴ κρίσις ἐπιφυλάσσεται νὰ γίνῃ ἐκεῖ, ἐνῷ ἡ μερικὴ γίνεται καὶ ἐδῶ· πολλὰ δηλαδὴ κάμνει καὶ τώρα, ὥστε νὰ μὴ νομίζουν οἱ ἀναίσθητοι ὅτι τὰ ὄντα εἶναι ἀπρονόητα. Ἐὰν δὲ δὲν ἀπολαμβάνουν ὅλοι τοὺς στεφάνους ἐδῶ, μὴ θαυμάσῃς. Διότι ἑτοίμασεν ἡμέραν κατὰ τὴν ὁποίαν πρόκειται νὰ δικάση τὴν οἰκουμένην, ἐνῷ τὸ παρὸν εἶναι στάδιον καὶ ἀγὼν καὶ πάλη.

Διὰ δὴ τοῦτο οὐ πάντες τὰ κατ' ἀξίαν ἀπολαμβάνουσιν, ἀλλὰ τοῖς τε κατορθοῦσιν ἐκεῖ τεταμίευται τὰ δῶρα, τοῖς τε καταπίπτουσιν αἱ κολάσεις· ἐνταῦθα δὲ ἀνοχὴ καὶ μακροθυμία, ὥστε διὰ μετανοίας ἀπονίψασθαι τὰ ἡμαρτημένα, ἀλλ' οὐκ ἐκεῖ τοῦτο. Ἐπεὶ καὶ ἀνδροφόνος, ἕως μὲν ἂν ᾖ ἐν ταῖς ὁδοῖς, κύριός ἐστι μεταβαλέσθαι, καὶ ἀπαλλαγῆναι κολάσεως, ἐπειδὰν δὲ ὑπὸ τὴν ψῆφον ἔλθοι τοῦ δικαστοῦ, ξίφος λοιπόν, καὶ δήμιος, καὶ βάραθρα. Οὕτω καὶ ἐνταῦθα. Ἕως μὲν ἂν ἐν τῷ βίῳ τούτῳ ὦμεν τῷ παρόντι, δυνατὸν διαφυγεῖν τὴν τιμωρίαν μεταβαλλομένους, ἐκεῖ δὲ ἀπελθόντες, ἀνήνυτα οἰμώξομεν· «Ἡτοίμασε γὰρ ἐν κρίσει τὸν θρόνον αὐτοῦ». Εἰ δέ τις καὶ τό, «Ἡτοίμασε», οὕτως ἐκλάβοι, ὡς εἴρηται, οὐχ ἁμαρτήσεται· πάντα γὰρ παρεσκευασμένα, καὶ τὰ τῶν κολάσεων, καὶ τὰ τῶν στεφάνων, καὶ τὰ τῆς ψήφου. Οὐκ ἔστι μέλλησις, οὐδὲ χρόνος, οὐδὲ βραδύτης παρὰ τῷ Θεῷ, ὅταν οἱ ζῶντες οὐ μὴ φθάνωσι τοὺς κοιμηθέντας, ὥσπερ ὁ Παῦλος λέγει, ὅτι «Ἡμεῖς οἱ ζῶντες, οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας».

«Κρινεῖ λαοὺς ἐν εὐθύτητι». Ὅρα σοφίαν προφήτου, πῶς λέγει τὰ παρόντα, πῶς τὰ μέλλοντα. Τὰ παρόντα· «Ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβής»· τὰ μέλλοντα· «Ἡτοίμασεν ἐν κρίσει τὸν θρόνον αὐτοῦ. Καὶ αὐτὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ». Τοῦτο δὲ ποιεῖ, ἵνα οἱ ἐκείνοις ἀπιστοῦντες ἀπὸ τῶν παρόντων λάβωσι τὴν ἀπόδειξιν. «Καὶ ἐγένετο Κύριος καταφυγὴ τῷ πένητι». Ἄλλος, «Τῷ ἐπιτρί-

---

10. Α΄ Θεσ. 4, 15.

Διὰ τοῦτο λοιπὸν δὲν ἀπολαμβάνουν ὅλοι κατὰ τὴν ἀξίαν, ἀλλὰ καὶ διὰ τοὺς νικητὰς ἐπιφυλάσσονται ἐκεῖ τὰ δῶρα καὶ διὰ τοὺς ἡττημένους αἱ τιμωρίαι. Εἰς τὴν ἐδῶ ζωὴν ὑπάρχει ἀνοχὴ καὶ μακροθυμία, ὥστε μὲ τὴν μετάνοιαν νὰ ἐξαλείφωνται αἱ ἁμαρτίαι, αὐτὸ ὅμως δὲν ἰσχύει ἐκεῖ. Διότι καὶ ὁ ἀνθρωποκτόνος, ἐν ὅσῳ εὑρίσκεται εἰς τὰς ὁδούς, ἠμπορεῖ νὰ ἀλλάξῃ γνώμην καὶ ν' ἀπαλλαγῇ τῆς τιμωρίας, ὅταν ὅμως συμβῇ νὰ ὁδηγηθῇ εἰς τὸν δικαστὴν καὶ ἐκδοθῇ ἡ καταδικαστικὴ ἀπόφασίς του, τότε πλέον τὸν ἀναμένει ξίφος καὶ δήμιος καὶ βάραθρον. Ἔτσι συμβαίνει καὶ εἰς τὴν περίπτωσιν αὐτήν. Ἐν ὅσῳ εὑρισκόμεθα εἰς αὐτὴν τὴν παροῦσαν ζωήν, εἶναι δυνατὸν νὰ ἀποφύγωμεν τὴν τιμωρίαν ἀλλάζοντες τρόπον ζωῆς, ἐὰν ὅμως ἀπέλθωμεν εἰς τὴν ἄλλην ζωήν, ἀνώφελα θὰ θρηνήσωμεν· διότι «ἑτοίμασε τὸν δικαστικὸν θρόνον του διὰ νὰ δικάσῃ». Ἐὰν δὲ κάποιος καὶ τό, «Ἡτοίμασεν», τὸ ἐκλάβῃ ἔτσι, ὅπως ἔχει λεχθῇ, δὲν θὰ σφάλῃ· διότι ὅλα εἶναι προετοιμασμένα, καὶ τὰ τῶν τιμωριῶν καὶ τὰ τῶν στεφάνων καὶ τὰ τοῦ δικαστηρίου. Δὲν ὑπάρχει ἀναβολή, οὔτε χρόνος, οὔτε ἀργοπορία ἐκ μέρους τοῦ Θεοῦ, ὅταν οἱ ζῶντες δὲν θὰ φθάσουν ἐνωρίτερα ἀπὸ ἐκείνους ποὺ ἐκοιμήθησαν, ὅπως ἀκριβῶς λέγει ὁ Παῦλος, ὅτι «Ἐμεῖς οἱ ζῶντες, ποὺ θὰ παραμείνωμεν μέχρι τὴν παρουσίαν τοῦ Κυρίου, δὲν θὰ φθάσωμεν ἐνωρίτερα ἀπὸ ἐκείνους ποὺ ἐκοιμήθησαν»[19].

«Θὰ δικάσῃ τοὺς λαοὺς μὲ εὐθύτητα». Πρόσεχε σοφίαν προφήτου, πῶς περιγράφει τὰ παρόντα καὶ πῶς τὰ μέλλοντα. Τὰ παρόντα, «Ἐπέπληξες ἔθνη καὶ ἀπωλέσθη ὁ ἀσεβής»· τὰ μέλλοντα, «Ἑτοίμασε τὸν θρόνον του διὰ νὰ δικάσῃ. Καὶ αὐτὸς θὰ κρίνῃ τὴν οἰκουμένην μὲ δικαιοσύνην». Αὐτὸ δὲ τὸ κάμνει, ὥστε ἐκεῖνοι ποὺ δὲν πιστεύουν ἐκεῖνα, νὰ λάβουν τὴν ἀπόδειξιν ἀπὸ αὐτὰ ποὺ συμβαίνουν εἰς τὴν ἐδῶ ζωήν. «Καὶ ἔγινεν ὁ Κύριος καταφύγιον εἰς τὸν δυστυχῆ καὶ ταπεινωμένον». Ἄλλος, «Εἰς

πτῷ». Ἄλλος, «Τῷ τεθλασμένῳ». Συνεχῶς ἑαυτὸν καὶ πένητα καὶ πτωχὸν καλεῖ, καίτοι γε ἐν βασιλείοις ὤν. Οὕτω καὶ ἀλλαχοῦ· «Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης»· ᾔδει γάρ, ᾔδει σαφῶς, ὅτι τὰ ἀνθρώπινα πάντα σκιᾶς ἀδρανέστερα, καὶ ὅτι οὐδὲν ἡμῖν οὕτως οἰκεῖον ὡς ἀρετή, τὰ δὲ ἄλλα πάντα φύλλοις ἔοικεν ἔξωθεν προσκειμένοις. Ὅτι γὰρ ἀρετὴ οἰκεῖον, δῆλον ἐντεῦθεν. Ὅπου ἐὰν ἀπέλθωμεν, ταύτην περιφέρομεν, ἐκεῖνα δὲ οὐκ ἔτι. Οὐκοῦν τοῦτο ἡμῖν οἰκειότερον, τὰ δὲ ἄλλα πόρρωθεν. Ὥσπερ οὖν οἰκεῖον λέγομεν τὸν πλησίον ἡμῖν ὄντα, οὕτω δὴ καὶ ταύτην τῶν χρημάτων οἰκειοτέραν καλοῦμεν, ἐπειδὴ πλησίον ἡμῖν ἀεί.

5. Θέα δέ μοι αὐτοῦ καὶ τὴν εὐγνωμοσύνην, καὶ τὴν φιλόσοφον ψυχήν. Καὶ γὰρ ἵππους ἔχων καὶ στρατόπεδα, καὶ μυρία ὅσα, πάντα ἐκεῖνα ἀφείς, τὴν ἄνωθεν ἐπισπᾶται ῥοπήν, καὶ αὐτῷ τὴν σωτηρίαν ἀνατίθησιν. Οὐ γὰρ εἶπεν, ἐγένετό μοι στρατόπεδα καταφυγή μου, οὐδὲ χρήματα, οὐδὲ τείχη, ἀλλ', «Ἐγένετο Κύριος καταφυγὴ τῷ πένητι». Αὐτός με, φησίν, ἐν ἀσφαλείᾳ κατέστησεν· οὐδὲν γὰρ ταύτης ἴσον τῆς καταφυγῆς, καὶ εἰς εὐκολίας καὶ ἀσφαλείας λόγον. Τὰς μὲν γὰρ ἄλλας καταφυγὰς καὶ ἐπιβουλεύεσθαι ἔνι, καὶ ταχέως εὑρεῖν οὐκ ἔνι καὶ ἐξ ἑτοίμου, ἀλλὰ καὶ χρόνῳ καὶ τόπῳ καὶ μυρίαις κωλύονται περιστάσεσι, ταύτην δὲ πλησίον οὖσαν εὑρίσκεις μόνον ἐὰν μετὰ ἀκριβείας ἐπιζητήσῃς. «Ἐ-

11. Ψαλμ. 39, 18.

τὸν καταταλαιπωρούμενον». Ἄλλος, «Εἰς τὸν συντετριμμένον». Συνεχῶς ὀνομάζει τὸν ἑαυτόν του καὶ πένητα καὶ πτωχόν, ἂν καὶ βέβαια ἔζη εἰς τὰ ἀνάκτορα. Ἔτσι καὶ εἰς ἄλλην περίπτωσιν λέγει· «Ἐγὼ δὲ εἶμαι πτωχὸς καὶ πένης»[11]· διότι ἐγνώριζεν, ἐγνώριζε ξεκάθαρα, ὅτι ὅλα τὰ ἀνθρώπινα πράγματα εἶναι πιὸ ἀσταθῆ καὶ ἀπὸ τὴν σκιάν, καὶ ὅτι τίποτε ἄλλο δὲν εἶναι τόσον ἰδικόν μας, ὅσον ἡ ἀρετή, ὅλα δὲ τὰ ἄλλα ὁμοιάζουν μὲ φύλλα ποὺ εἶναι ἔξω πεταγμένα. Τὸ ὅτι βέβαια ἡ ἀρετὴ εἶναι κάτι τὸ ἰδικόν μας, γίνεται φανερὸν ἀπὸ τὸ ἑξῆς· ὅπου καὶ ἂν μεταβῶμεν, αὐτὴν φέρομεν μαζί μας, ἐνῷ ἐκεῖνα δὲν ἠμποροῦμεν νὰ τὰ πάρωμεν. Αὐτὸ λοιπὸν εἶναι τὸ πιὸ οἰκεῖον εἰς ἡμᾶς, τὰ δὲ ἄλλα εὑρίσκονται πολὺ μακριά. Ὅπως ἀκριβῶς λοιπὸν οἰκεῖον ὀνομάζομεν ἐκεῖνον ποὺ εὑρίσκεται πλησίον μας, ἔτσι βέβαια καὶ τὴν ἀρετὴν τὴν ὀνομάζομεν πιὸ οἰκείαν καὶ ἀπὸ τὰ χρήματα, ἐπειδὴ πάντοτε εὑρίσκεται πλησίον μας.

5. Πρόσεξε δέ, σὲ παρακαλῶ, καὶ τὴν εὐγνωμοσύνην αὐτοῦ καὶ τὴν γεμάτην φιλοσοφικότητα ψυχήν του. Καθ' ὅσον, ἂν καὶ εἶχεν ἵππους καὶ στρατόπεδα καὶ ἄπειρα ἄλλα ἀγαθά, ἀφοῦ τὰ ἄφησεν ὅλα ἐκεῖνα, καταφεύγει εἰς τὴν οὐράνιον δύναμιν καὶ ἀναθέτει τὴν σωτηρίαν του εἰς τὸν Θεόν. Διότι δὲν εἶπε, τὰ στρατόπεδα ἔγιναν καταφύγιόν μου, οὔτε τὰ χρήματα, οὔτε τὰ τείχη, ἀλλά, «Ἔγινεν ὁ Κύριος καταφύγιον εἰς τὸν πένητα». Αὐτός, λέγει, μοῦ ἐχάρισε τὴν ἀσφάλειαν· διότι τίποτε δὲν ἠμπορεῖ νὰ ἐξισωθῇ μὲ αὐτὸ τὸ καταφύγιον, καὶ ὡς πρὸς τὴν εὐκολίαν καὶ ὡς πρὸς τὴν ἀσφάλειαν. Καθ' ὅσον τὰ μὲν ἄλλα καταφύγια εἶναι δυνατὸν καὶ νὰ ἐπιβουλεύωνται καὶ δὲν εἶναι δυνατὸν νὰ τὰ εὕρῃ κανεὶς γρήγορα καὶ ἕτοιμα, ἀλλὰ ἐμποδίζονται καὶ ἀπὸ τὸν χρόνον καὶ ἀπὸ τὸν τόπον καὶ ἀπὸ ἄπειρα ἄλλα περιστατικά, ἐνῷ αὐτὸ τὸ καταφύγιον τὸ εὑρίσκεις πλησίον σου, μόνον ἐὰν τὸ ἐπιζητήσῃς μὲ τὸν κατάλληλον τρόπον. Διότι, «Ἐνῷ ἀκόμη θὰ προσεύχεσαι

τι γὰρ λαλοῦντός σου ἐρῶ, ἰδοὺ πάρειμι». Καί, «Θεὸς ἐγγίζων ἐγώ εἰμι, καὶ οὐ Θεὸς πόρρωθεν». Οὐ τοίνυν δεῖ δρόμου ἡμῖν, οὐδὲ ἀποδημίας, ἀλλὰ καὶ οἴκοι καθημένους ταύτην ἐπισπᾶσθαι τὴν καταφυγὴν ἔνι. Καὶ ποτὲ μὲν ἐξαιρεῖ τῶν κινδύνων, ποτὲ δὲ καὶ αὐτοὺς ποιεῖ λαμπροτέρους, καὶ τῶν ἐχθρῶν δυνατωτέρους, καὶ ἀμφότερα ἐν καιρῷ τῷ προσήκοντι. Ὅταν γὰρ μετριάζωσιν οἱ ἀπολαύοντες, ἀμφότερα δίδωσιν, εἰ δὲ μὴ σφόδρα τοῦτο ἔχοιεν τὸ κατόρθωμα, μέχρι τοῦ ἑνὸς ἵσταται, ὥστε μὴ τῇ προσθήκῃ τοῦ δευτέρου εἰς ἀπόνοιαν αὐτοὺς ἐλθεῖν.

Ἵνα δὲ μάθῃς, ὅτι πολλάκις τοῦτο εἰς ἀπόνοιαν αἴρει, ὁ Ἐζεκίας ἐντεῦθεν ἐπήρθη· ἀλλ' ὅμως οὐδὲ οὕτως αὐτὸν παρεῖδεν, ἀλλ', ἐπειδὴ ἡ τῆς νίκης εὐημερία ἐπῆρεν αὐτοῦ τὴν διάνοιαν, τὴν ἀπὸ τῆς ἀρρωστίας αὐτῷ διόρθωσιν ἐπήγαγε. «Βοηθὸς ἐν εὐκαιρίαις, ἐν θλίψεσι». Τί ἐστιν, «Ἐν εὐκαιρίαις»; Εἰς καιρόν, φησίν, ἐπικαίρως. Διπλῆν λέγει τὴν εὐκαιρίαν, ὅτι καὶ βοηθεῖ, καὶ ὅτι εἰς καιρόν. Εὐκαιρίαν γὰρ ἐνταῦθα τὴν θλῖψιν λέγει. Τί δήποτε; Ὅτι φιλοσοφίας μήτηρ ἐστί, καὶ τοῦ θανάτου ἐξελεῖται τὸν ἄνθρωπον, καὶ τοῦ Θεοῦ μάλιστα ἐπισπᾶται τὴν ῥοπήν. Τότε ῥαθυμία ἀνῄρηται καὶ διάχυσις· τότε σπουδαιότεροι περὶ τὰς ἱκετηρίας γινόμεθα. Καὶ καθάπερ ὁ χειμὼν ἐπιτήδειος καιρὸς πρὸς γεωργίαν ἐστὶ τῆς γῆς, οὕτως ἡ θλῖψις πρὸς ἐπιμέλειαν τῆς ψυχῆς. Ἀεὶ μὲν γὰρ δεόμεθα αὐτοῦ τῆς βοηθείας, καὶ ἐν εὐημερίαις ὄντες· τότε δὲ μάλιστα, ὅταν ἐν θλίψεσιν ὦμεν. «Βοηθός». Ἐνταῦθα καὶ ἕτερόν τι ᾐνίξατο· ὅτι δεῖ καὶ ἡμᾶς ἐνεργοὺς

---

12. Ἡσ. 58, 9.
13. Ἱερ. 23, 23.

θὰ σοῦ εἰπῶ, νὰ εἶμαι παρών»[12]. Καὶ «Ἐγὼ εἶμαι Θεὸς ποὺ εὑρίσκομαι πλησίον σου, καὶ ὄχι Θεὸς ποὺ εὑρίσκομαι μακράν σου»[13]. Δὲν χρειάζεται νὰ διανύσωμεν ἀπόστασιν, οὔτε νὰ ταξιδεύσωμεν εἰς ἄλλα μέρη, ἀλλὰ εἶναι δυνατὸν νὰ εὕρωμεν αὐτὸ τὸ καταφύγιον καὶ ἐνῷ καθήμεθα εἰς τὴν οἰκίαν μας. Καὶ ἄλλοτε μὲν μᾶς ἀπαλλάσσει ἀπὸ τοὺς κινδύνους, ἄλλοτε δὲ καὶ αὐτοὺς ποὺ καταφεύγουν εἰς αὐτὸ τοὺς καθιστᾷ λαμπροτέρους καὶ δυνατωτέρους ἀπὸ τοὺς ἐχθρούς, καὶ τὰ δύο αὐτὰ τὰ δίδει τότε ποὺ πρέπει. Ὅταν δηλαδὴ εἶναι ταπεινόφρονες οἱ ἀπολαμβάνοντες, τὰ δίδει καὶ τὰ δύο, ἐὰν ὅμως δὲν τὸ ἔχουν αὐτὸ τὸ κατόρθωμα εἰς μεγάλον βαθμόν, σταματᾷ μόνον εἰς τὸ ἕνα, ὥστε νὰ μὴ φθάσουν εἰς τὴν παραφροσύνην μὲ τὴν προσθήκην τοῦ δευτέρου.

Διὰ νὰ μάθῃς δέ, ὅτι πολλὲς φορὲς αὐτὸ ὁδηγεῖ εἰς παραφροσύνην, μάθε ὅτι ὁ Ἐζεκίας ἀπὸ αὐτὸ ὡδηγήθη εἰς ἔπαρσιν· ἀλλ' ὅμως οὔτε καὶ ἔτσι τὸν παρέβλεψεν, ἀλλ' ἐπειδὴ ἡ δόξα τῆς νίκης ἐφούσκωσε τὰ μυαλά του, τὸν ἐδιώρθωσε μὲ τὴν ἀσθένειάν του. «Ἔσπευσεν εἰς βοήθειάν του ἔγκαιρα ὅταν αἱ θλίψεις τὸν περιεκύκλωσαν». Τί σημαίνει, «Ἐν εὐκαιρίᾳ»; Εἰς κατάλληλον καιρόν, λέγει, ἔγκαιρα. Ὀνομάζει διπλῆν τὴν εὐκαιρίαν, διότι καὶ βοηθεῖ, καὶ διότι βοηθεῖ εἰς κατάλληλον καιρόν. Διότι εὐκαιρίαν ἐδῶ ὀνομάζει τὴν θλῖψιν. Διατί τέλος πάντων; Διότι εἶναι μητέρα τῆς φιλοσοφίας καὶ ἀπαλλάσσει τὸν ἄνθρωπον ἀπὸ τὸν θάνατον, καὶ προσελκύει κατ' ἐξοχὴν τὴν δύναμιν τοῦ Θεοῦ. Τότε ἡ ραθυμία ἐξαφανίζεται καὶ διασκορπίζεται· τότε γινόμεθα προθυμότεροι διὰ προσευχάς. Καὶ ὅπως ἀκριβῶς ὁ χειμὼν εἶναι κατάλληλος καιρὸς διὰ τὸ ὄργωμα τῆς γῆς, ἔτσι ἡ θλῖψις εἶναι κατάλληλος διὰ τὴν φροντίδα τῆς ψυχῆς. Διότι πάντοτε χρειαζόμεθα τὴν βοήθειάν του, καὶ ὅταν εὐημεροῦμεν· ἀλλὰ τότε πρὸ πάντων τὴν χρειαζόμεθα, ὅταν εὑρισκώμεθα μέσα εἰς τὰς θλίψεις. «Βοηθός». Ἐδῶ ὑπηνίχθη καὶ κάτι ἄλλο· ὅτι πρέ-

εἶναι. Ὁ γὰρ βοηθῶν τῷ ἐργαζομένῳ βοηθεῖ. Οὐ τοίνυν ἡμᾶς ἀναπεπτωκέναι δεῖ, ἀλλὰ καὶ ἱκετηρίαν εἰσφέρειν, καὶ ἐλεημοσύνας, καὶ τὰ παρ' ἑαυτῶν ἅπαντα. Ἐπεὶ καὶ σύμμαχοι τοῖς πολεμοῦσι βοηθοῦσιν, οὐχὶ τοῖς ἀναπεπτωκόσι καὶ ἀργοῦσιν. Εἰ τοίνυν βούλει τῆς τοῦ Θεοῦ συμμαχίας ἀπολαύειν, μηδέποτε τὰ παρὰ σεαυτοῦ προδῷς. Οὕτω καὶ ὁ Ἰὼβ ἐβοηθεῖτο, ἑστὼς καὶ παγκρατιάζων. Οὕτω καὶ οἱ ἀπόστολοι, ἐνεργοὶ ὄντες.

«Καὶ ἐλπισάτωσαν ἐπὶ σὲ οἱ γινώσκοντες τὸ ὄνομά σου». Ἄλλος, «Καὶ πεποιθήσουσιν». Συνεχῶς τοῦτο ποιεῖ ὁ προφήτης, ἀπὸ εὐχῆς εἰς παραίνεσιν τρέπων τὸν λόγον, κοινὸς διδάσκαλος ὢν τῆς οἰκουμένης, καὶ τὸν θησαυρὸν εἰς τὸ μέσον προτιθεὶς τῆς φιλοσοφίας. Καλῶς εἶπεν, «Ἐλπισάτωσαν οἱ γινώσκοντες τὸ ὄνομά σου». Οἱ γὰρ εἰδότες σε, φησί, καὶ τὴν ἀντίληψίν σου, καὶ τὴν συμμαχίαν, ἱκανὴν ἄγκυραν ἔχουσι τὴν ἐλπίδα τὴν ἐπὶ σέ, ἱκανὴν συμμαχίαν καὶ πύργον ἀρραγῆ, οὐ τὴν λύσιν μόνον ἐπαγγελλόμενον τῶν δεινῶν, ἀλλ' οὐδὲ παροῦσι τοῖς δεινοῖς θορυβεῖσθαι συγχωροῦντα. Ὁ γὰρ τῶν ἀνθρωπίνων ἀπηλλαγμένος, καὶ τῆς ἄνωθεν ἐλπίδος ἑαυτὸν ἀπαρτῶν, οὐ μόνον ταχίστην ἐπάγεται τὴν ἀπαλλαγὴν τῶν δεινῶν, ἀλλ' οὐδ' ἐν αὐτοῖς τοῖς δεινοῖς θορυβεῖται καὶ ταράττεται, τῇ ἐλπίδι τῆς ἀγκύρας ἐκείνης βοηθούμενος. Οὕτω γοῦν καὶ οἱ τρεῖς παῖδες οὐ μόνον ἀπηλλάττοντο τῆς καμίνου, ἀλλ' οὐδὲ ἐν τῇ καμίνῳ διατρίβοντες ἐθορυβοῦντο. Ἤδεισαν γὰρ τὴν παρὰ τοῦ Θεοῦ συμμαχίαν. Διά τοι τοῦτο καὶ ἕτερός φησι, «Καὶ πεποιθήσουσι», ἀντὶ τοῦ, «θαρρήσουσι». Πολλῷ

πει καὶ ἡμεῖς νὰ προσπαθοῦμεν. Διότι ἐκεῖνος ποὺ βοηθεῖ, βοηθεῖ ἐκεῖνον ποὺ ἐργάζεται. Δὲν πρέπει λοιπὸν νὰ ἀδρανοῦμεν, ἀλλὰ καὶ νὰ προσευχώμεθα εἰς τὸν Θεόν, καὶ ἐλεημοσύνας νὰ κάμνωμεν καὶ ὅτι ἐξαρτᾶται ἀπὸ ἡμᾶς. Διότι καὶ οἱ σύμμαχοι βοηθοῦν ἐκείνους ποὺ πολεμοῦν, ὄχι ἐκείνους ποὺ ἀδρανοῦν καὶ δὲν κάμνουν τίποτε. Ἐὰν λοιπὸν θέλης ν' ἀπολαμβάνης τὴν συμμαχίαν τοῦ Θεοῦ, ποτὲ νὰ μὴ ἐγκαταλείψης τὰς προσπαθείας σου. Ἔτσι καὶ ὁ Ἰὼβ ἐβοηθεῖτο, ἱστάμενος ἐμπρὸς εἰς τὰς δοκιμασίας καὶ ἀγωνιζόμενος σκληρά. Ἔτσι ἐβοηθοῦντο καὶ οἱ ἀπόστολοι καταβάλλοντες τὴν ἐκ μέρους των προσπάθειαν.

«Ἂς στηρίξουν τὴν ἐλπίδα των εἰς ἐσένα ὅλοι ἐκεῖνοι ποὺ γνωρίζουν τὸ ὄνομά σου». Ἄλλος λέγει, «Καὶ ἂς στηρίξουν τὴν πεποίθησίν των». Συνεχῶς αὐτὸ κάμνει ὁ προφήτης, μεταφέρων τὸν λόγον ἀπὸ τὴν προσευχὴν εἰς τὴν προτροπήν, ὡσὰν διδάσκαλος ποὺ εἶναι ὁλοκλήρου τῆς οἰκουμένης, καὶ προβάλλει εἰς τὸ μέσον τὸν θησαυρὸν τῆς φιλοσοφίας. Καλῶς εἶπεν, «Ἂς στηρίξουν εἰς ἐσένα τὴν ἐλπίδα των ἐκεῖνοι ποὺ γνωρίζουν τὸ ὄνομά σου». Διότι, λέγει, ἐκεῖνοι ποὺ γνωρίζουν ἐσένα καθὼς καὶ τὴν βοήθειάν σου καὶ τὴν συμμαχίαν σου ἔχουν ὡσὰν ἰσχυρὰν ἄγκυραν τὴν ἐλπίδα εἰς ἐσένα, ἰσχυρὰν συμμαχίαν καὶ πύργον ἀπόρθητον, ποὺ ὑπόσχεται ὄχι μόνον τὴν ἀπαλλαγὴν ἀπὸ τὰ δεινά, ἀλλὰ δὲν τὸν ἀφήνει οὔτε καὶ νὰ ἀνησυχῇ ὅταν εἶναι παρόντα τὰ δεινά. Διότι ἐκεῖνος ποὺ εἶναι ἀπηλλαγμένος ἀπὸ τὰ ἀνθρώπινα καὶ στηρίζει τὸν ἑαυτόν του εἰς τὴν οὐράνιον ἐλπίδα, ὄχι μόνον ἀπαλλάσσεται τάχιστα ἀπὸ τὰ δεινά, ἀλλ' οὔτε καὶ ὅταν εὑρίσκεται μέσα εἰς τὰ δεινὰ θορυβεῖται καὶ ταράσσεται, διότι βοηθεῖται ἀπὸ τὴν ἐλπίδα ἐκείνης τῆς ἀγκύρας. Ἔτσι λοιπὸν καὶ οἱ τρεῖς παῖδες ὄχι μόνον ἀπηλλάγησαν ἀπὸ τὰς φλόγας τῆς καμίνου, ἀλλὰ οὔτε καὶ ὅταν ἀκόμη ἦσαν μέσα εἰς τὴν κάμινον ἐθορυβοῦντο. Διότι ἐγνώριζον τὴν συμμαχίαν ἐκ μέρους τοῦ Θεοῦ. Διά τοῦτο καὶ ἄλλος λέγει, «Θὰ στη-

γὰρ μείζων τῆς ἀρχῆς τῆς ἀπὸ τῶν θορύβων ἡ ἀσφάλεια ἡ ἀπὸ τῆς ἐλπίδος τῆς εἰς τὸν Θεόν. Τὰ μὲν γὰρ ἀνθρώπινα, ἡ δὲ θεία καὶ ἄμαχος.

Ἐπειδὴ εἶπεν, ὅτι ἐγένετο βοηθός, ὅτι ἐγένετο καταφυγή, δείκνυσι καὶ πῶς γίνεται. Πῶς οὖν γίνεται; Ὅταν μένωμεν διηνεκῶς εἰς αὐτὸν ἐλπίζοντες. Εἰ δὲ μὴ εὐθέως λύει τὰ δεινά, καὶ τοῦτο ὑπὲρ τῆς σῆς γίνεται δοκιμῆς. Ὥσπερ γὰρ δυνάμενος μὴ ἀφεῖναι ἐπελθεῖν, ἀφίησιν, ἵνα στερρότερον ἐργάζηται, οὕτω καὶ δυνάμενος ἐκ προοιμίων λῦσαι, μέλλει καὶ ἀναβάλλεται πάλιν, ἐπιτείνων σου τὴν εὐτονίαν, καὶ τὴν ἐλπίδα γυμνάζων, καὶ τὴν πρὸς αὐτὸν διάθεσιν σπουδαιοτέραν ποιῶν, καὶ οὔτε ἀεὶ θλίβεσθαι συγχωρεῖ, ἵνα μὴ ἀποκάμωμεν, οὔτε ἀεὶ ἀνίεσθαι, ἵνα μὴ ἀναπέσωμεν. «Ὅτι οὐκ ἐγκατέλιπες τοὺς ἐκζητοῦντάς σε, Κύριε». Ἄλλος, «Οὐ γὰρ ἐγκατέλιπες». Οὕτω καὶ ἕτερός φησιν· «Ἐμβλέψατε εἰς ἀρχαίας γενεὰς καὶ ἴδετε, τίς ἤλπισεν ἐπὶ Κύριον, καὶ κατῃσχύνθη; ἢ τίς ἐπεκαλέσατο αὐτόν, καὶ ἐγκατέλιπεν αὐτόν;». Καὶ πῶς ζητεῖται ὁ Θεός, φησίν, ὁ πανταχοῦ ὤν; Σπουδῇ καὶ προθυμίᾳ, καὶ ἀπαλλαγῇ τῶν βιωτικῶν ἁπάντων. Πολλὰ γὰρ πρὸ ὀφθαλμῶν καὶ ἐν χερσὶν ἔχοντες οὐκ ἴσμεν, ἀλλὰ περιερχόμεθα ζητοῦντες πολλάκις ἃ κατέχομεν, ὅταν πρὸς ἕτερον ἡ διάνοια τετραμμένη ᾖ.

6. Πῶς οὖν ἔστι ζητεῖν τὸν Θεόν; Ὅταν ἐκεῖ τὴν διάνοιαν συντείνωμεν, ὅταν τῶν βιωτικῶν παλλαγῶμεν. Καὶ γὰρ

---

14. Σοφ. Σειρ. 2, 10.

ρίξουν τὴν πεποίθησίν των εἰς ἐσένα», ἀντὶ τοῦ, «θὰ παίρνουν θάρρος ἀπὸ σένα». Διότι πολὺ πιό σπουδαία εἶναι ἀπὸ τὴν ἀσφάλειαν ἀπὸ τοὺς θορύβους ποὺ στηρίζεται εἰς τὰ ἀνθρώπινα, ἡ ἀσφάλεια ποὺ στηρίζεται ἐπὶ τῆς ἐλπίδος εἰς τὸν Θεόν. Διότι τὰ μὲν πρῶτα εἶναι ἀνθρώπινα, ἐνῷ ἡ δευτέρα εἶναι θεία καὶ ἀκαταμάχητος.

Ἐπειδὴ εἶπεν, ὅτι ἔγινε βοηθός του, ὅτι ἔγινε καταφύγιόν του, δείχνει καὶ πῶς γίνεται. Πῶς λοιπόν γίνεται; Ὅταν μένωμεν διαρκῶς μὲ τὴν ἐλπίδα μας στηριγμένην εἰς αὐτόν. Ἐὰν δὲ δὲν ἀπαλλάσῃ ἀμέσως ἀπὸ τὰ δεινά, καὶ αὐτό γίνεται διὰ τὴν ἰδικήν σου δοκιμασίαν. Διότι, ὅπως ἀκριβῶς, ἐνῷ ἠμπορεῖ νὰ μὴ τὰ ἐπιτρέψῃ τὰ δεινὰ νὰ ἔλθουν, ὅμως τὰ ἐπιτρέπει, διὰ νὰ σὲ κάμῃ ἰσχυρότερον, ἔτσι καὶ ἐνῷ ἠμπορεῖ ἀπό τὴν ἀρχὴν νὰ σὲ ἀπαλλάξῃ, βραδύνει καὶ ἀναβάλλει πάλιν τὴν ἀπαλλαγήν, ἐνισχύων τὴν δύναμίν σου καὶ ἀσκῶν τὴν ἐλπίδα σου, καὶ καθιστᾷ ἰσχυροτέραν τὴν διάθεσίν σου πρὸς αὐτόν, καὶ οὔτε ἐπιτρέπει πάντοτε νὰ θλιβώμεθα, διὰ νὰ μὴ ἀποκάμωμεν, οὔτε πάντοτε μᾶς βοηθεῖ, διὰ νὰ μὴ γίνωμεν ἀδιάφοροι. «Διότι δὲν ἄφησες ἀβοηθήτους ἐκείνους ποὺ σὲ ζητοῦν μὲ πόθον, Κύριε». Ἄλλος λέγει· «Διότι δὲν ἐγκατέλειψες». Ἔτσι καὶ ἄλλος λέγει· «Ἐξετάσατε τὰς ἀρχαίας γενεὰς καὶ ἴδετε, ποῖος ἤλπισεν εἰς τὸν Κύριον καὶ κατεντροπιάσθη· ἢ ποῖος ἐζήτησε τὴν βοήθειάν του καὶ τὸν ἐγκατέλειψεν;»[11]. Καὶ πῶς ζητεῖται ὁ Θεός, λέγει, ἀφοῦ εἶναι πανταχοῦ παρών; Μὲ τὸν μεγάλον ζῆλον δι' αὐτόν, τὴν προθυμίαν καὶ τὴν ἀπαλλαγὴν ἀπὸ ὅλα τὰ κοσμικὰ πράγματα. Διότι πολλὰ πράγματα, ἐνῷ τὰ ἔχομεν ἐμπρὸς εἰς τὰ μάτια μας καὶ εἰς τὰ χέρια μας, δὲν τὸ γνωρίζομεν, ἀλλὰ περιερχόμεθα καὶ ζητοῦμεν πολλὲς φορὲς αὐτὰ ποὺ κατέχομεν, ὅταν ἡ σκέψις μας εἶναι ἐστραμμένη εἰς ἄλλο πρᾶγμα

6. Πῶς λοιπόν ἠμποροῦμεν ν' ἀναζητοῦμεν τὸν Θεόν; Ὅταν ἔχωμεν ἐστραμμένην τὴν σκέψιν μας πρὸς ἐκεῖ-

ὁ ζητῶν, πάντα ἐκβαλὼν τῆς ψυχῆς, πρὸς ἐκεῖνο τὸ ζητούμενον ἔρχεται. Καὶ οὐχ ἁπλῶς ζητεῖν χρή, ἀλλὰ καὶ ἐκζητεῖν. Ὁ ἐκζητῶν οὐκ αὐτὸς ζητεῖ μόνον, ἀλλὰ καὶ ἑτέρους λαμβάνει βοηθούς, ὥστε εὑρεῖν τὸ ζητούμενον. Ἀλλ' ἐπὶ μὲν τῶν βιωτικῶν πολλάκις ζητήσαντες, οὐχ εὕρομεν ἐπὶ δὲ τῶν πνευματικῶν οὐκ ἔνι τοῦτο, ἀλλὰ ἀνάγκη πᾶσα τὸν ζητοῦντα εὑρεῖν. Ἂν γὰρ ἐξέλθωμεν μόνον ἐπὶ τὸ ζητῆσαι, οὐκ ἀφήσει ἡμᾶς πολλὰ κόπτεσθαι ὁ Θεός· διὰ τοῦτο λέγει· «Πᾶς ὁ ζητῶν εὑρίσκει». «Ψάλατε τῷ Κυρίῳ τῷ κατοικοῦντι ἐν Σιών». Ἄλλος, «Τῷ καθημένῳ». «Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἐπιτηδεύματα αὐτοῦ». Ἄλλος φησίν, «Ἐν τοῖς λαοῖς τὰ μηχανήματα αὐτοῦ». Τί λέγεις; Οὗ ὁ οὐρανὸς θρόνος καὶ ἡ γῆ ὑποπόδιον, οὗ ἐν τῇ χειρὶ τὰ πέρατα τῆς γῆς, οὗτος ἐν Σιὼν οἰκεῖ; Ναί· οἴκησιν γὰρ ἐνταῦθα οὐ τὸ περικλείεσθαι λέγει (ἀπέραντος γὰρ αὐτοῦ ἡ μεγαλωσύνη), ἀλλὰ τὴν οἰκειότητα πρὸς τὸν τόπον, καὶ τὸ οἰκείως ἔχειν πρὸς αὐτόν, διὰ τὸ τοὺς Ἰουδαίους διὰ τῆς συγκαταβάσεως ταύτης πρὸς αὐτὸν ἐπισπᾶσθαι· ἐπεὶ καὶ οἰκία διὰ τοῦτο λέγεται ἐφ' ἡμῶν, διὰ τὸ οἰκείως ἡμᾶς ἔχειν πρὸς αὐτήν. Καὶ ἐν ἡμῖν δὲ οἰκεῖν λέγεται, οὐ περιεχόμενος ὑφ' ἡμῶν, ἀλλ' οἰκείως πρὸς ἡμᾶς ἔχων. Σιὼν δὲ κατὰ ἀναγωγὴν ἡ Ἐκκλησία λέγεται. «Προσεληλύθατε γὰρ ὄρει Σιών, καὶ Ἐκκλησίᾳ πρωτοτόκων». Καὶ εἰκότως ὄρος ἡ Ἐκκλησία, διὰ τὸ βέβαιον, καὶ πάγιον καὶ

15. Ματθ. 7, 8.
16. Ἑβρ. 12, 22.

νον, όταν άπαλλαγώμεν άπό τά κοσμικά πράγματα. Καθ' όσον έκεϊνος πού άναζητεϊ κάτι, άφοΰ διώξη κάθε άλλην σκέψιν άπό τήν ψυχήν του, σκέπτεται μόνον έκεϊνο πού άναζητεϊ. Καί όχι άπλώς πρέπει νά ζητώμεν, άλλά νά ζητώμεν μέ έπιμονήν. Έκεϊνος πού ζητεϊ κάτι μέ έπιμονήν, δέν τό ζητεϊ μόνον αύτός, άλλά παίρνει καί άλλους βοηθούς, ώστε νά εύρη αύτόπ/ού ζητεϊ. Άλλά είς τήν περίπτωσιν μέν τών κοσμικών πραγμάτων πολλές φορές άν καί τά έζητήσαμεν, δέν τά εύρομεν, ένώ εις τήν περίπτωσιν τών πνευματικών πραγμάτων δέν συμβαίνει αύτό, άλλά πρέπει όπωσδήποτε νά εύρη κανείς αύτό πού ζητεϊ. Διότι έάν μόνον κάνωμεν άρχήν είς τήν άναζήτησιν πνευματικών πραγμάτων, δέν μάς άφήνει ό Θεός νά κοπιάσωμεν πολύ· διά τοΰτο λέγει· «Ό καθένας πού ζητεϊ άπό τόν Θεόν κάτι, τό εύρίσκει»[15]. «Ψάλατε ύμνον δοξολογίας είς τόν Κύριον πού κατοικεϊ είς τήν Σιών». Άλλος, «Πού κάθεται είς τήν Σιών». «Άναγγείλατε είς τά έθνη τά μεγαλουργήματα αύτοΰ». Άλλος λέγει, «Είς τούς λαούς τά πολυποίκιλα κατορθώματά του». Τί λέγεις; Έκείνου πού ό ούρανός είναι θρόνος του καί ή γή ύποπόδιον, έκείνου πού είς τό χέρι του εύρίσκονται τά πέρατα τής γής, αύτός κατοικεϊ είς τήν Σιών; Ναί· διότι έδώ κατοίκησιν δέν έννοεϊ τόν περιορισμόν (διότι είναι άπέραντος ή μεγαλοσύνη του), άλλά τήν οίκειότητά του πρός τόν τόπον, καί τήν εύνοιάν του πρός αύτόν, ώστε μέ τήν συγκατάβασίν του αύτήν πρός αύτόν νά προσελκύση τούς Ίουδαίους· διότι καί ή οίκία διά τοΰτο λέγεται έτσι άπό ήμάς, λόγω τής οίκειότητός μας πρός αύτήν. Καί λέγεται δέ ότι κατοικεϊ μέσα μας, όχι έπειδή περιέχεται μέσα μας, άλλά λόγω τής οίκειότητός του πρός ήμάς. Σιών δέ όνομάζεται άλληγορικά καί ή Έκκλησία. Διότι λέγει «Έχετε προσέλθει είς τό όρος τής Σιών καί είς τήν Έκκλησίαν τών πρωτοτόκων»[16]. Καί κατά πολύ φυσικόν λόγον ή Έκκλησία όνομάζεται όρος, διά τήν σταθερότητα, τήν στερεότητα καί

ἄσειστον. Καθάπερ γὰρ ὄρος σαλεῦσαι οὐ δυνατόν, οὕτως οὐδὲ τοῦ Θεοῦ τὴν Ἐκκλησίαν. «Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἐπιτηδεύματα αὐτοῦ». Κήρυκας εἶναι βούλεται τῶν εὐεργεσιῶν τοῦ Θεοῦ, καὶ μηδέποτε αὐτοῦ κατακρύπτειν τὰς εὐεργεσίας. Καὶ τοῦτο πανταχοῦ ζητεῖ, διά τε τοὺς λέγοντας, διά τε τοὺς ἀκούοντας. Καὶ γὰρ καὶ τούτοις κέρδος, κἀκείνοις, ἐὰν προσέχωσιν.

«Ὅτι ὁ ἐκζητῶν τὰ αἵματα αὐτῶν ἐμνήσθη». Εἶδες τὰ ἐπιτηδεύματα ποῖα λέγει; Τὰς εὐεργεσίας. Ἐνταῦθα καὶ μέγα τι αἰνίττεται δόγμα· ὅτι οὐκ ἔστι φόνος ἀτιμωρητὶ τολμώμενος, ἀλλ' ἐκδικεῖται πάντως· ὃ καὶ ἐν τῇ Γενέσει Μωϋσῆς δείκνυσι, λέγων «Τὸ αἷμα ὑμῶν ἐκζητήσω». Τοῦτο τῆς ἀπείρου προνοίας δεῖγμα, τῆς ἐκτεταμένης αὐτοῦ κηδεμονίας. Εἰ δὲ μὴ κατὰ πόδας ἐκζητεῖ, μὴ θαυμάζῃς· δίδωσι γὰρ τοῖς ἁμαρτάνουσι μετανοίας ἀφορμήν. «Οὐκ ἐπελάθετο τῆς κραυγῆς τῶν πενήτων». Ὅρα πάλιν τοὺς πένητας εὐδοκιμοῦντας. Οὐχ ἁπλῶς δὲ λέγει τοὺς πένητας, ἀλλ' ἐκείνους τοὺς πτωχοὺς τῷ πνεύματι, καθὼς ὁ Χριστός φησιν. Οὗτοι γὰρ μάλιστα ἀκούονται εὐχόμενοι, οἱ ταπεινοὶ τῇ καρδίᾳ, καὶ συντετριμμένοι. Δύο δὲ ἐνταῦθα τίθησι, καὶ εὐχήν, καὶ ταπεινοφροσύνην. «Ἐπὶ τίνα γὰρ ἐπιβλέψω», φησίν, «ἀλλ' ἢ ἐπὶ τὸν ταπεινόν, καὶ ἡσύχιον, καὶ τρέμοντά μου τοὺς λόγους;». Καὶ πανταχοῦ ὄχημα εὐχῆς εὑρίσκεται ταπεινοφροσύνη. Ἐγγὺς γὰρ Κύριος τοῖς συντετριμμένοις τῇ καρδίᾳ. Ὥστε φλεγμονῆς δεῖ μάλιστα ἀπηλλάχθαι τὸν εὐχόμενον. Ὃ καὶ Παῦλος ζητεῖ, λέγων «Χωρὶς ὀργῆς καὶ διαλογισμοῦ». Καλῶς εἶπε, «Τῆς κραυγῆς τῶν πενήτων, κραυγὴν λέγων τὴν διάθεσιν τῆς δια-

17. Γεν. 9, 5.
18. Ἡσ. 66, 2.
19. Α΄ Τιμ. 2, 8

τὸ ἀπαρασάλευτον αὐτῆς. Διότι ὅπως ἀκριβῶς τὸ ὄρος δὲν εἶναι δυνατὸν νὰ σαλευθῇ, ἔτσι οὔτε και ἡ Ἐκκλησία τοῦ Θεοῦ. «Κηρύξατε εἰς τὰ ἔθνη τὰ μεγαλουργήματα τοῦ Θεοῦ». Θέλει νὰ εἴμεθα κήρυκες τῶν εὐεργεσιῶν τοῦ Θεοῦ καὶ ποτὲ νὰ μὴ κρύπτωμεν τὰς εὐεργεσίας του. Καὶ αὐτό παντοῦ ζητεῖ, καὶ διά τοὺς κήρυκας καὶ διὰ τοὺς ἀκροατάς. Καθ᾽ ὅσον ὑπάρχει κέρδος καὶ εἰς τοὺς πρώτους καὶ εἰς τοὺς δευτέρους ἐὰν προσέχουν.

«Διότι αὐτός ποὺ ζητεῖ νὰ ἐκδικηθῇ διὰ τὰ αἵματα τῶν δούλων του, ἐνεθυμήθη αὐτούς». Εἶδες ποῖα ὀνομάζει μεγαλουργήματα; Τὰς εὐεργεσίας. Ἐδῶ ὑπαινίσσεται καὶ κάποιαν μεγάλην ἀλήθειαν· ὅτι δὲν ὑπάρχει φόνος ποὺ ἔγινε χωρὶς νὰ τιμωρηθῇ, ἀλλ᾽ ὁπωσδήποτε ἐκδικεῖται, πρᾶγμα ποὺ δείχνει καὶ ὁ Μωϋσῆς εἰς τὴν Γένεσιν, λέγων· «Θὰ ζητήσω ἐκδίκησιν διὰ τὸ αἷμα σας»[17]. Αὐτό εἶναι δεῖγμα τῆς ἀπείρου προνοίας του, τῆς ἀπεράντου κηδεμονίας του. Ἐὰν δὲ δὲν ἐκδικῆται ἀμέσως, μὴ θαυμάσῃς· διότι δίδει εὐκαιρίαν μετανοίας εἰς τοὺς ἁμαρτάνοντας. «Δὲν ἐλησμόνησε τὴν κραυγὴν τῶν πτωχῶν». Πρόσεχε πάλιν τὴν εὐδοκίμησιν τῶν πτωχῶν. Δὲν ὁμιλεῖ δὲ ἁπλῶς διά τοὺς πτωχούς, ἀλλὰ δι᾽ ἐκείνους τοὺς πτωχοὺς ὡς πρὸς τὸ πνεῦμα, ὅπως λέγει ὁ Χριστός. Διότι αὐτοὶ πρὸ πάντων εἰσακούονται προσευχόμενοι, οἱ ταπεινοὶ ὡς πρὸς τὴν καρδίαν καὶ συντετριμμένοι. Διὰ δύο πράγματα ἐδῶ κάμνει λόγον, διὰ τὴν προσευχὴν καὶ τὴν ταπεινοφροσύνην. Διότι, λέγει «Πρὸς ποῖον, θὰ στρέψω τὸ βλέμμα μου, παρὰ πρὸς τὸν ταπεινόν, τὸν γαλήνιον καὶ ἐκεῖνον ποὺ τρέμει τοὺς λόγους μου;»[18]. Καὶ εἰς κάθε περίπτωσιν μέσον πραγματοποιήσεως τῆς προσευχῆς γίνεται ἡ ταπεινοφροσύνη. Διότι ὁ Κύριος πλησιάζει ἐκείνους ποὺ ἔχουν συντετριμμένην καρδίαν. Ὥστε πρέπει ὁ προσευχόμενος ν᾽ ἀπαλλαγῇ ὁπωσδήποτε ἀπὸ τὰ πάθη του, πρᾶγμα ποὺ καὶ ὁ Παῦλος ζητεῖ, λέγων· «Χωρὶς ὀργὴν καὶ διαλογισμούς»[19]. Καλῶς εἶπε, «Τὴν κραυγὴν τῶν πενήτων», κραυ-

νοίας, οὐ τὸν τόνον τῆς φωνῆς· τῷ δὲ εἰπεῖν, «Οὐκ ἐπελάθετο», ἐδήλωσεν ὅτι συνεχῶς ἐκάλουν ἐκεῖνοι, καὶ οὐκ ἐκ προοιμίων ἐτύγχανον. Τί τοίνυν ἐστὶν ὃ λέγει; Μὴ νομίσητε ὅτι ἐπελάθετο ὁ Θεός, καὶ διὰ τοῦτο οὐκ ἐπεξῆλθε· καὶ γὰρ αὐτοῦ ἴδιον τὸ τὰ τοιαῦτα ζητεῖν, καὶ μηδενὸς παρακαλοῦντος· ὅταν δὲ παρακαλῶσι, καὶ ταπεινοὶ οἱ παρακαλοῦντες ὦσι, πολλῷ πλέον.

«Ἐλέησόν με, Κύριε, ἴδε τὴν ταπείνωσίν μου ἐκ τῶν ἐχθρῶν μου. Ὁ ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου, ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών». Ἄλλος, «Τὰς ὑμνήσεις σου». Ἄλλος, «Τοὺς ἐπαίνους σου». Ὅρα αὐτὸν διηνεκῶς τῇ εὐχῇ προσηλωμένον. Καὶ γὰρ ἀπαλλαγεὶς τῶν δεινῶν καὶ ἐν ἀσφαλείᾳ γενόμενος, οὐκ ἀφίσταται τοῦ πάλιν εὔχεσθαι, λέγων «Ἐλέησόν με», καὶ ὑπὲρ τῶν μελλόντων αὐτὸν παρακαλῶν. Ἀεὶ μὲν γὰρ δεόμεθα τῆς τοῦ Θεοῦ προνοίας· μάλιστα δὲ ἐν τῇ τῶν κακῶν ἀπαλλαγῇ. Ἕτερος γὰρ διαδέχεται πόλεμος τοῦ προτέρου χαλεπώτερος, ὁ τῆς ῥαθυμίας, ὁ τῆς ἀπονοίας· καὶ σφοδρότερον τότε ὁ διάβολος πνεῖ. Ὥστε μάλιστα μετὰ τὸ ἀπαλλαγῆναι τῶν κακῶν, δεόμεθα τῆς ῥοπῆς ἐκείνης, ἵνα εὐκόλως τὰς εὐημερίας ἐνέγκωμεν. Ἐπεὶ καὶ Ἰουδαῖοι τῶν Αἰγυπτίων ἀπαλλαγέντες, ἐν χαλεπῷ ἦσαν πολέμῳ, τῇ ἀπονοίᾳ καὶ τῇ ῥαθυμίᾳ. Τότε γοῦν μάλιστα καὶ ἀπέθανον, μὴ δυνηθέντες στρατηγῆσαι καλῶς. Ἐπειδὴ γὰρ οὔτε πρὸς λαιμαργίαν, οὔτε πρὸς μικροψυ-

γὴν ὀνομάζων τὴν διάθεσιν τῆς διανοίας καὶ ὄχι τὸν τόνον τῆς φωνῆς· μὲ τὸ νὰ εἰπῇ δέ, «δὲν ἐλησμόνησεν», ἐδήλωσεν ὅτι συνεχῶς τὸν ἐκαλοῦσαν εἰς βοήθειαν καὶ δὲν ἐλάμβανον τὴν βοήθειάν του ἀπὸ τὴν ἀρχήν. Τί σημαίνει λοιπὸν αὐτὸ ποὺ λέγει; Μὴ νομίσετε ὅτι τὸ ἐλησμόνησεν ὁ Θεὸς καὶ διὰ τοῦτο δὲν ἔσπευσεν εἰς βοήθειαν˙ καθ' ὅσον γνώρισμα αὐτοῦ εἶναι νὰ παρέχῃ τὴν βοήθειάν του εἰς παρομοίας περιπτώσεις καὶ χωρὶς νὰ τὸν παρακαλῇ κανείς, ὅταν ὅμως τὸν παρακαλοῦν καὶ εἶναι ταπεινόφρονες αὐτοὶ ποὺ τὸν παρακαλοῦν, πολὺ περισσότερον παρέχει τὴν βοήθειάν του.

«Ἐλέησέ με, Κύριε, ἴδε τὴν ταπείνωσιν ποὺ μοῦ ἐπροξένησαν οἱ ἐχθροί μου, σὺ ποὺ ὅταν κινδυνεύω μὲ ἁρπάζεις μέσα ἀπὸ τὰς πύλας τοῦ θανάτου, ὥστε νὰ διακηρύξω τοὺς ὕμνους δοξολογίας εἰς τὰς πύλας τῆς θυγατρός σου Σιών». Ἄλλος λέγει, «Τὰς ὑμνήσεις σου». καὶ ἄλλος, «Τοὺς ἐπαίνους σου». Πρόσεχε αὐτὸν ποὺ εἶναι συνεχῶς προσηλωμένος εἰς τὴν προσευχήν. Καθ' ὅσον, ἀπαλλαγεὶς ἀπὸ τὰ δεινὰ καὶ εὑρεθεὶς εἰς ἀσφάλειαν, δὲν παύει καὶ πάλιν νὰ προσεύχεται, λέγων, «Ἐλέησέ με», καὶ νὰ τὸν παρακαλῇ διὰ τὴν μελλοντικὴν κατάστασίν του. Διότι πάντοτε χρειαζόμεθα τὴν πρόνοιαν τοῦ Θεοῦ, πρὸ πάντων δὲ διὰ τὴν ἀπαλλαγὴν μας ἀπὸ τὰ κακά. Καθ' ὅσον ἄλλος πόλεμος διαδέχεται φοβερώτερος ἀπὸ τὸν πρῶτον, ὁ πόλεμος τῆς ραθυμίας, ὁ πόλεμος τῆς ἀδιαφορίας, καὶ τότε ἐπιτίθεται ὁ διάβολος μὲ μεγαλυτέραν ὁρμήν. Ὥστε πρὸ πάντων ἔχομεν ἀνάγκην ἀπὸ τὴν δύναμιν ἐκείνην μετὰ τὴν ἀπαλλαγὴν ἀπὸ τὰ κακά, διὰ νὰ περάσωμεν εὔκολα τὰς ἡμέρας τῆς εὐημερίας. Διότι καὶ οἱ Ἰουδαῖοι, μετὰ τὴν ἀπαλλαγήν των ἀπὸ τοὺς Αἰγυπτίους, εὑρέθησαν μέσα εἰς φοβερὸν πόλεμον, εἰς τὸν πόλεμον τοῦ παραλογισμοῦ καὶ τῆς ραθυμίας. Τότε λοιπὸν ἀπέθανον κατ' ἐξοχήν, ἐπειδὴ δὲν ἠμπόρεσαν νὰ ἐφαρμόσουν καλὴν στρατηγικήν. Ἐπειδὴ δηλαδὴ δὲν ἐστάθησαν μὲ γενναιότητα οὔτε ἀπέναντι εἰς

χίαν ἔστησαν γενναίως, ἀλλὰ τῶν Αἰγυπτίων τὰ πάθη ἐζήλωσαν, ταῦτα αὐτοὺς ἀπώλεσε. Καὶ ὁ Δαυὶδ ἐπὶ τοῦ Σαοὺλ ἀπαλλαγεὶς τῶν δεινῶν, καὶ τῶν ἄλλων πολεμίων, ἐπειδὴ ἀνέσεως ἀπέλαυσε, χαλεπώτερον ὑπέστη πόλεμον, τὸν τῆς ἀκολάστου ἐπιθυμίας, ὃς δὴ καὶ μειζόνως αὐτὸν ἐκόλασε. Διὸ δὴ μάλιστα τότε χρὴ φοβεῖσθαι, ὅταν τῶν δεινῶν ἀπαλλαγῶμεν.

7. Καθάπερ γὰρ θηρίον δεδεμένον οὐχ οὕτω φοβούμεθα, ὡς ἀφεθέν, οὕτω δὴ καὶ τὴν κακίαν οὐχ οὕτως ἐν θλίψει δεδοικέναι χρὴ (τότε γὰρ δέδεται τῇ ἀθυμίᾳ καὶ τοῖς ἄλλοις δεσμοῖς), ἀλλὰ μετὰ τὴν ἄνεσιν, τότε χρὴ δεδοικέναι. Διὰ δὴ τοῦτο ὄψει πολλάκις τὰς εὐπραγίας μείζονα τῶν κακῶν ἐργαζομένας δεινά. Οὕτω καὶ Ἐζεκίας μετὰ τὸ τρόπαιον ἔμελλεν ἀπόλλυσθαι. Διὸ καὶ οὗτος ἀλλαχοῦ φησιν· «Ἀγαθόν μοι, ὅτι ἐταπείνωσάς με». Καὶ τὸν ἔλεον ζητεῖ πάλιν μετὰ τὴν ἀπαλλαγήν, καὶ τίθησι δικαίωμα τοῦ ἐλέους, τὸ παθεῖν κακῶς. «Ἴδε γὰρ τὴν ταπείνωσίν μου ἐκ τῶν ἐχθρῶν μου»· καὶ ἕτερον πάλιν· «Ὁ ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου». Καὶ γὰρ πρὸς τὸν προστάτην καὶ κηδεμόνα καταφεύγω, καὶ ἀεί μοι χεῖρα παρέχοντα. Εἶδες αὐτὸν ἐν τῇ αἰτήσει τῶν μελλόντων εὐχάριστον ὑπὲρ τῶν παρελθόντων γινόμενον, καὶ διπλῆν λέγοντα εὐεργεσίαν; Οὐ γὰρ εἶπεν, 'ὁ ἀπαλλάττων με τῶν πυλῶν τοῦ θανάτου', ἀλλ' «Ὁ ὑψῶν με». Οὐ γὰρ μέχρι τοῦ λῦσαι τὰ δεινὰ ἵστατο ἡ εὐεργεσία τοῦ Θεοῦ, ἀλλὰ καὶ θαυμαστοὺς ἐποίει, καὶ ἐπιδόξους, καὶ λαμπροτέρους, καὶ ὑ-

20. Ψαλμ. 118, 71

τὴν λαιμαργίαν, οὔτε εἰς τὴν μικροψυχίαν, ἀλλὰ ἐπόθησαν μὲ ζῆλον τὰ πάθη τῶν Αἰγυπτίων, αὐτὰ τοὺς ὡδήγησαν εἰς τὴν καταστροφήν. Καὶ ὁ Δαυὶδ κατὰ τὸν πόλεμον μὲ τὸν Σαούλ, ἀφοῦ ἀπηλλάγη ἀπὸ τὰ δεινὰ καὶ τοὺς ἄλλους ἐχθρούς, ἐπειδὴ ἀπήλαυσεν ἀνέσεως, ὑπέστη φοβερώτερον πόλεμον, τὸν πόλεμον τῆς ἀκολάστου ἐπιθυμίας, ποὺ τὸν ἐτιμώρησε πολὺ περισσότερον. Διὰ τοῦτο λοιπὸν τότε πρὸ πάντων πρέπει νὰ φοβούμεθα, ὅταν ἀπαλλαγῶμεν ἀπὸ τὰ δεινά.

7. Ὅπως ἀκριβῶς λοιπὸν ἕνα θηρίον ποὺ εἶναι δεμένον δὲν τὸ φοβούμεθα τόσον, ὅσον ὅταν ἀφεθῇ ἐλεύθερον, ἔτσι βέβαια πρέπει οὔτε καὶ τὴν κακίαν νὰ τὴν φοβούμεθα τόσον ὅταν εὑρισκώμεθα μέσα εἰς τὰς θλίψεις (διότι τότε δένεται μὲ τὴν λύπην καὶ τὰ ἄλλα δεσμά), ἀλλὰ μετὰ τὴν ἄνεσιν, τότε πρέπει νὰ τὴν φοβούμεθα. Διὰ τοῦτο λοιπὸν θὰ ἰδῇς πολλὲς φορὲς αἱ εὐημερίαι νὰ προξενοῦν μεγαλύτερα δεινὰ ἀπὸ τὰς δυστυχίας. Ἔτσι καὶ ὁ Ἐζεκίας μετὰ τὴν νίκην παρ' ὀλίγον νὰ ἐκαταστρέφετο. Διὰ τοῦτο καὶ ὁ Δαυὶδ λέγει ἀλλοῦ· «Ὑπῆρξεν ἀγαθὸν δι' ἐμένα τὸ ὅτι μὲ ἐταπείνωσες»[20]. Καὶ πάλιν μετὰ τὴν ἀπαλλαγὴν ἀπὸ τὰ δεινὰ ζητεῖ τὴν εὐσπλαγχνίαν τοῦ Θεοῦ καὶ θέτει ὡς δικαίαν ἀπολαυὴν τῆς εὐσπλαγχνίας του τὰ κακοπαθήματά του. «Ἴδε τὴν ταπείνωσιν ποὺ ὑπέστην ἀπὸ τοὺς ἐχθρούς μου»· καὶ εἰς τὴν συνέχειαν πάλιν· «Σὺ ποὺ μὲ ἁρπάζεις ἐμπρὸς ἀπὸ τὰς πύλας τοῦ θανάτου». Καθ' ὅσον καταφεύγω πρὸς τὸν προστάτην καὶ κηδεμόνα καὶ ποὺ μοῦ παρέχει πάντοτε χεῖρα βοηθείας. Εἶδες αὐτὸν πού, προκειμένου νὰ ζητήσῃ τὴν βοήθειαν τοῦ Θεοῦ εἰς τὸ μέλλον, εὐχαριστεῖ αὐτὸν διὰ τὰς εὐεργεσίας ποὺ ἐδέχθη εἰς τὸ παρελθὸν καὶ ποὺ θεωρεῖ διπλῆν τὴν εὐεργεσίαν; Διότι δὲν εἶπε, 'σὺ ποὺ μὲ ἀπαλλάσσεις ἀπὸ τὰς πύλας τοῦ θανάτου', ἀλλὰ «σὺ ποὺ μὲ ὑψώνεις». Καθ' ὅσον ἡ εὐεργεσία τοῦ Θεοῦ δὲν ἐσταματοῦσε μέχρι τῆς ἀπαλλαγῆς ἀπὸ τὰ δεινά, ἀλλὰ τοὺς καθίστα καὶ θαυμαστοὺς καὶ ἐνδόξους καὶ λαμπροτέρους

ψηλούς. Καὶ οὐκ εἶπεν, 'ἐκ τῆς πύλης' ἀλλ' «Ἐκ τῶν πυλῶν, τὸ πολὺ τῶν κινδύνων δηλῶν.

«Ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών». Ὃ ποιεῖν τοῖς ἄλλοις παρῄνεσε, τοῦτο καὶ αὐτὸς ποιεῖ· «Ἀναγγείλατε» γάρ φησίν, «ἐν τοῖς ἔθνεσι τὰ ἐπιτηδεύματα αὐτοῦ». Τοῦτο καὶ ἐγὼ νῦν ἐργάσομαι· καὶ οὐκ ἐργάσομαι ἁπλῶς, ἑνὸς παρόντος, καὶ δύο, καὶ τριῶν, ἀλλ' ἐν μέσῳ θεάτρῳ. «Ἀγαλλιάσομαι ἐπὶ τῷ σωτηρίῳ σου». Τοῦτό μοι στέφανος, τοῦτό μοι διάδημα, τὸ διὰ σοῦ στῆσαι τρόπαιον, τὸ διὰ σοῦ σωτηρίας ἀπολαῦσαι. Οὕτω δὴ καὶ ἡμεῖς μὴ πάντως σωθῆναι ζητήσωμεν, μὴ πάντως ἀπαλλαγῆναι τῶν δεινῶν παντὶ τρόπῳ, ἀλλὰ κατὰ Θεόν. Τοῦτο δὲ λέγω, διὰ τοὺς ἐπαοιδαῖς χρωμένους ἐν ταῖς νόσοις, καὶ ἑτέρας μαγγανείας ἐπιζητοῦντας εἰς παραμυθίαν τῆς ἀρρωστίας. Τοῦτο γὰρ οὐχὶ σωθῆναί ἐστιν, ἀλλ' ἀπολέσθαι. Ἡ γὰρ μεγίστη σωτηρία τὸ διὰ τοῦ Θεοῦ σωθῆναι.

«Ἐνεπάγησαν ἔθνη ἐν διαφθορᾷ, ᾗ ἐποίησαν». Ἄλλος, «Ἐβαπτίσθησαν». Διαφθορὰν τὴν κακίαν λέγει· οὐδὲν γὰρ οὕτω διαφθείρει, ὡς κακία. Οὐδὲν γὰρ ἀσθενέστερον τοῦ πονηροῦ. Τοῖς οἰκείοις ὅπλοις ἁλίσκεται, ὥσπερ ὁ σίδηρος ὑπὸ τοῦ ἰοῦ καὶ τὸ ἔριον ὑπὸ τοῦ σητός, οὕτω καὶ ὁ πονηρὸς ὑπὸ τῆς κακίας. Ὥστε καὶ πρὸ τῆς παρὰ τοῦ Θεοῦ τιμωρίας, αὐτὴ ἡ κακία τὸν ἐργάτην ἀπαιτεῖ δίκην. Ἐπειδὴ γὰρ πολλὰ περὶ τῆς ἄνω δίκης διελέχθη καὶ περὶ τῆς τοῦ Θεοῦ ῥοπῆς, αὕτη δὲ οὐ κατὰ πόδας ἔπεισιν, ἀλλὰ μέλλει πολλάκις καὶ

καὶ ἀνωτέρους. Καὶ δὲν εἶπεν, 'ἐκ τῆς πύλης', ἀλλὰ «ἐκ τῶν πυλῶν», διὰ νὰ δείξῃ τὸ μέγεθος τῶν κινδύνων.

«Διὰ νὰ διαλαλήσω ὅλους τοὺς ὕμνους σου εἰς τὰς πύλας τῆς θυγατρός σου Σιών». Ἐκεῖνο ποὺ παρώτρυνε νὰ κάνουν οἱ ἄλλοι, αὐτὸ καὶ ὁ ἴδιος κάμνει. Διότι λέγει' «Διακηρύξατε εἰς τὰ ἔθνη τὰ μεγαλουργήματα αὐτοῦ». Αὐτὸ θὰ κάνω καὶ ἐγὼ τώρα· καὶ δὲν θὰ τὸ κάνω ἁπλῶς ἐνώπιον ἑνὸς ἢ δύο ἢ τριῶν παρόντων, ἀλλ' ἐμπρὸς εἰς ὅλον τὸν κόσμον. «Θὰ σὲ εὐχαριστήσω διὰ τὴν σωτηρίαν ποὺ μὲ ἠξίωσες». Αὐτὸ εἶναι δι' ἐμένα στέφανος, αὐτὸ βασιλικὸν διάδημα, τὸ νὰ στήσω μὲ τὴν βοήθειάν σου τρόπαιον νίκης, τὸ νὰ ἀπολαύσω μὲ τὴν βοήθειάν σου τὴν σωτηρίαν μου. Ἔτσι λοιπὸν καὶ ἡμεῖς νὰ μὴ ζητήσωμεν νὰ ἀπαλλαγῶμεν μὲ ὁποιονδήποτε τρόπον ἀπὸ τὰ δεινά, ἀλλὰ μὲ τὴν βοήθειαν τοῦ Θεοῦ. Αὐτὸ δὲ τὸ λέγω δι' ἐκείνους ποὺ χρησιμοποιοῦν μαγικὰς ᾠδὰς διὰ τὴν θεραπείαν νόσων, καὶ ἐφαρμόζουν ἄλλας μαγείας πρὸς ἀνακούφισιν ἀπὸ τὴν ἀσθένειαν. Καθ' ὅσον αὐτὸ δὲν ὁδηγεῖ εἰς τὴν σωτηρίαν, ἀλλὰ εἰς τὴν ἀπώλειαν. Διότι ἡ μεγίστη σωτηρία εἶναι ἡ σωτηρία ἐκείνη ποὺ ἐπιτυγχάνεται μὲ τὴν βοήθειαν τοῦ Θεοῦ.

«Οἱ ἐθνικοὶ ἔπεσαν καὶ ἐκόλλησαν εἰς τὸν ὀλέθριον βόθρον τῆς διαφθορᾶς ποὺ διέπραξαν». Ἄλλος ἑρμηνεύει, «ἐβυθίσθησαν». Διαφθορὰν ὀνομάζει τὴν κακίαν. Καθ' ὅσον τίποτε δὲν διαφθείρει τόσον, ὅσον ἡ κακία. Ἀλλὰ καὶ τίποτε δὲν ὑπάρχει ἀσθενέστερον ἀπὸ τὸν πονηρόν. Καταστρέφεται ἀπὸ τὰ ἰδικά του τὰ ὅπλα, ὅπως ἀκριβῶς καταστρέφεται ὁ σίδηρος ἀπὸ τὴν σκωρίαν καὶ τὸ μαλλὶ ἀπὸ τὸν σκόρον, ἔτσι καὶ ὁ πονηρὸς καταστρέφεται ἀπὸ τὴν κακίαν. Ὥστε καὶ πρὶν ἀπὸ τὴν ἐκ μέρους τοῦ Θεοῦ τιμωρίαν, ἡ ἰδία ἡ κακία τιμωρεῖ αὐτὸν ποὺ τὴν διαπράττει. Ἐπειδὴ λοιπὸν πολλὰ εἶπε διὰ τὴν οὐράνιον δικαιοσύνην καὶ διὰ τὴν θείαν βοήθειαν, αὐτὴ δὲ ἡ βοήθεια δὲν ἀκολουθεῖ κατὰ πόδας, ἀλλὰ χρονοτριβεῖ πολλὲς

ἀναβάλλεται, καὶ τοῦτο τοὺς πολλοὺς ῥαθυμοτέρους ποιεῖ, δείκνυσιν ἐπὶ θύραις τὴν τιμωρίαν οὖσαν, καὶ ταύτην τοὺς πονηροὺς ὑπομένειν, καθάπερ καὶ ὁ Παυλός φησι· «Καὶ τὴν ἀντιμισθίαν ἣν ἔδει τῆς πλάνης αὐτῶν ἐν ἑαυτοῖς ἀπολαμβάνοντες». Καὶ ὅρα πῶς κυρίως κέχρηται ταῖς λέξεσιν. «Ἐνεπάγη», φησί· τουτέστι, κατὰ κράτος κατεσχέθη, ἄφευκτος αὐτῷ γέγονεν ἡ ἐπιβουλή. Καὶ πάλιν, «Ἐν παγίδι ταύτῃ, ᾗ ἔκρυψαν, συνελήφθη ὁ πούς αὐτῶν». Δεσμοῖς ἀλύτοις, φησίν, οἱ πονηροὶ περιπείρονται. Ταῦτα ἐπὶ τῶν ἀποστόλων καὶ ἐπὶ τῶν Ἰουδαίων γέγονεν. Ὅτε γὰρ τοῖς ἀποστόλοις ἐπολέμουν, ἐκείνους μὲν οὐδὲν ἔβλαπτον, ἑαυτοὺς δὲ μυρίοις περιέβαλον κακοῖς, πόλεως, καὶ ἐλευθερίας, καὶ τῶν ἄλλων ἁπάντων ἐκπίπτοντες, καὶ τὸ μὲν κήρυγμα ηὐξάνετο, οἱ δὲ ἐπιβουλεύοντες κατελύοντο. Καὶ οἱ τοὺς τρεῖς παῖδας ἐμβαλόντες εἰς τὴν Βαβυλωνίαν κάμινον, ὑπ' αὐτῆς πάλιν ἑάλωσαν· ὃ δὴ καὶ ἐπὶ τοῦ Δανιὴλ γέγονεν. Ἀλλ' ἐπὶ μὲν τοῦ Δανιὴλ τοῦτο εἰκότως γέγονεν, αὐτοὶ γὰρ αὐτὸν ἐνέβαλον· ἐπὶ δὲ τῶν τριῶν παίδων, τί δήποτε, τοῦ βασιλέως ἁμαρτόντος, οἱ πρὸ τῆς καμίνου ἑστῶτες οὗτοι κολάζονται; Ὅτι καὶ οἱ καταφλεχθέντες οὗτοι ἦσαν τῷ ἐπιτάγματι τοῦ τυράννου ὑπηρετήσαντες, καὶ τῇ εἰκόνι τῇ χρυσῇ προσκυνήσαντες.

«Ἐν παγίδι, ᾗ ἔκρυψαν». Ὅρα πῶς ἔδειξεν ἄφατον οὖσαν αὐτῶν τὴν κατηγορίαν. Ἐπειδὴ γὰρ αἰσχύνης γέμον ἦν τὸ γινόμενον, διὰ τοῦτο κρύπτουσι, καὶ λανθάνειν πειρῶνται. «Γινώσκεται Κύριος κρίματα ποιῶν». Ἄλλος, «Ἐγνώσθη

21: Ρωμ. 1, 27.

φορὲς καὶ ἀναβάλλεται, καὶ αὐτὸ κάμνει τοὺς περισσοτέρους ραθυμοτέρους, δείχνει ὅτι ἡ τιμωρία εὑρίσκεται πρὸ τῶν θυρῶν, καὶ τὴν τιμωρίαν αὐτὴν τὴν ὑφίστανται οἱ πονηροί, ὅπως ἀκριβῶς καὶ ὁ Παῦλος λέγει· «Ἀπολαμβάνοντες ἔτσι ὁ ἕνας ἀπὸ τὸν ἄλλον τὴν ἀνταμοιβὴν τῆς πλάνης των ποὺ τοὺς ἤξιζε»[21]. Καὶ πρόσεχε πῶς χρησιμοποιεῖ τὰς λέξεις κατὰ κυριολεξίαν. «Ἐνεπάγη», λέγει· δηλαδὴ συνετρίβη κατὰ κράτος, κατέστη εἰς αὐτὸν ἀναπόφευκτος ἡ ἐπιβουλή. Καὶ εἰς τὴν συνέχειαν λέγει, «Εἰς τὴν ἰδίαν τὴν παγίδα, τὴν ὁποίαν ἔκρυψαν, συνελήφθη τὸ πόδι των». Μὲ ἄλυτα δεσμά, λέγει, οἱ πονηροὶ δένονται. Αὐτὰ συνέβησαν εἰς τὴν περίπτωσιν τῶν ἀποστόλων καὶ τῶν Ἰουδαίων. Διότι, ὅταν ἐπολεμοῦσαν τοὺς ἀποστόλους, ἐκείνους μὲν δὲν τοὺς ἔβλαπτον καθόλου, ἐνῷ τοὺς ἑαυτούς των τοὺς περιέβαλλον μὲ μύρια κακά, στερούμενοι τὴν πόλιν των, τὴν ἐλευθερίαν των καὶ ὅλα τὰ ἄλλα, καὶ τὸ μὲν κήρυγμα ηὔξανεν, ἐνῷ ἐκεῖνοι ποὺ τοὺς ἐχθρεύοντο κατεστρέφοντο. Καὶ ἐκεῖνοι ποὺ ἔρριψαν τοὺς τρεῖς παῖδας εἰς τὴν βαβυλώνειον κάμινον, ἀπὸ τὴν ἰδίαν πάλιν κατεστράφησαν, πρᾶγμα ποὺ συνέβη καὶ εἰς τὴν περίπτωσιν τοῦ Δανιήλ. Ἀλλὰ εἰς τὴν περίπτωσιν μὲν τοῦ Δανιὴλ αὐτὸ συνέβη κατὰ πολὺ φυσικὸν λόγον, διότι αὐτοὶ οἱ ἴδιοι τὸν ἔρριψαν· εἰς τὴν περίπτωσιν ὅμως τῶν τριῶν παίδων, διατί τέλος πάντων, ἐνῷ ὁ βασιλεὺς ἁμαρτάνει, τιμωροῦνται ἐκεῖνοι ποὺ εὑρίσκοντο πρὸ τῆς καμίνου; Διότι καὶ αὐτοὶ ποὺ κατεκάησαν ἦσαν ἀπὸ ἐκείνους ποὺ ὑπηρέτησαν ὑπὸ τὰς διαταγὰς τοῦ τυράννου καὶ ἐπροσκύνησαν τὴν χρυσῆν εἰκόνα.

«Συνελήφθησαν εἰς τὴν παγίδα ποὺ ἔκρυψαν». Πρόσεχε πῶς ἔδειξεν ὅτι ἦτο ἀπερίγραπτος ἡ κατηγορία αὐτῶν. Ἐπειδὴ δηλαδὴ ἦτο γεμᾶτον ἀπὸ ἐντροπὴν αὐτὸ ποὺ συνέβαινε, διὰ τοῦτο τὸ ἀποκρύπτουν καὶ προσπαθοῦν νὰ τὸ κάνουν κρυφά. «Γίνεται γνωστὸς ὁ Κύριος μὲ τὰς δικαίας κρίσεις ποὺ κάμνει». Ἄλλος λέγει· «Ἔγινε γνω-

κρίμα ποιήσας». Τουτέστι, κολάζων, ἐκδικῶν, ἐπεξιών. Εἶδες ἕτερον εἶδος εὐεργεσίας ἀπὸ κολάσεως; Οὐ γὰρ δὴ μόνον, φησί, τοὺς κολαζομένους σπουδαιοτέρους ποιεῖ, ἀλλὰ καὶ τῆς αὐτοῦ θεογνωσίας ἐκλάμπειν παρασκευάζει τὸν λόγον· καὶ ἴδοι τις ἂν μᾶλλον αὐτὸν ἐντεῦθεν ἐπιστρέφοντα τοὺς ἀνθρώπους. Ὅτε γοῦν κατὰ τῶν κρημνῶν εἴασεν ἐνεχθῆναι τὴν ἀγέλην τῶν χοίρων καὶ καταποντισθῆναι εἰς τὴν θάλασσαν, τότε μάλιστα ἐξεπλάγησαν. Καὶ ἐν τῇ Παλαιᾷ οἱ Ἰουδαῖοι, «Ὅτε ἀπέκτεινεν αὐτούς, τότε ἐξεζήτουν αὐτόν», καθώς φησιν ὁ προφήτης. Καὶ τί δήποτε τοῦτο οὐ συνεχῶς ποιεῖ μᾶλλον; Ὅτι οὐ βούλεται βιαιότερον, ἀλλὰ καὶ προαιρετικώτερον τὰ τῆς ἀρετῆς κατορθοῦσθαι, καὶ μᾶλλον εὐεργετουμένους ἢ κολαζομένους. Καὶ πόσῳ, φησί, βέλτιον ἀνάγκῃ εἶναι ἀγαθόν, ἢ προαιρέσει κακόν; Οὐκ ἔστιν ἀγαθὸν εἶναι ἀνάγκῃ. Ὁ μὲν γὰρ τῷ δεσμῷ γινόμενος καλός, οὐκ ἔσται ἀεί ποτε καλός, ἀλλὰ τῆς ἀνάγκης ἀπαλλαγείς, ἐπανήξει πρὸς τὴν κακίαν, ὁ δὲ παιδαγωγούμενος ὥστε προαιρέσει γενέσθαι καλός, γενόμενος, πάγιος μένει. «Ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός». Οὐ 'τῶν χειρῶν τοῦ Θεοῦ' εἶπεν, ἀλλὰ «τῶν χειρῶν τοῦ ἁμαρτωλοῦ».

8. *Εἶδες πῶς ποικίλλει τὸν λόγον, καὶ τὴν ἄνωθεν φέρων τιμωρίαν, καὶ τὴν ἀπὸ τῆς κακίας ἐπάγων δίκην; Πῶς τὴν ἄνωθεν τιμωρίαν; «Γινώσκεται Κύριος», φησί, «κρίματα ποιῶν». Πῶς τὴν ἀπὸ τῆς κακίας δίκην; «Ἐνεπάγησαν ἔθνη ἐν διαφθορᾷ, ᾗ ἐποίησαν». Καὶ πάλιν τὴν ἀπὸ τῆς πονη-*

22. Μάρκ. 5, 1.

στὸς μὲ τὴν δικαίαν κρίσιν ποὺ ἔκαμε». Δηλαδὴ μὲ τὸ νὰ τιμωρῇ, νὰ παίρνῃ ἐκδίκησιν, νὰ ἀποκαθιστᾷ τὸ δίκαιον. Εἶδες καὶ ἄλλο εἶδος εὐεργεσίας ποὺ προέρχεται ἀπὸ τὴν τιμωρίαν; Διότι, λέγει, δὲν καθιστᾷ μόνον σπουδαιοτέρους τοὺς τιμωρουμένους, ἀλλὰ καὶ ὁμιλεῖ κατὰ τρόπον ποὺ διαλάμπει ἡ θεογνωσία αὐτοῦ· καὶ θὰ ἠμποροῦσε κανεὶς βέβαια νὰ διαπιστώσῃ ὅτι μὲ τὴν ἐνέργειάν του αὐτὴν ὁδηγεῖ τοὺς ἀνθρώπους εἰς ἐπιστροφήν. Ὅταν λοιπὸν ἐπέτρεψε νὰ ὁδηγηθῇ ἡ ἀγέλη τῶν χοίρων εἰς τὸν κρημνὸν καὶ νὰ καταποντισθῇ εἰς τὴν θάλασσαν, τότε πρὸ πάντων ἐξεπλάγησαν[22]. Καὶ κατὰ τὴν ἐποχὴν τῆς παλαιᾶς Διαθήκης οἱ Ἰουδαῖοι «Τότε ἐζητοῦσαν τὸν Θεόν, ὅταν ἐτιμωροῦντο διὰ θανάτου», καθὼς λέγει ὁ προφήτης. Καὶ διατί τέλος πάντων αὐτὸ δὲν τὸ κάνει συνεχῶς; Διότι δὲν θέλει νὰ γίνωνται διὰ τῆς βίας τὰ κατορθώματα τῆς ἀρετῆς, ἀλλὰ προαιρετικῶς, καὶ μᾶλλον νὰ εὐεργετοῦνται παρὰ νὰ τιμωροῦνται. Καὶ δὲν εἶναι προτιμότερον, λέγει νὰ εἶναι κανεὶς διὰ τῆς βίας ἀγαθός, παρὰ προαιρετικὰ κακός; Δὲν εἶναι δυνατὸν νὰ εἶναι κανεὶς ἀγαθὸς διὰ τῆς βίας. Διότι ἐκεῖνος μὲν ποὺ γίνεται καλὸς διὰ τῆς βίας, δὲν παραμένει πάντοτε καλός, ἀλλὰ μόλις ἀπαλλαγῇ ἀπὸ τὴν βίαν, θὰ ἐπιστρέψῃ εἰς τὴν κακίαν, ἐνῷ ἐκεῖνος ποὺ παιδαγωγεῖται, ὥστε κατὰ προαίρεσιν νὰ γίνῃ καλός, ὅταν γίνῃ καλός, μένει σταθερὸς εἰς τὴν ἀρετήν. «Εἰς τὰ ἴδια τὰ παγιδευτικὰ ἔργα του συνελήφθη ὁ ἁμαρτωλός». Δὲν εἶπε, 'τῶν χειρῶν τοῦ Θεοῦ', ἀλλὰ «τῶν χειρῶν τοῦ ἁμαρτωλοῦ».

8. Εἶδες πῶς ποικίλλει τὸν λόγον, καὶ ἀναφέρων τὴν θείαν τιμωρίαν καὶ προσεθέτων τὴν ἀπὸ τῆς κακίας καταδίκην; Τί λέγει διὰ τὴν θείαν τιμωρίαν; «Γίνεται γνωστός», λέγει, «ὁ Κύριος μὲ τὰς δικαίας κρίσεις του». Καὶ τί περὶ τῆς καταδίκης ποὺ πηγάζει ἀπὸ τὴν κακίαν; «Ἔπεσαν οἱ ἐθνικοὶ μέσα εἰς τὸν βόθρον τῆς διαφθορᾶς ποὺ διέπραξαν οἱ ἴδιοι». Καὶ εἰς τὴν συνέχειαν ὁμιλεῖ περὶ

ρίας· «Ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός». Οὔτε γὰρ μόνην τὴν παρὰ Θεοῦ λέγει τιμωρίαν, ἐπειδὴ μέλλει πολλάκις καὶ βραδύνει, οὔτε μόνην τὴν ἀπὸ τῆς κακίας, ἐπειδὴ πολλοὶ ταύτῃ καὶ ἐμφιλοχωροῦσιν, ἀλλ' ἑκατέρωθεν ἀσφαλίζεται τὸν λόγον. Διό φησιν, «Ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη». Ἄλλος, «Ταρσῶν αὐτοῦ». Μὴ τοίνυν νόμιζε ἑτέρῳ κατασκευάζειν τὰ μηχανήματα, ὅταν ἐπιβουλεύῃς· σεαυτῷ γὰρ πλέκεις τὰ δίκτυα. «Ὠδὴ διάψαλμα». Ἄλλος, «Φθογγὴ ἀεί». Ἄλλος, «Μελῴδημα ἀεί». Ὁ δὲ Ἑβραῖος, «Ἐγγαὼν σέλ».

«Ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς ᾅδην, πάντα τὰ ἔθνη τὰ ἐπιλανθανόμενα τοῦ Θεοῦ». Ἄλλος, «Ἀναστρέψουσι». Πάλιν τοῖς αὐτοῖς ἐπιμένει, δεικνὺς ὅτι ἡ κακία τὴν κόλασιν ἔχει συγκεκληρωμένην, καὶ ἡ ἀσέβεια θάνατον τίκτει, καὶ ἡ ἁμαρτία κινδύνους. «Ὅτι οὐκ εἰς τέλος ἐπιλησθήσεται ὁ πτωχός. ἡ ὑπομονὴ τῶν πενήτων οὐκ ἀπολεῖται εἰς τέλος». Ἄλλος ἑρμηνευτής φησιν, «Οὐ γὰρ εἰς τέλος ἡ προσδοκία τῶν πράων ἐπιλησθήσεται». Καλῶς εἶπεν, «Εἰς τέλος», δεικνὺς ὅτι οὐκ ἀεὶ ἄνεσίν τις ἐπιζητεῖ. Ποῦ γὰρ δειχθήσεται τὰ τῆς ὑπομονῆς, εἰ ἀεὶ ἄνεσις μέλλοι εἶναι; Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· δίκην δώσουσιν οἱ πονηροί, καὶ τὰ ἔσχατα πείσονται. Οὐ γὰρ ἀνέξεται ὁ Θεὸς διὰ παντὸς τοὺς ἀδικουμένους ἐν ἐπιβουλαῖς εἶναι. Ἐντεῦθεν καὶ τούτους παραμυθεῖται, κἀκείνους φοβεῖ, καὶ τοῦ Θεοῦ δείκνυσι τὴν φιλανθρωπίαν, ὅτι καὶ ἡ μέλλησις τοὺς μὲν δοκιμωτέρους ἐργάζεται, τοὺς δὲ εἰς μετάνοιαν ἕλκει. Ὅρα πάλιν τοὺς πένητας εὐδοκιμοῦντας· πέ-

τῆς τιμωρίας ποὺ συνεπάγεται ἡ πονηρία· «Εἰς τὰ ἴδια τὰ παγιδευτικὰ ἔργα, ποὺ ἔκαμε μὲ τὰ χέρια του, συνελήφθη ὁ ἁμαρτωλός». Οὔτε δηλαδὴ ἀναφέρει μόνον τὴν τιμωρίαν ἐκ τοῦ Θεοῦ, ἐπειδὴ ἀναβάλλει πολλὲς φορὲς καὶ βραδύνει, οὔτε μόνον τὴν τιμωρίαν ἐκ τῆς κακίας, ἐπειδὴ πολλοὶ ὑπομένουν αὐτὴν μὲ εὐχαρίστησιν, ἀλλ' ἀσφαλίζει τὸν λόγον καὶ ἀπὸ τὰς δύο πλευράς. Διὰ τοῦτο λέγει, «Συνελήφθη εἰς τὰ παγιδευτικὰ ἔργα ποὺ ἔκαμε μὲ τὰ χέρια του». Ἄλλος ἑρμηνευτὴς «Εἰς τὰς παγίδας αὐτοῦ». Μὴ νομίζῃς λοιπὸν ὅτι κατασκευάζεις παγιδευτικὰ δίκτυα διὰ ἄλλον, ὅταν τὸν ἐπιβουλεύεσαι, διότι διὰ τὸν ἑαυτόν σου στήνεις τὰ δίκτυα. Ἀκολουθεῖ «Ὠδὴ διάψαλμα». Ἄλλος ἑρμηνεύει «Φθογγὴ ἀεί». Ἄλλος, «Μελῴδημα ἀεί», εἰς τὰ ἑβραϊκὰ δὲ «Ἐγγαὼν σέλ».

«Ἂς ριφθοῦν οἱ ἁμαρτωλοὶ εἰς τὸν Ἅδην, καὶ ὅλοι οἱ ἐθνικοὶ ποὺ λησμονοῦν τὸν Θεόν». Ἄλλος, «Ἂς ἐπιστρέψουν». Πάλιν ἐπιμένει εἰς τὰ ἴδια πράγματα, διὰ νὰ δείξῃ ὅτι ἡ κακία ἔχει ὡς τελικὸν ἀποτέλεσμα τὴν τιμωρίαν καὶ ὅτι ἡ ἀσέβεια γεννᾷ τὸν θάνατον καὶ ἡ ἁμαρτία περικλίει πολλοὺς κινδύνους. «Διότι δὲν θὰ λησμονηθῇ μέχρι τέλους ὁ πτωχός, ἡ ὑπομονὴ τῶν πτωχῶν δὲν θὰ μείνῃ χωρὶς ἀνταπόδοσιν μέχρι τέλους». Ἄλλος ἑρμηνευτὴς λέγει· «Διότι δὲν θὰ λησμονηθῇ μέχρι τέλους ἡ προσδοκία τῶν ταπεινῶν». Καλῶς εἶπε, «μέχρι τέλους», διὰ νὰ δείξῃ ὅτι δὲν πρέπει νὰ ζητῇ κανεὶς πάντοτε ἄνεσιν. Διότι ποῦ θὰ δειχθῇ ἡ ὑπομονή, ἐὰν πρόκειται πάντοτε νὰ ὑπάρχῃ ἄνεσις; Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· θὰ τιμωρηθοῦν οἱ πονηροὶ καὶ θὰ ὑποστοῦν τὰς πιὸ φοβερὰς τιμωρίας. Διότι δὲν θὰ ἀνεχθῇ ὁ Θεὸς νὰ ἐπιβουλεύωνται συνεχῶς οἱ ἀδικούμενοι. Μὲ αὐτὸ καὶ αὐτοὺς παρηγορεῖ καὶ τοὺς ἀδίκους φοβίζει, καὶ τοῦ Θεοῦ τὴν φιλανθρωπίαν δείχνει, διότι καὶ ἡ ἀναβολὴ τῆς τιμωρίας τοὺς μὲν ἀδικουμένους τοὺς καθιστᾷ πιὸ ἀξίους, τοὺς δὲ ἀδίκους προσελκύει εἰς μετάνοιαν. Πρόσεχε πάλιν τοὺς πτωχοὺς

νητας οὐχ ἁπλῶς, ἀλλὰ τοὺς συντετριμμένους τῇ καρδίᾳ. Οὗτοι γὰρ μάλιστά εἰσι καὶ πρὸς ὑπομονὴν ἐπιτήδειοι· μᾶλλον δὲ ἄλληλα συγκατασκευάζει ταῦτα, ἡ ταπεινοφροσύνη τὴν ὑπομονήν, ἡ ὑπομονὴ τὴν ταπεινοφροσύνην. Εἰ δέ τις εἴποι, καὶ πῶς πενία ἡ ταπεινοφροσύνη; ἐκεῖνο ἐροῦμεν, ὅτι αὕτη ἐπιτηδειοτέρα πρὸς ἀρετήν. Ὁ μὲν γὰρ πλουτῶν ἀλύει καὶ θορυβεῖται, ὁ δὲ πένης πάντα ῥαδίως φέρει, καθάπερ ἐν παλαίστρᾳ τῇ πενίᾳ πολλάκις γυμναζόμενος. Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν, ὅτι δύσκολον μετὰ πλούτου εἰς τὴν βασιλείαν εἰσελθεῖν. Τί ἐστιν, «Ἡ ὑπομονὴ τῶν πενήτων οὐκ ἀπολεῖται εἰς τέλος»; Οὐδέποτε, φησίν, ἀλλὰ πάντως ἀπολήψεται τὸν οἰκεῖον καρπόν. Ὅπερ ἐπὶ τῶν βιωτικῶν οὐκ ἔνι, ἀλλ' ἐκπίπτει τοῦ τέλους πολλάκις, τῶν πόνων ἀπολωλότων. Καὶ γὰρ καὶ γεωργὸς ἀναμένει, καὶ ἔμπορος· πολλάκις δὲ ὑπὸ τῆς τῶν ἀέρων ἀνωμαλίας ἀμφότεροι τοῦ καρποῦ τῶν πόνων ἐκπίπτουσιν. Ἐπὶ δὲ τοῦ Θεοῦ οὐκ ἔνι τοῦτο, ἀλλὰ ἀνάγκη πάντως ἀπολαῦσαι τοῦ τέλους. Οὐ μικρὸν δὲ τοῦτο εἰς παραμυθίας λόγον, τὸ θαρρεῖν ἀεὶ περὶ τοῦ τέλους.

«Ἀνάστηθι, Κύριε, μὴ κραταιούσθω ἄνθρωπος». Ἄλλος. «Μὴ θρασυνέσθω». «Κριθήτωσαν ἔθνη ἐνώπιόν σου». Ἄλλος, «Καὶ κατὰ πρόσωπόν σου». Εἰπὼν τὴν κακίαν τὴν κατέχουσαν τοὺς πλείους τῶν ἀνθρώπων, καὶ διηγησάμενος τὴν πονηρίαν, τὰς ἁρπαγάς, τὰς πλεονεξίας, τὰς ἀνδροφονίας, παρακαλεῖ τὸν Θεὸν ὑπὲρ τῆς τῶν ἀδικουμένων βοηθείας. Τοιαῦτα γὰρ

---

23. Ματθ. 19, 23.

πού εὐδοκιμοῦν˙ ὄχι οἱ ἁπλοῖ πτωχοί, ἀλλὰ αὐτοὶ πού ἔχουν συντετριμμένην καρδίαν. Διότι αὐτοὶ πρὸ πάντων εἶναι κατάλληλοι δι' ὑπομονήν˙ μᾶλλον δὲ αὐτὰ ὁδηγοῦν τὸ ἕνα εἰς τὸ ἄλλο, ἡ ταπεινοφροσύνη εἰς τὴν ὑπομονὴν καὶ ἡ ὑπομονὴ εἰς τὴν ταπεινοφροσύνην. Ἐὰν δὲ κάποιος ἤθελεν εἰπεῖ, καὶ πῶς ἡ πτωχεία ὁδηγεῖ εἰς τὴν ταπεινοφροσύνην; αὐτὸ θὰ εἰποῦμεν, ὅτι δηλαδὴ αὐτὴ εἶναι καταλληλοτέρα πρὸς ἀρετήν. Διότι ὁ μὲν πλούσιος ταράσσεται καὶ θορυβεῖται, ὁ δὲ πτωχὸς ὅλα τὰ ὑπομένει μὲ εὐκολίαν, ὡσὰν εἰς παλαίστραν γυμναζόμενος πολλὲς φορὲς μὲ τὴν πτωχείαν. Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν, ὅτι εἶναι δύσκολον νὰ εἰσέλθῃ ὁ πλούσιος εἰς τὴν οὐράνιον βασιλείαν[23]. Τί σημαίνει, «Ἡ ὑπομονὴ τῶν πτωχῶν δὲν θὰ μείνῃ μέχρι τέλους ἀνικανοποίητος»; Ποτέ, λέγει, δὲν θὰ μείνῃ ἀνικανοποίητος, ἀλλὰ ὁπωσδήποτε θὰ λάβῃ τὸν καρπόν της, πρᾶγμα πού δὲν συμβαίνει μὲ τὰ κοσμικὰ πράγματα, ἀλλὰ πολλὲς φορὲς χάνεται τὸ ἀποτέλεσμα καὶ πηγαίνουν εἰς τὰ χαμένα οἱ κόποι. Καθ' ὅσον καὶ ὁ γεωργὸς καὶ ὁ ἔμπορος ἀναμένουν τὸν καρπὸν τοῦ κόπου των, ἀλλὰ πολλὲς φορὲς καὶ οἱ δύο ἐξ αἰτίας τῶν καιρικῶν μεταβολῶν χάνουν τοὺς καρποὺς τῶν κόπων των. Εἰς τὴν περίπτωσιν ὅμως τοῦ Θεοῦ δὲν εἶναι δυνατὸν νὰ συμβῇ αὐτό, ἀλλὰ πρέπει ὁπωσδήποτε ν' ἀπολαύσῃ κανεὶς τὸ βραβεῖον. Δὲν εἶναι μικρὰ ἡ παρηγορία πού παρέχει αὐτό, τὸ νὰ πιστεύῃ πάντοτε μὲ βεβαιότητα ὅτι θ' ἀμειφθῇ.

«Σήκω ἐπάνω, Κύριε, ὥστε νὰ μὴ σφετερίζεται ὁ τιποτένιος ἄνθρωπος τὴν δύναμίν σου παρουσιαζόμενος ἰσχυρός». Ἄλλος ἑρμηνευτὴς ἐξηγεῖ, «Ἂς μὴ θρασύνεται». «Ἂς κριθοῦν ἐνώπιόν σου οἱ ἐθνικοί». Ἄλλος, «Ἐμπρὸς εἰς τὸ πρόσωπόν σου». Ἀφοῦ ἔκαμε λόγον διὰ τὴν κακίαν πού κατέχει τοὺς περισσότερους ἀπὸ τοὺς ἀνθρώπους καὶ διηγήθη τὴν πονηρίαν, τὰς ἁρπαγάς, τὰς πλεονεξίας, τὰς ἀνθρωποκτονίας, παρακαλεῖ εἰς τὴν συνέχειαν τὸν Θεὸν νὰ βοηθήσῃ τοὺς ἀδικουμένους. Διότι τέτοια

τῶν ἁγίων τὰ σπλάγχνα, μὴ τὰ ἑαυτῶν μεριμνᾶν μόνον, ἀλλ' ὥσπερ περὶ μιᾶς οἰκίας, τῆς οἰκουμένης, ἢ σώματος ἑνός, τοῦ τῶν ἀνθρώπων πλήθους, οὕτω παρακαλεῖν τὸν Θεόν. «Ἀνάστηθι, Κύριε. μὴ κραταιούσθω ἄνθρωπος». Τί δέ ἐστιν, «Ἀνάστηθι Κύριε;». Ἐπέξελθε, φησί, βοήθησον, κόλασον τοὺς ἀδικοῦντας. Καὶ καλῶς τοῖς ὀνόμασι γυμνοῖς ἐχρήσατο, εἰπών, «Ἀνάστηθι», καί, «Μὴ κραταιούσθω ἄνθρωπος». ὥστε δηλῶσαι, ὅτι ὁ εὐτελής, ὁ ἀπὸ γῆς, ὁ τέφρα καὶ σποδός. «Κριθήτωσαν ἔθνη ἐνώπιόν σου». Τί ἐστι τοῦτο; Δότωσαν δίκην, φησί, τῶν ἁμαρτημάτων. Οὐ γεγόνασι τῇ μακροθυμίᾳ βελτίους· ἀπαίτησον εὐθύνας τῶν τετολμημένων. «Κατάστησον, Κύριε, νομοθέτην ἐπ' αὐτοῖς. Γνώτωσαν ἔθνη, ὅτι ἄνθρωποί εἰσι». «Διάψαλμα». Ἄλλος, «Ἀεί». Τί ἐστι, «Κατάστησον νομοθέτην αὐτοῖς»; Ἐπεί, φησί, καθάπερ ἐν αὐτονομίᾳ πάντα πράττουσι, μὴ θέλοντες διδόναι δίκην, ἐπέξελθε, καὶ γενέσθω αὐτοῖς ἡ τιμωρία ἀντὶ νουθεσίας. Τοῦτο καὶ ἕτερος δηλῶν εἶπε, «Κατάστησον, Κύριε, φόβημα αὐτοῖς». Ὅρα πῶς οὐ κόλασιν αὐτῶν ἐπιζητεῖ, ἀλλὰ νουθεσίαν καὶ διόρθωσιν, καὶ τὸ μὴ παρανόμως ζῆν. Ἔσται γὰρ ἡ τιμωρία αὐτοῖς, φησίν, ἀντὶ νουθεσίας· οὐκ αὐτοῖς δὲ μόνον, ἀλλὰ καὶ ἑτέροις. Καὶ ἵνα μάθῃς ὅσον τὸ κέρδος, καὶ πῶς καταστέλλει νόσημα, ἄκουε τοῦ ἑξῆς· «Γνώτωσαν ἔθνη», φησίν, «ὅτι ἄνθρωποί εἰσιν». Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· πολλοὶ καὶ τοῦτο ἀπολωλέκασιν, ἐπελάθοντο τῆς φύσεως, εἰς μανίαν ἐξώκειλαν, ἠγνόησαν ἑαυτούς. Καὶ καλῶς προσέθηκε τό, «Ἀεί», ἵνα δηλώσῃ, ὅτι οὐκ ἐν ταῖς δυσπραγίαις μόνον, ἀλλὰ καὶ ἐν ταῖς εὐημερίαις.

εἶναι τὰ σπλάγχνα τῶν ἁγίων, δὲν φροντίζουν μόνον διὰ τὸν ἑαυτόν των, ἀλλὰ ὡσὰν νὰ εἶναι ἡ οἰκουμένη μία οἰκία καὶ τὸ πλῆθος τῶν ἀνθρώπων ἕνα σῶμα, ἔτσι παρακαλοῦν τὸν Θεόν. «Σήκω ἐπάνω, Κύριε, διὰ νὰ μὴ παρουσιάζεται ἀκαταγώνιστος ὁ τιποτένιος ἄνθρωπος». Τί σημαίνει δέ, «Ἀνάστηθι, Κύριε»; Σπεῦσε, λέγει, νὰ δικάσῃς, βοήθησε, τιμώρησε τοὺς ἀδικοῦντας. Καὶ καλῶς ἐχρησιμοποίησε τὰς λέξεις μὲ σαφήνειαν, λέγων, «Ἀνάστηθι», καί, «Μὴ κραταιούσθω ἄνθρωπος», διὰ νὰ δηλώσῃ ὅτι ὁ ἄνθρωπος εἶναι τιποτένιος, χῶμα, στάκτη καὶ σκόνη. «Ἂς κριθοῦν οἱ ἐθνικοὶ ἐνώπιόν σου». Τί σημαίνει αὐτό; Ἂς τιμωρηθοῦν, λέγει, διὰ τὰ ἁμαρτήματά των. Δὲν ἔγιναν μὲ τὴν μακροθυμίαν σου καλύτεροι· ζήτησε εὐθύνας διὰ τὰ ὅσα διέπραξαν ἐναντίον σου. «Ἐγκατάστησε εἰς αὐτοὺς νομοθέτην. Ἂς γνωρίσουν οἱ ἐθνικοί, ὅτι εἶναι ἄνθρωποι». Ἀκολουθεῖ ἡ φράσις «Διάψαλμα». Ἄλλος ἐξηγεῖ «πάντοτε». Τί σημαίνει, «Κατάστησον νομοθέτην αὐτοῖς»; Ἐπειδή, λέγει, ὅλα τὰ κάμνουν ἀνεξάρτητοι ἀπὸ ἐσένα, καὶ δὲν θέλουν νὰ τιμωρηθοῦν, σπεῦσε νὰ τοὺς δικάσῃς καὶ ἂς τοὺς νουθετήσῃ ἡ τιμωρία σου. Καὶ ἄλλος ἑρμηνευτὴς διὰ νὰ δηλώσῃ αὐτό, ἐξήγησε, «Γίνε, Κύριε, πηγὴ φόβου εἰς αὐτούς». Πρόσεχε πῶς δὲν ζητεῖ τὴν τιμωρίαν των, ἀλλὰ νουθεσίαν καὶ διόρθωσιν καὶ τὸ νὰ μὴ ζοῦν μέσα εἰς τὴν παρανομίαν. Διότι λέγει, ἂς ἀποβῇ εἰς αὐτοὺς ἡ τιμωρία ὡσὰν ἕνα εἶδος νουθεσίας· ὄχι μόνον εἰς αὐτούς, ἀλλὰ καὶ εἰς ἄλλους. Καὶ διὰ νὰ μάθῃς πόσον εἶναι τὸ κέρδος καὶ πῶς ἐξαλείφει τὴν ἀσθένειαν, ἄκουε τὴν συνέχειαν. «Ἂς γνωρίσουν», λέγει, «οἱ ἐθνικοὶ ὅτι εἶναι ἄνθρωποι». Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· πολλοὶ καὶ αὐτὸ τὸ ἔχουν χάσει, ἐξέχασαν τὴν πραγματικὴν φύσιν των, παρεσύρθησαν ἀπὸ τὸ ὀλέθριον πάθος τῆς μανίας, ἠγνόησαν τὸν ἑαυτόν των. Καὶ καλῶς ἐπρόσθεσε τὸ «πάντοτε», διὰ νὰ δηλώσῃ, ὅτι πρέπει νὰ τὸ σκέπτωνται ὄχι μόνον κατὰ τὰς ἡμέρας τῆς δυστυχίας, ἀλ-

Ἀλλὰ γάρ, ἂν κολάσῃς αὐτοὺς νῦν, ἔχοντες τὸν φόβον ἀκμάζοντα, καὶ τὴν μνήμην τῶν συμβεβηκότων δεινῶν, κἂν εἰς εὐημερίαν ἔλθωσιν, εἴσονται τὴν ἑαυτῶν φύσιν.

9. Ὁρᾷς πῶς ὑπὲρ αὐτῶν ποιεῖται τὴν δέησιν, καὶ τὴν μανίαν ἀξιοῖ διορθωθῆναι; Τὸ γὰρ ἑαυτοὺς ἀγνοεῖν, ἐσχάτης μανίας καὶ φρενίτιδος χαλεπώτερον. Τὸ μὲν γὰρ ἀνάγκης νόσημα, τὸ δὲ διεφθαρμένης προαιρέσεως. «Ἵνα τί, Κύριε, ἀφέστηκας μακρόθεν, ὑπερορᾷς ἐν εὐκαιρίαις, ἐν θλίψεσι». Ταῦτά φησιν ὁ προφήτης, ἐκ προσώπου τῶν θλιβομένων παρακαλῶν καὶ δεόμενος, οὐκ ἐγκαλῶν· μὴ γένοιτο. Ἐπεὶ καὶ πολλοὶ τῶν θλιβομένων ὑπὸ τῆς ὀδύνης πρὸ τοῦ προσήκοντος καιροῦ ἀξιοῦσι γενέσθαι τὴν κρίσιν· καθάπερ οἱ τεμνόμενοι, μηδέπω τελείας γενομένης τῆς τομῆς, παρακαλοῦσι τὸν ἰατρὸν ἀποστῆσαι τὴν χεῖρα· ἐπιβλαβῆ μὲν χάριν αἰτοῦντες, τῷ δὲ μὴ φέρειν τὰς ὀδύνας τοῦτο πάσχοντες. Καὶ πολλάκις πρὸς τοὺς ἰατροὺς βοῶσιν, ἐβασάνισάς με, ἀπώλεσάς με, ἀνεῖλές με, ἀλλ' οὐκ ἔστι ταῦτα τῆς διανοίας ῥήματα, ἀλλὰ τῆς ὀδύνης, οὕτω δὴ πολλοὶ καὶ τῶν μικροψύχων ἐν ταῖς θλίψεσι λέγουσι, τοὺς πόνους οὐ φέροντες. Καὶ ὁ Σοφονίας δὲ τοιοῦτόν τινα μεταχειρίζει λόγον. Ἀλλὰ ταῦτα ἐν τῇ Παλαιᾷ, ὅτε σύμμετρα ἦν τὰ σκάμματα· τῆς δὲ ἐν τῇ Καινῇ πόρρω ταῦτα φιλοσοφίας.

«Ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ, ἐμπυρίζεται ὁ πτωχός· συλλαμβάνονται ἐν διαβουλίοις, οἷς διαλογίζονται». Ἀλ-

λὰ καὶ κατὰ τὰς στιγμὰς τῆς εὐτυχίας. Ἀλλὰ βέβαια, ἐὰν τοὺς τιμωρήσῃς τώρα, ἔχοντες τὸν φόβον ἔντονον καὶ ἐνθυμούμενοι τὰς συμφορὰς ποὺ ὑπέστησαν, ὅταν θὰ ἔλθουν εἰς ἡμέρας εὐημερίας, θὰ γνωρίσουν τὸν πραγματικὸν ἑαυτόν των.

9. Βλέπεις πῶς προσεύχεται δι' αὐτοὺς καὶ ζητεῖ τὴν διόρθωσιν τῆς μανίας των; Διότι τὸ νὰ ἀγνοοῦμεν τοὺς ἑαυτούς μας, εἶναι φοβερώτερον ἀπὸ τὴν πιὸ χειροτέραν μορφὴν μανίας καὶ παραλογισμοῦ. Καθ' ὅσον ἡ μὲν μανία εἶναι φυσικὸν νόσημα, ἡ δὲ ἄγνοια τοῦ ἑαυτοῦ μας εἶναι ἀποτέλεσμα διεφθαρμένης προαιρέσεως. «Διατί, Κύριε, ἐστάθης μακρὰν ἀπὸ ἡμᾶς καὶ μᾶς παραβλέπεις κατὰ τὸν καιρὸν τῶν θλίψεών μας;». Αὐτὰ τὰ λέγει ὁ προφήτης παρακαλῶν τὸν Θεὸν καὶ προσευχόμενος ὡς ἐκπρόσωπος τῶν θλιβομένων, καὶ ὄχι μὲ σκοπὸν ν' ἀπαιτήσῃ τὴν τιμωρίαν των, μὴ γένοιτο. Διότι καὶ πολλοὶ ἀπὸ τοὺς θλιβομένους ὑπὸ τῆς ὀδύνης ζητοῦν νὰ γίνῃ ἡ κρίσις πρὶν ἀπὸ τὴν ὥραν ποὺ πρέπει· διότι ὅπως ἀκριβῶς οἱ ἐγχειριζόμενοι, πρὶν ἀκόμη τελειώσῃ ἡ ἐγχείρισις, παρακαλοῦν τὸν ἰατρὸν ν' ἀπομακρύνῃ τὸ χέρι του ἀπὸ τὴν πληγήν, ποὺ εἶναι ἐπιβλαβὴς μὲν ἡ χάρις ποὺ ζητοῦν, ἀλλὰ τὸ πάσχουν αὐτὸ ἐπειδὴ δὲν ἠμποροῦν νὰ ὑποφέρουν τοὺς πόνους, καὶ ποὺ πολλὲς φορὲς φωνάζουν πρὸς τοὺς ἰατροὺς μὲ ἐβασάνισες, μὲ κατέστρεψες, μὲ κατέσφαξες, αὐτὰ ὅμως δὲν εἶναι λόγια τῆς διανοίας, ἀλλὰ τοῦ πόνου, ἔτσι λοιπὸν ἐκφράζονται πολλοὶ ἀπὸ τοὺς ὀλιγοψύχους κατὰ τὰς στιγμὰς τῶν θλίψεων, μὴ ὑποφέροντες τοὺς πόνους. Καὶ ὁ Σοφονίας δὲ τέτοιας ἐκφράσεις μεταχειρίζεται. Ἀλλ' αὐτὰ συνέβαινον κατὰ τὴν ἐποχὴν τῆς Παλαιᾶς Διαθήκης, ὅταν ἀνάλογα ἦσαν καὶ τὰ ἀγωνίσματα, αὐτὰ ὅμως εὑρίσκονται πολὺ μακρὰν τῆς εὐσεβείας τῆς Καινῆς Διαθήκης.

«Ὅταν ὑπερηφανεύεται ὁ ἀσεβής, κατακαίγεται ἀπὸ τὸ καμίνι τῆς θλίψεως ὁ ἐνάρετος πτωχὸς καὶ συλλαμβά-

λος, «Συλληφθήτωσαν». «Ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ, καὶ ὁ ἀδικῶν εὐλογεῖται. Παρώξυνε τὸν Κύριον ὁ ἁμαρτωλός». Ἱκέτου σχῆμα περιθεὶς ἑαυτῷ ὁ προφήτης, καὶ ὑπὲρ τῶν ἀδικουμένων παρακαλῶν, λέγει καὶ τὰ πάθη τὰ συμβάντα, ἅπερ ἀσθενείας ἐστὶν ἀνθρωπίνης· ὅτι πρὸ τῆς κολάσεως καὶ τῆς τιμωρίας ὀδυνᾶται ὁ ἀδικούμενος, οὐ φέρων τὴν εὐημερίαν τοῦ πονηροῦ. Οὐ μικρὰ δὲ καὶ τοῦτο τιμωρία. Εἶτα ἀξιοῖ δοῦναι αὐτοὺς δίκην, καὶ αὐτοῖς περιτραπῆναι τὰς ἐπιβουλὰς αὐτῶν· καὶ λέγει κακίας εἶδος ἀφόρητον. Ποῖον δὴ τοῦτο; «Ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ». Ἐφ' οἷς ἐγκαλύπτεσθαι ἔδει, ἐφ' οἷς, φησίν, αἰσχύνεσθαι, ὑπὲρ τούτων θαυμάζεται, ἐπαινεῖται. Πῶς δ' ἂν γένοιτο τούτων ἴασις λοιπόν, ὅταν ἐπαινῆται ἡ κακία; Καὶ γὰρ καὶ νῦν τοῦτο γίνεται. Ὁ δεῖνα θαυμάζεται ὡς δυνάστης· ὁ δεῖνα ὡς ἐχθροὺς ἀμυνόμενος· ὁ δεῖνα ὡς φρόνιμος, ἐπειδὴ τὰ πάντων συνήγαγε· καὶ ὅτε ἀπολέσῃ ἑαυτόν, λέγουσιν, εὗρεν ἑαυτόν· καὶ ἕτεροι ἄλλα φασί· καὶ οὐδεὶς περὶ πνευματικῶν λόγος αὐτοῖς. Οὐδαμοῦ ἀπράγμων ἐπαινεῖται ταχέως, οὐδὲ ὁ πενίας ἐραστής, ἀλλ' ὁ χρηματιστής, ὁ κάπηλος, ὁ κόλαξ, ὁ δουλοπρεπεῖς ὑπομένων διακονίας ὑπὲρ οὐδενὸς χρησίμου. Ταῦτα θρηνεῖ ὁ προφήτης, ὅτι οὕτως ἐκράτησεν ἡ κακία, καὶ ὡς καὶ ἐγκαλλωπίζεσθαι καὶ παρρησιάζεσθαι, καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐκ αἰσχύνεται, οὐδὲ μόνον αὐτὸς ἑαυτὸν ἐπαινεῖ

νονται οἱ πτωχοὶ εἰς τὰς διαβολικὰς παγίδας ποὺ στήνουν οἱ ἁμαρτωλοί». Ἄλλος ἐξηγεῖ, «Ἄς συλληφθοῦν». «Διότι ἐπαινεῖται ὁ ἁμαρτωλὸς δι' ὅσα ἐπιθυμεῖ καὶ ἀπολαμβάνει ἡ διεφθαρμένη ψυχή του καὶ μακαρίζεται ὁ πράττων τὴν ἀδικίαν. Ἐξώργισεν ὑπερβολικὰ τὸν Κύριον ὁ ἁμαρτωλός. Ἀφοῦ ὁ προφήτης ἔλαβε τὴν θέσιν τοῦ ἱκέτου, παρακαλεῖ τὸν Θεὸν καὶ διὰ τὸν ἑαυτόν του καὶ διὰ τοὺς ἀδικουμένους καὶ ἀναφέρει τὰ πάθη ποὺ συμβαίνουν, ποὺ εἶναι γνωρίσματα ἀνθρωπίνης ἀδυναμίας· ὅτι δηλαδὴ πρὸ τῆς κολάσεως καὶ τῆς τιμωρίας ὑποφέρει ὁ ἀδικούμενος, μὴ ὑποφέρων τὴν εὐημερίαν τοῦ πονηροῦ. Δὲν εἶναι δὲ καὶ αὐτὸ μικρὰ τιμωρία. Ἔπειτα ζητεῖ νὰ τιμωρήσῃ αὐτοὺς καὶ νὰ στραφοῦν ἐναντίον των τὰ ἐπίβουλα σχέδιά των· καὶ ἀναφέρει ἀφόρητον εἶδος κακίας. Ποῖο λοιπὸν εἶναι αὐτό; «Ὅτι δηλαδὴ ἐπαινεῖται ὁ ἁμαρτωλὸς δι' ὅσα ἐπιθυμεῖ καὶ ἀπολαμβάνει ἡ διεφθαρμένη ψυχή του». Δι' ἐκεῖνα ποὺ ἔπρεπε, λέγει, νὰ καλύπτῃ τὸ πρόσωπόν του, δι' ἐκεῖνα ποὺ ἔπρεπε νὰ ἐντρέπεται, δι' αὐτὰ θαυμάζεται καὶ ἐπαινεῖται. Πῶς δὲ θὰ ἠμποροῦσε πλέον νὰ θεραπευθῇ αὐτός, ὅταν ἐπαινῆται ἡ κακία; Καὶ βέβαια καὶ σήμερα συμβαίνει αὐτό. Ὁ τάδε θαυμάζεται ὡς δυνάστης· ὁ τάδε ἐπειδὴ ἐπολέμησε τοὺς ἐχθρούς· ὁ τάδε ὡς φρόνιμος, ἐπειδὴ ἥρπασε τὰ ὑπάρχοντα ὅλων· καὶ ὅταν χάσῃ τὸν ἑαυτόν του τότε λέγουν, ὅτι εὗρε τὸν ἑαυτόν του· καὶ ἄλλοι λέγουν ἄλλα καὶ κανεὶς λόγος δὲν γίνεται περὶ αὐτῶν διὰ πνευματικὰ ἀγαθά. Εἰς καμμίαν περίπτωσιν δὲν ἐπαινεῖται ἀμέσως ὁ φίλος τῆς εὐσεβείας, οὔτε ὁ ἐραστὴς τῆς πτωχείας, ἀλλ' ἐπαινεῖται ὁ χρηματιστής, ὁ κάπηλος, ὁ κόλαξ, ὁ δεχόμενος δουλοπρεπεῖς ἐξυπηρετήσεις χωρὶς νὰ κάμνῃ τίποτε τὸ χρήσιμον. Αὐτὰ θρηνεῖ ὁ προφήτης, διότι τόσον πολὺ ἐπεκράτησεν ἡ κακία, ὥστε καὶ νὰ καυχᾶται καὶ νὰ ὑπερηφανεύεται καὶ τὸ φοβερώτερον βέβαια εἶναι, ὅτι δὲν ἐντρέπεται, καὶ δὲν ἐπαινεῖ μόνον αὐτὸς τὸν ἑαυτόν του, ἀλλὰ ἔχει καὶ ἄλλους ποὺ τὸν ἐπαινοῦν.

ἐπὶ τοῖς γινομένοις, ἀλλὰ καὶ ἑτέρους ἔχει τοὺς ἐπαινέτας. Τί ταύτης γένοιτ' ἂν χεῖρον τῆς μανίας;

«Παρώξυνε τὸν Κύριον ὁ ἁμαρτωλός». Ἄλλος δέ φησιν, «Ὅτι αἰνέσας ὁ παράνομος κατὰ τὴν ἐπιθυμίαν τῆς ψυχῆς αὐτοῦ, καὶ πλεονέκτης εὐλογήσας, παρώξυνε τὸν Κύριον. Ὅταν ὑψωθῇ ὁ θυμὸς αὐτοῦ, οὐκ ἐκζητεῖ». Ἄλλος, «Ὅτι ὕμνησεν ἐπὶ πόθῳ ψυχῆς αὐτοῦ, καὶ πλεονέκτης εὐλογήσας, διέσυρε Κύριον. Ἀσεβὴς κατὰ μετεωρισμὸν θυμοῦ αὐτοῦ οὐ μὴ ἐκζητήσῃ». Οἱ δὲ ἑβδομήκοντα, «Παρώξυνε τὸν Κύριον ὁ ἁμαρτωλός· κατὰ τὸ πλῆθος τῆς ὀργῆς αὐτοῦ οὐκ ἐκζητήσει». Εἶδες ποῦ προῆλθε τὰ τῆς κακίας; Τί λέγω, φησίν, ὅτι τοὺς πτωχοὺς λυπεῖ; Αὐτὸν τὸν Θεὸν παροξύνει. Καὶ «κατὰ τὸ πλῆθος τῆς ὀργῆς αὐτοῦ οὐκ ἐκζητήσει», λέγει, τὸν Θεόν. Ἄλλος δὲ περὶ τοῦ ἀσεβοῦς τοῦτο δείκνυσιν ὄν, λέγων, «Τοῦ μετεωρισμοῦ αὐτοῦ», τουτέστι, τῆς ἀπονοίας, τῆς ἀλαζονείας. Εἶδες μανίας ἐπίτασιν, καὶ διαφθοράν; Πρὸς τοὺς ὁμοφύλους ἐστὶν ἐχθρὸς καὶ πολέμιος, τῆς ἀρετῆς ἠλλοτριωμένος, τῆς κακίας ἐραστὴς καὶ ἐπαινέτης. Καὶ καλῶς ἕτερος εἶπεν, «Οὐκ ἔστι Θεὸς πάσαις ἐννοίαις αὐτοῦ», δηλῶν, ὅτι οὐκ ἐκζητεῖ τὸν Θεόν, ὅτι σκότους ἐμπέπλησται, ὅτι οὐκ ἔχει τὸν φόβον ἐκείνου πρὸ ὀφθαλμῶν. Ἀλλ' ὥσπερ ἡ λήμη σκοτοῖ τὴν κόρην, οὕτω ἡ πονηρία τὴν διάνοιαν, καὶ κατὰ κρημνῶν φέρει.

«Οὐκ ἔστι Θεὸς ἐνώπιον αὐτοῦ». Ἄλλος, «Δι' ὅλων τῶν ἐνθυμημάτων αὐτοῦ». «Βεβηλοῦνται αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ καιρῷ, ἀνταναιρεῖται τὰ κρίματά σου ἀπὸ προσώπου αὐ-

Τί θὰ ἠμποροῦσε νά ὑπάρξῃ χειρότερον ἀπὸ αὐτὴν τὴν μανίαν;

«Ἐξώργισεν ὑπερβολικὰ τὸν Κύριον ὁ ἁμαρτωλός». Ἄλλος δὲ λέγει, «Ἐπειδὴ ἐκαυχήθη ὁ παράνομος, σύμφωνα μὲ τὴν ἐπιθυμίαν τῆς ψυχῆς του καὶ ὁ πλεονέκτης ἐξύμνησε τὸν ἑαυτόν του, παρώργισε τὸν Κύριον. Καὶ ὅταν αὐξηθῇ ἡ ὀργὴ τοῦ Θεοῦ, δὲν θὰ ζητήσῃ εὐθύνας διὰ τὰς ἀδικίας του». Ἄλλος ἑρμηνεύει· «Ἐπειδὴ ἐξύμνησε τὰς πονηρὰς ἐπιθυμίας τῆς ψυχῆς του καὶ ἐκαυχήθη διὰ τὰς πλεονεξίας του, διέσυρε τὸν Κύριον. Ὁ ἀσεβὴς παρὰ τὴν αὔξησιν τοῦ θυμοῦ τοῦ Θεοῦ πιστεύει ὅτι δὲν θὰ τοῦ ζητήσῃ εὐθύνας διὰ τὰς ἀδικίας του». Οἱ ἑβδομήκοντα μεταφράζουν· «παρώργισε τὸν Κύριον ὁ ἁμαρτωλός, λέγων ὅτι, παρὰ τὸ μέγεθος τῆς ὀργῆς του, δὲν θὰ ζητήσῃ εὐθύνας διὰ τὰς ἀδικίας μου». Εἶδες ποῦ ἔφθασε τὸ μέγεθος τῆς κακίας. Τί λέγω, λέγει, ὅτι λυπεῖ τοὺς πτωχούς; Τὸν ἴδιον τὸν Θεὸν παροργίζει, «Καὶ παρ' ὅλον τὸ μέγεθος τῆς ὀργῆς του δὲν θὰ τοῦ ζητήσῃ, λέγει, ὁ Θεὸς εὐθύνας διὰ τὰς ἀδικίας του». Ἄλλος δὲ λέγει ὅτι αὐτὸ ἀναφέρεται διὰ τὸν ἀσεβῆ, περὶ «τοῦ μετεωρισμοῦ αὐτοῦ», δηλαδὴ περὶ τοῦ παραλογισμοῦ καὶ τῆς ἀλαζονείας του. Εἶδες μέγεθος μανίας καὶ διαφθοράν; Πρὸς τοὺς ὁμοεθνεῖς του εἶναι ἐχθρὸς καὶ πολέμιος, ξένος ὡς πρὸς τὴν ἀρετήν, ἐραστὴς δὲ καὶ ἐπαινέτης τῆς κακίας. Καὶ καλῶς ἄλλος εἶπεν, «Ὅτι ὁ Θεὸς εὑρίσκεται μακριὰ ἀπὸ κάθε σκέψιν τοῦ ἁμαρτωλοῦ», διὰ νὰ δείξῃ, ὅτι δὲν ζητεῖ τὸν Θεόν, ὅτι περιβάλλεται ἀπὸ παντοῦ ἀπὸ σκότος, ὅτι δὲν ἔχει τὸν φόβον τοῦ Θεοῦ πρὸ τῶν ὀφθαλμῶν του. Ἀλλὰ ὅπως ἀκριβῶς ἡ τσίμπλα σκοτίζει τὴν κόρην τοῦ ὀφθαλμοῦ, ἔτσι ἡ πονηρία σκοτίζει τὴν διάνοιαν καὶ ὁδηγεῖ εἰς τὸν κρημνόν.

«Δὲν αἰσθάνεται τὴν παρουσίαν τοῦ Θεοῦ ἐνώπιόν του». Ἄλλος, «Δὲν ἐνθυμεῖται ποτὲ τὸν Θεόν». «Εἶναι βρωμερὸς ὁ δρόμος τῆς ζωῆς του εἰς κάθε στιγμήν, περιφρονεῖ

τοῦ». Ἄλλος, «Ἦρται ἡ κρίσις σου». Εἶδες τῆς κακίας τὸν καρπόν; Σβέννυται αὐτοῦ τὸ φῶς, πηροῦνται οἱ διαλογισμοί, αἰχμάλωτος δίδοται τῇ πονηρίᾳ. Ὥσπερ γὰρ ὁ πεπηρωμένος εἰς βάραθρα πίπτει συνεχῶς, οὕτω δὴ καὶ αὐτός, ἐπειδὴ τοῦ Θεοῦ τὸν φόβον οὐκ ἔχει πρὸ τῶν ὀφθαλμῶν, διὰ παντὸς ἐν κακίᾳ διατρίβει· οὐχὶ νῦν μὲν ἐν ἀρετῇ, νῦν δὲ ἐν κακίᾳ, ἀλλ' ἀεὶ ἐν κακίᾳ, καὶ οὐδὲ τῆς γεέννης μέμνηται, οὐδὲ τῆς μελλούσης κρίσεως, οὐδὲ τῶν εὐθυνῶν· ἀλλ' ὥσπερ χαλινὸν ἅπαντα ταῦτα τὰ βοηθήματα ἐκβαλών, καθάπερ πλοῖον ἀνερμάτιστον πονηροῖς ἐκδίδοται πνεύμασι καὶ κύμασιν ἀγρίοις, οὐδενὸς ὄντος τοῦ παιδαγωγοῦντος αὐτοῦ τὴν διάνοιαν. Εἶδες τὸν πονηρὸν ἐν αὐτῇ τῇ κακίᾳ τὴν δίκην ὑπέχοντα; Τί γὰρ ἵππου ἀχαλινώτου, τί δὲ πλοίου ἀνερματίστου, τί δὲ ἀνθρώπου πεπηρωμένου χαλεπώτερον; Ἀλλὰ τούτων ἁπάντων ἀθλιώτερος ὁ ἐν κακίᾳ ζῶν, τὸ ἀπὸ τοῦ φόβου τοῦ Θεοῦ φῶς σβέσας, καὶ αἰχμάλωτος ἐκδοθείς.

«Πάντων τῶν ἐχθρῶν αὐτοῦ κατακυριεύσει. Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ· οὐ μὴ σαλευθῶ ἀπὸ γενεᾶς εἰς γενεὰν ἄνευ κακοῦ». Ἄλλος, «Πάντας τοὺς ἐχθροὺς αὐτοῦ ἐκφυσᾷ, λέγων ἐν καρδίᾳ αὐτοῦ· οὐ περιτραπήσομαι εἰς γενεὰν καὶ γενεάν. Οὐ γὰρ ἔσομαι ἐν κακώσει». Εἶδες τὴν ἀπόνοιαν; εἶδες τὴν ἄφατον ἀπώλειαν; εἶδες τὸν κατὰ μικρὸν αὐξανόμενον ὄλεθρον; εἶδες τὰ παρὰ τοῖς ἀνοήτοις μακάρια, τὰ πολλῆς ἀθλιότητος γέμοντα, καὶ πῶς καταδύεται; Ἐπαινεῖται ἐν τοῖς ἁμαρτήμασιν, εὐλογεῖται ἐν ταῖς ἀδικίαις. Πρῶτον

τὰ προστάγματά σου». Ἄλλος ἑρμηνεύει «Ἐξηφανίσθη ἡ κρίσις σου». Εἶδες τὸν καρπὸν τῆς κακίας. Σβήνει τὸ φῶς του, τυφλώνονται οἱ λογισμοί του, αἰχμάλωτος παραδίδεται εἰς τὴν πονηρίαν. Διότι ὅπως ἀκριβῶς ὁ τυφλὸς πίπτει συνεχῶς μέσα εἰς λάκκους, ἔτσι λοιπὸν καὶ αὐτός, ἐπειδὴ δὲν ἔχει πρὸ τῶν ὀφθαλμῶν του τὸν φόβον τοῦ Θεοῦ, ζῇ συνεχῶς μέσα εἰς τὴν κακίαν· δὲν ζῇ ἄλλοτε μὲν μέσα εἰς τὴν ἀρετήν, ἄλλοτε δὲ μέσα εἰς τὴν κακίαν, ἀλλὰ πάντοτε μέσα εἰς τὴν κακίαν, καὶ οὔτε τὴν γέενναν ἐνθυμεῖται, οὔτε τὴν μέλλουσαν κρίσιν, οὔτε τὰς εὐθύνας του, ἀλλὰ ἐκτινάξας ἀπὸ ἐπάνω του ὅλα αὐτὰ τὰ βοηθήματα, ὅπως ἀκριβῶς τὸν χαλινόν, ὡσὰν πλοῖον χωρὶς σταθερότητα παραδίδεται εἰς τὰ ἄγρια κύματα καὶ τοὺς ἀνέμους, χωρὶς νὰ ὑπάρχῃ κανεὶς ποὺ νὰ καθοδηγῇ τὴν διάνοιάν του. Εἶδες τὸν πονηρὸν ποὺ τιμωρεῖται ἀπὸ τὴν ἰδίαν τὴν κακίαν; Διότι τί ὑπάρχει χειρότερον ἀπὸ ἵππον ἀχαλίνωτον, ἀπὸ πλοῖον χωρὶς σταθερότητα, ἀπὸ ἄνθρωπον τυφλόν; Ἀλλὰ ἀπὸ ὅλα αὐτὰ ἀθλιώτερος εἶναι αὐτὸς ποὺ ζῇ μέσα εἰς τὴν κακίαν, ποὺ ἔσβησε τὸ φῶς ποὺ προέρχεται ἀπὸ τὸν φόβον τοῦ Θεοῦ καὶ παρεδόθη αἰχμάλωτος εἰς τὴν κακίαν.

«Ποὺ φαντάζεται ὅτι θὰ ἐξουσιάσῃ ὅλους τοὺς ἐχθρούς του. Διότι εἶπε μέσα εἰς τὴν καρδίαν του· δὲν θὰ σαλευθῶ ἀπὸ τίποτε καὶ ὅλαι αἱ γενεαὶ ποὺ θὰ προέλθουν ἀπὸ μένα θὰ μείνουν μακριὰ ἀπὸ κάθε κακόν». Ἄλλος λέγει· «Ὅλους τοὺς ἐχθρούς του τοὺς περιφρονεῖ, λέγων εἰς τὴν καρδίαν του, δὲν θὰ ἀνατραπῶ ἐγὼ καὶ ὅλαι αἱ γενεαὶ ποὺ μὲ ἀκολουθοῦν. Διότι δὲν θὰ ὑποστῶ καμμίαν βλάβην». Εἶδες τὴν παραφροσύνην του; εἶδες τὴν ἀπερίγραπτον ἀπώλειάν του; εἶδες τὴν ὀλίγον κατ' ὀλίγον αὐξανομένην καταστροφήν του; εἶδες αὐτὰ ποὺ μακαρίζουν οἱ ἀνόητοι, τὰ γεμᾶτα ἀπὸ πολλὴν ἀθλιότητα, καὶ πῶς καταποντίζονται; Ἐπαινεῖται διὰ τὰ ἁμαρτήματά του, μακαρίζεται διὰ τὰς ἀδικίας του. Πρῶτον βάραθρον εἶναι

βάραθρον τοῦτο καὶ ἱκανὸν ἐκτραχηλίσαι τὸν μὴ προσέχοντα. Διὸ δὴ μᾶλλον τοὺς αἰτιωμένους καὶ διορθουμένους ἀποδέχεσθαι χρή, ἢ τοὺς ἐπαινοῦντας καὶ ἐπ' ὀλέθρῳ κολακεύοντας. Τοὺς γὰρ βλᾶκας οὗτοι διαφθείρουσι, καὶ πρὸς μείζονα ὠθοῦσι κακίαν καθάπερ καὶ τοῦτον τὸν ἁμαρτωλὸν ἐμφυσήσαντες, ἐπαιδοτρίβησαν εἰς ἄνοιαν. Διὸ καὶ Παῦλος Κορινθίοις τοῦτο αὐτὸ λέγει ἐπὶ τῷ πορνεύσαντι· «Καὶ ὑμεῖς πεφυσιωμένοι ἐστέ, καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε». Πολλὰ τὸν ἁμαρτάνοντα πενθεῖν, οὐκ ἐπαινεῖν δεῖ.

Εἶδες διεστραμμένην κακίαν, ὅτι μὴ μόνον οὐκ ἐγκαλεῖται, ἀλλὰ καὶ εὐφημεῖται; Ἐντεῦθεν ἀπὸ τῆς οἰκείας ἀνοίας καὶ τῶν ἐπαίνων ἐπέτεινε τὴν πονηρίαν, ἐπελάθετο τοῦ φόβου τοῦ Θεοῦ καὶ τῶν κριμάτων αὐτοῦ· ἐντεῦθεν ἐπελάθετο καὶ τῆς οἰκείας φύσεως. Ὁ γὰρ τῶν κριμάτων ἐπιλανθανόμενος τοῦ Θεοῦ, καὶ ἑαυτὸν λοιπὸν ἀγνοεῖ τῷ χρόνῳ. Ὅρα γοῦν οἷα λογίζεται· «Οὐ μὴ σαλευθῶ εἰς γενεὰν καὶ γενεάν, ἀλλ' ἔσομαι ἄνευ κακοῦ». Τί ταύτης ἀνοητότερον τῆς διανοίας, ἄνθρωπον ὄντα καὶ ἐπίκηρον καὶ τοῖς προσκαίροις συμπεπλεγμένον πράγμασι, καὶ μυρίαις μεταβολαῖς ὑποκείμενον, τοιαῦτα φαντάζεσθαι; Πόθεν δὲ τοῦτο γίνεται; Ἐκ τῆς ἀνοίας. Ὅταν γὰρ ἀνόητος ἀνὴρ πολλῆς ἀπολαύῃ τῆς εὐημερίας, καὶ τῶν ἐχθρῶν κρατῇ, καὶ ἐπαινῆται καὶ θαυμάζηται, πάντων ἀθλιώτερος γίνεται. Τῷ γὰρ μὴ προσδοκᾶν μεταβολήν, οὔτε τὰς εὐημερίας σωφρόνως φέρει, εἴς τε δυσημε-

---

23. Α' Κορ. 5, 2.

αὐτὸ καὶ εἶναι ἱκανὸν νὰ καταστρέψῃ ἐκεῖνον ποὺ δὲν προσέχει. Διὰ τοῦτο λοιπὸν πρέπει μᾶλλον νὰ ἀποδεχώμεθα ἐκείνους ποὺ μᾶς κατηγοροῦν καὶ θέλουν τὴν διόρθωσίν μας, παρὰ ἐκείνους ποὺ μᾶς ἐπαινοῦν καὶ μᾶς κολακεύουν κατὰ τρόπον ὀλέθριον. Διότι αὐτοὶ διαφθείρουν τοὺς ἀνοήτους καὶ τοὺς σπρώχνουν πρὸς μεγαλυτέραν κακίαν, ὅπως ἀκριβῶς καὶ αὐτὸν τὸν ἁμαρτωλόν, ἀφοῦ τοῦ ἐφούσκωσαν τὰ μυαλά, τὸν ὡδήγησαν εἰς τὴν παραφροσύνην. Διὰ τοῦτο καὶ ὁ Παῦλος αὐτὸ τὸ ἴδιο λέγει πρὸς τοὺς Κορινθίους ἐξ αἰτίας ἐκείνου ποὺ ἐπόρνευσεν ἐκεῖ· «Καὶ σεῖς εἶσθε φουσκωμένοι ἀπὸ ὑπερηφάνειαν καὶ δὲν ἐπροτιμήσατε νὰ πενθήσετε»[23]. Πρέπει νὰ πενθῇ κανεὶς πάρα πολὺ δι' ἐκεῖνον ποὺ ἁμαρτάνει καὶ ὄχι νὰ τὸν ἐπαινῇ.

Εἶδες διεστραμμένην κακίαν, ὅτι ὄχι μόνον δὲν κατηγορεῖται, ἀλλὰ καὶ ἐπαινεῖται; Ἐξ αἰτίας αὐτοῦ ἀπὸ τὴν ἰδικήν του παραφροσύνην καὶ τοὺς ἐπαίνους τῶν ἄλλων ηὔξησε τὴν κακίαν του, ἐλησμόνησε τὸν φόβον τοῦ Θεοῦ, καὶ τὰ προστάγματά του· ἐξ αἰτίας αὐτοῦ ἐλησμόνησε καὶ τὴν ἰδικήν του φύσιν. Διότι ἐκεῖνος ποὺ λησμονεῖ τὰ προστάγματα τοῦ Θεοῦ, μὲ τὴν πάροδον τοῦ χρόνου ἀγνοεῖ πλέον καὶ τὸν ἑαυτόν του. Πρόσεχε λοιπὸν τί σκέπτεται· «Δὲν θὰ σαλευθῶ ἐγὼ καὶ αἱ γενεαὶ ποὺ θὰ προέλθουν ἀπὸ ἐμένα, ἀλλὰ θὰ ζήσω χωρὶς καμμίαν βλάβην». Τί ὑπάρχει ἀνοητότερον ἀπὸ αὐτὴν τὴν διάνοιαν, τὴν στιγμὴν ποὺ εἶναι ἄνθρωπος καὶ μάλιστα φθαρτὸς καὶ στενὰ συνδεδεμένος μὲ τὰ πρόσκαιρα πράγματα καὶ ὑφίσταται ἀπείρους μεταβολὰς ἡ ζωή του, νὰ σκέπτεται παρόμοια πράγματα; Ἀπὸ ποῦ δὲ προέρχεται αὐτό; Ἀπὸ τὴν παραφροσύνην. Διότι, ὅταν ἀνόητος ἄνθρωπος ἀπολαμβάνῃ πολλὴν εὐημερίαν καὶ ἐξουσιάζῃ τοὺς ἐχθρούς του καὶ ἐπαινῆται καὶ θαυμάζεται, γίνεται ἀθλιώτερος ἀπὸ ὅλους. Καθ' ὅσον τὸ νὰ μὴ ἀναμένῃ μεταβολὴν οὔτε νὰ ζῇ μὲ σωφροσύνην κατὰ τὸν χρόνον τῆς εὐημερίας του, ἐὰν

ρίαν ἐμπεσών, ἀγύμναστος καὶ ἀμελέτητος ὤν, ταράττεται καὶ θορυβεῖται. Ἀλλ' οὐχ ὁ Ἰὼβ οὕτως· ἀλλὰ καὶ ἐν τῇ εὐημερίᾳ καθ' ἑκάστην ἡμέραν δυσημερίαν ἤλπιζε· διὸ καὶ ἔλεγε· «Φόβος γάρ, ὃν ἐφοβούμην, ἦλθέ μοι, καὶ ὃν ἐδεδοίκειν, συνήντησέ μοι. Οὔτε εἰρήνευσα, οὔτε ἡσύχασα, οὔτε ἀνεπαυσάμην· ἦλθε δέ μοι ὀργή». Διὸ καὶ ἕτερος ἔλεγε· «Μνήσθητι καιροῦ λιμοῦ ἐν καιρῷ πλησμονῆς, πτωχείας καὶ ἐνδείας ἐν ἡμέρᾳ πλούτου». Ἀλλ' οὗτος καθάπαξ διαφθαρείς, οὐ τὰ ἀνθρώπινα ἐπισκέπτεται, ἀλλ' ἀκίνητα αὐτῷ εἶναι νομίζει διὰ τῆς εὐπραγίας· ὅπερ ἐσχάτης ἀνοίας καὶ διαφθορᾶς ὑπόθεσις, καὶ ἐξωλείας ἐστὶν ἀφορμή. Μὴ δὴ μακάριζε τοὺς πλουτοῦντας, τοὺς τῶν ἐχθρῶν περιγινομένους, τοὺς ἐπαινουμένους ἐν τούτοις. Μεγάλα γὰρ ταῦτα βάραθρα καὶ κρημνοὶ τοῖς οὐ προσέχουσι, πρὸς αὐτὸν καταρρίπτοντα τῆς ἀσεβείας τὸν πυθμένα.

«Οὗ ἀρᾶς τὸ στόμα αὐτοῦ γέμει, καὶ πικρίας, καὶ δόλου. Ὑπὸ τὴν γλῶσσαν αὐτοῦ κόπος καὶ πόνος». Ἄλλος, «Ἀνωφελές». «Ἐγκάθηται ἐνέδρα μετὰ πλουσίων ἐν ἀποκρύφοις, τοῦ ἀποκτεῖναι ἀθῷον». Ἄλλος, «Ἐνεδρεύων παρὰ τὰς αὐλάς». «Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἀποβλέπουσιν. Ἐνεδρεύει ἐν ἀποκρύφῳ ὡς λέων ἐν τῇ μάνδρᾳ αὐτοῦ». Ἄλλος, «Ὡς ἐν τῷ περιφράγματι αὐτοῦ». «Ἐνεδρεύει τοῦ ἁρπάσαι πτωχόν, ἁρπάσαι πτωχὸν ἐν τῷ ἑλκύσαι αὐτόν». Ἄλλος, «Ἐν ἑλκυσμῷ αὐτοῦ». «Ἐν τῇ παγίδι αὐτοῦ ταπεινώσει αὐ-

---

24. Ἰὼβ 3, 25 - 26.
25. Σοφ. Σειρ. 18, 25.

περιπέση εἰς δυστυχίαν, καθὼς εἶναι ἀγύμναστος καὶ ἀπροετοίμαστος, ταράσσεται καὶ θορυβεῖται. Ὅμως δὲν συνέβη τὸ ἴδιο καὶ μὲ τὸν Ἰώβ, ἀλλὰ καὶ κατὰ τὸν χρόνον τῆς εὐημερίας καθημερινῶς ἀνέμενεν ἡμέρας δυστυχίας· διὰ τοῦτο καὶ ἔλεγεν· «Αὐτὸ λοιπὸν ποὺ ἐφοβούμην, μοῦ ἦλθε, καὶ αὐτὸ ποὺ ἐπερίμενα μὲ ἀγωνίαν μὴ συνήντησεν. Οὔτε εἰρήνευσα, οὔτε ἡσύχασα, οὔτε ἐπανεπαύθην, μοῦ ἦλθε δὲ ἡ ὀργὴ καὶ ἡ δυστυχία»[24]. Διὰ τοῦτο καὶ ἄλλος ἔλεγε· «Νὰ ἐνθυμῆσαι κατὰ τὸν καιρὸν τῆς εὐτυχίας τὴν δυστυχίαν, καὶ κατὰ τὰς ἡμέρας τοῦ πλούτου τὴν πτωχείαν καὶ τὰς στερήσεις»[25]. Αὐτὸς ὅμως ἀφοῦ διεφθάρη μίαν φοράν, δὲν ἀναλογίζεται τὰ ἀνθρώπινα, ἀλλὰ νομίζει ὅτι εἶναι εἰς αὐτόν, ἐξ αἰτίας τῆς εὐημερίας του, ἀμετακίνητα, πρᾶγμα ποὺ εἶναι δεῖγμα τῆς πιὸ φοβερᾶς παραφροσύνης καὶ διαφθορᾶς καὶ ἀφορμὴ πανωλεθρίας. Μὴ λοιπὸν μακαρίζῃς τοὺς πλουσίους, ἐκείνους ποὺ κυριαρχοῦν ἐπὶ τῶν ἐχθρῶν των, ἐκείνους ποὺ ἐπαινοῦνται δι' αὐτὸν τὸν τρόπον ζωῆς των. Διότι αὐτὰ εἶναι μεγάλα βάραθρα καὶ κρημνοὶ εἰς ἐκείνους ποὺ δὲν προσέχουν καὶ ποὺ τοὺς ρίπτουν εἰς τὸν πυθμένα τῆς ἀσεβείας.

«Τὸ στόμα του εἶναι γεμᾶτον ἀπὸ κατάραν καὶ ἀπὸ πικρίαν καὶ δολιότητα. Κάτω ἀπὸ τὴν γλῶσσαν του ὑπάρχει τὸ φαρμάκι τῆς βίας καὶ τοῦ πόνου ποὺ προορίζεται διὰ τὸν εὐσεβῆ». Ἄλλος λέγει, «Εἶναι βλαβερὸν τὸ στόμα του». «Κάθεται μὲ ἐπιμονὴν εἰς ἐνέδραν, κρυμένος μὲ ἄλλους πλουσίους, διὰ νὰ φονεύσῃ ἀθῶον ἄνθρωπον». Ἄλλος λέγει, «Στήνει ἐνέδρας μέσα εἰς τὰς αὐλάς». «Οἱ ὀφθαλμοί του εἶναι ἐστραμμένοι πρὸς τὸν πτωχόν. Στήνει ἐνέδραν εἰς ἀπόκρυφα μέρη ὅπως τὸ λεοντάρι μέσα εἰς τὴν φωλεάν του». Ἄλλος λέγει, «Μέσα εἰς τὸ περίφραγμά του». «Στήνει ἐνέδραν διὰ νὰ ἁρπάσῃ τὸν πτωχόν, ἀφοῦ τὸν προσελκύσῃ μὲ ἀπατηλὸν τρόπον». Ἄλλος λέγει, «ἀφοῦ τὸν παρασύρῃ πλησίον του». «Θὰ τὸν ταπεινώσῃ μέσα εἰς τὴν παγίδα ποὺ ἔστησεν». «Ἄλλος, «Μέσα εἰς τὰ δίκτυα». «Θὰ σκύψῃ καὶ θὰ πέσῃ κάτω

τόν». Ἄλλος, «Ἐν τῇ σαγήνῃ». «Κύψει καὶ πεσεῖται ἐν τῷ αὐτὸν κατακυριεῦσαι τῶν πενήτων». Ἄλλος, «Ὁ δὲ θλασθεὶς καμφθήσεται, ἐπιπεσόντος αὐτοῦ μετὰ τῶν ἰσχυρῶν αὐτοῦ τοῖς ἀσθενέσιν». Εἶδες καὶ θηρίον αὐτὸν γενόμενον; Καθάπερ γὰρ θηρίον ὑπογράφων ὁ προφήτης, οὕτω περὶ αὐτοῦ διαλέγεται, τοὺς δόλους, τὰς ἐνέδρας, τὰς ἐπιβουλὰς ἐκπομπεύων. Τί τούτου γένοιτ' ἂν ἀθλιώτερον, τί δὲ πενέστερον, ὅταν τῶν τοῦ πένητος δέηται χρημάτων; Τοῦτον οὖν, εἰπέ μοι, πλούσιον φήσομεν; Οὐκοῦν καὶ τὸν κλέπτην, καὶ τὸν τοιχωρύχον. Ἄπαγε, φησί. Τί γὰρ εἰ καὶ μὴ διορύττει δικαστήρια; τί γὰρ εἰ καὶ μὴ νυκτὸς ἔπεισιν, ἀλλὰ μετὰ δόλου κατασβεννὺς τὸ φῶς τοῦ δικάζοντος; τί γὰρ εἰ μὴ καθευδόντων ἐπέρχεται, ἀλλ' ἐγρηγορότων ἁπάντων; Οὗτος γὰρ ἰταμώτερος. Ἐπεὶ καὶ τῶν λῃστῶν τοὺς μεθ' ἡμέραν κλέπτοντας μᾶλλον κολάζουσιν οἱ νόμοι.

Εἶδες πενίαν; εἶδες ὠμότητα; Πενίαν, ὅτι τῶν τοῦ πένητος ἐπιθυμεῖ, ὠμότητα, ὅτι οὐδὲ τῇ συμφορᾷ ἐπικλᾶται, ἀλλ' ἣν ἐλεεῖν δεῖ καὶ διορθοῦσθαι πενίαν, ταύτην ἐπιτρίβει. Ἀλλ' ὅμως οὐκ ἀτιμώρητα ταῦτα ἐργάζεται· ἀλλ' ὅταν κρατήσῃ, ὅταν δόξῃ περιγενέσθαι, ὅταν ἀχείρωτος εἶναι νομίσῃ, τότε ἀπολεῖται, ἵνα καὶ τοῦ Θεοῦ τὸ εὐμήχανον φαίνηται, καὶ τῶν πενήτων ἡ ὑπομονή, καὶ τούτου τὸ ἀδιόρθωτον, καὶ τῆς τοῦ Θεοῦ μακροθυμίας ἡ ἀνεξικακία. Διὰ τοῦτο οὐ παρὰ πόδας ἡ δίκη ἕπεται, τοῦ Θεοῦ διὰ τῆς μακροθυμίας καλοῦντος αὐτὸν εἰς μετάνοιαν· ἀλλ' ὅταν μηδὲν ἀπὸ τῆς μακροθυμίας κερδάνῃ, τότε αὐτὸν ἀπὸ τῆς τιμωρίας νουθετεῖ. Οὗτοι μὲν γὰρ ἀδικηθέντες, οὐδὲν ἐβλάβησαν, ἀλλὰ καὶ βελτίους ἐγένοντο καὶ λαμπρότεροι ἀπὸ τῆς θλίψεως, ὁ δὲ Θεὸς τὴν μακροθυμίαν τὴν ἑαυτοῦ ἐπεδείξατο, ἀνασχόμενος καὶ ἀνεξικα-

μὲ μόνον σκοπὸν νὰ κατακυριεύσῃ τοὺς πτωχούς». Ἄλλος λέγει· «Ἀφοῦ σκύψῃ καὶ καμφθῇ θὰ πέσῃ ἐπάνω εἰς τοὺς ἀδυνάτους μαζὶ μὲ τοὺς ἰσχυρούς του». Εἶδες ποὺ αὐτὸς γίνεται καὶ θηρίον; Ὡσὰν δηλαδὴ ὁ προφήτης νὰ περιγράφῃ θηρίον, ἔτσι ὁμιλεῖ περὶ αὐτοῦ, διαπομπεύων τοὺς δόλους, τὰς ἐνέδρας καὶ τὰ ἐπίβουλα σχέδιά του. Τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ ἀθλιώτερον ἀπὸ αὐτό, τί δὲ δεῖγμα τῆς πιὸ μεγάλης ἀνέχειας, ὅταν ἔχῃ ἀνάγκην ἀπὸ τὰ χρήματα τοῦ πτωχοῦ; Αὐτὸν λοιπόν, εἰπέ μου, πλούσιον θὰ τὸν ὀνομάσωμεν; Τότε λοιπὸν πρέπει καὶ τὸν κλέπτην καὶ τὸν διαρρήκτην. Μακριά, λέγει, ἀπὸ μίαν τέτοιαν σκέψιν. Διότι τί σημασίαν ἔχει καὶ ἂν δὲν διαρρηγνύῃ δικαστήρια; τί καὶ ἂν δὲν ἐπιτίθεται κατὰ τὴν νύκτα, ἀλλὰ μὲ δολιότητα σβήνει τὸ φῶς τῆς δικαιοσύνης; τί δὲ ἐὰν δὲν μεταβαίνῃ διὰ νὰ ἐφαρμόσῃ τὰ δόλια σχέδιά του ἐνῷ κοιμῶνται ὅλοι, ἀλλ' εἶναι ὅλοι ἐξυπνημένοι; Διότι αὐτὸς εἶναι ἀναισχυντότερος. Καθ' ὅσον καὶ ἀπὸ τοὺς λῃστὰς τιμωροῦν οἱ νόμοι περισσότερον ἐκείνους ποὺ κλέπτουν τὴν ἡμέραν.

Εἶδες πτωχείαν; εἶδες ἀναισχυντίαν; Πτωχείαν μέν, διότι ἐπιθυμεῖ τὰ πράγματα τοῦ πτωχοῦ, ἀναισχυντίαν δέ, διότι οὔτε μὲ τὴν συμφορὰν λυγίζει, ἀλλὰ τὴν πτωχείαν ποὺ ἔπρεπε νὰ ἐλεῇ καὶ νὰ βοηθῇ νὰ ἐξαλειφθῇ, αὐτὴν τὴν ἐπαυξάνει. Ἀλλ' ὅμως αὐτὰ ποὺ κάμνει δὲν θὰ μείνουν ἀτιμώρητα, ἀλλὰ ὅταν ἐπικρατήσῃ, ὅταν ἀποκτήσῃ δόξαν, ὅταν νομίσῃ ὅτι ἔγινεν ἀκαταμάχητος, τότε θὰ καταστραφῇ. ὥστε καὶ νὰ γίνωνται φανεραὶ αἱ πάνσοφοι ἐνέργειαι τοῦ Θεοῦ καὶ ἡ ὑπομονὴ τῶν πτωχῶν, καὶ τὸ ἀδιόρθωτον αὐτοῦ, καὶ ἡ ἀνεξικακία τῆς μακροθυμίας τοῦ Θεοῦ· ὅταν ὅμως δὲν ἀποκομίσῃ καμμίαν ὠφέλειαν ἀπὸ τὴν μακροθυμίαν τοῦ Θεοῦ, τότε τὸν νουθετεῖ μὲ τὴν τιμωρίαν. Καθ' ὅσον οἱ μὲν πτωχοὶ ἀδικηθέντες, δὲν ἔπαθαν καμμίαν βλάβην, ἀπεναντίας δὲ καὶ ἔγινον ἐξ αἰτίας τῆς θλίψεως καλύτεροι καὶ λαμπρότεροι, ὁ δὲ Θεὸς ἐφανέρωσε τὴν μακροθυμίαν του, δείξας ὑπομονὴν καὶ ἀνε-

κήσας, μετὰ δὲ τῆς μακροθυμίας καὶ τὴν ἰσχὺν καὶ τὸ εὔπορον· ὅτι, ὅταν ἑαυτοῦ ᾖ δυνατώτερος, τότε αὐτοῦ περιγίνεται· οὗτος δὲ ἀδιόρθωτος μείνας, τὴν ἐσχάτην δίδωσι δίκην. Οὐ μικρὸς δὲ οὗτος σωφρονισμὸς τοῖς εὐημεροῦσι.

10. Μὴ τοίνυν, ὅταν κρατήσῃς τῶν ἐχθρῶν, καὶ πάντα σοι ἐξ οὐρίας φέρηται, θάρρει ζῶν ἐν πονηρίᾳ, ἀλλὰ τότε μᾶλλον δέδιθι. Καὶ γὰρ αὔξεται τὰ τῆς πονηρίας, ἀναιρεῖταί σοι τὰ τῆς ἀπολογίας, ἐκκόπτεταί σοι τὰ τῆς συγγνώμης μένοντι πονηρῷ. «Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ· ἐπιλέλησται ὁ Θεός· ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ, τοῦ μὴ βλέπειν εἰς τέλος». Ἴδε πρὸς ὅσον βάραθρον ἀπωλείας κάτεισιν, οἷα δόγματα συνάγει, ἃ διὰ τὸ ἀναίσχυντον ἐξενεγκεῖν μὲν οὐ τολμᾷ, παρ' ἑαυτῷ δὲ στρέφει, πρὸς τὴν ἀλήθειαν μαχόμενος, καὶ τὰ ἡλίου φανερώτερα συσκιάζων διὰ τὴν πήρωσιν τῆς ἑαυτοῦ διανοίας. «Ἀνάστηθι, Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου. Μὴ ἐπιλάθῃ τῶν πενήτων». Ἄλλος, «Ἔπαρον τὴν χεῖρά σου». «Ἕνεκεν τίνος παρώξυνεν ὁ ἀσεβὴς τὸν Θεόν; εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ· οὐκ ἐκζητήσει. Βλέπεις, ὅτι σὺ πόνον καὶ θυμὸν κατανοεῖς, τοῦ παραδοῦναι αὐτὸν εἰς χεῖράς σου». Ἄλλος, «Εἶδες ὅτι σὺ πόνον καὶ παροργισμὸν ἐπιβλέψεις, τοῦ δοῦναι ἐν χειρί σου». Ἄλλος, «Ἵνα δοθῶσιν εἰς χεῖράς σου». Ὁ μὲν παράνομος ταυτά φησιν, ὁ ἁρπάζων, ὁ πλεονεκτῶν, ὡς μὴ διδοὺς δίκην, ὁ δὲ προφήτης ἀναιρῶν αὐτοῦ τὰ δόγματα, τὸν περὶ τῆς μακροθυμίας ἀναπληροῖ λόγον. Ἐκεῖνος μὲν

ξικακίαν, ἀλλὰ μαζὶ μὲ τὴν μακροθυμίαν του καὶ τὴν δύναμίν του καὶ τὸν εὐφυῆ τρόπον ἐνεργείας του˙ διότι ὅταν νομίσῃ ὅτι εἶναι ἀκαταμάχητος, τότε δείχνει τὴν ὑπεροχήν του, αὐτὸς δὲ παραμείνας ἀδιόρθωτος τιμωρεῖται μὲ τὴν πιὸ φοβερὰν τιμωρίαν. Ἑπομένως δέν εἶναι αὐτὸς μικρὸς σωφρονισμὸς διὰ τοὺς πλουσίους.

10. Μὴ λοιπόν, ὅταν ἐπικρατήσῃς τῶν ἐχθρῶν σου καὶ ὅλα σοῦ ἔρχονται εὐνοϊκά, παίρνῃς θάρρος καὶ ζῇς μὲ κακίαν, ἀλλὰ τότε μᾶλλον νὰ φοβῆσαι. Καθ' ὅσον μὲ τὸ νὰ μένῃς κακὸς αὐξάνονται τὰ τῆς κακίας σου, χάνονται τά ἐλαφρυντικὰ τῆς ἀπολογίας σου καὶ ἀποκόπτονται αἱ ἐλπίδες νὰ λάβῃς συγχώρησιν παρὰ τοῦ Θεοῦ. «Διότι εἶπε μέσα εἰς τὴν καρδίαν του˙ Ἐξέχασεν ὁ Θεός, ἔστρεψε τὸ πρόσωπόν του ἀλλοῦ, διὰ νὰ μὴ βλέπῃ πλέον τίποτε». Πρόσεχε πρὸς πόσον μεγάλον βάραθρον καταστροφῆς ὁδηγεῖται, ποίας σκέψεις κάμνει, τὰς ὁποίας, ἐπειδὴ εἶναι γεμᾶται ἀπὸ ἀναισχυντίαν, δὲν τολμᾷ νὰ ἐκφράσῃ, ἀλλὰ τὰς περιστρέφει μέσα του, μάχεται πρὸς τὴν ἀλήθειαν καὶ ἐπισκευάζει αὐτὰ ποὺ εἶναι φανερώτερα καὶ ἀπὸ τὸν ἥλιον ἐξ αἰτίας τῆς τυφλώσεως τῆς διανοίας του. «Σήκω ἐπάνω, Κύριε ὁ Θεός μου, ἂς ὑψωθῇ τὸ χέρι σου. Μὴ λησμονήσῃς τοὺς πτωχούς». Ἄλλος λέγει, «Σήκωσε τὸ χέρι σου». «Διατί ὁ ἀσεβὴς παρώργισε τὸν Θεόν; διότι εἶπε μέσα του˙ δὲν θὰ ζητήσῃ λόγον ὁ Θεὸς διὰ τὰς ἀδικίας μου. Τὰ βλέπεις ὅλα καὶ ἑπομένως γνωρίζεις τὸν πόνον τοῦ πτωχοῦ καὶ τὸν θυμὸν τοῦ ἀσεβοῦς καὶ θὰ παραδώσῃς αὐτὸν εἰς τὰς τιμωρίας τῶν χειρῶν σου». Ἄλλος λέγει, «Ἐσὺ τὰ εἶδες ὅλα καὶ ἔτσι γνωρίζεις τὸν πόνον καὶ τὴν ὀργὴν τοῦ πτωχοῦ καὶ θὰ παραδώσῃς τὸν ἀσεβῆ εἰς τὴν δικαιοσύνην τῶν χειρῶν σου». Ἄλλος λέγει, «Διὰ νὰ παραδοθοῦν εἰς τὰ χέρια σου». Ὁ μὲν παράνομος, ποὺ ἁρπάζει καὶ εἶναι πλεονέκτης, αὐτὰ τὰ λέγει μὲ τὴν σκέψιν ὅτι δὲν θὰ δικασθῇ διὰ τὰς παρανομίας του, ὁ δὲ προφήτης, ἀναιρῶν τὰς σκέψεις αὐτοῦ, προβάλλει ὡς αἰτίαν τῆς ἀναβολῆς τῆς τιμωρίας τὴν μακροθυμίαν τοῦ

γάρ φησιν, «Ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ, τοῦ μὴ βλέπειν εἰς τέλος»· αὐτὸς δὲ ἀπεναντίας· «καὶ βλέπεις, καὶ κατανοεῖς, καὶ μακροθυμεῖς, ἕως ἂν αὐτοὶ ἐμπέσωσιν εἰς χεῖράς σου.

Τί ἐστιν, «Ἕως ἂν αὐτοὶ δοθῶσιν εἰς χεῖράς σου»; Ἀνθρωπινώτερον εἴρηκεν· ὃ δὲ λέγει τοῦτό ἐστιν· ἀναμένεις, ἀνεξικακεῖς, ὥστε τῇ ὑπερβολῇ τῆς πονηρίας αὐτοὺς παραδοθῆναι. Δυνατὸς μὲν γὰρ εἶ καὶ ἐξ ἀρχῆς ἑλεῖν, καὶ χειρώσασθαι, ἀλλ' ἄφατόν σου τῆς ἀνεξικακίας τὸ πέλαγος, ὁρῶντος, καὶ οὐκ ἐπεξιόντος, ἀλλ' ἀναμένοντος αὐτοὺς εἰς μετάνοιαν. Εἰ δὲ μὴ βούλονται, τότε κολάζεις, ὅταν μηδὲν ἐκ τῆς μακροθυμίας κερδαίνωσιν. Ὅτι γὰρ πολὺς αὐτῷ τῶν ἀδικουμένων ὁ λόγος, ἄκουσον πῶς αὐτὸ διὰ τῶν ἑξῆς κατασκευάζει. «Σοὶ ἐγκαταλέλειπται ὁ πτωχός, ὀρφανῷ σὺ ἦσθα βοηθός». Ἄλλος, «Σὺ ἐγένου». Ἄλλος, «Σὺ ἔσῃ». Ὃ δὲ λέγει τοιοῦτόν ἐστι, τοῦτο ἔργον σόν, τοῦτο ἐξαίρετον σόν. Οὐκ ἂν δὲ τὸ ἑαυτοῦ εἴασε, καὶ προύδωκεν. Ὡς γὰρ τεχνίτου τὸ οἰκοδομεῖν, καὶ κυβερνήτου τὸ εὐθύνειν τὸ σκάφος, καὶ ἡλίου τὸ φωτίζειν, οὕτω δὴ καὶ σὸν τὸ ὀρφανῶν προΐστασθαι, τὸ πτωχοῖς χεῖρα ὀρέγειν. Οὐδεὶς οὕτω προστάτης τούτων, ἀλλὰ σὺ μόνος. Τὸ γάρ, «Ἐγκαταλέλειπται», τοῦτο παρίστησιν. Οὐδείς, φησίν, ἄλλος, ἀλλὰ σὺ μόνος ὀρφανῶν καὶ πτωχῶν προστάτης.

«Σύντριψον τὸν βραχίονα τοῦ ἁμαρτωλοῦ καὶ πονηροῦ. Ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ, καὶ οὐ μὴ εὑρεθῇ δι' αὐτήν». Ἄλλος, «Ἐκζητηθήτω ἡ ἀσέβεια αὐτοῦ, ἵνα μὴ εὑρεθῇ αὐ-

Θεοῦ. Διότι ἐκεῖνος μὲν λέγει, «Ἔστρεψεν ἀλλοῦ τὸ πρόσωπον διὰ νὰ μὴ βλέπῃ τίποτε», ἐνῷ ἀπεναντίας ὁ προφήτης λέγει· καὶ βλέπεις καὶ γνωρίζεις πολὺ καλὰ καὶ μακροθυμεῖς, μέχρις ὅτου παραδοθοῦν αὐτοὶ εἰς τὴν δικαιοσύνην τῶν χειρῶν σου.

Τί σημαίνει, «Ἕως ἂν αὐτοὶ δοθῶσιν εἰς χεῖρας σου»; Ὡμίλησε μὲ ἀνθρωπινωτέρας ἐκφράσεις· αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· 'περιμένεις, δείχνεις ἀνεξικακίαν, ὥστε νὰ παραδοθοῦν εἰς τὰ χέρια σου μὲ τὴν ὑπερβολικὴν κακίαν των'. Βέβαια ἔχεις τὴν δύναμιν καὶ ἀπὸ τὴν ἀρχὴν νὰ τοὺς συλλάβῃς καὶ νὰ τοὺς καθυποτάξῃς, ἀλλ' εἶναι ἀπερίγραπτον τὸ πέλαγος τῆς ἀνεξικακίας, καθ' ὅσον βλέπεις αὐτοὺς καὶ δὲν τοὺς τιμωρεῖς, ἀλλὰ περιμένεις αὐτοὺς νὰ μετανοήσουν. Ἐὰν δὲ δὲν θέλουν νὰ μετανοήσουν, τότε τοὺς τιμωρεῖς, ὅταν δὲν ἀποκομίσουν κανένα κέρδος ἀπὸ τὴν μακροθυμίαν σου. Τὸ ὅτι βέβαια τὸν απασχολεῖ πάρα πολὺ τὸ θέμα τῶν ἀδικουμένων, ἄκουσε πῶς περιγράφει αὐτὸ εἰς τὴν συνέχειαν. «Ὑπὸ τὴν ἰδικήν σου προστασίαν ἔχει ἐγκαταλειφθῆ ὁ πτωχός, σὺ ἦσουν βοηθὸς τοῦ ὀρφανοῦ». Ἄλλος, «Σὺ ἔγινες». Ἄλλος, «Σὺ θὰ εἶσαι». Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς, αὐτὸ εἶναι τὸ ἔργον σου, αὐτὸ εἶναι τὸ κατ' ἐξοχὴν γνώρισμά σου. Δὲν θὰ ἦτο δυνατὸν νὰ ἐγκαταλείψῃ τὸ ἔργον του καὶ νὰ τὸ προδώσῃ. Διότι, ὅπως ἀκριβῶς ἔργον τοῦ τεχνίτου εἶναι ἡ κατασκευὴ οἰκοδομῶν, τοῦ κυβερνήτου ἡ διακυβέρνησις τοῦ σκάφους καὶ τοῦ ἡλίου ὁ φωτισμός, ἔτσι λοιπὸν καὶ ἰδικόν σου ἔργον εἶναι ἡ προστασία τῶν ὀρφανῶν καὶ ἡ βοήθεια τῶν πτωχῶν. Κανεὶς δὲν εἶναι τόσον πολὺ προστάτης αὐτῶν, παρὰ μόνον ἐσύ. Διότι αὐτὸ σημαίνει τὸ «ἐγκαταλέλειπται». Κανείς, λέγει, ἄλλος παρὰ σὺ μόνον εἶσαι προστάτης τῶν ὀρφανῶν καὶ τῶν πτωχῶν.

«Σύντριψε τὴν καταπιεστικὴν δύναμιν τοῦ ἁμαρτωλοῦ καὶ πονηροῦ. Θὰ ζητηθῇ ἡ ἁμαρτία αὐτοῦ καὶ δὲν θὰ εὑρεθῇ αὐτὸς νὰ λογοδοτήσῃ δι' αὐτήν». Ἄλλος, «Ἂς ζητηθῇ ἡ ἀσέβειά του, ὥστε νὰ ἐξαλειφθῇ αὐτός» Δὲν

τός». Οὐχ ἁπλῶς τὸν ἁμαρτωλὸν ἀξιοῖ συντριβῆναι, ἀλλὰ τὴν ἰσχύν, τὴν δυναστείαν, τὸ ὑπέκκαυμα αὐτοῦ τῆς πονηρίας· εἶτα ἀξιοῖ εὐθύνας αὐτὸν ὑποσχεῖν, καὶ λόγον δοῦναι τῶν πεπραγμένων, καὶ δεικνὺς τὸ μέγεθος τῆς ἀδικίας φησίν· ἂν τοῦτο γένηται, οὐδὲ στῆναι δυνήσεται, οὐδὲ φανεῖται, ἀλλ' ἀπολεῖται, οἰχήσεται, πρόρριζος ἀφανισθήσεται, τῶν πεπραγμένων αὐτῷ ἐξεταζομένων. Μηδεὶς οὖν ὀρφανίαν θρηνείτω, μηδεὶς πτωχείαν. Ὅσῳ γὰρ ἂν ἐπιτείνηται ταῦτα, τοσούτῳ τὰ τῆς βοηθείας αὐξηθήσεται τοῦ Θεοῦ. Μηδεὶς ἐπὶ δυναστείᾳ μεγαλοφρονείτω, μηδὲ φυσάσθω. Ἐπισφαλὲς γὰρ τοῦτο τὸ χωρίον καὶ κατάκρημνον, καὶ τοὺς μὴ προσέχοντας περιτρέπει μετ' εὐκολίας πολλῆς. «Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος». Ἐνταῦθα πρὸς τοὺς θορυβουμένους καὶ ταραττομένους, διὰ τὸ μὴ δοῦναι δίκην εὐθέως τοὺς ἁμαρτάνοντας, ἀποκρίνεται. Τί, φησί, φοβῇ; τί δέδοικας; Μὴ γὰρ πρόσκαιρος ὁ δικαστής; μὴ γὰρ τέλος ἔχει τὰ τῆς βασιλείας αὐτοῦ; Κἂν μὴ νῦν δῷ, δώσει πάντως. Μένει γὰρ ὁ ἀπαιτῶν, καὶ βασιλεύει διηνεκῶς.

«Ἀπολεῖσθε ἔθνη ἐκ τῆς γῆς αὐτοῦ. Τὴν ἐπιθυμίαν τῶν πενήτων εἰσήκουσας, Κύριε· τὴν ἑτοιμασίαν τῆς καρδίας αὐτῶν προσέσχε τὸ οὖς σου. Ἄλλος, «Τὴν πρόθεσιν τῆς καρδίας αὐτῶν ἠκροάσατο τὸ οὖς σου». Ἄλλος, «Ἑτοιμάσεις καρδίας αὐτῶν προσέχειν οὖς σου». «Κρῖναι ὀρφανῷ καὶ ταπεινῷ, ἵνα μὴ προσθῇ ἔτι τοῦ μεγαλαυχεῖν ἄνθρωπος ἐπὶ τῆς γῆς». Ἄλλος, «Κρῖναι ὀρφανῷ καὶ τεθλασμένῳ». Ὁρᾷς τὸν προφήτην τὸν πλείονα λόγον ὑπὲρ τῆς τῶν πονηρῶν ἐπιμελείας ποιούμενον; Τούτων γὰρ μάλιστα τὸ κακῶς πά-

ζητεῖ ἁπλῶς νὰ συντριβῇ ὁ ἁμαρτωλός, ἀλλὰ καὶ ἡ δύναμίς του, ἡ ἐξουσία του, αὐτὴ ποὺ ἐτροφοδοτοῦσε καὶ ἐνδυνάμωνε τὴν πονηρίαν του· ἔπειτα ζητεῖ νὰ τοῦ ζητηθοῦν εὐθῦναι καὶ νὰ δώσῃ λόγον διὰ τὰς πράξεις του καὶ δεικνύων τὸ μέγεθος τῆς ἀδικίας, λέγει· ἂν αὐτὸ συμβῇ, δὲν θὰ ἠμπορέσῃ οὔτε νὰ σταθῇ, οὔτε νὰ ἐμφανισθῇ, ἀλλὰ θὰ ὁδηγηθῇ εἰς τὴν ἀπώλειαν, θὰ καταστραφῇ, θὰ ἐξαφανισθῇ σύρριζα, ὅταν θὰ ἐξετάζωνται αἱ πράξεις του. Κανεὶς λοιπὸν ἂς μὴ θρηνῇ τὴν ὀρφανίαν, κανεὶς τὴν πτωχείαν. Διότι ὅσον περισσότερον αὐτὰ αὐξάνονται, τόσον περισσότερον θ' αὐξηθῇ ἡ βοήθεια τοῦ Θεοῦ. Κανεὶς ἂς μὴ ὑπερηφανεύεται διὰ τὴν ἐξουσίαν του, οὔτε νὰ κυριεύεται ἀπὸ ἀλαζονείαν. Διότι εἶναι πολὺ ἐπικίνδυνος αὐτὴ ἡ θέσις καὶ κατάκρημνος καὶ ὁδηγεῖ εἰς τὴν καταστροφὴν πολὺ εὔκολα ἐκείνους ποὺ δὲν προσέχουν. «Θὰ βασιλεύσῃ ὁ Κύριος εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος». Ἐδῶ ἀπαντᾷ πρὸς ἐκείνους ποὺ θορυβοῦνται καὶ ἀνησυχοῦν, ἐπειδὴ δὲν τιμωροῦνται ἀμέσως οἱ ἁμαρτωλοί. Διατί, λέγει, φοβεῖσαι; διατί τρομάζεις; Μήπως δηλαδὴ εἶναι πρόσκαιρος ὁ δικαστής; μήπως ἔχει τέλος ἡ βασιλεία του; Καὶ ἂν ἀκόμη δὲν τιμωρηθῇ ἐδῶ, ὁπωσδήποτε θὰ τιμωρηθῇ ἐκεῖ. Διότι μένει εἰς τὸν αἰῶνα ἐκεῖνος ποὺ ἀπαιτεῖ δικαιοσύνην καὶ βασιλεύει συνεχῶς.

«Σεῖς δὲ οἱ εἰδωλολάτραι θὰ χαθῆτε ἀπὸ τὴν γῆν του. Εἰσήκουσες, Κύριε, τὴν ἐπιθυμίαν τῶν πτωχῶν· εἰς τοὺς πόθους τῆς καρδίας των ἐστράφη ἡ ἀκουή σου». Ἄλλος, «Ἤκουσε τὸ αὐτί σου τὴν πρόθεσιν τῆς καρδίας των». Ἄλλος, «Θὰ ἑτοιμάσῃς τὰς καρδίας των διὰ νὰ γίνωνται ἀποδέκται εἰς τὸ αὐτί σου αἱ ἐπιθυμίαι των». «Διὰ νὰ κάμῃς δικαίαν κρίσιν ὑπὲρ τοῦ ὀρφανοῦ καὶ τοῦ πτωχοῦ, ὥστε νὰ μὴ τολμήσῃ πλέον νὰ ἀλαζονευθῇ ἄνθρωπος ἐπάνω εἰς τὴν γῆν». Ἄλλος, «Διὰ νὰ κρίνῃς δίκαια τὸν ὀρφανὸν καὶ τὸν ταπεινόν». Βλέπεις τὸν προφήτην ποὺ τὸ μεγαλύτερον μέρος τοῦ λόγου του τὸ ἀφιερώνει εἰς τὴν φροντίδα τοῦ Θεοῦ ὑπὲρ τῶν πονηρῶν; Διότι αὐτοὶ εἶναι

σχειν. Τῷ μὲν γὰρ ἀδικουμένῳ χρημάτων ἡ ζημία, τῷ δὲ περὶ τῶν ἐσχάτων ὁ κίνδυνος. Τί γάρ, εἰ καὶ μὴ αἰσθάνονται τὰ τῆς ἀρρωστίας ἔνθα εἰσίν; Ἐπίτασις τοῦτο ἀναισθησίας· καὶ διὰ τοῦτο μάλιστα αὐτοὺς χρὴ ἐλεεῖν· τοῦτο ἀτελοῦς διανοίας. Ἐπεὶ καὶ τὰ παιδία τῶν μὲν φοβερῶν οὐδένα ποιοῦνται λόγον, ἀλλὰ καὶ πυρὶ πολλάκις ἐπαφιᾶσι τὰς χεῖρας, προσωπεῖα δὲ διάκενα δεδίττονται καὶ τρέμουσιν ὁρῶντα. Τούτοις ἐοίκασιν οἱ πλεονέκται, πενίαν μὲν δεδιότες, ὅπερ οὐκ ἔστι φοβερόν, ἀλλὰ καὶ ἀσφαλείας ὑπόθεσις, πλοῦτον δὲ ἄδικον, καὶ πλεονεξίαν περὶ πολλοῦ ποιούμενοι, ὃ πυρός ἐστι παντὸς φοβερώτερον. Πανταχοῦ γὰρ ἡ πλεονεξία κακόν. Ταύτην τοίνυν διὰ παντὸς ἐκκοπῆναι παρακαλεῖ ὁ προφήτης, ἀπειλῶν, φοβῶν, τὸν Θεὸν παρακαλῶν ἐπὶ τὴν κόλασιν ἀναστῆναι τῆς τοιαύτης ἀναλγησίας. Διὸ καὶ ἐπάγει λέγων, «Ἀπολεῖσθε ἔθνη ἐκ τῆς γῆς αὐτοῦ», πανωλεθρίαν αὐτοῖς ἀπειλῶν, καὶ ἀξιῶν γενέσθαι βοηθὸν καὶ ἔκδικον τῶν ἀδικουμένων, ὥστε καὶ τούτους ἀναπνεῦσαι, κἀκείνους σωφρονισθῆναι.

Μηδεὶς τοίνυν διωκέτω χρημάτων περιουσίαν. Πολλὰ ἐντεῦθεν τοῖς μὴ προσέχουσι τίκτεται κακά· ἀπόνοια, ῥαθυμία, φθόνος, κενοδοξία, καὶ ἕτερα πολλῷ πλείονα τούτων. Ἀλλ᾽ ἵνα ἀπαλλαγῆτε τούτων ἁπάντων, τὴν ῥίζαν ἐκκόψατε· μὴ μενούσης γὰρ αὐτῆς, οὐ βλαστάνει τὰ πονηρὰ βλαστήματα. Διὰ τοῦτο καὶ ταῦτα εἴρηται, οὐχ ἵνα ἀκούωμεν μόνον, ἀλλ᾽ ἵνα καὶ διορθώμεθα, καὶ πολλὴν τὴν ἀρετὴν ἐν Χριστῷ Ἰησοῦ ἐπιδειξώμεθα· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἐκεῖνοι ποὺ κατ' ἐξοχὴν ὑποφέρουν. Καθ' ὅσον ἡ μὲν ζημία τοῦ ἀδικουμένου συνίσταται εἰς χρήματα, ἐνῷ ὁ πονηρὸς διατρέχει τὸν ἔσχατον κίνδυνον. Τί σημασίαν δηλαδὴ ἔχει, καὶ ἂν δὲν αἰσθάνωνται τὴν ἀρρώστιαν μέσα εἰς τὴν ὁποίαν εὑρίσκονται; Αὐτὸ δείχνει τὸ μέγεθος τῆς ἀναισθησίας των· καὶ διὰ τοῦτο πρὸ πάντων πρέπει αὐτοὶ νὰ ἐλεηθοῦν· αὐτὸ εἶναι δεῖγμα πνευματικῆς ἀτελείας. Καθ' ὅσον καὶ τὰ παιδιὰ διὰ μὲν τὰ φοβερὰ πράγματα δὲν δίδουν καμμίαν σημασίαν, ἀλλὰ καὶ εἰς τὴν φωτιὰν πολλὲς φορὲς θέτουν τὰ χέρια των, ἐνῷ ὅταν βλέπουν ἄδεια προσωπεῖα τὰ φοβοῦνται καὶ τρέμουν. Μὲ αὐτὰ ὁμοιάζουν οἱ πλεονέκται, τὴν μὲν πτωχείαν τὴν φοβοῦνται, πρᾶγμα ποὺ δὲν εἶναι φοβερόν, ἀλλὰ καὶ ὑπόθεσις ἀσφαλείας, ἐνῷ τὸν ἄδικον πλοῦτον καὶ τὴν πλεονεξίαν τὰ ἔχουν ὡς τὴν κατ' ἐξοχὴν φροντίδα των, πρᾶγμα ποὺ εἶναι φοβερώτερον ἀπὸ τὸ κάθε τι. Διότι ἡ πλεονεξία εἶναι πάντοτε κακόν. Αὐτὴν λοιπὸν παρακαλεῖ ὁ προφήτης νὰ σταματήσῃ διὰ πάντα, ἀπειλῶν, φοβίζων, παρακαλῶν τὸν Θεὸν νὰ σηκωθῇ καὶ νὰ τιμωρήσῃ αὐτὴν τὴν ἀναισθησίαν. Διὰ τοῦτο καὶ προσθέτει τὰ λόγια, «Θὰ χαθῆτε ἀπὸ τὴν γῆν του σεῖς οἱ εἰδωλολάτραι», ἀπειλῶν αὐτοὺς μὲ πανωλεθρίαν καὶ ζητῶν νὰ γίνῃ βοηθὸς καὶ ὑπερασπιστὴς τῶν ἀδικουμένων, ὥστε καὶ αὐτοὶ νὰ ἀνακουφισθοῦν καὶ οἱ πονηροὶ νὰ σωφρονισθοῦν.

Κανεὶς λοιπὸν νὰ μὴ ἐπιδιώκῃ περιουσίαν χρημάτων. Διότι πολλὰ κακὰ γεννῶνται ἀπὸ ἐδῶ δι' ἐκείνους ποὺ δὲν προσέχουν, ὅπως παραφροσύνη, ραθυμία, φθόνος, κενοδοξία καὶ ἄλλα πολὺ περισσότερα ἀπὸ αὐτά. Ἀλλὰ διὰ νὰ ἀπαλλαγῆτε ἀπὸ ὅλα αὐτά, ἀποκόψατε τὴν ρίζαν· διότι, ὅταν δὲν ὑπάρχει αὐτὴ μέσα, δὲν βλαστάνουν τὰ πονηρὰ βλαστήματα. Διὰ τοῦτο καὶ αὐτὰ ἐλέχθησαν, ὄχι μόνον διὰ νὰ τὰ ἀκούωμεν, ἀλλὰ καὶ διὰ νὰ διορθωνώμεθα καὶ νὰ ἐπιδείξωμεν πολλὴν τὴν ἀρετὴν ἐν ὀνόματι τοῦ Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ
ΕΙΣ ΤΟΝ Ι΄ ΨΑΛΜΟΝ

«Εἰς τὸ τέλος τῷ Δαυίδ». Ἄλλος, «Ἐπινίκιος τῷ Δαυίδ». Ἄλλος, «Τῷ νικοποιῷ».

1. «Ἐπὶ τῷ Κυρίῳ πέποιθα· πῶς ἐρεῖτε τῇ ψυχῇ μου, μεταναστεύου ἐπὶ τὰ ὄρη ὡς στρουθίον;». Ἄλλος, «Ἀναστατοῦ εἰς τὰ ὄρη ὡς στρουθίον». Ἄλλος, «Μετακινοῦ». «Ὅτι ἰδοὺ οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον, ἡτοίμασαν βέλη εἰς φαρέτραν, τοῦ κατατοξεῦσαι ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ». Ἄλλος, «Ὡς ἐν ζόφῳ». «Ὅτι ἃ σὺ κατηρτίσω, αὐτοὶ καθεῖλον». Ἄλλος, «Ὅτι οἱ θεσμοὶ κατελύθησαν». Ἄλλος, «Ὅτι αἱ διδασκαλίαι συντριβήσονται». Μεγάλη τῆς ἐπὶ τὸν Κύριον ἐλπίδος ἡ δύναμις, φρούριον ἀχείρωτον, τεῖχος ἄμαχον, συμμαχία ἀκαταγώνιστος, λιμὴν εὔδιος, πύργος ἀκαταμάχητος, ὅπλον ἀήττητον, δύναμις ἄμαχος καὶ ἐκ τῶν ἀπόρων εὑρίσκουσα πόρον. Διὰ ταύτης ἄοπλοι τῶν ὡπλισμένων, καὶ γυναῖκες ἀνδρῶν περιεγένοντο, καὶ παῖδες τῶν τὰ πολεμικὰ μεμελετηκότων ἰσχυρότεροι μετὰ πολλῆς τῆς εὐκολίας ἐνεφάνησαν. Καὶ τί θαυμαστὸν εἰ πολεμίων ἐκράτησαν, ὅπου γε καὶ αὐτοῦ τοῦ κόσμου περιεγένοντο; Τὰ γὰρ στοιχεῖα τὴν οἰκείαν ἀγνοήσαντα φύσιν πρὸς τὸ χρήσιμον ἐκείνοις μετεβάλλοντο, καὶ τὰ θηρία οὐκ ἔτι θηρία ἦν, οὐδὲ

Ὁ ψαλμὸς αὐτός, ἔργον τοῦ Δαυίδ, ἐθεωρήθη ἀπὸ πολλοὺς ὡσὰν ἕνας ἀπὸ τοὺς ἀρίστους τῆς ὅλης συλλογῆς τοῦ ψαλτηρίου. Ἐγράφη κατ' ἄλλους κατὰ τὸν χρόνον τῆς ἀποστασίας τοῦ Ἀβεσσαλώμ, κατ' ἄλλους δὲ ὅταν ἐδιώκετο ὑπὸ τοῦ Σαούλ. Κίνδυνοι περιζώνουν τὸν Δαυίδ. Οἱ μικρόψυχοι φίλοι του τὸν συμβουλεύουν νὰ καταφύγῃ εἰς τὰ ὄρη, αὐτὸς ὅμως διακηρύσσει ὅτι ὁ φόβος ἁρμόζει εἰς τοὺς ἁμαρτωλοὺς καὶ ὄχι εἰς ἐκείνους ποὺ ἔχουν ἀκλόνητον τὴν ἐλπίδα των εἰς τὴν προστασίαν τοῦ Θεοῦ.

1. Δαν. 6. 22.

ΟΜΙΛΙΑ
ΕΙΣ ΤΟΝ Ι΄ ΨΑΛΜΟΝ

Ἐπιγράφεται, «Εἰς τὸ τέλος. Ψαλμὸς τοῦ Δαυίδ». Ἄλλη ἐπιγραφή, «Ἐπινίκιος ψαλμὸς τοῦ Δαυίδ». Ἄλλη, «Εἰς τὸν νικοποιόν».

1. «Εἰς τὸν Κύριον ἐστήριξα τὴν ἐλπίδα μου· πῶς θὰ εἰπῆτε εἰς τὴν ψυχήν μου, φεῦγε καὶ γίνε μετανάστης, ὡσὰν τὸν σπουργίτην, εἰς τὰ ὄρη;». Ἄλλος λέγει «Ἀνέβη, ὡσὰν σπουργίτης, ἐπάνω εἰς τὰ ὄρη». Ἄλλος, «Ἄλλαξε τόπον». «Διότι νὰ οἱ ἁμαρτωλοὶ ἐτέντωσαν τὸ τόξον των, ἡτοίμασαν τὰ βέλη των εἰς τὴν θήκην τῶν βελῶν, διὰ νὰ τοξεύσουν κρυμμένοι εἰς ἀπόκρυφα μέρη τοὺς ἀπονηρεύτους ἀνθρώπους». Ἄλλος, «Ὡσὰν μέσα ἀπὸ τὸ σκοτάδι». «Διότι ἐκεῖνα ποὺ μὲ πολλὴν φροντίδα ἐσὺ κατήρτισες, αὐτοὶ τὰ κατεκρήμνισαν». Ἄλλος, «Διότι κατελύθησαν οἱ θεσμοί». Ἄλλος, «Διότι αἱ ἠθικαὶ διδασκαλίαι θὰ συντριβοῦν». Μεγάλη εἶναι ἡ δύναμις τῆς ἐλπίδος πρὸς τὸν Κύριον, φρούριον ἀπόρθητον, τεῖχος ἀκαταμάχητον, συμμαχία ἀκατανίκητος, λιμάνι γαλήνιον, πύργος ἀκαταμάχητος, ὅπλον ἀήττητον, δύναμις ἀκατάβλητος καὶ ποὺ εὑρίσκει διέξοδον ἐκεῖ ποὺ δὲν ὑπάρχει διέξοδος. Μὲ αὐτὴν ὑπερίσχυσαν ἄνθρωποι ἄοπλοι τῶν ὡπλισμένων καὶ γυναῖκες τῶν ἀνδρῶν καὶ παιδιὰ ἀπεδείχθησαν ἰσχυρότερα μὲ μεγάλην εὐκολίαν ἐκείνων ποὺ καταγίνονται μὲ τὰ πολεμικά. Καὶ τί τὸ ἀξιοθαύμαστον ἐὰν ὑπερίσχυσαν τῶν ἐχθρῶν των, τὴν στιγμὴν ποὺ ὑπερίσχυσαν καὶ αὐτοῦ τοῦ ἰδίου τοῦ κόσμου; Καθ' ὅσον, τὰ στοιχεῖα τῆς φύσεως, ἀγνοήσαντα τὴν ἰδιότητά των, μετεβάλλοντο εἰς χρήσιμα στοιχεῖα δι' ἐκείνους, καὶ τὰ

ἡ κάμινος, κάμινος. Ἡ γὰρ εἰς τὸν Θεὸν ἐλπὶς πάντα μεταρρυθμίζει. Ὀδόντες τεθηγμένοι, καὶ δεσμωτήριον στενόν, φύσεως ἀγριότης, καὶ λιμὸς ὁπλίζων τὴν φύσιν, διάφραγμα οὐδαμοῦ, καὶ στόματα τοῦ σώματος πλησίον τοῦ προφήτου, ἀλλ' ἡ εἰς τὸν Θεὸν ἐλπὶς χαλινοῦ παντὸς ἰσχυροτέρα, εἰς τὰ στόματα ἐμπεσοῦσα, εἰς τοὐπίσω ταῦτα ἀνεῖλκε.

Ταῦτα δὴ καὶ οὗτος φιλοσοφῶν, ἔλεγε πρὸς τοὺς κελεύοντας αὐτῷ φεύγειν καὶ δραπετεύειν, καὶ ἀπὸ τῆς τῶν τόπων ἀσφαλείας τὴν σωτηρίαν ἑαυτῷ πορίζεσθαι· Ἐπὶ τῷ Κυρίῳ πέποιθα· πῶς ἐρεῖτε τῇ ψυχῇ μου;». Τί λέγεις; Τὸν τῆς οἰκουμένης Δεσπότην ἔχω σύμμαχον· τὸν πανταχοῦ εὐκόλως ἐργαζόμενον πάντα, ἐκεῖνον στρατηγοῦντα ἔχω καὶ παριστάμενον, καὶ πρὸς τὴν ἀοίκητόν με πέμπεις καὶ ἀπὸ τῆς ἐρημίας μοι συνάγεις τὴν ἀσφάλειαν; Μὴ γὰρ μείζων ἡ τῆς ἐρημίας βοήθεια τοῦ πάντα δυναμένου μετ' εὐκολίας ἁπάσης; Τί με τὸν ὡπλισμένον ἰσχυρῶς, καθάπερ γυμνὸν καὶ ἄοπλον, δραπετεύειν παρασκευάζεις, καὶ μετανάστην εἶναι κελεύεις; Εἶτα τὸν μὲν στρατόπεδον ἔχοντα, καὶ τείχεσι πεφραγμένον καὶ ὅπλοις, οὐκ ἂν ἐκέλευσας καταφυγεῖν ἐπὶ τὴν ἔρημον, ἀλλὰ καταγέλαστος ἂν ἐφάνης ταῦτα συμβουλεύων, τὸν δὲ ἔχοντα τὸν τῆς οἰκουμένης Δεσπότην μεθ' ἑαυτοῦ ἐξορίζεις καὶ φυγαδεύεις καὶ μετανάστην ποιεῖς, διὰ τὸν παρὰ τῶν ἁμαρτωλῶν πόλεμον; Μετὰ γὰρ τῶν εἰρημένων, καὶ τοῦτο ἕτερον δικαίωμα ἔχω τοῦ μὴ φεύγειν. Ὅταν γὰρ καὶ ὁ Θεὸς βοηθῇ, καὶ ἁμαρτωλοὶ οἱ πολεμοῦντες, πῶς οὐ

θηρία δὲν ἦσαν πλέον θηρία, οὔτε ἡ κάμινος ἦτο κάμινος. Διότι ἡ ἐλπὶς εἰς τὸν Θεὸν ὅλα τὰ μεταβάλλει. Δόντια ἀκονισμένα, δεσμωτήριον στενόν, ἀγριότης τῆς φύσεως, πεῖνα ποὺ ὥπλιζε τὴν φύσιν, χωρὶς κανένα διάφραγμα πουθενά, καὶ τὰ στόματα τῶν λεονταριῶν πλησίον τοῦ σώματος τοῦ προφήτου, ἀλλ' ἡ ἐλπὶς εἰς τὸν Θεὸν ἀναδειχθεῖσα ἰσχυροτέρα ἀπὸ ὁποιοδήποτε χαλινάρι καὶ φράξασα τὰ στόματά των, ἀπεμάκρυνεν αὐτὰ πρὸς τὰ ὀπίσω[1].

Αὐτὰ λοιπὸν φιλοσοφῶν καὶ ὁ προφήτης, ἔλεγε πρὸς ἐκείνους ποὺ τὸν παρώτρυναν νὰ φεύγῃ καὶ νὰ δραπετεύῃ καὶ νὰ ἐπιτυγχάνῃ τὴν σωτηρίαν του ἀπὸ τὴν ἀσφάλειαν, ποὺ τοῦ παρεῖχον οἱ ἐναλλασσόμενοι τόποι· «Εἰς τὸν Κύριον ἐστήριξα τὰς ἐλπίδας μου· πῶς σεῖς ὑποδεικνύετε αὐτὰ εἰς τὴν ψυχήν μου;». Τί μοῦ λέγεις; Ἐγὼ ἔχω σύμμαχον τὸν Κύριον τῆς οἰκουμένης· ἐκεῖνον ποὺ εἰς κάθε περίπτωσιν πραγματοποιεῖ τὰ πάντα μὲ εὐκολίαν, ἐκεῖνον ἔχω καθοδηγητὴν καὶ προστάτην μου, καὶ σὺ μὲ στέλλεις εἰς ἀκατοίκητον μέρος καὶ ἀπὸ τὴν ἐρημίαν προσπαθεῖς νὰ μοῦ ἐξασφαλίσῃς τὴν σωτηρίαν; Μήπως δηλαδὴ εἶναι μεγαλυτέρα ἡ βοήθεια τῆς ἐρημίας ἀπὸ τὴν βοήθειαν ἐκείνου ποὺ ἠμπορεῖ ὅλα νὰ τὰ πραγματοποιήσῃ μὲ κάθε εὐκολίαν; Διατί ἐμένα, ποὺ εἶμαι ἰσχυρὰ ὡπλισμένος, μὲ συμβουλεύεις νὰ δραπετεύσω ὡσὰν γυμνὸς καὶ ἄοπλος καὶ μὲ παροτρύνεις νὰ γίνω μετανάστης; Ἔπειτα ἐκεῖνον μέν, ποὺ ἔχει στρατόπεδον καὶ εἶναι περιφραγμένον μὲ τείχη καὶ ἐξωπλισμένον, δὲν θὰ ἠμποροῦσες ποτὲ νὰ τὸν παροτρύνῃς νὰ καταφύγῃ εἰς τὴν ἔρημον, ἀλλὰ θὰ ἐφαίνεσο γελοῖος συμβουλεύων αὐτά, ἐνῷ αὐτὸν ποὺ ἔχει μαζί του τὸν Κύριον τῆς οἰκουμένης τὸν ἐξορίζεις καὶ τὸν φυγαδεύεις καὶ τὸν κάμνεις μετανάστην, ἐξ αἰτίας τοῦ πολέμου ἐκ μέρους τῶν ἁμαρτωλῶν; Διότι μαζὶ μὲ τὰ ὅσα ἐλέχθησαν ἔχω καὶ αὐτὸ τὸ δικαίωμα, τὸ νὰ μὴ δραπετεύω. Ὅταν δηλαδὴ καὶ ὁ Θεὸς βοηθῇ καὶ εἶναι ἁμαρτωλοὶ οἱ πολεμοῦντες, πῶς δὲν εἶναι ἄξιος τῆς

τὴν ἐσχάτην ὀφλισκάνει αἰσχύνην ὁ συμβουλεύων τῶν ὀρνίθων μιμεῖσθαι τὸ ψοφοδεές; Οὐκ ἐννοεῖς τὸ ἀντιπαρατατόμενόν μοι στρατόπεδον, πῶς ἀράχνης εὐτελέστερον; Εἰ γὰρ ὁ τοῦ βασιλέως ἐχθρὸς τοῦ ἐπιγείου, ὅπου ἂν παραγένηται, ἐπισφαλῶς ζῇ καὶ δέδοικε, καὶ τρέμει, πολλῷ μᾶλλον ὁ τοῦ τῶν ὅλων Θεοῦ. Ὅπου γὰρ ἂν ἀφίκηται, πάντας ἔχει πολεμίους, καὶ αὐτὴν τὴν κτίσιν. Καθάπερ γὰρ τοὺς φίλους αὐτοῦ καὶ τὰ στοιχεῖα καὶ τὰ θηρία δέδοικε, καὶ πᾶσα ἡ κτίσις αἰδεῖται, οὕτω τὸν ἐχθρὸν καὶ πολέμιον καὶ τὰ ἀναίσθητα πολεμεῖ καὶ διαπτύει. Διά τοι τοῦτο τοὺς μέν, πρὶν ἢ τοῦ ἐδάφους ἅψασθαι, διειργάσαντο τότε οἱ θῆρες, τοὺς δὲ τὸ πῦρ κατηνάλωσεν.

Ἀλλὰ τόξα καὶ φαρέτραν ἔχουσι καὶ παρεσκευασμένα αὐτοῖς ἅπαντα· ἡτοίμασαν γὰρ αὐτά, φησίν, εἰς φαρέτραν· ἀλλ' οὐδεμία τούτων ἰσχύς, οὐδὲν ἐντεῦθεν δεδιττόμεθα. Οὐδὲ γὰρ εἴ τινα ἐκλελυμένον εἶδον τόξον ἔχοντα, ἔδεισα ἄν. Τί γὰρ ὄφελος ὅπλων, ἰσχύος οὐκ οὔσης; Οὐ τοίνυν οὐδὲ ἐνταῦθα, τῆς παρὰ τοῦ Θεοῦ εὐνοίας ἀπούσης. Ἀλλὰ δόλους ῥάπτουσι, καὶ οὐκ ἐξ εὐθείας προσέρχονται. Διὰ τοῦτο μάλιστα αὐτῶν καταγελῶ, ὅτι ἐν σκοτομήνῃ βάλλουσιν. Οὐδὲν γὰρ ἀσθενέστερον ἀνδρὸς ἐπιβουλεύοντος. Οὐ δεῖται τοῖς ἑτέρων ὅπλοις ἁλῶναι, ἀλλ' ὑπὸ τῆς οἰκείας πίπτει χειρός, καὶ τῷ ἑαυτοῦ περιτρέπεται δόλῳ. Τί οὖν γένοιτ' ἂν ἀσθενέστερον, ὅταν ὑπὸ τῶν οἰκείων μηχανημάτων αἱρῆται; Μετὰ δὲ τούτων ἔστι καὶ ἕτερον εἰπεῖν· ὅτι οὐχ ἁμαρτωλοὶ μόνον τοὺς ὑπὸ Θεοῦ βοηθουμένους καὶ μετὰ δόλου πολεμοῦσιν, ἀλλ' ὅτι καὶ πρὸς τοὺς ἀνευθύνους καὶ οὐδὲν αὐτοὺς ἠδικηκότας. Οὐχ ὡς

χειροτέρας ἐντροπῆς ἐκεῖνος ποὺ μὲ συμβουλεύει νὰ μιμοῦμαι τὴν ἄκρως δειλίαν τῶν ὀρνίθων; Δὲν σκέπτεσαι τὸ στρατόπεδον ποὺ εἶναι παρατεταγμένον ἀπέναντί μου ὅτι εἶναι εὐτελέστερον καὶ ἀπὸ τὴν ἀράχνην; Διότι, ἐὰν ὁ ἐχθρὸς τοῦ ἐπιγείου βασιλέως ὅπου καὶ ἂν εὑρεθῇ ζῇ μὲ ἀνασφάλειαν καὶ φόβον καὶ τρόμον, πολὺ περισσότερον ὁ ἐχθρὸς τοῦ Θεοῦ τῶν πάντων. Καθ' ὅσον ὅπου καὶ ἂν ὑπάγῃ ἔχει ἐχθροὺς ὅλους καθὼς καὶ τὴν ἰδίαν τὴν κτίσιν. Ὅπως ἀκριβῶς δηλαδὴ φοβοῦνται τοὺς φίλους του καὶ τὰ στοιχεῖα καὶ τὰ θηρία καὶ ὅλη ἡ κτίσις τοὺς σέβεται, ἔτσι καὶ τὸν ἐχθρὸν καὶ πολέμιον καὶ τὰ ἀναίσθητα τὸν πολεμοῦν καὶ τὸν περιφρονοῦν. Διὰ τοῦτο λοιπὸν ἄλλους μὲν τοὺς ἐξωλόθρευσαν τότε τὰ θηρία πρὶν ἐγγίσουν τὴν γῆν, ἄλλους δὲ τοὺς κατέκαυσε τὸ πῦρ.

Ἀλλ' ἔχουν τόξα καὶ φαρέτραν καὶ εἶναι ὅλα ἑτοιμασμένα, διότι λέγει, «τὰ ἑτοποθέτησαν εἰς τὴν φαρέτραν»' ἀλλὰ δὲν ἔχουν καμμίαν δύναμιν, καὶ τίποτε ἀπὸ αὐτὰ δὲν μᾶς φοβίζει. Οὔτε βέβαια, ἐὰν ἔβλεπα κάποιον νὰ ἔχῃ ἐκτοξεύσει τὸ τόξον, θὰ ἐφοβόμουν. Καθ' ὅσον τί ὠφελοῦν τὰ ὅπλα, ὅταν δὲν ὑπάρχει ἰσχύς; Οὔτε ἐδῶ λοιπὸν ὠφελοῦν, ἀφοῦ ἀπουσιάζει ἡ εὔνοια τοῦ Θεοῦ. Ἀλλὰ μεταχειρίζονται δολιότητα καὶ δὲν πολεμοῦν εὐθέως. Διὰ τοῦτο πρὸ πάντων τοὺς θεωρῶ ἀξίους διὰ γέλια, διότι πολεμοῦν μὲ ὑπουλίαν μέσα εἰς τὸ σκοτάδι. Καθ' ὅσον δὲν ὑπάρχει τίποτε ἀσθενέστερον ἀπὸ ἄνδρα ὕπουλον. Δὲν χρειάζεται τὰ ὅπλα τῶν ἄλλων διὰ νὰ φονευθῇ, ἀλλὰ πίπτει ἀπὸ τὰ ἴδια τὰ χέρια του καὶ καταστρέφεται ἀπὸ τὸν ἰδικόν του τὸν δόλον. Τί λοιπὸν θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ ἀσθενέστερον, ὅταν καταστρέφεται ἀπὸ τὰ ἰδικά του δόλια σχέδια; Μαζὶ δὲ μὲ αὐτὰ ἠμπορῶ καὶ κάτι ἄλλο νὰ εἰπῶ' ὅτι δηλαδὴ οἱ ἁμαρτωλοὶ δὲν πολεμοῦν καὶ μάλιστα μὲ ὕπουλον τρόπον τοὺς ὑπὸ τοῦ Θεοῦ βοηθουμένους, ἀλλὰ πολεμοῦν καὶ τοὺς ἀνευθύνους ποὺ δὲν τοὺς ἠδίκησαν εἰς τίποτε. Δὲν εἶναι δὲ τυ-

ἔτυχε δὲ καὶ τοῦτο αὐτοὺς ἀσθενεῖς ἐργάζεται. Καθάπερ γὰρ οἱ πρὸς κέντρα λακτίζοντες, ἐκεῖνα μὲν οὐδὲν ἔβλαψαν, τοὺς δὲ ἑαυτῶν πόδας ᾕμαξαν, οὕτω δὴ καὶ οὗτοι. Μετὰ δὲ τούτων, καὶ ἑτέρα τις αἰτία καταλύουσα αὐτῶν τὴν ἰσχὺν τοῦ πολέμου ἐστί. Ποία δὴ αὕτη; «Ὅτι ἃ σὺ κατηρτίσω, αὐτοί», φησί, «καθεῖλον». Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· σοὶ πολεμοῦσι καὶ μάχονται, τὸν νόμον σου καὶ τὰ προστάγματά σου καθαιροῦντες. Καὶ γὰρ τὰ σὰ προστάγματα καθελεῖν ἐπιχειροῦσι, καὶ ταῦτα κατηρτισμένα. Ἢ τοῦτό φησιν, ἢ ὅτι καὶ παραβάται τοῦ νόμου εἰσί. Καὶ αὕτη δὲ οὐ μικρὰ ἀσθενείας ὑπόθεσις τὸ τὰ σὰ μὴ φυλάξαντας, οὕτως εἰς πόλεμον ἰέναι. Διὰ γὰρ τοῦτο καὶ εὐθέσι πολεμοῦσι καὶ δόλους ῥάπτουσι, ἐπειδὴ τῶν σῶν οὐκ ἀκούουσι προσταγμάτων.

2. Διηγησάμενος τοίνυν περὶ τῆς ἀσθενείας τῶν πολεμίων, καὶ ταύτην δείξας οὐκ ἀπὸ τούτων, ἀφ' ὧν ἕτεροι, ἀλλ' ἀφ' ὧν αὐτῷ πρέπον ἦν (οὐ γὰρ εἶπε, χρήματα οὐκ ἔχουσιν, οὐδὲ φρούρια, οὐδὲ συμμάχους, οὐδὲ πόλεις, οὐδ' ὅτι πολέμων εἰσὶν ἄπειροι, ἀλλὰ πάντα ταῦτα παραδραμὼν καὶ διαπτύσας ὡς οὐδὲν ὄντα, καὶ εἰπὼν ὅτι παράνομοί εἰσιν, ὅτι πολεμοῦσι τοῖς οὐδὲν ἠδικηκόσιν, ὅτι τὰ τοῦ Θεοῦ καθαιροῦσι), λέγει λοιπὸν καὶ τὴν τῶν δικαίων παράταξιν, κἀντεῦθεν δεικνὺς τὸ ἐκείνων εὐχείρωτον. Οὕτω καὶ ἡμεῖς τὸν ἰσχυρὸν καὶ τὸν ἀσθενῆ δοκιμάζωμεν, ἀλλὰ μὴ ἀφ' ὧν οἱ καταγέλαστοι τῶν ἀνθρώπων φοβοῦνται, ἐκ τούτων μᾶλλον φοβώμεθα. Τί γάρ φασι; Δεινός ἐστι, πονηρός ἐστι, χρημάτων ὄγκον περιβέβληται καὶ δυναστείαν. Διὰ τοῦτο μάλι-

χαία ἡ ἐξασθένισις ποὺ προξενεῖται ἀπὸ αὐτὸ εἰς αὐτούς. Διότι ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ κλωτσοῦν ἐπάνω εἰς τὰ καρφιά, ἐκεῖνα μὲν δὲν τὰ ἔβλαψαν καθόλου, ἐνῷ τὰ πόδια των τὰ κατεμάτωσαν, ἔτσι λοιπὸν καὶ αὐτοί. Ἐκτὸς δὲ ἀπὸ αὐτὰ ὑπάρχει καὶ ἄλλη αἰτία ποὺ ἐξολοθρεύει τὴν ἰσχὺν αὐτῶν. Ποία λοιπὸν εἶναι αὐτή; «Ὅτι αὐτὰ ποὺ ἐσὺ ἔκτισες κατὰ τρόπον τέλειον, αὐτοί», λέγει, «τὰ κατεκρήμνισαν». Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· ἐσένα πολεμοῦν καὶ μάχονται, καταργοῦντες τὸν νόμον σου καὶ τὰ προστάγματά σου. Καθ' ὅσον ἐπιχειροῦν νὰ καταργήσουν τὰ προστάγματά σου, τὴν στιγμὴν ποὺ αὐτὰ εἶναι τέλεια. Ἢ αὐτὸ ἐννοεῖ, ἢ ὅτι εἶναι καὶ παραβάται τοῦ νόμου. Καὶ αὐτὰ δὲ δὲν εἶναι μικρὰ αἰτία ἐξασθενήσεως, τὸ ὅτι δὲν ἐτήρησαν τὰ προστάγματά σου καὶ ἐπιχειροῦν νὰ κάμουν πόλεμον. Διὰ τοῦτο λοιπὸν καὶ τοὺς δικαίους πολεμοῦν καὶ μεταχειρίζονται δολιότητας, ἐπειδὴ δὲν ἀκούουν τὰ προστάγματά σου.

2. Ἀφοῦ λοιπὸν ὡμίλησε διὰ τὴν ἀδυναμίαν τῶν ἐχθρῶν, καὶ ἔδειξεν αὐτὴν νὰ συμβαίνῃ ὄχι ἀπὸ τὰ αἴτια ἐκεῖνα ποὺ συμβαίνουν εἰς ἄλλους, ἀλλὰ ἀπὸ ἐκεῖνα ποὺ ἐθεώρει αὐτὸς ὀρθὰ (διότι δὲν εἶπε, δὲν ἔχουν χρήματα, οὔτε φρούρια, οὔτε συμμάχους, οὔτε πόλεις, οὔτε ὅτι εἶναι ἄπειροι πολέμων, ἀλλὰ παραβλέψας ὅλα αὐτὰ καὶ ἀδιαφορήσας δι' αὐτὰ ὡσὰν νὰ μὴ ἔχουν καμμίαν ἰσχύν, καὶ ἀφοῦ εἶπεν ὅτι εἶναι παράνομοι, ὅτι πολεμοῦν ἐκείνους ποὺ δὲν τοὺς ἠδίκησαν εἰς τίποτε, ὅτι καταστρέφουν τὰ τοῦ Θεοῦ), ὁμιλεῖ πλέον καὶ διὰ τὴν παράταξιν τῶν δικαίων, καὶ ἀπὸ ἐδῶ παρουσιάζει τὸ εὐκολομάχητον τῶν ἀσεβῶν. Ἔτσι καὶ ἐμεῖς ἂς θεωροῦμεν τὸν ἰσχυρὸν καὶ τὸν ἀδύνατον, ἀλλὰ δὲν πρέπει ἀπὸ ἐκεῖνα ποὺ φοβοῦνται οἱ ἄξιοι διὰ γέλια ἄνθρωποι, ἀπὸ αὐτὰ νὰ φοβούμεθα ἐμεῖς περισσότερον. Διότι τί λέγουν; Εἶναι φοβερός, εἶναι πονηρός, περιβάλλεται ἀπὸ ὄγκον χρημάτων καὶ ἰσχυρὰν ἐξουσίαν. Διὰ τοῦτο πρὸ πάντων τὸν θεωρῶ ἄξιον διὰ γέλια.

σια αὐτοῦ καταγελῶ. Ταῦτα γὰρ εἴδη ἀσθενείας ἐστίν. Ἀλλ' οἶδεν ἐπιβουλεύειν, φησί. Πάλιν ἕτερον εἶδός μοι λέγεις ἀσθενείας. Τί οὖν ὅτι πολλοὶ περιγίνονται τοιοῦτοι ὄντες; Ἐπειδὴ σὺ καλῶς πυκτεύειν οὐκ οἶδας· ἐπειδὴ καὶ σὺ ὑπὲρ τῶν αὐτῶν παγκρατιάζεις, ἀφ' ὧν ἐκεῖνοι γίνονται ἀσθενέστεροι, περὶ δόξης καὶ δυναστείας.

Φεῦγε τοῦ ἀγῶνος τὴν ὑπόθεσιν, καὶ ἑτέρωθεν βάλλε τοὺς ἐπιόντας, ἐπιεικείᾳ τὸν ἀλαζόνα, πενίᾳ τὸν πλεονέκτην, ἐγκρατείᾳ τὸν ἀκόλαστον, φιλοφροσύνῃ τὸν φθονερόν, καὶ οὕτως αὐτῶν περιέσῃ ῥᾳδίως. Ἀλλ', ὅπερ ἔφθην εἰπών, διηγησάμενος τὴν ἀσθένειαν τῶν ἀντιδίκων, ὅρα πῶς καὶ τοῦ δικαίου λέγει τὴν πανοπλίαν. Ἐπάγει γάρ· «Ὁ δὲ δίκαιος τί ἐποίησε;». Τουτέστιν, ἐκείνων οὕτω παρατατομένων, ζητεῖς πόθεν ὡπλίσατο ὁ δίκαιος; Ἄκουε· «Κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ· Κύριος ἐν οὐρανῷ ὁ θρόνος αὐτοῦ». Εἶδες πῶς συντόμως τὴν συμμαχίαν αὐτοῦ διηγήσατο; Τί ἐποίησεν ἐρωτᾷς; Ἐπὶ τὸν Θεὸν κατέφυγε τὸν ἐν τῷ οὐρανῷ, τὸν πανταχοῦ παρόντα. Οὐ τόξα ἔτεινεν, οὐδὲ φαρέτραν ἡτοίμαζε, καθάπερ ἐκεῖνος, οὐδὲ ἐν σκοτομήνῃ παρετάξατο, ἀλλά, πάντα ταῦτα ἀφείς, τὴν εἰς τὸν Θεὸν ἐλπίδα πᾶσιν ἐπετείχισε, καὶ τοῦτον αὐτοῖς ἀντέστησε τὸν οὐδενὸς τούτων δεόμενον, οὐ καιρῶν, οὐ τόπων, οὐχ ὅπλων, οὐ χρημάτων, ἀλλὰ νεύματι πάντα ἀνύοντα. Εἶδες συμμαχίαν ἄμαχόν τε καὶ εὔκολον, καὶ ῥᾳδίαν;

«Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἐπιβλέπουσι, τὰ βλέφαρα αὐτοῦ ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων. Κύριος ἐξετάζει τὸν δίκαιον καὶ τὸν ἀσεβῆ, ὁ δὲ ἀγαπῶν τὴν ἀδικίαν, μισεῖ τὴν ἑαυτοῦ ψυχήν». Ἄλλος, «Τὰ βλέφαρα αὐτοῦ δοκιμάζει». Ἄλλος, «Κύριος δίκαιος ἐξεταστής». Ἄλλος, «Δί-

Διότι αὐτὰ εἶναι δείγματα ἀδυναμίας. Ἀλλά, λέγει, γνωρίζει νὰ ἐπιβουλεύεται τοὺς ἄλλους. Πάλιν μοῦ ἀναφέρεις ἄλλο εἶδος ἀδυναμίας. Διατί λοιπὸν οἱ περισσότεροι ὑπερισχύουν τὴν στιγμὴν ποὺ εἶναι τέτοιοι; Ἐπειδὴ αὐ δὲν γνωρίζεις νὰ μάχεσαι καλῶς· ἐπειδὴ καὶ σὺ ἀγωνίζεσαι διὰ τὰ ἴδια πράγματα, μὲ τὰ ὁποῖα ἐκεῖνοι γίνονται ἀσθενέστεροι, διὰ τὴν δόξαν δηλαδὴ καὶ τὴν ἐξουσίαν.

Ἀπόφευγε τὴν ἀφορμὴν τοῦ ἀγῶνος καὶ μὲ ἄλλα μέσα πολέμησε ἐκείνους ποὺ βαδίζουν ἐναντίον σου, μὲ τὴν ἐπιείκειαν τὸν ἀλαζόνα, μὲ τὴν πτωχείαν τὸν πλεονέκτην, μὲ τὴν ἐγκράτειαν τὸν ἀκόλαστον, μὲ τὴν φιλοφροσύνην τὸν φθονερὸν καὶ ἔτσι θὰ ὑπερισχύσῃς αὐτῶν εὐκόλως. Ἀλλά, ὅπως προανέφερα, ἀφοῦ ἀνέφερε τὴν ἀσθένειαν τῶν ἀντιδίκων, πρόσεχε πῶς ὁμιλεῖ καὶ διὰ τὴν πανοπλίαν τοῦ δικαίου. Διότι προσθέτει· «Ὁ δὲ δίκαιος τί ἐπέτυχε;». Δηλαδή, ἐνῷ οἱ ἄδικοι ἔτσι παρατάσσονται, ζητεῖς νὰ μάθῃς ἀπὸ ποῦ ὡπλίσθη ὁ δίκαιος; Ἄκουε· «Ὁ Κύριος κατοικεῖ εἰς τὸν ἅγιον ναόν του· ὁ Κύριος ἔχει τὸν θρόνον του εἰς τὸν οὐρανόν». Εἶδες πῶς περιέγραψε ἐν συντομίᾳ τὴν συμμαχίαν τοῦ δικαίου; Ἐρωτᾷς τί κατώρθωσε; Κατέφυγε εἰς τὸν Θεὸν ποὺ κατοικεῖ εἰς τὸν οὐρανόν, ποὺ εἶναι πανταχοῦ παρών. Δὲν ἐτέντωσε τόξα, οὔτε παρετάχθη μέσα εἰς τὸ σκότος, ἀλλά, παραλείψας ὅλα αὐτά, ἀντέταξεν εἰς ὅλους τὴν εἰς τὸν Θεὸν ἐλπίδα, καὶ αὐτὸν παρέταξεν ἀπέναντι αὐτῶν, ποὺ δὲν ἔχει τίποτε ἀπὸ αὐτὰ ἀνάγκην, οὔτε καιροὺς καταλλήλους, οὔτε τόπους, οὔτε ὅπλα, οὔτε χρήματα, ἀλλὰ ὅλα τὰ κατορθώνει μὲ τὸ νεῦμα του μόνον. Εἶδες συμμαχίαν ἀκαταμάχητον καὶ εὔκολον καὶ ὠφέλιμον;

«Οἱ ὀφθαλμοί του εἶναι ἐστραμμένοι πρὸς τὸν πτωχόν, τὰ βλέφαρά του ἐξετάζουν τοὺς υἱοὺς τῶν ἀνθρώπων. Ὁ Κύριος ἐξετάζει τὸν δίκαιον καὶ τὸν εὐσεβῆ, ἐνῷ ἐκεῖνος ποὺ ἀγαπᾷ τὴν ἀδικίαν, μισεῖ τὴν ψυχήν του». Ἄλλος λέγει· «Τὰ βλέφαρά του ἐρευνοῦν». Ἄλλος «Ὁ

καιον δοκιμάζει καὶ ἀσεβῆ, καὶ ἀγαπῶντα ἄδικα ἐμίσησεν ἡ ψυχὴ αὐτοῦ». Ἄλλος, «Ὁ ἀγαπῶν ἀδικίαν, μισεῖ τὴν ἑαυτοῦ ψυχήν». Εἶδες σύμμαχον παρεσκευασμένον, βοηθὸν εὐτρεπισμένον, πανταχοῦ παρόντα, πάντα ὁρῶντα, πάντα βλέποντα, τοῦτο ἔργον ἔχοντα μάλιστα, κἂν μηδεὶς ὁ παρακαλῶν ᾖ, προνοεῖν, κήδεσθαι, κωλύειν ἀδικοῦντας, βοηθεῖν ἀδικουμένοις, τοῖς μὲν ἀποδιδόναι τὰς ἀμοιβὰς τῶν κατορθωμάτων, τοῖς δὲ τιθέναι τὰς τιμωρίας τῶν ἁμαρτημάτων; Οὐδὲν οὖν ἀγνοεῖ· οἱ γὰρ ὀφθαλμοὶ αὐτοῦ ἐπιβλέπουσι τὴν οἰκουμένην. Οὐκ ἐπίσταται δὲ μόνον, ἀλλὰ καὶ βούλεται αὐτὰ διορθοῦν. Διὸ καὶ ἕτερος τοῦτο αὐτὸ δηλῶν εἶπε, «Δίκαιος». Εἰ γὰρ δίκαιος, οὐκ ἀνέξεται ταῦτα ἁπλῶς περιορᾶν γινόμενα. Ἀποστρέφεται τοὺς πονηρούς, ἐπαινεῖ τοὺς δικαίους.

Εἶτα ὅπερ ἐν τῷ προτέρῳ ψαλμῷ ἔλεγε, δεικνὺς ὅτι καὶ αὐτὴ ἡ κακία ἱκανὴ αὐτοὺς ἀναλῶσαι, τοῦτο καὶ ἐνταῦθα δηλῶν ἐπήγαγεν· «Ὁ δὲ ἀγαπῶν τὴν ἀδικίαν, μισεῖ τὴν ἑαυτοῦ ψυχήν». Πολέμιον γὰρ τῇ ψυχῇ πονηρία, ἐχθρὸν καὶ ὀλέθριον· ὥστε καὶ πρὸ τῆς κολάσεως δίκην δίδωσιν ὁ πονηρός. Εἶδες πῶς εὐαλώτους πάντοθεν δείκνυσι τοὺς ἐναντιουμένους, ὅταν καὶ τοιοῦτον ἔχῃ σύμμαχον, καὶ ἐκεῖνοι ὑπὸ τῶν οἰκείων ὅπλων ἁλίσκωνται, δι' ὧν φράττονται, διὰ τούτων δαπανώμενοι, καὶ ἑαυτοὺς βλάπτοντες; εἶδες τῆς συμμαχίας τὴν εὐκολίαν; Οὐ γὰρ δεῖ βαδίσαι που καὶ δραμεῖν, οὐδὲ χρήματα ἀναλῶσαι, τοῦ Θεοῦ πανταχοῦ παρόντος καὶ πάντα ὁρῶντος. «Ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδας, πῦρ, καὶ θεῖ-

Κύριος εἶναι δίκαιος ἐξεταστής». Ἄλλος, «ἐξετάζει τὸν δίκαιον καὶ τὸν ἀσεβῆ καὶ ἐκεῖνον ποὺ ἀγαπᾷ τὴν ἀδικίαν, τὸν ἐμίσησεν ἡ ψυχή του». Ἄλλος, «Ἐκεῖνος ποὺ ἀγαπᾷ τὴν ἀδικίαν μισεῖ τὴν ψυχήν του». Εἶδες σύμμαχον πανέτοιμον, βοηθὸν ἐξωπλισμένον, πανταχοῦ παρόντα, ποὺ ὅλα τὰ βλέπει, ὅλα τὰ παρακολουθεῖ, ποὺ αὐτὸ εἶναι πρὸ πάντων τὸ ἔργον του, καὶ ἂν ἀκόμη κανεὶς δὲν τὸν παρακαλῇ, νὰ προνοῇ δι᾽ αὐτόν, νὰ φροντίζῃ, νὰ ἐμποδίζῃ αὐτοὺς ποὺ τὸν ἀδικοῦν, νὰ βοηθῇ τοὺς ἀδικουμένους, εἰς ἄλλους μὲν νὰ ἀποδίδῃ τὰς ἀμοιβὰς τῶν κατορθωμάτων, εἰς ἄλλους δὲ νὰ ἐπιφέρῃ τὰς τιμωρίας τῶν ἁμαρτημάτων των; Τίποτε λοιπὸν δὲν ἀγνοεῖ, διότι οἱ ὀφθαλμοί του ἐποπτεύουν τὴν οἰκουμένην. Δὲν τὰ γνωρίζει μόνον, ἀλλὰ καὶ θέλει νὰ τὰ διορθώνῃ. Διὰ τοῦτο καὶ ἄλλος διὰ νὰ δηλώσῃ αὐτὸ ἀκριβῶς, εἶπεν ὅτι ὁ Θεὸς εἶναι «Δίκαιος». Ἐὰν λοιπὸν εἶναι δίκαιος, δὲν θὰ ἀνεχθῇ νὰ συμβαίνουν αὐτὰ καὶ ἁπλῶς νὰ τὰ παραβλέπῃ. Ἀποστρέφεται τοὺς πονηρούς, ἐπαινεῖ τοὺς δικαίους.

Ἔπειτα ἐκεῖνο ποὺ ἔλεγεν εἰς τὸν προηγούμενον ψαλμόν, διὰ νὰ δείξῃ ὅτι καὶ ἡ ἰδία ἡ κακία εἶναι ἱκανὴ νὰ τοὺς καταστρέψῃ, διὰ νὰ δηλώσῃ αὐτὸ καὶ ἐδῶ, ἐπρόσθεσεν· «Ἐκεῖνος ποὺ ἀγαπᾷ τὴν ἀδικίαν, μισεῖ τὴν ψυχήν του». Διότι ἡ πονηρία εἶναι πολέμιος τῆς ψυχῆς, ἐχθρὸς καὶ καταστροφὴ αὐτῆς· ὥστε καὶ πρὶν ἀπὸ τὴν κόλεσιν τιμωρεῖται ὁ πονηρός. Εἶδες πῶς δείχνει ὅτι εἶναι ἀπὸ παντοῦ εὐκολοπρόσβλητοι οἱ ἐνάντιοι, ὅταν ὁ δίκαιος καὶ τέτοιον ἔχῃ σύμμαχον καὶ ἐκεῖνοι ἐξολοθρεύονται ἀπὸ τὰ ἰδικά των τὰ ὅπλα, μὲ ἐκεῖνα ποὺ ὀχυρώνονται, μὲ ἐκεῖνα τὰ ἴδια καταστρέφονται καὶ βλάπτουν τοὺς ἑαυτούς των; εἶδες τὴν εὐκολίαν τῆς συμμαχίας; Διότι δὲν χρειάζεται νὰ βαδίσῃ καὶ νὰ ὑπάγῃ κάπου, οὔτε νὰ ἐξοδεύσῃ χρήματα, καθ᾽ ὅσον ὁ Θεὸς εἶπαι πανταχοῦ παρὼν καὶ ὅλα τὰ βλέπει. «Θὰ ἀποστείλῃ ἀπὸ τὸν οὐρανὸν ἐναντίον τῶν ἁμαρτωλῶν παγίδας, φωτιὰ καὶ θειάφι καὶ ἄνεμος

ον, καὶ πνεῦμα καταιγίδος ἡ μερὶς τοῦ ποτηρίου αὐτῶν. Ὅτι δίκαιος Κύριος, καὶ δικαιοσύνας ἠγάπησεν, εὐθύτητας εἶδε τὸ πρόσωπον αὐτοῦ». Ἄλλος, «Ὕσει ἐπὶ παρανόμους ἄνθρακας». Ἄλλος, «Εὐθύτητας ὄψεται τὸ πρόσωπον αὐτῶν», τουτέστι, τῶν δικαίων, ἢ αὐτοῦ τοῦ Θεοῦ. Εἰπὼν τὴν ἀπὸ τῆς κακίας δίκην, ἐπειδὴ ταύτης πολλοὶ καταφρονοῦσι, λοιπὸν κατασείει τὴν τῶν πονηρῶν διάνοιαν ἀπὸ τῆς ἄνωθεν φερομένης πληγῆς, ἐμφατικῶς τῷ λόγῳ χρώμενος, καὶ διὰ φοβερῶν ὀνομάτων προϊών. Πῦρ γάρ, καὶ θεῖον, καὶ πνεῦμα καταιγίδος, καὶ ἄνθρακας αὐτοῖς ἄνωθεν λέγει ὕεσθαι, τῇ μεταφορᾷ τῶν λέξεων τὸ ἄφυκτον τῆς τιμωρίας, τὸ δαψιλὲς τῆς κολάσεως, τὸ εὔκολον τῆς πληγῆς, τὸ δαπανητικὸν παραστῆσαι βουλόμενος.

3. Τί ἐστιν, «Ἡ μερὶς τοῦ ποτηρίου αὐτῶν»; Τοῦτο αὐτοῖς κλῆρος, φησί, τοῦτο κτῆμα, τούτῳ ἐνδιατρίψουσιν, ἐν τούτοις δαπανηθήσονται. Εἶτα καὶ ἡ αἰτία· ὅτι ὁ πάντα ἐφορῶν οὐκ ἀνέξεται ταῦτα ἀτιμωρητὶ παραδραμεῖν. Ὅπερ καὶ ἕτερος προφήτης φησί· «Καθαρὸς ὁ ὀφθαλμός σου, τοῦ μὴ ὁρᾶν πονηρά, καὶ ἐπιβλέπειν ἐπὶ πόνους οὐ δυνήσῃ»· τοῦτο καὶ οὗτος παρίστησι λέγων· «Ὅτι δίκαιος Κύριος καὶ δικαιοσύνας ἠγάπησε». Τοῦτο τοῦ Θεοῦ μάλιστα ἐξαίρετον, ἀποδέξασθαι τὰ δίκαια, τὴν ὀρθότητα· καὶ οὐκ ἂν ἀνάσχοιτο εἰς τέλος τῶν ἑτέρως γινομένων. Διὰ δὴ τοῦτο ἀρχόμενος τοῦ ψαλμοῦ ἔλεγεν· «Ἐπὶ τῷ Κυρίῳ πέποιθα· πῶς ἐρεῖτε τῇ ψυχῇ μου, μεταναστεύου ἐπὶ τὰ ὄρη ὡς στρουθίον;». Οἱ

---

2. Ἀββακ. 1, 13.

ὀλέθριος, θὰ εἶναι τὸ μερίδιον ποὺ θὰ γεμίσῃ τὸ ποτήρι των. Διότι ὁ Κύριος εἶναι δίκαιος καὶ ἀγαπᾷ τὴν δικαιοσύνην καὶ ἔχει τὸ πρόσωπόν του ἐστραμμένον πρὸς τοὺς εὐθεῖς καὶ δικαίους». Ἄλλος λέγει, «Θὰ ρίψῃ ὡς βροχὴν ἐναντίον τῶν παρανόμων κάρβουνα ἀναμμένα». Ἄλλος, «Μὲ ἀγαθότητα καὶ δικαιοσύνην θὰ ρίψῃ τὸ βλέμμα του πρὸς αὐτούς», δηλαδὴ τοὺς δικαίους ἢ αὐτοῦ τοῦ Θεοῦ. Ἀφοῦ ὡμίλησε διὰ τὴν τιμωρίαν ποὺ προέρχεται ἀπὸ τὴν κακίαν, ἐπειδὴ αὐτὴν πολλοὶ τὴν περιφρονοῦν, εἰς τὴν συνέχειαν καταθορυβεῖ τὴν διάνοιαν τῶν πονηρῶν μὲ τὸ πλῆγμα πού ἔρχεται ἀπὸ τὸν οὐρανόν, χρησιμοποιῶν ἔμφασιν εἰς τὰ λόγια του καὶ ἀναφέρων φοβερὰ ὀνόματα. Διότι λέγει φωτιὰ καὶ θειάφι καὶ ἄνεμον ὀλέθριον καὶ κάρβουνα ἀναμμένα θὰ ρίψῃ ἐναντίον των ὡς βροχήν, θέλων νὰ παραστήσῃ μὲ τὴν μεταφορικὴν σημασίαν τῶν λέξεων τὸ ἀναπόφευκτον τῆς τιμωρίας, τὸ μέγεθος τῆς τιμωρίας, τὴν εὐκολίαν τοῦ πλήγματος καὶ τὴν καταστροφήν.

3. Τί σημαίνει, «Ἡ μερὶς τοῦ ποτηρίου αὐτῶν»; Αὐτό, λέγει, εἶναι ὁ κλῆρος των, αὐτὸ εἶναι τὸ κτῆμα των, μέσα εἰς αὐτὸ θὰ ζήσουν, μὲ αὐτὰ θὰ ἐξολοθρευθοῦν. Ἔπειτα ἀναφέρεται καὶ ἡ αἰτία, διότι ἐκεῖνος ποὺ ὅλα τὰ ἐποπτεύει δὲν θὰ ἀνεχθῇ νὰ φύγουν αὐτὰ ἀτιμώρητα. Πρᾶγμα πού καὶ ἄλλος προφήτης λέγει· «Εἶναι καθαρὸς ὁ ὀφθαλμός σου, Κύριε, καὶ δὲν ἀνέχεται νὰ βλέπῃ πονηρὰ ἔργα καὶ δέν θὰ ἠμπορέσῃ νά βλέπῃ πόνους ἀνθρώπων»[2]· αὐτὸ καὶ αὐτὸς παριστάνει μὲ τὰ λόγια, «Διότι ὁ Κύριος εἶναι δίκαιος καὶ ἀγαπᾷ τὴν δικαιοσύνην». Αὐτὸ πρὸ πάντων εἶναι τὸ ἰδιαίτερον γνώρισμα τοῦ Θεοῦ, τὸ ν' ἀποδέχεται τὰ δίκαια καὶ τὴν ὀρθότητα καὶ δὲν θὰ ἦτο δυνατὸν νὰ ἀνεχθῇ μέχρι τέλους τὰ ὅσα συμβαίνουν ἀντίθετα. Διὰ τοῦτο λοιπὸν εἰς τὴν ἀρχὴν τοῦ ψαλμοῦ ἔλεγεν· «Εἰς τὸν Κύριον ἐστήριξα τὰς ἐλπίδας μου· πῶς θὰ εἰπῆτε εἰς τὴν ψυχήν μου, φεῦγε ὡς μετανάστης καὶ πέτα ὡσὰν σπουργίτης εἰς τὰ ὄρη;». Διότι ἐκεῖνοι μὲν ποὺ στηρίζουν τὰς

μὲν γὰρ ἐν τοῖς βιωτικοῖς πεποιθότες, οὐδὲν ἄμεινον τοῦ στρουθίου διάκειται, ὃ τῇ ἐρημίᾳ θαρροῦν, εὐχείρωτον ἅπασι γίνεται. Τοιοῦτος ὁ ἐπὶ χρήμασιν ἐλπίζων. Καθάπερ ὁ στρουθὸς καὶ ὑπὸ παιδίων ἁλίσκεται, καὶ ἰξοῦ καὶ παγίδος καὶ μυρίοις ἑτέροις, οὕτω καὶ ὁ πλουτῶν, καὶ ὑπὸ οἰκείων, καὶ ὑπὸ πολεμίων· καὶ ἐκείνου μᾶλλον ἐπισφαλέστερον ζῇ, πολλοὺς ἔχων τοὺς ἰξεύοντας, καὶ πρὸ ἐκείνων, πονηρὰς ἐπιθυμίας· καὶ μετανάστης ἐστίν, ἀεὶ μετὰ τῶν καιρῶν ἱστάμενος, καὶ δημίων ὀργὰς δεδοικώς, καὶ βασιλέως θυμόν, καὶ κολάκων ἐπιβουλάς, καὶ φίλων δόλους· καὶ πολεμίων ἐπιστάντων, μᾶλλον πάντων τρέμει, καὶ εἰρήνης οὔσης, ὑφορᾶται τοὺς ἐπιβούλους· οὐ γὰρ ἔχει πλοῦτον μόνιμον καὶ ἀναφαίρετον. Διὰ τοῦτο ἀεὶ πέτεται καὶ μετανίσταται, τὰς ἐρήμους διώκων καὶ τὰ ὄρη, ἐν σκοτομήνῃ διάγων, καὶ παχὺ σκότος ἐν μεσημβρίᾳ μέσῃ ἔχων, καὶ δόλους ῥάπτων.

Ἀλλ' οὐχ ὁ δίκαιος τοιοῦτος. Αἱ γὰρ τῶν δικαίων ὁδοὶ ὁμοίως φωτὶ λάμπουσιν. Οὔτε γὰρ ἐπιβουλεύειν αἱροῦνται, οὔτε ἀδικεῖν, ἀλλ' ἀνειμένην ψυχὴν ἔχουσιν. Οὗτοι δὲ ἀεὶ δόλους ῥάπτοντες, ἀεὶ ἐν σκότῳ καὶ φόβῳ εἰσί, καθάπερ οἱ λῃσταί, καὶ οἱ τοιχωρύχοι, καὶ οἱ μοιχοί, καὶ ἐν ἡμέρᾳ σκότος ὁρῶσι, τῆς ψυχῆς αὐτῶν ὑπὸ δέους βαλλομένης. Πῶς οὖν ἂν διασκεδασθείη τὸ σκότος τοῦτο; Εἰ πάντων τούτων ἑαυτὸν ἀποστήσας, ἐκκρεμασθείης τῆς ἐλπίδος τοῦ Θεοῦ, κἂν μυριάκις ἁμαρτωλὸς ᾖς. «Ἐμβλέψατε» γάρ, φησίν, «εἰς ἀρ-

3. Παρ. 4, 18.

ἐλπίδας των εἰς τὰ βιωτικὰ πράγματα, δὲν εἶναι καθόλου εἰς καλυτέραν κατάστασιν ἀπὸ τὸν σπουργίτην, ὁ ὁποῖος ἐλπίζων νὰ εὕρῃ τὴν ἀσφάλειάν του εἰς τὴν ἐρημίαν, συλλαμβάνεται εὔκολα ἀπὸ ὅλους. Τέτοιος εἶναι ἐκεῖνος ποὺ στηρίζει τὰς ἐλπίδας του εἰς τὰ χρήματα. Ὅπως ἀκριβῶς ὁ σπουργίτης συλλαμβάνεται καὶ ἀπὸ τὰ παιδιὰ μὲ ἰξόβεργες καὶ παγίδας καὶ μὲ ἀπείρους ἄλλους τρόπους, ἔτσι καὶ ὁ πλούσιος, ἐπιβουλεύεται καὶ ἀπὸ τοὺς φίλους του καὶ ἀπὸ τοὺς ἐχθρούς του, καὶ ζῇ μὲ μεγαλυτέραν ἀνασφάλειαν ἀπὸ τὸν σπουργίτην, ἔχων πολλοὺς ποὺ τοῦ στήνουν παγίδας, καὶ πρὶν ἀπὸ ἐκείνους ἔχει τὰς πονηρὰς ἐπιθυμίας· καὶ εἶναι μετανάστης, ἐξαρτῶν τὴν ζωήν του ἀπὸ τοὺς ἑκάστοτε καιρούς, καὶ φοβεῖται τὴν ὀργὴν τῶν δημίων καὶ τὸν θυμὸν τοῦ βασιλέως καὶ τὰς ἐπιβουλὰς τῶν κολάκων καὶ τοὺς δόλους τῶν φίλων· καὶ ὅταν ἐμφανισθοῦν ἐχθροί του, τρέμει περισσότερον ἀπὸ ὅλους, ὅταν δὲ ἐπικρατῇ εἰρήνη, ὑποπτεύεται τοὺς ἐπιβούλους· διότι δὲν ἔχει πλοῦτον μόνιμον καὶ ποὺ νὰ μὴ εἶναι δυνατὸν νὰ τοῦ ἀφαιρεθῇ. Διὰ τοῦτο πάντοτε φεύγει καὶ ἀλλάζει τόπους, ζητῶν τὰς ἐρήμους καὶ τὰ ὄρη, ζῶν μέσα εἰς τὸ σκοτάδι, καὶ ἐν ὥρᾳ μεσημβρίας περιβάλλεται ἀπὸ πυκνὸ σκοτάδι καὶ σκέπτεται δολιότητας.

Δὲν εἶναι ὅμως τέτοιος ὁ δίκαιος. «Διότι οἱ δρόμοι τῶν δικαίων λάμπουν ὅμοια μὲ τὸ φῶς»[3]. Καθ' ὅσον οὔτε θέλουν νὰ ἐπιβουλεύωνται τοὺς ἄλλους, οὔτε νὰ τοὺς ἀδικοῦν, ἀλλὰ ἔχουν ψυχὴν ἀπηλλαγμένην ἀπὸ ὅλα αὐτά. Ἐνῷ οἱ πλούσιοι πάντοτε μηχανεύονται δολιότητας, ζοῦν πάντοτε μέσα εἰς τὸ σκοτάδι καὶ τὸν φόβον, ὅπως ἀκριβῶς οἱ λησταί, οἱ διαρρῆκται καὶ οἱ μοιχοί, καὶ ἀκόμη καὶ τὴν ἡμέραν βλέπουν σκοτάδι, διότι ἡ ψυχή των εἶναι κυριευμένη ἀπὸ τὸν φόβον. Πῶς λοιπὸν θὰ ἠμποροῦσε νὰ διαλυθῇ αὐτὸ τὸ σκοτάδι; Ἐὰν ἀπομακρύνῃς τὸν ἑαυτόν σου ἀπὸ ὅλα αὐτὰ καὶ στηρίξῃς τὰς ἐλπίδας σου εἰς τὸν Θεόν, καὶ ἂν ἀκόμη εἶναι μύρια τὰ ἁμαρτήματά σου. Διότι

χαίας γενεάς, καὶ ἴδετε, τίς ἤλπισεν ἐπὶ Κύριον, καὶ κατῃσχύνθη;». Οὐκ εἶπε, 'δίκαιος', ἀλλά, «Τίς;». Κἂν ἁμαρτωλός, φησί. Τὸ γὰρ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι καὶ ἁμαρτωλοὶ ταύτης ἐχόμενοι τῆς ἀγκύρας, πᾶσίν εἰσιν ἀχείρωτοι. Τοῦτο γὰρ μάλιστα διαθέσεως τῆς πρὸς τὸν Θεόν, ὅταν τοσούτοις κακοῖς βεβαρημένος θαρρήσῃς αὐτοῦ τῇ φιλανθρωπίᾳ. Ὥσπερ γὰρ ἐπικατάρατος ὁ ἐλπίζων ἐπὶ ἄνθρωπον, οὕτω μακάριος ὁ ἐλπίζων ἐπὶ Θεόν. Πάντων τοίνυν ἀποστήσας σαυτόν, ταύτης ἔχου τῆς ἀγκύρας. Καὶ γὰρ ἐφορᾷ πάντα ὁ Θεός, καὶ κρίνει τὰ δίκαια, καὶ οὐ κρίνει μόνον, ἀλλὰ καὶ εἰς ἔργον ἐξάγει. Διὰ τοῦτο εἰπὼν αὐτοῦ περὶ τῆς δικαιοσύνης, ἔδειξε καὶ τὴν τιμωρίαν, διὰ τοῦ πυρός, διὰ τῆς καταιγίδος· καὶ τοῦτο δὲ ποιεῖ, κηδόμενος ἐκείνων, καὶ διὰ τῆς κολάσεως σωφρονεστέρους ποιῶν. Πάντων οὖν ἕνεκεν προσίωμεν αὐτῷ, καὶ διηνεκῶς μένωμεν πρὸς αὐτὸν ὁρῶντες. Οὕτω γὰρ καὶ πάντων ἐπιτευξόμεθα τῶν ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

4. Σοφ. Σειρ. 2, 10.

λέγει «Προσέξατε τὰς ἀρχαίας γενεὰς καὶ ἴδετε, ποῖος ἤλπισεν εἰς τὸν Κύριον καὶ κατεντροπιάσθη;»[4]. Δέν εἶπε, 'δίκαιος', ἀλλά, «ποῖος;». Καὶ ἄν ἀκόμη, λέγει, εἶναι ἁμαρτωλός. Διότι τὸ ἀξιοθαύμαστον αὐτὸ εἶναι, ὅτι δηλαδὴ καὶ οἱ ἁμαρτωλοί, ὅταν στηρίξουν τὰς ἐλπίδας των εἰς αὐτὴν τὴν ἄγκυραν, γίνονται ἀκατανίκητοι ἀπὸ ὅλους. Καθ' ὅσον αὐτὸ πρὸ πάντων εἶναι γνώρισμα τῆς διαθέσεως πρὸς τὸν Θεόν, ὅταν στηρίξῃς τὴν ἐλπίδα σου εἰς τὴν φιλανθρωπίαν τοῦ Θεοῦ καὶ ἄν ἀκόμη βαρύνεσαι μὲ πάρα πολλὰ κακά. Διότι, ὅπως ἀκριβῶς εἶναι ἐπικατάρατος ἐκεῖνος ποὺ στηρίζει τὰς ἐλπίδας του εἰς τὸν ἄνθρωπον, ἔτσι μακάριος εἶναι ἐκεῖνος ποὺ στηρίζει τὴν ἐλπίδα του εἰς τὸν Θεόν. Ἀφοῦ λοιπὸν ἀπομακρύνῃς τὸν ἑαυτόν σου ἀπὸ ὅλα, στηρίξου εἰς αὐτὴν τὴν ἄγκυραν τῆς ἐλπίδος. Καθ' ὅσον ὁ Θεὸς ὅλα τὰ βλέπει καὶ κρίνει τὰ δίκαια καὶ ὄχι μόνον κρίνει, ἀλλὰ προχωρεῖ καὶ εἰς ἔργον. Διὰ τοῦτο, ἀφοῦ ὡμίλησε περὶ τῆς δικαιοσύνης του, ἔδειξε καὶ τὴν τιμωρίαν, διὰ τοῦ πυρός, διὰ τῆς καταιγίδος· καὶ αὐτὸ τὸ κάμνει ἐπειδὴ ἐνδιαφέρεται δι' ἐκείνους, καὶ μὲ τὴν τιμωρίαν τοὺς κάμνει σωφρονεστέρους. Δι' ὅλα λοιπὸν αὐτὰ ἄς μεταβαίνωμεν πρὸς αὐτὸν καὶ συνεχῶς ἄς μένωμεν προσηλωμένοι εἰς αὐτόν. Διότι ἔτσι θὰ ἐπιτύχωμεν καὶ ὅλα τὰ ἀγαθὰ διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ
ΕΙΣ ΤΟΝ ΙΑ΄ ΨΑΛΜΟΝ

«Εἰς τὸ τέλος ὑπὲρ τῆς ὀγδόης». Ἄλλος, «Τῷ νικοποιῷ ὑπὲρ τῆς ὀγδόης». Ὁ δὲ Ἑβραῖος, «Ἀσεμινίθ», φησί.

«Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος, ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων». Ἄλλος, «Ὅτι ἐπεράνθησαν πιστοὶ ἀπὸ υἱῶν ἀνθρώπων».

1. Δύσκολον μὲν ἀρετὴ καὶ δυσκατόρθωτον καὶ καθ᾽ ἑαυτό, μάλιστα δέ, ὅταν ἐν σπάνει τῶν ἀγαθῶν ἀνδρῶν ὁ ἐργαζόμενος ᾖ. Καθάπερ γὰρ φέρει μὲν ὁδοιπορία πόνον, πολλῷ δὲ πλέον ὅταν μόνος ὁ ὁδοιπόρος ᾖ, καὶ μηδένα τὸν κοινωνοῦντα τῆς ὁδοιπορίας ἔχῃ, οὕτω δὴ καὶ ἐνταῦθα. Οὐδὲ γὰρ μικρὸν ἀδελφῶν κοινωνία καὶ παράκλησις. Διὸ καὶ Παῦλός φησι· «Κατανοοῦντες ἑαυτοὺς εἰς παροξυσμὸν ἀγάπης καὶ καλῶν ἔργων». Διὰ δὴ τοῦτο μάλιστα τοὺς παλαιοὺς μακαρίζειν ἄξιον, οὐχ ὅτι κατώρθωσαν ἀρετήν, ἀλλ᾽ ὅτι καὶ αὐχμοῦ πολλοῦ τῆς ἀρετῆς ὄντος, καὶ τῶν κατορθούντων οὐδαμοῦ φαινομένων. Τοῦτο γοῦν καὶ ἡ Γραφὴ αἰνιττομένη ἔλεγε· «Νῶε δίκαιος, τέλειος ἐν τῇ γενεᾷ αὐτοῦ». Διὰ τοῦτο τὸν Ἀβραὰμ θαυμάζομεν, διὰ τοῦτο τὸν Λώτ, διὰ τοῦτο τὸν Μωϋσέα, ὅτι καθάπερ ἐν βαθείᾳ νυκτὶ ἀστέρες ἐφαίνονο, καὶ μεταξὺ τῶν ἀκανθῶν ῥόδα, καὶ ἐν ἀγρίοις λύκοις πρόβατα, τὴν ἐναντίαν

---

1. Εἶναι ψαλμὸς τοῦ Δαυίδ καὶ ἐγράφη πιθανὸν ὅταν ἐδιώκετο ὑπὸ τοῦ Σαούλ. Ὁ Δαυίδ ἐπικαλούμενος τὴν προστασίαν καὶ σωτηρίαν του ἐκ μέρους τοῦ Θεοῦ, παραπονεῖται διὰ τὴν κυριαρχίαν τοῦ ψεύδους καὶ τὴν ἔλλειψιν τῆς εὐσεβείας. Ἐνθυμούμενος ὅμως τὸν τελικὸν θρίαμβον τοῦ ἀγαθοῦ παρηγορεῖται καὶ ἀναμένει τὴν ἐπέμβασιν τοῦ Θεοῦ πρὸς προστασίαν τῶν δικαίων.

1α. Δηλαδὴ τῆς Κυριακῆς.

2. Ἑβρ. 10, 24.

3. Γεν. 6, 9.

ΟΜΙΛΙΑ
ΕΙΣ ΤΟΝ ΙΑ΄ ΨΑΛΜΟΝ[1]

Τίτλος· «Εἰς τὸ τέλος ὑπὲρ τῆς ὀγδόης»[1]. Ἄλλος, «Εἰς τὸν νικοποιὸν ὑπὲρ τῆς ὀγδόης». Ὁ δὲ ἑβραϊκὸς τίτλος εἶναι, «Ἀσεμινίθ».

Σῶσε με, Κύριε, διότι δὲν ὑπάρχει ἄνθρωπος ἐνάρετος καὶ ἀφωσιωμένος εἰς ἐσένα, διότι ὀλιγόστευσαν αἱ ἀλήθειαι καὶ περιεφρονήθησαν ἀπὸ τοὺς πολλοὺς τῶν ἀνθρώπων». Ἄλλος ἐξηγεῖ, «Διότι ἐτελείωσαν οἱ πιστοὶ μεταξὺ τῶν ἀνθρώπων».

1. Εἶναι δύσκολον πρᾶγμα ἡ ἀρετὴ καὶ δυσκατόρθωτον καὶ αὐτὸ καθ' ἑαυτό, πρὸ πάντων ὅμως ὅταν αὐτὸς ποὺ τὴν ἀσκεῖ ζῇ μεταξὺ σπανίων ἀγαθῶν ἀνθρώπων. Διότι ὅπως ἀκριβῶς ἡ ὁδοιπορία προξενεῖ μὲν κούρασιν καὶ μάλιστα πολὺ περισσοτέραν ὅταν ὁ ὁδοιπόρος εἶναι μόνος καὶ δὲν ἔχῃ κανένα ποὺ νὰ λαμβάνῃ μέρος εἰς τὴν ὁδοιπορίαν του, ἔτσι λοιπὸν καὶ ἐδῶ. Καθ' ὅσον δὲν εἶναι μικρᾶς σημασίας ἡ συναναστροφὴ καὶ ἡ παρηγορία τῶν ἀδελφῶν. Διὰ τοῦτο καὶ ὁ Παῦλος λέγει· «Ἂς προσέχωμεν ὁ ἕνας τὸν ἄλλον, διὰ νὰ παροτρυνώμεθα πρὸς τὴν ἀγάπην καὶ τὰ καλὰ ἔργα»[2]. Διὰ τοῦτο λοιπὸν κατ' ἐξοχὴν ἀξίζει νὰ μακαρίζωμεν τοὺς παλαιούς, ὄχι διότι κατώρθωσαν τὴν ἀρετήν, ἀλλὰ διότι καὶ ὑπῆρχε μεγάλη ἔλλειψις τῆς ἀρετῆς καὶ πουθενὰ δὲν ἐφαίνοντο ἐνάρετοι ἄνθρωποι. Αὐτὸ λοιπὸν ὑπαινισσομένη καὶ ἡ Γραφὴ ἔλεγεν· «Ὁ Νῶε ὑπῆρξεν ὁ μόνος δίκαιος καὶ τέλειος τῆς γενεᾶς του»[3]. Διὰ τοῦτο θαυμάζομεν τὸν Ἀβραάμ, διὰ τοῦτο τὸν Λώτ, διὰ τοῦτο τὸν Μωυσῆν, διότι ἐφαίνοντο ὡσὰν ἀκριβῶς ἀστέρες μέσα εἰς κατασκότεινον νύκτα καὶ ὡσὰν τριαντάφυλλα ἀνάμεσα εἰς ἀγκάθια καὶ ὡσὰν πρόβατα

πᾶσιν ὁδεύοντες ὁδόν, καὶ μὴ διακοπτόμενοι. Εἰ γὰρ ἐπὶ πλήθους αὐτὸ τοῦτο δυσκολίαν φέρει, καὶ πολλῶν τὴν ἐναντίαν ποιουμένων, ὁ μόνος ἀπεναντίας τοῦ πλήθους βαδίζων πολλὰ ὑπομένει πράγματα, καὶ εἰ ἐν ναυτιλίᾳ δὲ χαλεπόν, τοῦ ῥοθίου τὴν ἐναντίαν φερομένου, πρὸς τὴν ἐναντίαν τὸ πλοῖον ἰθύνειν, πολλῷ μᾶλλον ἐπὶ τῆς ἀρετῆς.

Διὰ δὴ τοῦτο καὶ ὁ δίκαιος οὗτος, ἅτε δὴ μόνος αὐτῆς ἐπειλημμένος, πάντων τὴν ἐναντίαν βαδιζόντων, ἐπὶ τὴν τοῦ Θεοῦ πρόνοιαν καταφεύγει, λέγων· «Σῶσόν με, Κύριε». Οὐδὲν οὖν ἄλλο, ἢ τοῦτο ἐντεῦθεν δηλοῖ· τῆς ἄνωθέν μοι χρεία χειρός, τῆς ῥοπῆς τῆς ἐκ τῶν οὐρανῶν, τῆς συμμαχίας ἐκείνης. Τὴν γὰρ ἐναντίαν πᾶσιν ὁδεύων ὁδόν, πολλῆς δέομαι τῆς προνοίας. Καὶ οὐκ εἶπε, 'σῶσόν με, ὅτι οὐ γέγονεν ὅσιος', ἀλλ' «Ὅτι ἐκλέλοιπεν ὅσιος», δεικνὺς ὅτι καὶ οἱ ὄντες ἀπώλοντο, ἐπειδὴ ἐπεκράτησεν ἡ κακία καὶ περιεγένετο ἡ νόσος. Τοῦτο καὶ Παῦλος φοβεῖται λέγων· «Οὐκ οἴδατε ὅτι μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ;». Καὶ πάλιν· «Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί». Τί ἐστιν, «Ὠλιγώθησαν αἱ ἀλήθειαι»; Πολλαί εἰσιν αἱ ἀλήθειαι. Καθάπερ ἐπὶ τῶν χρωμάτων, καὶ τῶν ἄλλων εἰδῶν, τὰ μέν ἐστιν ἀληθῆ, τὰ δὲ ψευδῆ, καὶ ἔστι πορφύρα ἀληθής, καὶ πορφύρα ψευδής, καὶ ἐπὶ κρόκου, καὶ ἐπὶ τῶν λίθων, καὶ ἐπὶ ἀρωμάτων, καὶ ἐπὶ ἑτέρων τοιούτων, οὕτω δὴ καὶ ἐπὶ τῶν ἀρετῶν. Ἀλήθεια γὰρ τὸ ὄντως ὄν, ψεῦδος δὲ τὸ μὴ ὄν. Ἐπεὶ οὖν ταῦτα

4. Α΄ Κορ. 5, 6
5. Α΄ Κορ. 15, 33.
6. Κρόκος· φυτὸν βολβῶδες, ἀπὸ τὸ ἄνθος τοῦ ὁποίου ἐξάγεται βαφικὴ ὕλη χρώματος κιτρίνου.

ἀνάμεσα εἰς μυρίους λύκους, βαδίζοντες τὸν ἀντίθετον δρόμον ἀπὸ ἐκεῖνον ποὺ ἐβάδιζον ὅλοι οἱ ἄλλοι, καὶ χωρὶς νὰ διακόπτουν τὴν πορείαν των. Ἐὰν λοιπὸν εἰς τὴν περίπτωσιν πλήθους, αὐτὸ τὸ ἴδιο τὸ πλῆθος προξενεῖ δυσκολίαν, καὶ ὅταν πολλοὶ βαδίζουν πρὸς τὴν ἀντίθετον κατεύθυνσιν, ἐκεῖνος ποὺ μόνος βαδίζει τὴν ἀντίθετον κατεύθυνσιν πρὸς τὸ πλῆθος ὑπομένει πολλὰ πράγματα, καὶ ἐὰν εἰς τὴν ναυτιλίαν εἶναι δύσκολον, ὅταν τὸ ρεῦμα εἶναι ἀντίθετον, νὰ κατευθύνῃ κανεὶς τὸ πλοῖον ἐνάντια πρὸς τὸ ρεῦμα, πολὺ περισσότερον αὐτὸ συμβαίνει εἰς τὴν περίπτωσιν τῆς ἀρετῆς.

Διὰ τοῦτο καὶ ὁ δίκαιος αὐτός, ἐπειδὴ λοιπὸν μόνος ἀνέλαβε τὸν ἀγῶνα τῆς ἀρετῆς, ἐνῷ ὅλοι ἐβάδιζον τὸν ἀντίθετον δρόμον, καταφεύγει εἰς τὴν πρόνοιαν τοῦ Θεοῦ, λέγων· «Σῶσε με, Κύριε». Τίποτε ἄλλο λοιπὸν δὲν δείχνει μὲ αὐτό, παρὰ τοῦτο, ὅτι δηλαδὴ χρειάζομαι τὴν ἄνωθεν βοήθειαν, τὴν βοήθειαν τῆς οὐρανίου δυνάμεως καὶ τὴν συμμαχίαν ἐκείνης. Διότι, βαδίζων τὸν ἀντίθετον δρόμον μὲ ὅλους, ἔχω μεγάλην ἀνάγκην τῆς θείας προνοίας. Καὶ δὲν εἶπε, 'σῶσε με, διότι δὲν ὑπῆρξεν ἐνάρετος ἄνθρωπος'' ἀλλὰ «Διότι ἐξηφανίσθη ὁ ἐνάρετος καὶ ἀφωσιωμένος εἰς τὸν Θεόν», διὰ νὰ δείξῃ ὅτι καὶ αὐτοὶ ποὺ ὑπῆρχαν ἐξηφανίσθησαν, ἐπειδὴ ἐπεκράτησεν ἡ κακία καὶ ἐκυριάρχησεν ἡ νόσος. Αὐτὸ φοβεῖται καὶ ὁ Παῦλος, λέγων· «Δὲν γνωρίζετε ὅτι μικρὴ ποσότης ζύμης ζυμώνει ὅλο τὸ φύραμα;»[4]. Καὶ πάλιν· «Διαφθείρουν τὰ καλὰ τὰ ἤθη αἱ κακαὶ συναναστροφαί»[5]. Τί σημαίνει, «Ὠλιγώθησαν αἱ ἀλήθειαι»; Ὑπάρχουν πολλὰ εἴδη ἀληθείας. Ὅπως ἀκριβῶς εἰς τὴν περίπτωσιν τῶν χρωμάτων καὶ τῶν ἄλλων εἰδῶν, ἄλλα μὲν εἶναι ἀληθινὰ καὶ ἄλλα ψεύτικα, καθὼς ἐπίσης καὶ εἰς τὴν περίπτωσιν τοῦ κρόκου[6] καὶ τῶν πολυτίμων λίθων καὶ τῶν χρωμάτων καὶ πολλῶν ἄλλων παρομοίων, ἔτσι λοιπὸν συμβαίνει καὶ μὲ τὰς ἀρετάς. Διότι ἀλήθεια εἶναι ἐκεῖνο ποὺ πραγματικὰ ὑπάρχει, ἐνῷ ψεῦδος εἶναι

διέστραπτο καὶ ἠμαύρωτο, οὐ τὴν ὑπόστασιν ἀπολέσαντα ἐξ αὐτῶν, ἀλλ' ὑπὸ τῶν ἀνθρώπων φυγαδευθέντα, διὰ τοῦτο οὐκ εἶπε μόνον, ὅτι «Ὠλιγώθησαν αἱ ἀλήθειαι», ἀλλ', «Ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων», προσέθηκε, τοῦτο αὐτὸ δηλῶσαι βουλόμενος. Σκόπει δέ. Ἔστι κόσμος ἀληθής, ἔστι καὶ ψευδής. Τίς οὖν ὁ ἀληθὴς κόσμος; Ὁ περὶ ψυχήν. Τίς δὲ ψευδής; Ὁ περὶ σῶμα. Ἔστι πλοῦτος ἀληθής, ἔστι καὶ ψευδής. Ψευδὴς ὁ τῶν χρημάτων, ἀληθὴς ὁ τῶν κατορθωμάτων. Ἔστιν εὐφροσύνη, ἡ μὲν ψευδής, ἡ δὲ ἀληθής, καὶ κάλλη, καὶ δυναστεῖαι, καὶ δόξαι. Ἀλλ' οἱ πλείους τῶν ἀνθρώπων, τὴν ἀλήθειαν τούτων ἀφέντες, τὰ ψευδῆ διώκουσιν. Ὥσπερ γάρ ἐστιν ἄνθρωπος ἀληθὴς καὶ ψευδής, ἀληθὴς μὲν ὁ ζῶν καὶ ἐνεργῶν, ψευδὴς δὲ ὁ γεγραμμένος, οὕτω δὴ καὶ ἐπὶ τῶν ἀρετῶν ἐστιν ἰδεῖν.

«Μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ. Χείλη δόλια ἐν καρδίᾳ, καὶ ἐν καρδίᾳ ἐλάλησαν κακά». Ἄλλος φησίν, «Ἐν καρδίᾳ ἄλλῃ καὶ ἄλλῃ λαλεῖ». Δύο κακίας λέγει ἐνταῦθα, καὶ ὅτι μάταια ἐλάλησαν, καὶ ὅτι πρὸς τὸν πλησίον· ἢ τὰ ψευδῆ μάταιά φησιν, ἢ τὰ περιττὰ καὶ ἀνόητα. Τοιοῦτόν τι καὶ ὁ Παῦλός φησι λέγων· «Μὴ ψεύδεσθε εἰς ἀλλήλους». Καὶ τὸ δὴ χαλεπώτερον, ὅτι πάντες ἦσαν διεφθαρμένοι. Διὸ οὐκ εἶπεν, ὁ δεῖνα, καὶ ὁ δεῖνα, ἀλλ' «Ἕκαστος». Οὐδὲ γὰρ ἦν ἁπλῶς ἐπιπόλαιος ἡ κακία, ἀλλὰ κάτωθεν, καὶ ἀπὸ καρδίας. «Ἐν καρδίᾳ καὶ ἐν καρδίᾳ»· ὅπερ ἕτερος

7. Κολοσ. 3, 9.

ἐκεῖνο ποὺ δὲν ὑπάρχει. Ἐπειδὴ λοιπὸν αὐτὰ διεστρεβλώθησαν καὶ ἠμαυρώθησαν, χωρὶς βέβαια νὰ ἔχασαν τὴν πραγματικήν ὑπόστασίν των, ἀλλὰ ἐξεδιώχθησαν ἀπὸ τοὺς ἀνθρώπους, διὰ τοῦτο δὲν εἶπε μόνον, ὅτι «Ὠλιγόστευσαν αἱ ἀλήθειαι», ἀλλὰ ἐπρόσθεσεν «Ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων», θέλων αὐτὸ ἀκριβῶς νὰ δείξῃ. Πρόσεχε δέ. Ὑπάρχει κόσμος ἀληθινός, ὑπάρχει καὶ ψεύτικος. Ποῖος λοιπὸν εἶναι ὁ ἀληθινὸς κόσμος; Ὁ κόσμος τῆς ψυχῆς. Ποῖος δὲ ψεύτικος; Ὁ κόσμος τοῦ σώματος. Ὑπάρχει πλοῦτος ἀληθινός, ὑπάρχει καὶ ψεύτικος. Ψεύτικος εἶναι ὁ κόσμος τῶν χρημάτων, ἀληθινὸς δὲ ὁ τῶν κατορθωμάτων. Ὑπάρχει εὐφροσύνη, ἡ μὲν εἶναι ψεύτικη, ἡ δὲ ἀληθινή, καθὼς ἐπίσης καὶ κάλλη καὶ ἐξουσίαι καὶ δόξαι. Ἀλλὰ οἱ περισσότεροι ἀπὸ τοὺς ἀνθρώπους, παραβλέψαντες τὴν ἀλήθειαν αὐτῶν, ἐπιδιώκουν τὰ ψεύτικα. Διότι ὅπως ἀκριβῶς ὑπάρχει ἄνθρωπος ἀληθινὸς καὶ ψεύτικος, καὶ ἀληθινὸς μὲν εἶναι ἐκεῖνος ποὺ ζῇ καὶ πράττει ἔργα, ψεύτικος δὲ εἶναι ὁ ζωγραφισμένος, τὸ ἴδιο λοιπὸν εἶναι δυνατὸν νὰ παρατηρήσῃ κανεὶς καὶ εἰς τὴν περίπτωσιν τῶν ἀρετῶν.

«Ψευδῆ καὶ ἀπατηλὰ λόγια λέγει ὁ καθένας πρὸς τὸν πλησίον του. Μὲ τὰ δόλια χείλη των διαλαλοῦν ὅλην τὴν κακίαν των ποὺ βρίσκεται μέσα εἰς τὴν καρδίαν των». Ἄλλος λέγει· «Ἄλλα ἔχει ἡ καρδία των καὶ ἄλλα λέγουν τὰ χείλη των». Διὰ δύο κακίας ὁμιλεῖ ἐδῶ, καὶ ὅτι εἶπαν ψευδῆ καὶ ἀπατηλὰ λόγια καὶ ὅτι αὐτὰ τὰ λόγια τὰ εἶπαν πρὸς τὸν πλησίον· μάταια ὀνομάζει ἢ τὰ ψευδῆ λόγια, ἢ τὰ περιττὰ καὶ ἀνωφελῆ. Κάτι παρόμοιον λέγει καὶ ὁ Παῦλος μὲ τὰ λόγια· «Μὴ λέγεται ψέμματα ὁ ἕνας πρὸς τὸν ἄλλον»[7]. Ἀλλὰ τὸ φοβερώτερον βέβαια εἶναι, ὅτι ὅλοι ἦσαν διεφθαρμένοι. Διὰ τοῦτο δὲν εἶπεν, ὁ τάδε καὶ ὁ τάδε, ἀλλὰ «Ὁ καθένας». Οὔτε βέβαια ἡ κακία των ἦτο ἁπλῶς ἐπιφανειακή, ἀλλὰ προήρχετο ἀπὸ μέσα ἀπὸ τὸ βάθος τῆς καρδίας των. «Ἐν καρδίᾳ καὶ ἐν καρδίᾳ»,

ἑρμηνευτής, «Ἐν καρδίᾳ ἄλλῃ, καὶ ἄλλῃ», εἶπε, διδάσκων ὅτι πολλὴ διπλόη αὐτῶν ἐν καρδίᾳ. Τοῦτο πολεμίων πάντων πικρότερον. Οἱ μὲν γάρ εἰσι φανεροὶ καὶ δῆλοι, ὅθεν καὶ εὐφύλακτοι γίνονται· οὗτοι δὲ ἕτερον προσωπεῖον προβαλλόμενοι, καὶ ἕτερον ὄντες, δυσφώρατοι τοῖς ἐπιβουλευομένοις καθίστανται, τῶν τὰ ξίφη κρυπτόντων ὄντες πολλῷ χαλεπώτεροι.

«Ἐξολοθρεύσει Κύριος πάντα τὰ χείλη τὰ δόλια, καὶ γλῶσσαν μεγαλορρήμονα, τοὺς εἰπόντας· τὴν γλῶσσαν ἡμῶν μεγαλυνοῦμεν». Ἄλλος, «Δυναστεύσομεν». «Τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστιν». Ἄλλος, «Σὺν ἡμῖν πάρεστι». «Τίς ἡμῶν Κύριός ἐστιν;». Ἄλλος, «Τίς κυριεύσει ἡμῶν;». Εἶδες κηδεμονίαν προφήτου, πῶς ὑπὲρ αὐτῶν εὔχεται; Οὐ γὰρ δὴ κατ' αὐτῶν ἐστι τὸ εἰρημένον, ἀλλ' ὑπὲρ αὐτῶν. Οὐ γὰρ εἶπεν αὐτοὺς ἀπολέσθαι, ἀλλὰ τὴν κακίαν ἀφανισθῆναι. Οὐ γὰρ εἶπεν, ἐξολοθρεύσει Κύριος αὐτούς, ἀλλά, «Τὰ χείλη τὰ δόλια».

2. Καὶ πάλιν οὐχὶ τὴν οὐσίαν, ἀλλὰ τὴν γλῶτταν, τὴν ἀπόνοιαν, τὸν δόλον ἀναιρεθῆναι ἀξιοῖ, τὴν ὑπερηφανίαν ἐκκοπῆναι. Κωμῳδῶν δὲ αὐτῶν τὴν ἄνοιάν φησι, «Τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστι. Τίς ἡμῶν Κύριός ἐστι;». Μαινομένων καὶ παραφρόνων τὰ ῥήματα. Διὰ δὴ τοῦτο ὁ Παῦλος ἀπεναντίας αὐτοῖς φθεγγόμενος παραινεῖ, «Οὐκ ἐστὲ ἑαυτῶν· τιμῆς ἠγοράσθητε» καὶ κελεύει μηδὲ ἑαυτοῖς ζῆν. Οὐ σά ἐστι τὰ χείλη, φησίν, ἀλλὰ τοῦ Δεσπότου. Αὐτὸς γὰρ ἐποίησεν

. . . .

8. Α΄ Κορ. 6, 19 - 20.
9. Ρωμ. 14, 7.

πρᾶγμα ποὺ ἄλλος ἑρμηνευτὴς ἑρμηνεύει μὲ τὰ λόγια, «Ἐν καρδίᾳ ἄλλη καὶ ἄλλη», διδάσκων ὅτι ὑπάρχει μέσα εἰς τὴν καρδίαν των πολλὴ διπροσωπία. Αὐτὴ ἡ διπροσωπία εἶναι φοβερώτερον ἀπὸ ὅλους τοὺς ἐχθρούς. Διότι οἱ μὲν ἐχθροὶ εἶναι φανεροὶ καὶ ὁρατοί, καὶ ἔτσι εὔκολα προφυλάσσεται κανεὶς ἀπὸ αὐτούς, ἐνῷ αὐτοὶ παρουσιάζοντες ἄλλο προσωπεῖον, ἀπὸ ἐκεῖνο ποὺ εἶναι εἰς τὴν πραγματικότητα, δύσκολα γίνονται ἀντιληπτοὶ ἀπὸ ἐκείνους ποὺ ἐπιβουλεύονται, καὶ εἶναι πολὺ πιό φοβερώτεροι ἀπὸ ἐκείνους ποὺ κρύπτουν τὰ ξίφη των.

«Εἴθε νὰ ἐξολοθρεύσῃ ὁ Κύριος ὅλα τὰ χείλη τά δόλια καὶ τὰς γλώσσας ἐκείνων ποὺ κομπάζουν μὲ ἀλαζονείαν καὶ λέγουν· θὰ ἀναδείξωμεν τὴν γλῶσσαν μας μεγάλην καὶ ὑψηλήν». Ἄλλος ἐξηγεῖ, «Θὰ ἐξουσιάζωμεν τὴν γλῶσσαν μας». «Ἐξουσιάζομεν τὰ χείλη μας». Ἄλλος λέγει, «Τὰ χείλη μας ἀνήκουν εἰς ἐμᾶς». «Ποῖος ἠμπορεῖ νὰ γίνῃ Κύριός μας;» Ἄλλος, «Ποῖος θὰ γίνῃ Κύριὸς μας;». Εἶδες ἐνδιαφέρον τοῦ προφήτου, πῶς προσεύχεται ὑπὲρ αὐτῶν; Διότι αὐτὸ ποὺ λέγει δὲν στρέφεται ἐναντίον των, ἀλλὰ λέγεται ὑπὲρ αὐτῶν. Καθ' ὅσον δὲν ηὐχήθη νὰ καταστραφοῦν αὐτοί, ἀλλὰ νὰ ἐξαφανισθῇ ἡ κακία. Δὲν εἶπε, νὰ ἐξολοθρεύσῃ ὁ Κύριος αὐτούς, ἀλλά, «Τὰ χείλη τὰ ἀπατηλά».

2. Καὶ πάλιν δὲν ζητεῖ νὰ ἐξολοθρευθῇ ἡ οὐσία τοῦ διπροσώπου, ἀλλά ἡ γλῶσσα, ἡ ἀλαζονεία, ἡ δολιότης καὶ νά ἐξαλειφθῇ ἡ ὑπερηφάνεια. Διακωμωδῶν δὲ τὴν ἀνοησίαν αὐτῶν, λέγει, «Τὰ χείλη μας εὑρίσκονται ὑπὸ τὴν ἐξουσίαν μας. Ποῖος ἠμπορεῖ νὰ γίνῃ Κύριός μας;». Τὰ λόγια αὐτὰ εἶναι λόγια μανιακῶν καὶ παραφρόνων. Διὰ τοῦτο λοιπόν ὁ Παῦλος λέγων τὰ ἀντίθετα μὲ αὐτούς, διδάσκει, «Δὲν ἀνήκετε εἰς τὸν ἑαυτόν σας· ἠγοράσθητε ἀντὶ τιμήματος»[8], καὶ συμβουλεύει νὰ ζῶμεν διὰ τὸν ἑαυτόν μας»[9]. Δὲν εἶναι ἰδικά σου τὰ χείλη, λέγει, ἀλλὰ τοῦ Κυρίου. Διότι αὐτὸς τὰ ἐδημιούργησεν, αὐτὸς τὰ κατε-

αὐτά, αὐτὸς κατεσκεύασεν, αὐτὸς ζωὴν ἐνέπνευσεν. Ἀλλὰ σὺ ἔχεις; Ἀλλ' οὐ πάνθ' ὅσα ἔχομεν, ταῦτα ἡμέτερα· ἐπεὶ καὶ χρήματα ἔχομεν, ἑτέρων παρακαταθεμένων· καὶ γῆν μισθούμεθα, ἑτέρων ἡμῖν δεδωκότων. Οὕτω δὴ καὶ σοὶ ταῦτα ἐμίσθωσεν ὁ Θεός, οὐχ ἵνα ἀκάνθας φέρῃς, ἀλλ' ἵνα σπέρματα εἰς τὸ χρήσιμον μεταβάλῃς· οὐχ ἵνα ἀπόνοιαν, οὐχ ἵνα δόλον, ἀλλ' ἵνα ταπεινοφροσύνην, ἀλλ' ἵνα εὐφημίαν, ἀλλ' ἵνα ἀγάπην ποιήσῃς δι' αὐτῶν βλαστάνειν. Καὶ ὀφθαλμοὺς ἔδωκεν, οὐχ ἵνα ἀκόλαστα βλέπῃς, ἀλλ' ἵνα σωφροσύνῃ αὐτοὺς καλλωπίζῃς· καὶ χεῖρας, οὐχ ἵνα πλήττῃς, ἀλλ' ἵνα ἐλεῇς. Πῶς δὲ καὶ λέγεις, ὅτι «Τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστιν», ὅταν τῆς ἁμαρτίας αὐτὰ ποιῇς δοῦλα, ὅταν τῆς πορνείας, ὅταν τῆς ἀκαθαρσίας;

«Τίς ἡμῶν Κύριός ἐστιν;». Ὦ διαβολικοῦ ῥήματος, ὦ ψυχῆς δαιμονώδους. Ὁρᾷς, ἄνθρωπε, τὴν κτίσιν ἅπασαν ἀνακηρύττουσαν τοῦ Δεσπότου σου τὴν ἰσχύν, τὴν σοφίαν, τὴν κηδεμονίαν, τὴν πρόνοιαν, τὸ σῶμά σου, τὴν ψυχήν, τὴν ζωήν, τὰ ὁρώμενα, τὰ ἀόρατα, ἅπαντα, σχεδὸν εἰπεῖν, φωνὴν ἀφιέντα καὶ ἀνακηρύττοντα τοῦ δημιουργοῦ τὴν δύναμιν, καὶ λέγεις, «Τίς ἡμῶν Κύριός ἐστιν»; «Τοῦτο μανίας», τοῦτο παραπληξίας, τοῦτο διεφθαρμένης ψυχῆς. Διὰ τοῦτο τὰ μυρία κακά. Ἀλλ' οὗτοι μὲν λέγουσι, «Τίς ἡμῶν Κύριός ἐστιν;». Ἄλλοι δὲ τὸν μὲν Δεσπότην ὁμολογοῦσι, τὸν δὲ περὶ τῆς κρίσεως ἀναιροῦσι λόγον καὶ τῆς κολάσεως, βραχείας χάριτος μεγάλην ὠνούμενοι κόλασιν, καὶ βουλόμενοι τῷ μὴ μεμνῆσθαι γεέννης παραμυθεῖσθαι ἑαυτούς, λανθάνουσι διὰ τῆς ἀφοβίας ταύτης εἰς τὸ βάραθρον ἑαυτοὺς τῆς ἀπωλείας ἐμβάλλοντες. Διὸ παρακαλῶ καὶ μεμνῆσθαι γεέννης, καὶ δια-

σκεύασεν, αὐτὸς τὰ ἔδωσε ζωήν. Ἀλλὰ τὰ ἔχεις σύ; Καὶ ὅμως δὲν εἶναι ἰδικά μας ὅσα ἔχομεν· διότι καὶ χρήματα ἔχομεν, ἀλλὰ ἄλλοι τὰ ἔχουν καταθέσει· καὶ γῆν μισθώνομεν, ἀλλὰ ἄλλοι μᾶς τὴν ἔχουν δώσει. Ἔτσι λοιπὸν καὶ αὐτὰ σοῦ τὰ ἐμίσθωσεν ὁ Θεός, ὄχι διὰ νὰ παράγῃς ἀγκάθια, ἀλλὰ διὰ νὰ μεταβάλλῃς τὰ σπέρματα εἰς κάτι τὸ χρήσιμον· ὄχι διὰ νὰ δείχνῃς ἀλαζονείαν καὶ δολιότητα, ἀλλὰ διὰ νὰ κάμῃς νὰ φυτρώνῃ δι' αὐτῶν ταπεινοφροσύνη, δοξολογία καὶ ἀγάπη. Καὶ τοὺς ὀφθαλμούς σοῦ τοὺς ἔδωσεν, ὄχι διὰ νὰ βλέπῃς ἀκόλαστα, ἀλλὰ διὰ νὰ τοὺς στολίζῃς μὲ σωφροσύνην· καὶ χέρια σοῦ ἔδωσεν ὄχι διὰ νὰ κτυπᾷς, ἀλλὰ διὰ νὰ ἐλεῇς. Πῶς δὲ λέγεις, ὅτι «Τὰ χείλη μας εἶναι ὑπὸ τὴν ἐξουσίαν μας», ὅταν τὰ ὑποδουλώνεις εἰς τὴν ἁμαρτίαν, εἰς τὴν πορνείαν καὶ εἰς τὴν ἀκαθαρσίαν;

«Ποῖος ἠμπορεῖ νὰ γίνῃ Κύριός μας;». Ὢ λόγια διαβολικά, ὢ ψυχὴ δαιμονισμένη. Βλέπεις, ἄνθρωπε, ὁλόκληρον τὴν κτίσιν ποὺ ἀνακηρύττει τοῦ Κυρίου σου τὴν δύναμιν, τὴν σοφίαν, τὴν κηδεμονίαν, τὴν πρόνοιαν, τὸ σῶμα σου, τὴν ψυχήν σου, τὴν ζωήν σου, τὰ ὁρατὰ πράγματα, τὰ ἀόρατα, ὅλα σχεδόν, θὰ ἠμπορούσαμεν νὰ εἴπουμεν, νὰ ἀφήνουν φωνὴν καὶ νὰ διακηρύττουν τοῦ δημιουργοῦ τὴν δύναμιν, καὶ λέγεις, «Ποῖος ἠμπορεῖ νὰ γίνῃ Κύριός μας;». Αὐτὸ εἶναι δεῖγμα μανίας, αὐτὸ εἶναι δεῖγμα παραφροσύνης, αὐτὸ εἶναι δεῖγμα ψυχῆς διεφθαρμένης. Ἐξ αἰτίας αὐτοῦ συμβαίνουν τὰ μύρια κακά. Ἀλλ' αὐτοὶ μὲν λέγουν, «Ποῖος ἠμπορεῖ νὰ γίνῃ Κύριός μας;». Ἄλλοι δὲ τὸν μὲν Κύριον ὁμολογοῦν, ἀρνοῦνται ὅμως τὴν περὶ κρίσεως καὶ κολάσεως διδασκαλίαν, ἐξαγοράζοντες διὰ συντόμου εὐχαριστήσεως μεγάλην κόλασιν, καὶ θέλοντες νὰ παρηγοροῦν τοὺς ἑαυτούς των μὲ τὸ νὰ μὴ ἐνθυμοῦνται τὴν γέενναν, ρίπτουν τοὺς ἑαυτούς των, χωρὶς νὰ τὸ ἀντιλαμβάνωνται, εἰς τὸ βάραθρον τῆς ἀπωλείας. Διὰ τοῦτο παρακαλῶ καὶ νὰ ἐνθυμῆσθαι τὴν γέενναν καὶ νὰ συ-

λέγεσθαι περὶ γεέννης· οὕτω διάπλαττε εὐμορφίᾳ τὴν ψυχήν. Πολὺ γὰρ τὸ χρήσιμον τῶν λόγων τούτων. Οὐδὲ γὰρ ἁπλῶς ἠπείλησεν αὐτὴν ὁ Θεός, καὶ ἐντεῦθεν ἤδη δήλην ἐποίησεν, ἀλλ' ἵνα τῷ φόβῳ ποιήσῃ βελτίους. Διὰ τοῦτο καὶ ὁ διάβολος πάντα ποιεῖ καὶ πραγματεύεται, ἐξαιρεῖν αὐτῆς τὴν μνήμην βουλόμενος. Μὴ τοίνυν ἔκβαλλε τὴν μνήμην, μηδὲ λέγε· 'τί λυπῶ ἐμαυτὸν παρὰ καιρόν;'. Παρὰ καιρὸν λυπῇ; Ἐκεῖνό ἐστι παρὰ καιρὸν ἀλγεῖν, ὅταν ἐν τῇ γεέννῃ ἀλγῇς. Τοῦ λυπεῖσθαι καιρὸς οὗτος, οὐκ ἐκεῖνος. Καὶ τοῦτο δείκνυσιν ὁ πλούσιος ὁ ἐπὶ Λαζάρου, ὃς μυρία λυπηθεὶς οὐδὲν ὤνησεν. Εἰ δὲ εὐκαίρως ἤλγησεν, οὐκ ἂν ἔπαθεν, ἅπερ ἔπαθεν.

«Ἕνεκεν τῆς ταλαιπωρίας τῶν πτωχῶν, καὶ τοῦ στεναγμοῦ τῶν πενήτων, νῦν ἀναστήσομαι, λέγει Κύριος. Θήσομαι ἐν σωτηρίῳ, παρρησιάσομαι ἐν αὐτῷ». Ἄλλος, «Τάξω σωτήριον ἐμφανές». Μάθε πόση τῆς ταπεινοφροσύνης ἡ ἰσχύς. Τῶν πενήτων ἡ δύναμις (πενήτων λέγω, τῶν τὴν διάνοιαν συντετριμμένων) τοῦ κακῶς πάσχειν ἐστὶν ἡ ἀντίληψις. Οὐδὲ γὰρ βίον ἐνταῦθά φησιν, οὐδὲ ἀρετήν, ἀλλὰ τὸ πάσχειν κακῶς, φησί, τοῦτο ἀνίστησι τὸν Θεόν, καὶ ἐκκαλεῖται πρὸς τιμωρίαν καὶ ἄμυναν. Τοσοῦτόν ἐστι τὸ ἀδικούμενον φέρειν γενναίως· τοσαύτη τῶν ἐπηρεαζομένων παρὰ τοῦ Θεοῦ ἡ πρόνοια· ἀντὶ μεγίστης συνηγορίας ἡ συμφορὰ καὶ τῷ πάσχειν κακῶς γινομένη. Μεγάλη τοῦ στεναγμοῦ ἡ ἰσχύς, τὴν ἄνωθεν καλοῦσα ῥοπήν. Φοβήθητε ὅσοι τοὺς πένητας ἀδικεῖτε. Ἔχετε δύναμιν ὑμεῖς καὶ πλοῦτον καὶ χρή-

---

10. Λουκᾶ 16, 23.

ζητῆτε περὶ αὐτῆς· ἔτσι στόλιζε μὲ ὀμορφιὰ τὴν ψυχήν σου. Διότι εἶναι μεγάλη ἡ χρησιμότης ποὺ προέρχεται ἀπὸ αὐτὰ τὰ λόγια. Καθ᾽ ὅσον δὲν ἔδωσεν ὁ Θεὸς αὐτὴν τὴν ἀπειλὴν ἔτσι τυχαῖα καὶ τὴν ἔκαμε φανερὴν ἀπὸ τὴν ἐδῶ ἤδη ζωήν, ἀλλὰ διὰ νὰ μᾶς κάμη μὲ τὸν φόβον καλυτέρους. Διὰ τοῦτο καὶ ὁ διάβολος κάμνει τὰ πάντα καὶ μηχανεύεται, θέλων νὰ βγάλη αὐτὴν ἀπὸ τὴν σκέψιν. Μὴ τὴν ἀπομακρύνης λοιπὸν ἀπὸ τὴν σκέψιν σου, οὔτε νὰ λέγης, 'διατί νὰ στενοχωρῶ τὸν ἑαυτόν μου παράκαιρα;'. Στενοχωρεῖσαι παράκαιρα; Ἐκείνη εἶναι ἡ παράκαιρη στενοχώρια, ὅταν θὰ ὑποφέρης μέσα εἰς γέενναν. Καιρὸς λύπης εἶναι αὐτός, ὄχι ἐκεῖνος. Καὶ αὐτὸ τὸ φανερώνει ὁ πλούσιος, ἐπὶ τῶν ἡμερῶν τοῦ Λαζάρου, ὁ ὁποῖος παρὰ τὴν ὑπερβολικὴν λύπην του δὲν ὠφελήθη καθόλου[10]. Ἐὰν ὅμως ἔγκαιρα ἐλυπεῖτο, δὲν θὰ ἦτο δυνατὸν νὰ πάθη ἐκεῖνα ποὺ ἔπαθεν.

«Ἐξ αἰτίας τῆς κακοπαθείας τῶν πτωχῶν καὶ τοῦ στεναγμοῦ τῶν πενήτων θὰ σηκωθῶ τώρα καὶ θὰ δράσω, λέγει ὁ Κύριος. Θὰ τὸν θέσω εἰς τόπον ἀσφαλῆ καὶ σωτήριον καὶ θὰ δείξω εἰς ὅλους τὴν δικαιοσύνην καὶ δύναμίν μου». Ἄλλος λέγει· «Θὰ κάμω γνωστὴν τὴν σωτηρίαν του». Μάθε πόση εἶναι ἡ δύναμις τῆς ταπεινοφροσύνης. Ἡ δύναμις τῶν πενήτων (πένητας ὀνομάζω ἐκείνους ποὺ ἔχουν καρδίαν γεμάτην ἀπὸ ταπεινοφροσύνην), σχετίζεται μὲ τὴν κακοπάθειαν. Διότι ἐδῶ, λέγει, δὲν εἶναι ὁ τρόπος ζωῆς, οὔτε ἡ ἀρετή, ἀλλὰ ἡ κακοπάθεια εἶναι ἐκείνη ποὺ σηκώνει τὸν Θεὸν καὶ τὸν παροτρύνει νὰ προβῆ εἰς τιμωρίαν τοῦ ἀδίκου καὶ ὑπεράσπισιν τοῦ ἀδικουμένου. Τόσον μεγάλο πρᾶγμα εἶναι τὸ νὰ ὑπομείνη κανεὶς μὲ γενναιότητα τὴν ἀδικίαν, καὶ τόση μεγάλη εἶναι ἡ πρόνοια τοῦ Θεοῦ δι᾽ ἐκείνους ποὺ δοκιμάζονται, εἰς τοὺς ὁποίους ἡ συμφορὰ καὶ ἡ κακοπάθεια γίνεται μεγίστη συνηγορία. Μεγάλη εἶναι ἡ δύναμις τοῦ στεναγμοῦ, προσελκύουσα τὴν θείαν βοήθειαν. Φοβηθῆτε ὅσοι ἀδικεῖτε τοὺς πτωχούς. Ἔχετε, σεῖς δύναμιν καὶ πλοῦτον καὶ χρήματα καὶ τὴν εὔνοιαν

ματα καὶ δικαστῶν εὔνοιαν, ἀλλ' ἔχουσιν ἐκεῖνοι πάντων ἰσχυρότερον ὅπλον, τοὺς στεναγμοὺς καὶ τοὺς θρήνους, καὶ αὐτὸ τὸ ἀδικεῖσθαι, ἅπερ τὴν ἐκ τῶν οὐρανῶν ἐπισπᾶται συμμαχίαν. Τοῦτο τὸ ὅπλον οἰκίας ἀνορύττει, τοῦτο θεμελίους κατέσκαψε, τοῦτο πόλεις ἀνεῖλε, τοῦτο ὁλόκληρα ἔθνη κατεπόντισε· στεναγμοὺς ἀδικουμένων ἀνθρώπων λέγω. Αἰδεῖται τὴν εὐγνωμοσύνην αὐτῶν ὁ Θεός, ὅταν κακῶς πάσχοντες μηδὲν πονηρὸν ἐκφέρωσι ῥῆμα, στενάζωσι δὲ μόνον, καὶ ἀποδύρωνται τὰ οἰκεῖα κακά.

Τί δέ ἐστι, «Θήσομαι ἐν σωτηρίῳ, παρρησιάσομαι ἐν αὐτῷ»; Μετὰ παρρησίας, φησίν, αὐτῶν προστήσομαι φανερῶς καὶ δήλως, ὥστε πάντας μαθεῖν. Καὶ πότε οὐ φανερῶς σώζει; Ἔστιν ὅτε οὐ φανερῶς, ἀλλὰ λάθρα· οὐδὲ γὰρ δεῖται τῆς παρὰ ἀνθρώπων δόξης. Νυνὶ δέ, ἐπειδὴ εἰκὸς ἦν τοὺς ἐχθροὺς τοὺς αὐτῶν ἐπεμβαίνειν, ἐνάλλεσθαι, ὀνειδίζειν αὐτοῖς, ὡς οὐκ ἔχουσι Θεὸν βοηθόν, ὥστε κἀκείνους σωφρονισθῆναι, καὶ γενέσθαι βελτίους, τῇ πείρᾳ μαθόντας τοῦ Δεσπότου τὴν συμμαχίαν, φανερῶς ποιήσομαι τὴν ὑπὲρ αὐτῶν σωτηρίαν, φησί. «Τὰ λόγια Κυρίου, λόγια ἁγνά· ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ». Καὶ ποία αὕτη ἀκολουθία πρὸς τὰ εἰρημένα; Πολλὴ καὶ συνεχής. Μὴ γὰρ δὴ νομίσητε ταῦτα, φησίν, ἁπλῶς εἰρῆσθαι, μηδὲ ἀπειλὴν εἶναι περιττήν· καθαρὰ αὐτοῦ ἐστι τὰ ῥήματα, ἀπηλλαγμένα ψεύδους. Ὥσπερ γὰρ ὁ ἄργυρος ὁ πεπυρωμένος οὐδὲν ἀλλότριον ἔχει καὶ νόθον, οὕτω καὶ τοῦ Θεοῦ τὰ ῥήματα, ἅπερ ἂν εἴπῃ, πάντως ἐκβῆναι δεῖ. Διό φησιν· «Ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ». Ἄλλος, «Πεπυρωμένον, χωροῦν τῇ γῇ». Ὁ δὲ Ἑβραῖος ἀντὶ τοῦ, «Χωροῦν τῇ γῇ», «Βααλὶλ λάαρες» εἶπε.

τῶν δικαστῶν, ἀλλ' ἔχουν καὶ οἱ πτωχοὶ ὅπλον ἰσχυρότερον ἀπὸ ὅλα αὐτά, τοὺς στεναγμοὺς καὶ τοὺς θρήνους καὶ αὐτὴν τὴν ἰδίαν τὴν ἀδικίαν ποὺ ὑφίστανται, πράγματα ποὺ προσελκύουν τὴν οὐράνιον συμμαχίαν. Αὐτὸ τὸ ὅπλον οἰκίας καταστρέφει, αὐτὸ κατέσκαψε θεμέλια, αὐτὸ πόλεις κατέστρεψεν, αὐτὸ ὁλόκληρα ἔθνη κατεπόντισεν, ἐννοῶ τοὺς στεναγμοὺς τῶν ἀδικουμένων ἀνθρώπων. Σέβεται τὴν εὐγνωμοσύνην αὐτῶν ὁ Θεός, ὅταν κακοπαθοῦν χωρὶς νὰ λέγουν κανένα κακὸν λόγον, ἀλλὰ μόνον στενάζουν καὶ θρηνοῦν τὰς συμφοράς των.

Τί σημαίνει δέ, «Θήσομαι ἐν σωτηρίᾳ, παρρησιάσομαι ἐν αὐτῷ»; Μὲ παρρησίαν, λέγει, θὰ τοὺς ὑπερασπισθῶ φανερὰ καὶ ἐντυπωσιακά, ὥστε ὅλοι νὰ τὸ μάθουν. Καὶ πότε δὲν σώζει φανερά; Ὑπάρχουν περιπτώσεις ποὺ δὲν σώζει φανερά, ἀλλὰ σιωπηρά· διότι δὲν ἔχει ἀνάγκην ἀπὸ τὴν δόξαν τῶν ἀνθρώπων. Τώρα ὅμως, ἐπειδὴ φυσικὸν ἦτο οἱ ἐχθροί των νὰ ἐπεμβαίνουν καὶ νὰ θριαμβολογοῦν καὶ νὰ χλευάζουν αὐτούς, ὅτι τάχα δὲν ἔχουν Θεὸν βοηθόν, ὥστε καὶ ἐκεῖνοι νὰ σωφρονισθοῦν καὶ νὰ γίνουν καλύτεροι, ἀφοῦ γνωρίσουν ἔμπρακτα τὴν συμμαχίαν τοῦ Κυρίου, φανερά, λέγει, καὶ ἐντυπωσιακὰ θὰ τοὺς σώσω. «Τὰ *λόγια τοῦ Κυρίου εἶναι λόγια ἁγνά, ὅμοια πρὸς ἄργυρον* πυρακτωμένον ποὺ ἐδοκιμάσθη ἡ καθαρότης του μέσα εἰς τὴν γῆν». Καὶ ποίαν σχέσιν ἔχουν αὐτὰ μὲ ὅσα ἐλέχθησαν προηγουμένως; Ἔχουν μεγάλην καὶ εἶναι συνέχεια ἐκείνων. Μὴ νομίσετε δηλαδή, λέγει, ὅτι αὐτὰ ἐλέχθησαν τυχαῖα, οὔτε ὅτι εἶναι ἀπειλὴ περιττή· τὰ λόγια τοῦ Θεοῦ εἶναι καθαρά, ἀπηλλαγμένα ἀπὸ τὸ ψεῦδος. Διότι, ὅπως ἀκριβῶς ὁ ἄργυρος ὁ πυρακτωμένος δὲν ἔχει τίποτε τὸ ξένον καὶ νόθον, ἔτσι καὶ τὰ λόγια τοῦ Θεοῦ, ἐκεῖνα ποὺ θὰ εἴπῃ, πρέπει ὁπωσδήποτε νὰ συμβοῦν. Διὰ τοῦτο λέγει· «Ὁμοιάζουν μὲ ἄργυρον πυρακτωμένον ποὺ ἐδοκιμάσθη ἡ καθαρότης μου μέσα εἰς τὴν γῆν». Ἄλλος λέγει, «πυρακτωμένον, ποὺ χωρεῖ εἰς τὴν γῆν». Ὁ δὲ ἑβραῖος ἀντὶ τοῦ «Χωροῦν τῇ γῇ», εἶπε, «Βασιλὶλ λάαρες», δηλαδὴ ἀργύ-

τουτέστι, τὸ χωνευόμενον, τὸ ῥέον ἐν τῇ γῇ. Κεκαθαρισμένον ἑπταπλασίως.

3. *Εἶδες πῶς δείκνυσι τὸ ἀψευδές, τὸ ἀληθινὸν, τῇ εἰκόνι τῆς ὕλης; Ὥσπερ γὰρ ἐκεῖνο τὸ χωνευθέν, τὸ πυρωθέν, τὸ πολλάκις τοῦτο παθόν, ἀλλότριόν ἐστιν ἀλλοτρίας ὕλης ἐκκεκαθαρμένον μετὰ ἀκριβείας· οὕτως ἡ ἀπόφασις τοῦ Θεοῦ. «Σύ, Κύριε, φυλάξεις ἡμᾶς, καὶ διατηρήσεις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης, καὶ εἰς τὸν αἰῶνα». Ἄλλος, «Φυλάξεις αὐτούς». Ἄλλος, «Φυλάξεις αὐτά, καὶ διατηρήσεις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης, καὶ εἰς τὸν αἰῶνα». Ἄλλος, «Ἅμα τῇ γενεᾷ τῇ αἰωνίᾳ». «Κύκλῳ οἱ ἀσεβεῖς περιπατοῦσιν». Ἄλλος, «Περιπατήσουσιν». Ἄλλος, «Κύκλῳ ἀσεβῶν ἐμπεριπατήσουσι». Κατὰ τὸ ὕψος σου ἐπολυώρησας τοὺς υἱοὺς τῶν ἀνθρώπων». Ἄλλος, «Ὅταν ὑψωθῶσιν οἱ εὐτελεῖς τῶν υἱῶν τῶν ἀνθρώπων». Ἕτερος, «Κατὰ τὸ ὕψος εὐωνισμένοι τοῖς υἱοῖς τῶν ἀνθρώπων». Ὁ δὲ Ἑβραῖος, «Χὰρμ ζολλῶ», φησί, «λεβνὴ Ἀδάμ».*

«Σύ, Κύριε, φυλάξεις ἡμᾶς, καὶ διατηρήσεις ἡμᾶς». Ὅρα συνεχῶς, μᾶλλον δὲ διηνεκῶς ἐπὶ τὸν Θεὸν καταφεύγοντα, κἀκεῖθεν ζητοῦντα τὴν συμμαχίαν· καὶ γὰρ παναλκὴς ἡ βοήθεια, οὐδενὶ διακοπτομένη χρόνῳ. Οὐδενὸς τῶν ἀνθρωπίνων δεόμεθα, φησί· σὺ γὰρ ὁ φυλάττων εἶ διηνεκῶς. Τί ἐστι, «Κύκλῳ οἱ ἀσεβεῖς περιπατοῦσι»; Κατὰ μὲν τοὺς ἑβδομήκοντα οὕτω λεκτέον, ὅτι κἂν κυκλώσωσιν οἱ ἀσεβεῖς, οὐδὲν πεισόμεθα· καὶ γὰρ φυλάττεις ἡμᾶς, καὶ μετεωρίζεις, καὶ ἐνδόξους ποιεῖς. Κατὰ δὲ τὸν ἕτερον ἑρμηνευτὴν τοῦτο ῥητέον· οἱ ἀσεβεῖς ἐξωσθήσονται, ὅταν τοὺς εὐτελεῖς τοὺς υἱοὺς τῶν ἀνθρώπων ὑψώσῃς. Τουτέστιν, ὅταν ἡμᾶς τοὺς νομιζομένους

ριον χωνευόμενον, πού βγαίνει μέσα ἀπό τόν κλίβανον τῆς γῆς, πού ἐκαθαρίσθη ἑπταπλασίως.

3. Εἶδες πῶς δείχνει τό ἀψευδές καί ἀληθές μέ τήν εἰκόνα τῆς ὕλης; Διότι, ὅπως ἀκριβῶς ὁ ἄργυρος πού ἐχωνεύθη καί ἐπυρακτώθη, καί πού αὐτό τό ἔπαθε πολλές φορές, εἶναι ἀπηλλαγμένος ἀπό κάθε ξένην ὕλην καθαρισμένης μέ πολλήν προσοχήν, ἔτσι καί ἡ ἀπόφασις τοῦ Θεοῦ. «Σύ, Κύριε, εἴθε νά μᾶς φυλάξης καί νά μᾶς διατηρήσης ἀβλαβεῖς ἀπό τήν γενεάν αὐτήν, ἀλλά καί εἰς τόν αἰῶνα». Ἄλλος, «Εἴθε νά φυλάξης αὐτούς». Ἄλλος, «Εἴθε νά φυλάξης αὐτά καί νά διατηρήσης ἐμᾶς ἀβλαβεῖς ἀπό τήν γενεάν αὐτήν καί εἰς τόν αἰῶνα». Ἄλλος, «Μαζί μέ τήν αἰωνίαν γενεάν». «Οἱ ἀσεβεῖς περιπατοῦν γύρω μας καί μᾶς περιεκύκλωσαν». Ἄλλος, λέγει, «Θά περιπατήσουν». Ἄλλος, «Θά περιπατήσουν τριγύρω μας οἱ ἀσεβεῖς». «Ἀλλ' ὅσον εἶναι τό ὕψος ἀπό τό ὁποῖον μᾶς παρακολουθεῖς, τόσον μεγάλη εἶναι ἡ φροντίς σου διά τούς υἱούς τῶν ἀνθρώπων». Ἄλλος λέγει, «Ὅταν ὑψωθοῦν οἱ περιφρονημένοι τῶν υἱῶν τῶν ἀνθρώπων». Ἄλλος, «Ὅσον εἶναι τό ὕψος ἀπό τό ὁποῖον μᾶς παρακολουθεῖς τόσον μεγάλη εἶναι ἡ τιμή σου πρός τούς υἱούς τῶν ἀνθρώπων». Ὁ δέ ἑβραῖος λέγει, «Χάρμ Ζολλῶ, λεβνή Ἀδάμ».

«Σύ, Κύριε, εἴθε νά μᾶς φυλάξης καί νά μᾶς διατηρήσης ἀβλαβεῖς». Πρόσεχε πού συνεχῶς καί πάντοτε καταφεύγει εἰς τόν Θεόν καί ζητεῖ ἀπό αὐτόν τήν συμμαχίαν· καθ' ὅσον αὐτή ἡ βοήθεια εἶναι πανίσχυρος καί δέν διακόπτεται ποτέ. Τίποτε, λέγει, ἀπό τά ἀνθρώπινα πράγματα δέν χρειαζόμεθα· διότι σύ εἶσαι ἐκεῖνος πού μᾶς φυλάσσεις διαρκῶς. Τί σημαίνει, «Κύκλῳ οἱ ἀσεβεῖς περιπατοῦσι»; Κατά μέν τούς ἑβδομήκοντα ἔχει τήν σημασίαν ὅτι καί ἄν ἀκόμη μᾶς κυκλώσουν οἱ ἀσεβεῖς, τίποτε δέν θά πάθωμεν· καθ' ὅσον μᾶς φυλάσσεις καί μᾶς ἐξυψώνεις καί μᾶς καθιστᾷς ἐνδόξους. Κατά δέ τόν ἄλλον ἑρμηνευτήν πρέπει νά ἐννοήσωμεν αὐτό, ὅτι οἱ ἀσεβεῖς θά ἐκδιωχθοῦν, ὅταν θά ἐξυψώσῃς τούς περιφρονημένους ἐκ τῶν υἱῶν

εἶναι εὐκαταφρονήτους, τοὺς τεταπεινωμένους δοξάσῃς, ἀποστήσεις αὐτοὺς καὶ διακρούσῃ. Τί δέ ἐστι, «Κατὰ τὸ ὕψος σου»; Ἀντὶ τοῦ, ὁμοίους σου ἐποίησας, ὡς ἀνθρώπῳ δυνατὸν εἶναι ὅμοιον· «Ποιήσωμεν γὰρ ἄνθρωπον κατ' εἰκόνα», φησίν, «ἡμετέραν, καὶ καθ' ὁμοίωσιν». Ὅπερ γάρ ἐστιν αὐτὸς ἐν οὐρανῷ, τοῦτο ἡμεῖς ἐπὶ τῆς γῆς· καὶ ὥσπερ οὐδεὶς αὐτοῦ ἀνώτερος ἄνω, οὕτως οὐδεὶς ἐπὶ τῆς γῆς τοῦ ζώου τούτου κατὰ τὴν ἀρετὴν ὅμοιος. «Γίνεσθε», φησίν, «ὅμοιοι τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς». Καὶ τοῦ ὀνόματος δὲ ἡμῖν μετέδωκεν· «Ἐγὼ εἶπα, θεοί ἐστε», φησί, «καὶ υἱοὶ Ὑψίστου πάντες». Καὶ πάλιν· «Τέθεικά σε θεὸν Φαραώ».

«Καὶ δημιουργὸν εἶναι ἐποίησε καὶ σωματικῶν καὶ ἀσωμάτων. Καὶ νῦν μὲν τὴν κτίσιν ὁ Μωϋσῆς μεταβάλλει, νῦν δὲ ἕτεροι ἕτερα στοιχεῖα· ἡμῖν δὲ ἐπέταξε ναὸν αὐτῷ κτίζειν ἡμᾶς αὐτούς. Κἂν τοίνυν οὐ δημιουργῇς οὐρανόν, ἀλλὰ δημιουργεῖς ναὸν Θεοῦ. Ἐπεὶ καὶ οὐρανὸς διὰ τοῦτο λαμπρός, ἐπειδὴ Θεὸν ἔχει κατοικοῦντα ἐν αὐτῷ· μᾶλλον δὲ διὰ Χριστοῦ καὶ ἡμᾶς. «Συνήγειρε» γάρ, φησί, «καὶ συνεκάθισεν ἡμᾶς ἐν δεξιᾷ ἐν τοῖς οὐρανοῖς· καὶ μείζονα ἔδωκε ποιεῖν ὧν αὐτὸς ἐποίησε. «Τὰ γὰρ σημεῖα», φησίν, «ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει». Καὶ ἐπὶ τῆς Παλαιᾶς ὁ μὲν τὴν θάλασσαν μετέβαλεν, ὁ δὲ τὸν ἥλιον ἐχαλίνου, ὁ δὲ τὴν σελήνην μένειν ἐκέλευσεν, ὁ δὲ πάλιν εἰς ἑαυτὸν τὰς ἀκτῖνας ἀπέστρεφεν· οἱ δὲ παῖδες ἐν τῇ καμίνῳ τοῦ στοιχείου

---

11. Γεν. 1, 26.
12. Ματθ. 5, 45.
13. Ψαλμ. 81, 6.
14. Ἔξ. 7, 1.
15. Α´ Κορ. 6, 19.
16. Ἐφ. 2, 6.
17. Ἰω. 14, 12

τῶν ἀνθρώπων. Δηλαδή, ὅταν ἐμᾶς, ποὺ θεωρούμεθα περιφρονημένοι καὶ ταπεινωμένοι, μᾶς δοξάσης, ἀποκρούων καὶ ἀπομακρύνων αὐτούς. Τί σημαίνει δέ, «Κατὰ τὸ ὕψος σου»; Ἐλέχθη ἀντὶ τοῦ, τοὺς ἔκαμες ὁμοίους σου, ὅσον εἶναι δυνατὸν εἰς τὸν ἄνθρωπον νὰ εἶναι ὅμοιός σου· διότι λέγει· «Ἂς δημιουργήσωμεν ἄνθρωπον σύμφωνα μὲ τὴν εἰκόνα μας, ὥστε νὰ γίνῃ ὅμοιός μας»[11]. Διότι, ὅ,τι εἶναι ὁ Θεὸς εἰς τὸν οὐρανόν, αὐτὸ εἴμεθα καὶ ἡμεῖς ἐπάνω εἰς τὴν γῆν· καὶ ὅπως ἀκριβῶς δὲν εἶναι κανεὶς ἀνώτερος ἀπὸ αὐτὸν εἰς τὸν οὐρανόν, ἔτσι κανεὶς δὲν εἶναι ἐπάνω εἰς τὴν γῆν ὅμοιος μὲ αὐτὸ τὸ ζῶον ὡς πρὸς τὴν ἀρετήν. «Γίνεσθε», λέγει, «ὅμοιοι μὲ τὸν οὐράνιον Πατέρα μου»[12]. Καὶ τὸ ὄνομά του μᾶς ἔδωσεν. «Ἐγώ», λέγει, «εἶπα ὅτι εἶσθε ὅλοι θεοὶ καὶ υἱοὶ τοῦ Ὑψίστου»[13]. Καὶ πάλιν· «Σὲ κατέστησα Θεὸν ἀπέναντι εἰς τὸν Φαραώ»[14]

Καὶ κατέστησε τὸν ἄνθρωπον δημιουργὸν σωματικῶν καὶ πνευματικῶν πραγμάτων. Καὶ ἄλλοτε μὲν ὁ Μωυσῆς μεταβάλλει τὴν κτίσιν, ἄλλοτε δὲ ἄλλοι μεταβάλλουν ἄλλα στοιχεῖα τῆς φύσεως· ἡμᾶς δὲ μᾶς διέταξε νὰ κτίσωμεν τοὺς ἑαυτούς μας ναὸν δι' αὐτόν. Καὶ ἂν ἀκόμη λοιπὸν δὲν δημιουργῇς οὐρανόν, ὅμως δημιουργεῖς ναὸν τοῦ Θεοῦ. Διότι καὶ ὁ οὐρανὸς διὰ τοῦτο εἶναι λαμπρός, ἐπειδὴ ἔχει τὸν Θεὸν ποὺ κατοικεῖ εἰς αὐτόν· μᾶλλον δὲ ἔχει καὶ ἐμᾶς διὰ τοῦ Χριστοῦ κατοίκους του[15]. Διότι λέγει, «Μᾶς ἀνέστησε μαζὶ μὲ τὸν Χριστὸν καὶ μᾶς ἐκάθισεν εἰς τὰ δεξιά του εἰς τοὺς οὐρανούς»[16], καὶ μᾶς ἐπέτρεψε νὰ πράττωμεν μεγαλύτερα ἀπὸ ἐκεῖνα ποὺ ἔπραξεν ἐκεῖνος. Διότι λέγει· «Τὰ σημεῖα ποὺ ἐγὼ κάμνω καὶ ἐκεῖνος θὰ τὰ κάμῃ, καὶ μάλιστα θὰ κάνῃ μεγαλύτερα ἀπὸ αὐτά»[17]. Καὶ κατὰ τὴν ἐποχὴν τῆς Παλαιᾶς Διαθήκης ἄλλος μὲν μετέβαλλε τὴν πορείαν τῆς θαλάσσης, ἄλλος ἐχαλιναγωγοῦσε τὸν ἥλιον, ἄλλος ἐπρόσταξε τὴν σελήνην νὰ σταματήσῃ, καὶ ἄλλος ἔστρεφεν εἰς τὸν ἑαυτόν του τὰς ἀκτίνας τοῦ ἡλίου· τέλος οἱ τρεῖς παῖδες μέσα εἰς τὴν κάμινον μετέβαλλον τὴν ἐνέργειαν τοῦ στοιχείου τῆς φωτιᾶς καὶ ἐνῷ ἡ φλόγα

τὴν ἐνέργειαν ἐπέδησαν, καὶ μαινομένη ἡ φλὸξ ἐσίγα, καὶ δεδεμένη ἐσύριζεν.

Οἶδε καὶ θηρία αἰδεῖσθαι Θεοῦ φίλους· κἂν λιμὸς ἀναγκάζῃ, φιλοσοφώτερα γίνεται. Αἰδείσθωσαν οἱ γαστρίμαργοι τὴν ἐγκράτειαν τῶν θηρίων. Λέοντες εἶδον τὸν Δανιήλ, καὶ ἐφιλοσόφησαν, ἡμεῖς τὸν Υἱὸν τοῦ Θεοῦ βλέποντες ἐρχόμενον πρὸς ἡμᾶς, οὐ φιλοσοφοῦμεν. Εἵλοντο ἐκεῖνοι διαφθαρῆναι λιμῷ, καὶ μὴ ἅψασθαι τοῦ σώματος τοῦ ἁγίου· ἡμεῖς ὁρῶντες γυμνὸν τὸν Χριστὸν περιερχόμενον καὶ λιμῷ τηκόμενον, οὐδὲ τὰ περιττὰ προϊέμεθα, ἀλλ' ἐν περιουσίᾳ ζῶντες περιορῶμεν τοὺς ἁγίους. Ἡ γῆ πάλιν ἑτέρῳ Θεοῦ φίλῳ τοσαῦτα προσήνεγκε δῶρα ἐκ τῶν οἰκείων κόλπων, τοσαύτην φοράν, ὅσην οὐδέποτε ἔμπροσθεν. Καὶ τί θαυμάζεις, εἰ αὐτοὶ αἰδέσιμοι ἦσαν, ὅπου γε καὶ τὰ ἱμάτια αὐτῶν, καὶ αἱ σκιαὶ δαίμοσιν ἦσαν φοβεραί, καὶ θανάτῳ, καὶ νοσήματι; Καὶ ἄγγελοι ᾐδέσθησαν ἀνθρώπους, καὶ ἐτίμησαν μεθ' ὑπερβολῆς. Πῶς γὰρ οὐκ ἔμελλον, οὓς ὁ Δεσπότης αὐτῶν ἐτίμα; Καὶ ἐν τῇ Παλαιᾷ καὶ ἐν τῇ Καινῇ τοῦτό ἐστιν ἰδεῖν. Διὰ τοῦτο λέγει· «Κατὰ τὸ ὕψος σου ἐπολυώρησας τοὺς υἱοὺς τῶν ἀνθρώπων».

Ἐννοήσαντες τοίνυν τὸ μέγεθος τῆς τιμῆς, ἀξίαν παράσχωμεν τὴν ὑπὲρ ταύτης ἀμοιβήν, ἵνα μὴ τῆς τιμῆς ἡ ὑπερβολὴ ἐφόδιον ἡμῖν τιμωρίας γένηται· ἧς ῥυσθείημεν ἅπαντες οἵ τε διδάσκοντες ταῦτα καὶ οἱ μανθάνοντες, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

18. Ἐφ. 14, 21.
19. Ἰησ. Ν. 10, 10-14.
20. Δ΄ Βασ. 20, 21.
21. Δαν. 3, 23.
22. Δαν. 6, 22.
23. Ἰὼβ 42, 10.
24. Πράξ. 19, 11-12 καὶ 5, 15.

ἐμαίνετο εἰς τὴν ἀρχὴν ἔπειτα ἐσιγοῦσε καὶ ἐνῷ ἦτο δεμένη, ἐσύριζεν.

Καὶ τὰ θηρία ἐπίσης γνωρίζουν νὰ σέβωνται τοὺς φίλους τοῦ Θεοῦ, τὰ ὁποῖα, καὶ ἂν ἀκόμη τὰ θερίζη ἡ πεῖνα, γίνονται φιλοσοφικώτερα. Ἂς νοιώσουν ἐντροπὴν οἱ κοιλιόδουλοι σκεπτόμενοι τὴν ἐγκράτειαν τῶν θηρίων. Λεοντάρια εἶδον τὸν Δανιὴλ καὶ ἔδειξαν ἐγκράτειαν, ἐμεῖς βλέποντες τὸν Υἱὸν τοῦ Θεοῦ νὰ ἔρχεται πρὸς ἡμᾶς, δὲν φιλοσοφοῦμεν. Ἐπροτίμησαν τὰ λεοντάρια νὰ πεθάνουν ἀπὸ τὴν πεῖναν, παρὰ νὰ ἐγγίσουν τὸ σῶμα τοῦ ἁγίου, ἐνῷ ἐμεῖς βλέποντες γυμνὸν τὸν Χριστὸν νὰ γυρίζῃ ἐδῶ καὶ ἐκεῖ καὶ νὰ λειώνῃ ἀπὸ τὴν πεῖναν. οὔτε τὰ περιττὰ δὲν τοῦ προσφέρομεν, ἀλλά, ζῶντες πλουσιοπάροχα, περιφρονοῦμεν τοὺς ἁγίους. Ἡ γῆ πάλιν προσέφερεν ἀπὸ τοὺς κόλπους της εἰς ἄλλον φίλον τοῦ Θεοῦ τόσα πολλὰ δῶρα, τόσην ἀφθονίαν καρπῶν, ὅσην ποτὲ ἄλλοτε προηγουμένως[23]. Καὶ διατί θαυμάζεις, ἐὰν αὐτοὶ ἔτυχον σεβασμοῦ, τὴν στιγμὴν βέβαια ποὺ καὶ τὰ ἐνδύματα τῶν ἀποστόλων καὶ αἱ σκιαὶ των ἦταν φοβεραὶ εἰς τοὺς δαίμονας καὶ εἰς τὸν θάνατον καὶ εἰς τὰ νοσήματα[24]; Καὶ οἱ ἄγγελοι ἐσεβάσθησαν τοὺς ἀνθρώπους καὶ τοὺς ἐτίμησαν ὑπερβολικά. Διότι πῶς ἦτο δυνατὸν νὰ μὴ συμβῇ αὐτὸ εἰς ἐκείνους ποὺ ὁ Κύριος αὐτῶν τοὺς ἐτιμοῦσεν; Αὐτὸ εἶναι δυνατὸν νὰ τὸ ἴδῃ κανεὶς νὰ συμβαίνῃ καὶ εἰς τὴν Παλαιὰν καὶ εἰς τὴν Καινὴν Διαθήκην. Διὰ τοῦτο λέγει· «Ὅσον εἶναι τὸ ὕψος ἀπὸ τὸ ὁποῖον μᾶς παρακολουθεῖς τόσον μεγάλη εἶναι ἡ φροντίς σου διὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων».

Σκεπτόμενοι λοιπὸν τὸ μέγεθος τῆς τιμῆς, ἂς προσφέρωμεν ἀνταξίαν ἀμοιβὴν ὑπὲρ αὐτῆς τῆς τιμῆς, διὰ νὰ μὴ μᾶς γίνῃ ἡ ὑπερβολικὴ αὐτὴ τιμὴ ἀφορμὴ τιμωρίας, τὴν ὁποίαν εὔχομαι νὰ ἀποφύγωμεν ὅλοι καὶ οἱ διδάσκοντες αὐτὰ καὶ οἱ διδασκόμενοι, μὲ τὴν βοήθειαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει πᾶσα δόξα καὶ τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ
ΕΙΣ ΤΟΝ ΙΒ΄ ΨΑΛΜΟΝ

«Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυίδ». Ἄλλος, «Ἐπινίκιος ᾠδὴ τοῦ Δαυίδ». Ἄλλος, «Εἰς νῖκος».

«Ἕως πότε, Κύριε, ἐπιλήσῃ μου εἰς τέλος;». Ἄλλος «Ἐκλανθάνῃ μου τέλεον». «Ἕως πότε ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ᾿ ἐμοῦ;». Ἄλλος, «Κρύπτεις». «Ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου;». Ἄλλος, «Τάξω γνώμας». «Ὀδύνας ἐν καρδίᾳ μου ἡμέρας καὶ νυκτός;» Ἄλλος, «Μέριμναν ἐν τῇ διανοίᾳ μου καθ᾿ ἡμέραν».

1. Οὐ μικρὸν καὶ τοῦτο ἀγαθόν, τὸ λαμβάνειν αἴσθησιν τῆς τοῦ Θεοῦ λήθης. Λήθην δὲ μὴ πάθος εἶναι νόμιζε, ἀλλὰ τὴν ἐγκατάλειψιν. Πολλοὶ γοῦν, τοῦτο παθόντες, οὐδὲ αὐτὸ τοῦτο ἴσασιν, οὐδὲ ὀδύρονται· οὗτος δὲ ὁ μακάριος οὐ μόνον αὐτὸ ᾔδει, ἀλλὰ καὶ τὸν χρόνον ἀνελογίζετο. Τὸ γάρ, «Ἕως πότε», δεικνύντος ἐστὶ μακρὸν ὄντα τὸν χρόνον· διὰ τοῦτο καὶ ὀδύρεται καὶ θρηνεῖ. Σὺ δέ μοι σκόπει πῶς οὐδαμοῦ βιωτικοῦ τινος ἕνεκεν ἀλγεῖ, οὐχ ὑπὲρ χρημάτων, οὐχ ὑπὲρ δόξης, ἀλλ᾿ ὑπὲρ τῆς εὐνοίας πανταχοῦ. Καὶ πόθεν, φησίν, ἔγνω ὅτι ἐπελάθετο αὐτοῦ ὁ Θεός; Ἐπειδὴ ᾔδει καὶ πότε ἐμέμνητο, καὶ σαφῶς ἠπίστατο τί μὲν λήθη, τί δὲ μνήμη· οὐ

1. Εἶναι ψαλμὸς τοῦ Δαυὶδ καὶ ἐγράφη πιθανὸν ὅταν ἐδιώκετο ὑπὸ τοῦ Σαούλ. Ἀρχίζει μὲ τὸ παράπονον τοῦ Δαυὶδ διὰ τὴν δῆθεν ἐγκατάλειψίν του ὑπὸ τοῦ Θεοῦ, καταλήγει ὅμως μὲ τὴν ἐκδήλωσιν τῆς ἐλπίδος του ὅτι ὁ Θεὸς θὰ τὸν ἐλευθερώσῃ ἀπὸ τὰς συνεχεῖς θλίψεις.

ΟΜΙΛΙΑ
ΕΙΣ ΤΟΝ ΙΒ΄ ΨΑΛΜΟΝ[1]

Τίτλος˙ «Εἰς τὸ τέλος, ψαλμὸς τοῦ Δαυΐδ». Ἄλλος τίτλος, «Ἐπινίκιος ᾠδὴ τοῦ Δαυΐδ». Ἄλλος, «Ὑπὲρ τῆς νίκης».

«Ἕως πότε, Κύριε, θὰ μὲ ἔχης λησμονημένον τελείως;». Ἄλλος λέγει, «Θὰ μὴ λησμονῇς τελείως». «Ἕως πότε θὰ ἀποστρέφης τὸ πρόσωπόν σου ἀπὸ ἐμένα;». Ἄλλος λέγει, «Θὰ τὸ κρύπτῃς». Ἕως πότε θὰ συλλαμβάνω σχέδια καὶ ἀποφάσεις εἰς τὴν ψυχήν μου;». Ἄλλος λέγει, «Θὰ θέτω ἀποφάσεις». «Καὶ θὰ δοκιμάζῃ ἡ καρδία μου νύκτα καὶ ἡμέραν θλίψεις;». Ἄλλος λέγει, «Θὰ καταλαμβάνεται ἀπὸ καθημερινὴν μέριμναν ἡ σκέψις μου».

1. Δὲν εἶναι καὶ αὐτὸ μικρὸν ἀγαθόν, τὸ νὰ αἰσθάνεται κανεὶς ὅτι ὁ Θεὸς τόν ἐλησμόνησεν. Ὡς λήθην δὲ μὴ θεωρῇς κάποιο πάθος, ἀλλὰ τὴν ἐγκατάλειψιν. Πολλοὶ βέβαια ποὺ ἔπαθον αὐτὴν τὴν ἐγκατάλειψιν οὔτε τὴν ἀντιλαμβάνονται, οὔτε ὀδύρονται δι' αὐτό, ἐνῷ ὁ μακάριος αὐτὸς ὄχι μόνον τὸ ἀντελήφθη αὐτό, ἀλλὰ καὶ ἐσκέπτετο καὶ τὸν χρόνον τῆς ἐγκαταλείψεως. Διότι τό, «Ἕως πότε», δείχνει ὅτι ἦτο μακρὸν τὸ χρονικὸν διάστημα τῆς ἐγκαταλείψεως˙ διὰ τοῦτο καὶ ὀδύρεται καὶ θρηνεῖ. Σὺ ὅμως πρόσεχε, σὲ παρακαλῶ, πῶς εἰς καμμίαν περίπτωσιν δὲν λυπεῖται ἐξ αἰτίας κάποιου βιωτικοῦ πράγματος, δὲν λυπεῖται ὑπὲρ χρημάτων, οὔτε ὑπὲρ τῆς δόξης, ἀλλὰ παντοῦ λυπεῖται ποὺ ἔχασε τὴν εὔνοιαν τοῦ Θεοῦ. Καὶ ἀπὸ πού, λέγει, ἀντελήφθη ὅτι τὸν ἐγκατέλειψεν ὁ Θεός; Ἀπὸ τὸ ὅτι ἐγνώριζε καὶ πότε εἶχε τὴν συμπαράστασίν του καὶ

καθάπερ οἱ πολλοὶ τῶν ἀνθρώπων ὅταν πλουτῶσιν, ὅταν εὐδοκιμῶσι παρὰ τοῖς ἀνθρώποις, ὅταν αὐτοῖς κατὰ ῥοῦν ἅπαντα φέρηται, ὅταν τῶν ἐχθρῶν κρατῶσι, τότε νομίζουσι μεμνῆσθαι αὐτῶν τὸν Θεόν, διὰ τοῦτο οὔτε πότε αὐτῶν ἐπιλανθάνεται ἴσασιν. Οἱ γὰρ τῆς μνήμης τὸ σημεῖον οὐκ εἰδότες, οὐδὲ τὸ τῆς λήθης ἐπίστανται. Εἰ γὰρ τὰ τῆς φιλίας σύμβολα οὐκ ἐπίστανται, οὐδὲ τὰ τῆς ἔχθρας γινώσκουσι. Πολλῶν γὰρ τῶν ταῦτα ἐχόντων ἐπιλανθάνεται ὁ Θεός, καὶ μάλιστα τούτων, τῶν δὲ ἐν τοῖς ἐναντίοις ὄντων μέμνηται πολλάκις. Μνήμην γὰρ οὐδὲ οὕτω ποιεῖ παρὰ τῷ Θεῷ, ὡς τὸ ἀγαθόν τι ποιεῖν, τὸ νήφειν, τὸ ἐγρηγορέναι, τὸ ἀρετῆς ἐπιμελεῖσθαι· ὥσπερ οὖν λήθην οὐδὲν ἕτερον, ὡς τὸ ἐν ἁμαρτίαις εἶναι καὶ πλεονεξίαις καὶ ἁρπαγαῖς.

Καὶ σὺ τοίνυν, ἀγαπητέ, ὅταν ἐν συμφοραῖς ᾖς, μὴ λέγε, ὅτι 'ἐπελάθετό μου ὁ Θεός', ἀλλ' ὅταν ἐν ἁμαρτίαις ᾖς, καὶ πάντα σοι κατὰ ῥοῦν φέρηται. Ἂν γὰρ τοῦτο ᾖς εἰδώς, ταχέως ἀποστήσῃ τῶν πονηρῶν πραγμάτων. «Ἕως πότε ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ;». Τοῦτο ἐπιτεταμένη λήθη. Ἀπὸ γὰρ τῶν ἀνθρωπίνων σχημάτων τοῦ Θεοῦ τὰς ἐνεργείας δείκνυσι, καὶ τὴν ὀργὴν αὐτοῦ καὶ τὴν κόλασιν χαρακτηρίζει. Ἀποστρέφει δὲ πάλιν ὁ Θεὸς τὸ πρόσωπον αὐτοῦ, ὅταν ἀνάξια πράττωμεν τῶν ἐπιταγμάτων αὐτοῦ. Ὅταν γὰρ ἐκτείνητε, φησί, τὰς χεῖρας ὑμῶν, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν. Εἶτα καὶ ἡ **αἰτία**. *«Αἱ γὰρ χεῖρες*

ἐγνώριζε σαφῶς τί μὲν σημαίνει ἐγκατάλειψις, τί δὲ συμπαράστασις· ὄχι ὅπως ἀκριβῶς οἱ περισσότεροι ἀπὸ τοὺς ἀνθρώπους, ποὺ τότε νομίζουν ὅτι τοὺς ἐνθυμεῖται ὁ Θεός, ὅταν πλουτοῦν, ὅταν εὐημεροῦν μεταξὺ τῶν ἀνθρώπων, ὅταν ὅλα τοὺς ἔρχονται ὅπως αὐτοὶ τὰ θέλουν, ὅταν ὑπερισχύουν τῶν ἀντιπάλων των· διὰ τοῦτο οὔτε γνωρίζουν αὐτοὶ πότε τοὺς ἐγκαταλείπει ὁ Θεός. Διότι ἐκεῖνοι ποὺ δὲν γνωρίζουν τὴν ἀπόδειξιν τῆς ἐνθυμήσεως καὶ συμπαραστάσεως, οὔτε τῆς ἐγκαταλείψεως γνωρίζουν. Ἐὰν δηλαδὴ δὲν γνωρίζουν τὰ σύμβολα τῆς φιλίας, οὔτε τῆς ἔχθρας γνωρίζουν. Διότι πολλοὺς ἀπὸ τοὺς ἀνθρώπους καὶ κατ' ἐξοχὴν αὐτοὺς ποὺ ἔχουν αὐτά, τοὺς λησμονεῖ ὁ Θεός, ἐνῷ ἐκείνους ποὺ εὑρίσκονται εἰς τὴν ἀντίθετον κατάστασιν τοὺς ἐνθυμεῖται πάντοτε. Καθ' ὅσον τίποτε δὲν κάμνει τόσον πολὺ τὸν Θεὸν νὰ ἐνθυμῆται κάποιον, ὅσον τὸ νὰ πράττῃ ἀγαθὰ ἔργα, τὸ νὰ εἶναι σώφρων, νὰ ἐπαγρυπνῇ διὰ τὸ καλὸν τῆς ψυχῆς του, τὸ νὰ φροντίζῃ διὰ τὴν ἀρετήν, ὅπως πάλιν βέβαια τίποτε ἄλλο δὲν συντελεῖ εἰς τὴν ἐγκατάλειψιν κάποιου ὑπὸ τοῦ Θεοῦ, ὅσον τὸ νὰ ζῇ μέσα εἰς τὴν ἁμαρτίαν, τὴν πλεονεξίαν καὶ τὰς ἁρπαγάς.

Καὶ σὺ λοιπόν, ἀγαπητέ, ὅταν σὲ εὑρίσκουν αἱ συμφοραὶ νὰ μὴ λέγῃς, ὅτι 'μὲ ἐλησμόνησεν ὁ Θεός', ἀλλὰ ὅταν ζῇς μέσα εἰς τὴν ἁμαρτίαν καὶ ὅταν ὅλα σοῦ ἔρχονται ὅπως τὰ θέλεις. Ἂν λοιπὸν τὸ γνωρίζῃς αὐτό, ἀμέσως θὰ ἀπομακρυνθῇς ἀπὸ τὰς πονηρὰς πράξεις. «Ἕως πότε θὰ ἀποστρέφῃς τὸ πρόσωπόν σου ἀπὸ ἐμένα;». Αὐτὸ εἶναι μεγίστου βαθμοῦ ἐγκατάλειψις. Διότι ὁ ψαλμῳδὸς δείχνει τὰς ἐνεργείας τοῦ Θεοῦ ἀπὸ τὰ ἀνθρώπινα σχήματα καὶ ἀπὸ αὐτὰ χαρακτηρίζει τὴν ὀργήν του καὶ τὴν τιμωρίαν. Ἀποστρέφει δὲ πάλιν ὁ Θεὸς τὸ πρόσωπόν του, ὅταν πράττωμεν ἀνάξια ἀπὸ τὰ παραγγέλματά του. Διότι, λέγει, ὅταν ἁπλώνετε τὰ χέρια σας πρὸς ἐμένα, θὰ ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀπὸ σᾶς. Ἔπειτα ἀναφέρεται καὶ ἡ

ὑμῶν αἵματος πλήρεις». Ἀλλὰ καὶ τοῦτο πάλιν κηδεμονίας πολλῆς, καὶ ἡ ἐγκατάλειψις, καὶ ἡ ἀποστροφὴ τοῦ προσώπου· ποιεῖ δὲ τοῦτο, ἵνα σφοδρότερον ἡμᾶς ἐπισπάσηται. Ἐπεὶ καὶ ἐραστὴς μανικὸς τὸν ἐρώμενον ὑπερορῶντα ἀφίησι καὶ ἐγκαταλιμπάνει οὐκ ἐκβάλλων αὐτὸν τῆς διανοίας, ἀλλὰ ἐπιστρέψαι αὐτὸν βουλόμενος, καὶ ἑαυτῷ συνάψαι.

Εἰπὼν δὲ τὴν ἀποστροφήν, λέγει καὶ τὴν λήθην, καὶ τὰ ἐξ αὐτῆς αὐτῷ προσγενόμενα. Τίνα δὴ ταῦτά ἐστιν; Ἃ ἐπάγει λέγων· «Ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου;». Ὥσπερ γὰρ ὁ τοῦ λιμένος ἐξελθὼν πανταχοῦ πλανᾶται, καὶ ὁ τοῦ φωτὸς ἀποστερηθεὶς πολλοῖς προσπταίει, οὕτω δὴ καὶ ὁ εἰς λήθην ἐμπεσὼν τοῦ Θεοῦ, φροντίσι, καὶ μερίμναις, καὶ ὀδύναις ἐκδίδοται διηνεκῶς. Οὐ μικρὸν δὲ καὶ τοῦτο εἰς τὸ τὸν Θεὸν ἐπιστρέψαι πρὸς ἑαυτόν, τὸ μεριμνᾶν, τὸ φροντίζειν τὸ τήκεσθαι, τὸ ὀδυνᾶσθαι, τὸ λόγον ποιεῖσθαι αὐτοῦ τῆς ἀποστροφῆς. Ὃ καὶ Παῦλος Κορινθίοις γράφων περὶ ἑαυτοῦ φησι· «Καὶ τίς ἐστιν ὁ εὐφραίνων με, εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ;». Οὐ μικρὸν γὰρ τοῦτο, ἀγαπητέ, κέρδος, τὸ αἰσθάνεσθαι τῆς ἀποστροφῆς τοῦ Θεοῦ, τὸ ἀλγεῖν, τὸ ὀδυνᾶσθαι. Οὕτω γὰρ αὐτὸν ταχέως πρὸς ἡμᾶς ἐπιστρέψομεν.

«Ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ' ἐμέ; Ἐπίβλεψον, εἰσάκουσόν μου, Κύριε ὁ Θεός μου. Φώτισον τοὺς ὀφθαλμούς μου, μή ποτε ὑπνώσω εἰς θάνατον». Ὥσπερ γὰρ ἀντεχομένου τοῦ Θεοῦ, καὶ μεθ' ἡμῶν ὄντος, τὰ λυποῦντα ἐκποδὼν ἅπαντα γίνεται, οὕτως ἀποστάντος καὶ ἐπιλαθομένου, καὶ ψυχὴ

αἰτία. «Διότι τὰ χέρια σας εἶναι γεμᾶτα ἀπὸ αἷμα». Ἀλλὰ καὶ αὐτὸ πάλιν εἶναι δεῖγμα μεγάλης κηδεμονίας, καὶ ἡ ἐγκατάλειψις καὶ ἡ ἀποστροφὴ τοῦ προσώπου του· τὸ κάμνει δὲ αὐτό, διὰ νὰ μᾶς προσελκύσῃ περισσότερον. Διότι καὶ ἐραστὴς μανιακός, βλέπων νὰ τὸν περιφρονῇ αὐτὸς ποὺ ἀγαπᾷ, τὸν ἀφήνει καὶ τὸν ἐγκαταλείπει, χωρὶς νὰ τὸν βγάζῃ ἀπὸ τὴν σκέψιν του, ἀλλ᾽ ἐπειδὴ θέλει νὰ τὸν κάνῃ νὰ ἐπιστρέψῃ καὶ νὰ τὸν προσκολλήσῃ εἰς τὸν ἑαυτόν του.

Ἀφοῦ δὲ ὡμίλησε διὰ τὴν ἀποστροφήν, ὁμιλεῖ καὶ διὰ τὴν ἐγκατάλειψιν ἐκ μέρους τοῦ Θεοῦ καὶ διὰ τὰ ἐπακόλουθα αὐτῆς δι᾽ αὐτόν. Ποῖα λοιπὸν εἶναι αὐτά; Αὐτὰ ποὺ ἀναφέρει εἰς τὴν συνέχειαν. «Ἕως πότε θὰ κάνω σχέδια εἰς τὴν ψυχήν μου;». Διότι ὅπως ἀκριβῶς ἐκεῖνος ποὺ θὰ βγῇ ἀπὸ τὸν λιμένα περιπλανᾶται παντοῦ, καὶ ἐκεῖνος ποὺ ἔχασε τὸ φῶς του σκοντάφτει ἐπάνω εἰς πολλὰ πράγματα, ἔτσι λοιπὸν καὶ ἐκεῖνος ποὺ ἐγκαταλείφθη ἀπὸ τὸν Θεόν, παραδίδεται συνεχῶς εἰς φροντίδας καὶ μερίμνας καὶ ὀδύνας. Δὲν εἶναι δὲ καὶ αὐτὸ μικρὸν πρᾶγμα τὸ νὰ ἐπιστρέψῃ τὸν Θεὸν πρὸς τὸν ἑαυτόν του, τὸ νὰ μεριμνᾷ, τὸ νὰ φροντίζῃ, τὸ νὰ λειώνῃ, τὸ νὰ πονᾷ, τὸ νὰ ζητῇ τὸν λόγον τῆς ἀποστροφῆς τοῦ Θεοῦ. Πρᾶγμα ποὺ καὶ ὁ Παῦλος λέγει, γράφων πρὸς τοὺς Κορινθίους περὶ τοῦ ἑαυτοῦ του· «Καὶ ποῖος εἶναι ἐκεῖνος ποὺ προξενεῖ χαράν, παρὰ ἐκεῖνος ποὺ λυπεῖται ἐξ αἰτίας μου;». Δὲν εἶναι λοιπὸν αὐτό, ἀγαπητέ, μικρὸν κέρδος, τὸ νὰ αἰσθάνεσαι τὴν ἀποστροφὴν τοῦ Θεοῦ, τὸ νὰ λυπῆσαι, τὸ νὰ πονῇς. Διότι ἔτσι θὰ τὸν ἐπιστρέψωμεν πρὸς ἡμᾶς.

«Ἕως πότε θὰ ὑψώνεται ἐπάνω ἀπὸ ἐμένα ἰσχυρότερος ὁ ἐχθρός μου; Ρίψε τὸ βλέμμα σου ἐπάνω μου, εἰσάκουσε τὴν προσευχήν μου, Κύριε ὁ Θεός μου. Φώτισε τοὺς ὀφθαλμούς μου, μὴ τυχὸν καὶ κυριευθῶ ἀπὸ τὸν ὕπνον τῆς ἁμαρτίας». Διότι ὅπως ἀκριβῶς, ὅταν ὁ Θεὸς εἶναι πλησίον μας καὶ μᾶς βοηθῇ, ὅλα τὰ δυσάρεστα ἐξαφανίζονται, ἔτσι ὅταν φύγῃ ἀπὸ κοντά μας καὶ μᾶς λησμο-

διακόπτεται, καὶ καρδία ὀδυνᾶται, καὶ οἱ λυποῦντες ἐπεμβαίνουσι, καὶ πάντα κρημνοὶ καὶ σκόπελοι. Συγχωρεῖται δὲ ταῦτα συμφερόντως, ὥστε διὰ πάντων δακνομένους τοὺς ῥαθυμοτέρους σπουδαιότερον ἐπανελθεῖν, ὅθεν ἐξέπεσον. «Παιδεύσει γάρ σε», φησίν, «ἡ ἀποστασία σου, καὶ ἡ κακία σου ἐλέγξει σε». Ὥστε καὶ ἡ ἐγκατάλειψις τοῦ Θεοῦ προνοίας εἶδός ἐστιν. Ὅταν γὰρ προνοῶν καὶ κηδόμενος καταφρονῆται, ἀφίησι μικρὸν καὶ ἐγκαταλιμπάνει, ἵνα τότε τῆς ῥαθυμίας ἐκβληθείσης, σπουδαιότεροι οἱ ὀλίγωροι γένωνται.

11. Ἑβρ. 11, 25.

κάποιο θερμὸν πρᾶγμα καὶ δὲν θὰ ἠμποροῦσεν ἡ ψυχὴ νὰ τὸν κρατήσῃ σιωπηλόν. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγε πρὸς τοὺς Κορινθίους ἐκδηλώνων τὴν ἀγάπην του· «Τὸ στόμα μου ἤνοιξε πρὸς ἐσᾶς, Κορίνθιοι»[9]· δηλαδή, δὲν ἠμπορῶ νὰ κρατῶ μυστικὴν καὶ σιωπηλὴν τὴν ἀγάπην μου, ἀλλὰ συνεχῶς καὶ ὅπου καὶ ἂν εὑρίσκωμαι σᾶς ἔχω εἰς τὴν σκέψιν μου καὶ εἰς τὴν γλῶσσαν μου. Ἔτσι καὶ αὐτὸς ὁ μακάριος, ἀγαπῶν τὸν Θεὸν καὶ καιόμενος ἀπὸ τὴν ἀγάπην του αὐτήν, δὲν ἀνέχεται νὰ σιωπᾷ, ἀλλ᾽ ἄλλοτε μὲν λέγει, «Ὅπως ἡ διψασμένη ἔλαφος τρέχει μὲ πόθον πρὸς τὰς πηγὰς τῶν ὑδάτων, ἔτσι σὲ ποθεῖ, Θεέ μου, ἡ ψυχή μου», ἄλλοτε δέ, «Θεέ μου, Θεέ μου, πρὸς ἐσένα καταφεύγω πολὺ πρωί. Διψᾷ ἡ ψυχή μου δι᾽ ἐσένα, ὅπως ἡ ἄβατος γῆ καὶ ἄνυδρος καὶ ἔρημος»[10]. Διότι ἔτσι ἐξηγεῖ κάποιος ἄλλος ἀπὸ τοὺς ἑρμηνευτάς. Ἐπειδὴ δηλαδὴ δὲν ἠμπορεῖ νὰ παραστήσῃ μὲ λόγια τὸν ἔρωτά του, ζητεῖ νὰ εὕρῃ ὑπόδειγμα, ὥστε ἔστω καὶ ἔτσι νὰ μᾶς δείξῃ τὴν ἀγάπην του πρὸς αὐτὸν καὶ νὰ μᾶς καταστήσῃ κοινωνοὺς τοῦ ἔρωτός του.

Ἂς πειθώμεθα λοιπὸν εἰς αὐτὸν καὶ ἂς μάθωμεν ἔτσι νὰ ἀγαπῶμεν. Καὶ ἂς μὴ μοῦ λέγῃ κανείς· καὶ πῶς ἠμπορῶ νά ἀγαπῶ τὸν Θεὸν ποὺ δὲν τὸν βλέπω; Καὶ ὅμως πολλοὺς ἀγαπῶμεν ἂν καὶ δὲν τοὺς βλέπομεν, ὅπως ἐπὶ παραδείγματι τοὺς φίλους μας ποὺ εὑρίσκονται εἰς τὴν ξενιτειάν, ἢ τὰ παιδιά μας καὶ τοὺς πατέρας μας, ἢ τοὺς συγγενεῖς καὶ τοὺς οἰκείους μας, καὶ ὅμως τίποτε δὲν ἐμποδίζει νὰ τοὺς ἀγαπῶμεν τὸ ὅτι δὲν τοὺς βλέπομεν, ἀλλ᾽ ἀκριβῶς αὐτὸ τὸ γεγονὸς πρὸ πάντων ἀνάβει τὴν ἀγάπην καὶ αὐξάνει τὸν πόθον. Διὰ τοῦτο καὶ ὁ Παῦλος ὁμιλῶν περὶ τοῦ Μωϋσέως, λέγει ὅτι ἐγκαταλείψας θησαυροὺς καὶ πλοῦτον καὶ βασιλικὴν δόξαν καὶ ὅλην τὴν ἄλλην λαμπρότητα ποὺ εἶχεν εἰς τὴν Αἴγυπτον, ἐπροτίμησε νὰ ταλαιπωρῆται μαζὶ μὲ τοὺς Ἰουδαίους[11]· εἰς τὴν συνέχειαν διδάσκων ἡμᾶς τὴν αἰτίαν αὐτῆς τῆς προτιμήσεως, ὅτι δηλαδὴ

προσέθηκε· «Τὸν γὰρ ἀόρατον ὡς ὁρῶν ἐκαρτέρει». Οὐχ ὁρᾷς τὸν Θεόν, ἀλλ' ὁρᾷς τὰ δημιουργήματα, ὁρᾷς αὐτοῦ τὰ ἔργα, οὐρανόν, καὶ γῆν, καὶ θάλατταν. Ὁ δὲ φιλῶν, κἂν ἔργον ὁτιοῦν ἕτερον, διαθερμαίνεται. Οὐχ ὁρᾷς τὸν Θεόν, ἀλλ' ὁρᾷς αὐτοῦ τοὺς οἰκέτας, τοὺς φίλους, τοὺς ἁγίους ἄνδρας λέγω καὶ παρρησίαν ἔχοντας. Θεράπευσον ἐκείνους νῦν, καὶ ἕξεις τοῦ πόθου παραμυθίαν οὐ τὴν τυχοῦσαν. Καὶ γὰρ ἐπ' ἀνθρώπων, οὐχὶ τοὺς φίλους ἡμῶν μόνον, ἀλλὰ καὶ τοὺς ὑπ' ἐκείνων φιλουμένους φιλεῖν εἰώθαμεν. Κἂν εἴπῃ τις τῶν ἐρωμένων τῶν ἡμετέρων, ὅτι τὸν δεῖνα φιλῶ, κἂν ἐκεῖνός τι πάθῃ χρηστόν, ἐγὼ τῆς εὐεργεσίας ἀπολαύειν νομίζω· πάντα ποιοῦμεν καὶ πραγματευόμεθα, ὥσπερ αὐτὸν τὸν ἐρώμενον ὁρῶντες, οὕτω πᾶσαν περὶ ἐκεῖνον ἐπιδείξασθαι σπουδήν.

Ἔξεστι τοῦτο καὶ ἐπὶ τοῦ Χριστοῦ κατορθῶσαι νῦν. Εἶπεν, ὅτι τοὺς πένητας φιλῶ· κἂν οὗτοί τι πάθωσιν ἀγαθόν, ὡς αὐτὸς ἀπολελαυκώς, οὕτως ἀποδίδωμι τὴν ἀμοιβήν. Πάντα ποιήσωμεν ὑπὲρ τῆς εἰς αὐτοὺς θεραπείας· μᾶλλον δὲ πάντα τὰ ὄντα κενώσωμεν εἰς αὐτούς, πιστεύοντες διὰ τούτων τὸν Θεὸν τρέφειν. Ὅτι γὰρ αὐτὸς τρέφεται τούτων τρεφομένων, ἄκουσον τοῦ Χριστοῦ τί φησι· «Πεινῶντά με γὰρ εἴδετε», φησί, «καὶ ἐθρέψατε· διψῶντα, καὶ ἐποτίσατε· γυμνόν, καὶ περιεβάλετε»· καὶ πολλὰς ἡμῖν ἔδωκεν ἀφορμὰς τοῦ παραμυθεῖσθαι τὸν πόθον τὸν ἡμέτερον. Ἄλλως δὲ τὸν ἔρωτα τὸν παρ' ἡμῖν τρία ταῦτα ποιεῖν εἴωθεν, ἢ εὐμορφία σώματος, ἢ εὐεργεσίας μέγεθος, ἢ τὸ φιλεῖσθαι παρ' αὐτοῦ. Τούτων γὰρ ἕ-

---

12. Αὐτόθι 27.
13. Ματθ. 25, 35 - 36.

ὅλα αὐτὰ τὰ ἔκαμνε διὰ τὸν Θεόν, ἐπρόσθεσε· «Διότι ἐθεώρει τὸν ἀόρατον Θεὸν ὡς ὁρατόν»[12]. Δὲν βλέπεις τὸν Θεόν, ἀλλὰ βλέπεις τὰ δημιουργήματά του, βλέπεις τὰ ἔργα του, τὸν οὐρανόν, τὴν γῆν καὶ τὴν θάλασσαν. Ἐκεῖνος δὲ ποὺ ἀγαπᾷ, εἴτε ἴδῃ κάποιο ἔργον ἐκείνου ποὺ ἀγαπᾷ, εἴτε ὑπόδημα, εἴτε ἔνδυμα, εἴτε ὁτιδήποτε ἄλλο, αὐξάνει ἡ φλόγα τῆς ἀγάπης του. Δὲν βλέπεις τὸν Θεόν, ἀλλὰ βλέπεις τοὺς ὑπηρέτας του, τοὺς φίλους του, ἐννοῶ τοὺς ἁγίους ἄνδρας ποὺ ἔχουν παρρησίαν ἐνώπιόν του. Ὑπηρέτησε ἐκείνους τώρα καὶ θὰ ἔχῃς ὄχι τυχαίαν παρηγορίαν διὰ τὸν πόθον σου δι' αὐτόν. Καθ' ὅσον εἰς τὴν περίπτωσιν τῶν ἀνθρώπων, συνηθίζομεν νὰ ἀγαπῶμεν ὄχι μόνον τοὺς φίλους μας, ἀλλὰ καὶ ἐκείνους ποὺ ἀγαποῦν ἐκεῖνοι. Καὶ ἂν εἴπῃ κάποιος ἀπὸ αὐτοὺς ποὺ ἀγαπῶ, ὅτι τὸν τάδε τὸν ἀγαπῶ, ἐὰν ἐκεῖνος δεχθῇ κάποιαν εὐεργεσίαν, ἐγὼ νομίζω ὅτι μετέχει ἐκεῖνος τῆς εὐεργεσίας πρὸς αὐτόν, καὶ κάμνομεν τὰ πάντα δι' αὐτόν, ὡσὰν νὰ βλέπωμεν εἰς τὸ πρόσωπον αὐτοῦ αὐτὸν ποὺ ἀγαπῶμεν, καὶ ἐπιδεικνύομεν ἔτσι κάθε φροντίδα δι' ἐκεῖνον.

Εἶναι δυνατὸν αὐτὸ νὰ τὸ ἐφαρμόσωμεν τώρα καὶ εἰς τὴν περίπτωσιν τοῦ Χριστοῦ. Εἶπεν, ὅτι ἀγαπῶ τοὺς πτωχούς· καὶ ἐὰν αὐτοὶ δεχθοῦν κάποιαν εὐεργεσίαν, ὡσὰν νὰ εὐεργετήθην ἐγὼ ὁ ἴδιος, ἔτσι ἀμείβω αὐτούς. Ἂς κάμωμεν τὰ πάντα διὰ τὴν ἐξυπηρέτησιν αὐτῶν· μᾶλλον δὲ ἂς δώσωμεν ὅλα τὰ ὑπάρχοντά μας εἰς αὐτούς, πιστεύοντες ὅτι δι' αὐτῶν τρέφομεν τὸν Θεόν. Τὸ ὅτι βέβαια τρέφεται ὁ Θεός, ὅταν τρέφωνται αὐτοί, ἄκουσε τί λέγει ὁ Χριστός· «Μὲ εἴδετε πεινασμένον», λέγει, «καὶ μὲ ἐθρέψατε· διψασμένον, καὶ μὲ ἐποτίσατε· γυμνόν, καὶ μὲ ἐνδύσατε»[13]· καὶ πολλὰς ἄλλας εὐκαιρίας μᾶς ἔδωσε διὰ νὰ ἱκανοποιοῦμεν τὸν πόθον μας δι' αὐτόν. Ἄλλωστε δὲ συνήθως τὸν ἔρωτά μας, τὰ τρία αὐτὰ πράγματα τὸν προκαλοῦν, ἢ ἡ ὀμορφιὰ τοῦ σώματος, ἢ τὸ μέγεθος τῆς εὐεργεσίας, ἢ ἡ ἀγάπη ἐκ μέρους αὐτοῦ. Διότι τὸ καθένα ἀπὸ

καστον αὐτὸ καθ' ἑαυτὸ δύναται ἐμποιεῖν φίλτρον ἡμῖν. Κἂν γὰρ μηδὲν ὦμεν εὖ παθόντες παρά τινος, ἀκούωμεν δέ, ὅτι φιλῶν ἡμᾶς διατελεῖ, ἐπαινῶν ἡμᾶς, καὶ θαυμάζων, εὐθέως αὐτῷ συγκολλώμεθα, καὶ στέργομεν ὡς εὐεργέτην, ἐπὶ τοῦ Θεοῦ δὲ οὐχὶ ταῦτα μόνον, ἀλλὰ καὶ τὰ τρία ταῦτά ἐστιν ἰδεῖν μεθ' ὑπερβολῆς τοσαύτης, ὅσην οὐδὲ λόγος παραστῆσαι δυνήσεται. Καὶ πρῶτον, τὸ κάλλος τῆς μακαρίας ἐκείνης καὶ ἀκηράτου φύσεως, ὅτι ἀμήχανον οὕτω πώς ἐστι καί ἄμαχον, καὶ πάντα ὑπερβαῖνον λόγον, καὶ πᾶσαν ἐκφεῦγον διάνοιαν. Κάλλος δὲ ὅταν ἀκούσῃς, μηδὲν σωματικὸν ὑποπτεύσῃς, ἀγαπητέ, ἀλλὰ ἀσώματόν τινα δόξαν καὶ μεγαλοπρέπειαν ἄφραστον.

4. *Ταύτην οὖν ὁ προφήτης ἐκφαίνων ἔλεγε· «Καὶ τὰ Σεραφεὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ, καὶ ταῖς μὲν δυσὶ πτέρυξι κατεκάλυπτον τὸ πρόσωπον, ταῖς δὲ δυσὶ κατεκάλυπτον τοὺς πόδας, ταῖς δὲ δυσὶν ἐπέτοντο καὶ ἔκραζον, ἅγιος, ἅγιος, ἅγιος», ἀπὸ τῆς ἐκπλήξεως, ἀπὸ τοῦ θαύματος, ἀπὸ τῆς εὐπρεπείας ἐκείνης, ἀπὸ τῆς δόξης. Καὶ πάλιν ὁ Δαυὶδ κατανοήσας αὐτὸ τοῦτο τὸ κάλλος, καὶ τὴν δόξαν ἐκπλαγεὶς τῆς μακαρίας ἐκείνης φύσεως, ἔλεγε· «Περίζωσαι τὴν ρομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ, τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου». Διὰ τοῦτο καὶ Μωϋσῆς ἐπεθύμει πολλάκις αὐτὸν ἰδεῖν, τῷ φίλτρῳ τρωθεὶς τούτῳ καὶ τῆς δόξης ἐκείνης ἐρῶν. Διὰ τοῦτο καὶ Φίλιππος ἔλεγε· «Δεῖξον ἡμῖν τὸν Πατέρα, καὶ ἀρκεῖ ἡμῖν». Μᾶλλον δὲ ὅσα ἂν εἴπωμεν, οὐδὲ μικρόν, οὐδὲ ἀμυδρὸν ἴχνος τι τῆς εὐπρεπείας ἐκείνης παραστῆσαι δυνησόμεθα. Ἀλλὰ τὰς εὐεργεσίας βούλῃ καταλέξωμεν; Ἀλλ' οὐδὲ ταύτας λόγος παραστῆσαι δυνήσεται. Διὰ τοῦτο ὁ Παῦλος ἔλεγε· «Χάρις δὲ τῷ Κυρίῳ ἐπὶ τῇ ἀνεκδιηγήτῳ*

14. Ἠσ. 6, 2 - 3.
15. Ψαλμ. 44, 4 - 5.
16. Ἐξ. 33, 13.
17. Ἰω 14, 3.

αὐτὰ αὐτὸ καθ' ἑαυτὸ ἠμπορεῖ νὰ προκαλέσῃ τὴν ἀγάπην μας. Καθ' ὅσον καὶ ἂν ἀκόμη δὲν εὐεργετήθημεν καθόλου ἀπὸ κάποιον, ἀλλ' ἀκούομεν, ὅτι μᾶς ἀγαπᾷ, μᾶς ἐπαινεῖ καὶ μᾶς θαυμάζει, ἀμέσως προσκολλώμεθα εἰς αὐτὸν καὶ τὸν θεωροῦμεν ὡς εὐεργέτην μας, εἰς τὴν περίπτωσιν ὅμως τοῦ Θεοῦ, ὄχι μόνον αὐτά, ἀλλὰ καὶ τὰ τρία αὐτὰ εἶναι δυνατὸν νὰ τὰ ἴδοῦμεν νὰ συμβαίνουν εἰς τόσον ὑπερβολικὸν βαθμόν, ὅσον ποὺ δὲν εἶναι δυνατὸν νὰ ἐκφρασθῇ μὲ λόγια. Καὶ πρῶτα τὸ κάλλος τῆς μακαρίας ἐκείνης καὶ ἀμολύντου φύσεως, τὸ ὁποῖον εἶναι ἀσυναγώνιστον καὶ ἀκατανίκητον καὶ ὑπερβαίνει κάθε λόγον καὶ διαφεύγει κάθε λογικήν. Ὅταν ἀκούσῃς δὲ κάλλος, μὴ σκεφθῇς τίποτε τὸ σωματικόν, ἀγαπητέ, ἀλλὰ κάποιαν ἀσώματον δόξαν καὶ μεγαλοπρέπειαν ἀνέκφραστον.

4. Θέλων λοιπὸν ὁ προφήτης νὰ δηλώσῃ αὐτὴν τὴν δόξαν, ἔλεγε· «Καὶ τὰ Σεραφεὶμ ἐστέκοντο γύρω ἀπὸ αὐτὸν καὶ μὲ τὰς μὲν δύο πτέρυγας ἐκάλυπτον τὸ πρόσωπόν των, μὲ τὰς ἄλλας δύο ἐκάλυπτον τὰ πόδια των, μὲ τὰς δὲ ἄλλας δύο ἐπετοῦσαν καὶ ἔκραζον, ἅγιος, ἅγιος, ἅγιος»[14], ἐξ αἰτίας τῆς ἐκπλήξεως, τοῦ θαυμασμοῦ, τῆς μεγαλοπρεπείας ἐκείνης, ἐξ αἰτίας τῆς δόξης. Καὶ πάλιν ὁ Δαυίδ, κατανοήσας αὐτὸ τὸ κάλλος καὶ ἐκπλαγεὶς ἀπὸ τὴν δόξαν τῆς μακαρίας ἐκείνης φύσεως, ἔλεγε· «Ζῶσε τὴν ρομφαίαν καὶ ἄφησέ την νὰ λάμπῃ ἐπάνω εἰς τὸν μηρόν σου, δυνατέ, μαζὶ μὲ τὴν ὡραιότητα καὶ τὸ κάλλος σου»[15]. Διὰ τοῦτο καὶ ὁ Μωϋσῆς ἐπιθυμοῦσε πολλὲς φορὲς νὰ ἴδῃ αὐτόν, πληγωθεὶς ἀπὸ τὴν ἀγάπην του πρὸς αὐτὸν καὶ τὴν ἀγάπην του πρὸς τὴν δόξαν ἐκείνην[16]. Διὰ τοῦτο καὶ ὁ Φίλιππος ἔλεγε· «Δεῖξέ μας τὸν Πατέρα καὶ μᾶς ἀρκεῖ»[17]. Μᾶλλον δὲ ὅσα καὶ ἂν θὰ ἐλέγαμεν, δὲν θὰ ἠμπορούσαμεν νὰ παραστήσωμεν οὔτε μικρόν, οὔτε κάποιο ἀμυδρὸν ἴχνος τῆς μεγαλοπρεπείας ἐκείνης. Ἀλλὰ μήπως θέλεις νὰ ἀναφέρωμεν τὰς εὐεργεσίας του; Ὅμως οὔτε αὐτὰς ἠμπορεῖ νὰ παραστήσῃ ὁ λόγος. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγε·

αὐτοῦ δωρεᾷ». Καὶ πάλιν· «Ἃ ὀφθαλμὸς οὐκ οἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν». Καὶ πάλιν· «Ὦ βάθος πλούτου, καὶ σοφίας, καὶ γνώσεως Θεοῦ, ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ».

Ἀλλὰ τὸ φίλτρον ὃ περὶ ἡμᾶς ἐπεδείξατο ποῖος παραστήσει λόγος; Τοῦτο γοῦν ἐκπληττόμενος ὁ Ἰωάννης ἔλεγεν· «Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὅτι τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν». Εἰ δὲ βούλει καὶ ἀκοῦσαι αὐτοῦ τῶν ῥημάτων, καὶ τὸν πόθον μαθεῖν, ἄκουσον τί φησι διὰ τοῦ προφήτου· «Μὴ ἐπιλήσεται γυνὴ τοῦ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς; Εἰ δὲ καὶ ἐπιλάθοιτο ταῦτα γυνή, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου». Καὶ καθάπερ οὗτος ἔλεγεν, «Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός», οὕτω καὶ ὁ Χριστός φησι· «Ὃν τρόπον ἐπισυνάγει ὄρνις τὰ ἑαυτῆς νοσσία, οὕτως ἠθέλησα ἐπισυνάξαι τὰ τέκνα ὑμῶν, καὶ οὐκ ἠθελήσατε». Καὶ πάλιν, «Καθὼς οἰκτείρει πατὴρ υἱούς, οὕτως ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν»· καὶ πάλιν, «Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν». Καὶ καθάπερ ὁ προφήτης ὑπόδειγμα ζητεῖ, ἵνα τὸν πόθον ἐνδείξηται τὸν ἑαυτοῦ, οὕτω καὶ ὁ Θεὸς ὑποδείγμασί τισι κέχρηται, ἵνα ἡμῖν δηλώσῃ τὸν ἔρωτα, ὃν περὶ τῆς ἡμετέρας σωτηρίας ἔχει. Καὶ ὁ μὲν προφήτης ἔλαφον εἶπε διψῶσαν, καὶ γῆν ἐκκεκαυμένην,

18. Β΄ Κορ. 9, 15
19. Α΄ Κορ. 2, 9.
20. Ρωμ. 11, 33.
21. Ἰω. 3, 16.
22. Ἠσ. 49, 15.
23. Ματθ. 23, 37.
24. Ματθ. 23, 37.
25. Ψαλμ. 102, 13.
26. Ψαλμ. 102, 11.

«χρεωστοῦμεν εὐγνωμοσύνην εἰς τὸν Κύριον διὰ τὴν ἀπερίγραπτον δωρεάν του»[18]. Καὶ πάλιν· «Αὐτὰ ποὺ ὁ ὀφθαλμὸς ἀνθρώπου δὲν τὰ εἶδε καὶ αὐτὶ δὲν τὰ ἤκουσε καὶ εἰς τὴν καρδίαν τοῦ ἀνθρώπου δὲν ἀνέβησαν, αὐτὰ ποὺ ἡτοίμασεν ὁ Θεὸς δι' ἐκείνους ποὺ τὸν ἀγαποῦν»[19]. Καὶ πάλιν· «Ὢ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως τοῦ Θεοῦ, πόσον ἀνεξερεύνητοι εἶναι αἱ κρίσεις του καὶ ἀνεξιχνίαστοι οἱ ὁδοί του»[20].

Ἀλλὰ τὴν ἀγάπην ποὺ ἔδειξε δι' ἡμᾶς ποῖος λόγος θὰ ἠμποροῦσε νὰ παραστήσῃ; Ἀπὸ αὐτὴν ἐκπληττόμενος ὁ Ἰωάννης, ἔλεγε· «Τόσον πολὺ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε χάριν αὐτοῦ παρέδωσεν εἰς τὸν θάνατον τὸν Υἱόν του τὸν Μονογενῆ»[21]. Ἐὰν δὲ θέλῃς ν' ἀκούσῃς τὰ λόγια του καὶ νὰ γνωρίσῃς τὴν ἀγάπην του, ἄκουσε τί λέγει διὰ τοῦ προφήτου· «Μήπως εἶναι δυνατὸν νὰ λησμονήσῃ ἡ γυναῖκα νὰ θρέψῃ τὰ τέκνα τῆς κοιλίας της; Ἀλλὰ καὶ ἐὰν συνέβαινεν ἡ γυναῖκα νὰ τὰ λησμονήσῃ, ὅμως ἐγὼ δὲν θὰ σὲ λησμονήσω»[22]. Καὶ ὅπως ἀκριβῶς αὐτὸς ἔλεγεν, «Ὅπως ἡ διψασμένη ἔλαφος τρέχει μὲ πόθον πρὸς τὰς πηγὰς τῶν ὑδάτων, ἔτσι καὶ ἡ ψυχή μου σὲ ποθεῖ, Θεέ μου», ἔτσι καὶ ὁ Χριστὸς λέγει· «Ὅπως ἀκριβῶς ἡ ὄρνις συγκεντρώνει τὰ πουλάκια της, ἔτσι ἠθέλησα νὰ συγκεντρώσω τὰ τέκνα σας καὶ δὲν τὸ ἐθελήσατε»[24]. Καὶ πάλιν, «Ὅπως εὐσπλαγχνίζεται καὶ συγχωρεῖ ὁ πατέρας τὰ τέκνα του, ἔτσι καὶ ὁ Κύριος δείχνει εὐσπλαγχνίαν πρὸς ἐκείνους ποὺ τὸν εὐλαβοῦνται καὶ τὸν φοβοῦνται»[25]· καὶ πάλιν· «Ὅση εἶναι ἡ ἀπόστασις τοῦ οὐρανοῦ ἀπὸ τὴν γῆν, τόσον κραταιὸν κατέστησεν ὁ Κύριος τὸ ἔλεός του πρὸς ἐκείνους ποὺ τὸν σέβονται καὶ τὸν φοβοῦνται»[26]. Καὶ ὅπως ἀκριβῶς ὁ προφήτης ζητεῖ παράδειγμα, διὰ νὰ δείξῃ τὸν πόθον του δι' αὐτόν, ἔτσι καὶ ὁ Θεὸς χρησιμοποιεῖ ὡρισμένα παραδείγματα, διὰ νὰ φανερώσῃ εἰς ἡμᾶς τὸν ἔρωτα ποὺ ἔχει διὰ τὴν ἰδικήν μας σωτηρίαν. Καὶ ὁ μὲν προφήτης χρησιμοποιεῖ τὴν εἰκόνα τῆς διψασμένης

ὁ δὲ Θεὸς ὀρνίθων περὶ νεοττοὺς φιλοστοργίαν, καὶ πατέρων κηδεμονίαν, καὶ ὕψος οὐρανοῦ ἀπὸ γῆς, καὶ εὐσπλαγχνίαν μητέρων, οὐκ ἐπειδὴ τοσοῦτον φιλεῖ μόνον, ὅσον μήτηρ παῖδα, ἀλλ' ἐπειδὴ τούτων τῶν ὅρων, καὶ τῶν κανόνων καὶ ὑποδειγμάτων οὐκ ἔστι παρ' ἡμῖν ἕτερα μείζονα φιλίας τεκμήρια. Ἐπεὶ οὐ τοσοῦτον φιλεῖ ἡμᾶς μόνον, ὅσον παιδία μήτηρ φιλόστοργος, ἀλλὰ πολλῷ πλέον, ἄκουσον τί φησιν· «Εἰ γὰρ καὶ ἐπιλάθοιτο», φησί, «γυνὴ τῶν ἐκγόνων αὐτῆς, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου». Τοῦτο δὲ ἔλεγε δεικνύς, ὅτι πάσης φιλοστοργίας θερμότερος ὁ περὶ ἡμᾶς αὐτοῦ πόθος ἐστίν.

Ταῦτα δὲ πάντα συλλέγων ἀναλογίζου πρὸς ἑαυτόν, καὶ θερμὸν ἐργάσῃ τὸν ἔρωτα, καὶ λαμπρὰν ἀνάψεις τὴν φλόγα. Ἐπεὶ οὖν τὰς φιλίας καὶ ἐφ' ἡμῶν τῶν ἀνθρώπων οὐδὲν οὕτως ἐκκαίειν εἴωθεν, ὡς τὸ μεμνῆσθαι τῶν εὐεργεσιῶν, ὧν ἀπελαύσαμεν· καὶ ἐπὶ τοῦ Θεοῦ τοῦτο ποιῶμεν. Ἀναλογισώμεθα πόσα δι' ἡμᾶς ἐποίησεν, αὐτὸν τὸν οὐρανόν, τὴν γῆν, τὴν θάλατταν, τὸν ἀέρα, τὰ ἐν τῇ γῇ φυτά, καὶ ἄνθη τὰ ποικίλα, καὶ κτήνη, καὶ ἑρπετά, τὰ ἐν τῇ θαλάττῃ, τὰ ἐν ἀέρι μέσῳ, τὰ ἄστρα τὰ ἐν οὐρανῷ, τὸν ἥλιον, τὴν σελήνην, τὰ ὁρώμενα ἁπλῶς ἅπαντα, τὰς ἀστραπάς, τῶν ὡρῶν τὴν εὐταξίαν, ἡμέρας καὶ νυκτὸς διαδοχήν, τὰς ἐτησίους τροπάς. Ψυχὴν ἐνέπνευσε, λόγον ἐχαρίσατο, ἀρχῇ τετίμηκε μεγίστη. Ἀγγέλους ἀπέστειλε, προφήτας ἔπεμψεν, ὕστερον τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ. Καὶ μετ' ἐκεῖνα πάλιν καὶ οὗτος παρακαλεῖ καὶ δι' ἑαυτοῦ καὶ διὰ τοῦ μονογενοῦς Παιδός, ἵνα σὺ σωθῇς· καὶ οὐ παύεται Παῦλος πρεσβεύων, «Ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν, δεόμεθα ὑπὲρ Χριστοῦ, καταλλάγητε τῷ

---

27. Ἠσ. 49, 15.

ἐλάφου καὶ τῆς γῆς τῆς καταξηραμένης, ὁ δὲ Θεὸς προβάλλει τὴν φιλοστοργίαν τῶν ὀρνίθων πρὸς τοὺς νεοσσούς των καὶ τὴν κηδεμονίαν τῶν πατέρων καὶ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τὴν γῆν καὶ τὴν εὐσπλαγχνίαν τῶν μητέρων, ὄχι ἐπειδὴ μᾶς ἀγαπᾷ τόσον μόνον, ὅσον ἡ μητέρα τὸ παιδί της, ἀλλ' ἐπειδὴ δὲν ἔχομεν ἄλλας μεγαλυτέρας ἀποδείξεις ἀγάπης ἀπὸ αὐτοὺς τοὺς ὅρους, τοὺς κανόνας καὶ τὰ παραδείγματα. Τὸ ὅτι ὁ Θεὸς δὲν μᾶς ἀγαπᾷ μόνον τόσον, ὅσον ἡ φιλόστοργος μητέρα τὰ παιδιά της, ἀλλὰ πολὺ περισσότερον, ἄκουσε τί λέγει· «Καὶ ἂν ἀκόμη συνέβαινε», λέγει, «νὰ λησμονήσῃ τὰ τέκνα της, ὅμως ἐγὼ δὲν θὰ σὲ λησμονήσω»[37]. Αὐτὸ δὲ τὸ ἔλεγε διὰ νὰ δείξῃ ὅτι ἡ ἀγάπη του πρὸς ἡμᾶς εἶναι θερμοτέρα ἀπὸ κάθε ἄλλην φιλοστοργίαν.

Ἀναλογιζόμενος δὲ ὅλα αὐτὰ καὶ θὰ καταστήσῃς θερμὴν τὴν ἀγάπην σου καὶ λαμπρὰν θ' ἀνάψῃς μέσα σου τὴν φλόγα. Ἐπειδὴ λοιπὸν συνήθως τὰς φιλίας μεταξὺ τῶν ἀνθρώπων τίποτε δὲν τὰς ἀνάπτει τόσον, ὅσον τὸ νὰ ἐνθυμούμεθα τὰς εὐεργεσίας ποὺ ἀπελαύσαμεν, τὸ ἴδιο ἂς κάμνωμεν καὶ περὶ τοῦ Θεοῦ. Ἂς ἀναλογισθῶμεν πόσα ἔκαμε δι' ἡμᾶς, αὐτὸν τὸν οὐρανόν, τὴν γῆν, τὴν θάλασσαν, τὸν ἀέρα, τὰ φυτὰ τῆς γῆς, τὰ ποικίλα ἄνθη, τὰ κτήνη, τὰ ἑρπετά, τὰ ζῶα τῆς θαλάσσης, τοῦ ἀέρος, τὰ ἄστρα τοῦ οὐρανοῦ, τὸν ἥλιον, τὴν σελήνην, ὅλα γενικῶς τὰ ὁρατά, τὰς ἀστραπάς, τὴν εὐταξίαν τῶν ἐποχῶν, τὴν διαδοχὴν τῆς ἡμέρας καὶ τῆς νυκτός, τὰς ἐτησίας μεταβολάς. Ἐχάρισε διὰ τοῦ ἐμφυσήματος τὴν ψυχήν, ἐχάρισε τὸν λόγον, καὶ μᾶς ἐτίμησε μὲ πάρα πολὺ μεγάλην ἐξουσίαν. Ἀπέστειλεν ἀγγέλους, ἔστειλε προφήτας καὶ ἐν συνεχείᾳ ἔστειλε τὸν Υἱόν του τὸν μονογενῆ. Καὶ μετὰ ἀπὸ ἐκεῖνα πάλιν καὶ ὁ ἴδιος παρακαλεῖ καὶ ὁ ἴδιος καὶ διὰ τοῦ μονογενοῦς Υἱοῦ του διὰ νὰ σωθῇς· καὶ δὲν σταματᾷ ὁ Παῦλος νὰ πρεσβεύῃ, «Ὅπως ὁ Θεὸς παρακαλεῖ διὰ μέσου ἡμῶν, σᾶς παρακαλοῦμεν καὶ ἡμεῖς εἰς τὸ ὄνομα τοῦ Χριστοῦ,

Θεῷ». Καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ καὶ ἀπὸ τῆς φύσεως τῆς σῆς λαβὼν ἀπαρχήν, «Ἐκάθισεν ἄνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως, καὶ παντὸς ὀνόματος ὀνομαζομένου οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι». Ἀληθῶς εὔκαιρον νῦν εἰπεῖν· «Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ;». Κἀκεῖνο πάλιν· «Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι;». Τί γὰρ ταύτης ἴσον γένοιτ' ἂν τῆς τιμῆς, ἀλλ' ἢ ὅταν ἀπαρχὴ τοῦ γένους ἡμῶν τοῦ τοσαῦτα προσκεκρουκότος, τοῦ ἠτιμωμένου, ἐν ὕψει τοσούτῳ κάθηται, καὶ τοσαύτης ἀπολαύῃ τιμῆς; Μὴ τὰς κοινὰς δὲ μόνον εὐεργεσίας, ἀλλὰ καὶ τὰς ἰδίας ἀνάλεγε, οἷον τί ποτε συκοφαντίᾳ περιπεσὼν ἀπηλλάγης τῆς κατηγορίας· εἴ ποτε ἀωρίᾳ καὶ μεσονυκτίῳ λῃσταῖς περιτυχών, διέφυγες ἐκείνων τὰς ἐπιβουλάς· εἴ ποτε ζημίαν ἐπενεχθεῖσαν ἀπεδύσω· εἰ νοσήματι περιπεσὼν χαλεπῷ παραμυθίας ἔτυχες.

5. Πάντα ἀνάλεγε τὰ παρὰ πᾶσάν σου τὴν ζωὴν γινόμενα εὐεργετήματα τοῦ Θεοῦ, καὶ πολλὰ πάντως εὑρήσεις, οὐ παρὰ πᾶσαν τὴν ζωὴν μόνον, ἀλλὰ καὶ ἐν ἡμέρᾳ μιᾷ· καὶ εἰ ἐβούλετο ὁ Θεὸς πάσας τὰς καθ' ἑκάστην ἡμέραν εὐεργεσίας, ἃς ἡμᾶς εὐεργετεῖ, ἀγνοούντων ἡμῶν καὶ οὐκ εἰδότων, εἰς μέσον τιθέναι, οὐδ' ἂν ἀριθμῆσαι αὐτὰς δυνηθείημεν. Πόσοι δαίμονες εἰς τὸν ἀέρα φέρονται τοῦτον; πόσαι ἐναντίαι δυνάμεις; Εἰ μόνον ἐπέτρεψεν αὐτοῖς τὴν ὄψιν τὴν ἑαυτῶν δεῖξαι τὴν φοβερὰν ἐκείνην καὶ ἀτερπῆ, οὐκ ἂν ἐξέστημεν; οὐκ ἂν ἀπωλόμεθα; οὐκ ἂν διεφθάρημεν; Ταῦτα δὴ πάντα ἀναλογιζόμενοι, καὶ τὰ ἁμαρτήματα ἑαυτῶν, ὅσα ἑκόντες, ὅσα

---

28. Β΄ Κορ. 5, 20.
29. Ἐφ. 1, 21.
30. Ψαλμ. 105, 2.
31. Ψαλμ. 115, 12.

συμφιλιωθῆτε μὲ τὸν Θεὸν»[28]. Καὶ οὔτε ἐδῶ ἐσταμάτησεν, ἀλλ', ἀφοῦ ἔλαβε τὴν ἀνθρωπίνην φύσιν του, «Ἐκάθισεν ὑψηλότερα ἀπὸ κάθε ἀρχὴν καὶ ἐξουσίαν καὶ δύναμιν καὶ ἀπὸ ὁποιοδήποτε ἄλλο ὀνομαζόμενον ὄνομα ὄχι μόνον εἰς τὸν παρόντα κόσμον, ἀλλὰ καὶ εἰς τὸν μέλλοντα»[29]. Πράγματι εἶναι κατάλληλος στιγμὴ τώρα νὰ εἴπουμεν· «Ποῖος θὰ διηγηθῇ καὶ θὰ ἐξυμνήσῃ τὰ θαυμαστὰ ἔργα σου καὶ θὰ κάμῃ ἀκουστὰ τὰ ἄξια ἐπαίνου ἔργα σου;»[30]. Καὶ ἐκεῖνο πάλιν· «Τί ν' ἀνταποδώσω εἰς τὸν Κύριον δι' ὅλα ἐκεῖνα ποὺ μοῦ ἐχάρισεν;»[31]. Τί λοιπὸν θὰ ἠμποροῦσε νὰ ἐξισωθῇ μὲ αὐτὴν τὴν τιμήν, ὅταν, ἡ ἀπαρχὴ τοῦ γένους μας ποὺ ὑπέπεσεν εἰς τέτοιαν παράβασιν, ποὺ εἶχεν ἀτιμασθῆ, τώρα κάθηται εἰς τόσον ὕψος καὶ ἀπολαμβάνει τόσην τιμήν;». Μὴ λογαριάζῃς δὲ μόνον τὰς κοινὰς εὐεργεσίας, ἀλλὰ καὶ ἐκείνας ποὺ ἔγιναν ἰδιαιτέρως εἰς ἐσένα, ὅπως παραδείγματος χάριν ἐὰν κάποτε ἐσυκοφαντήθης καὶ ἀπηλλάγης τῆς κατηγορίας· ἐὰν κάποτε παράκαιρα καὶ ἐν ὥρᾳ μεσονυκτίου ἔπεσες εἰς τὰ χέρια τῶν ληστῶν καὶ διέφυγες τὰς ἐπιβουλάς των· ἐὰν κάποτε ἀπηλλάγης ἀπὸ ζημίαν ποὺ σὲ εὗρεν· ἐὰν περιέπεσες εἰς φοβερὰν ἀσθένειαν καὶ ἔτυχες θεραπείας.

5. Νὰ σκέπτεσαι ὅλα τὰ εὐεργετήματα τοῦ Θεοῦ ποὺ ἔγιναν πρὸς ἐσένα εἰς ὅλην τὴν ζωήν σου, καὶ ὁπωσδήποτε θὰ εὕρῃς πολλὰ νὰ σοῦ ἔγιναν, ὄχι μόνον εἰς ὅλην τὴν ζωήν σου, ἀλλὰ καὶ ἐντὸς μιᾶς ἡμέρας· καὶ ἐὰν ἤθελεν ὁ Θεὸς νὰ θέσῃ ἐμπρός μας ὅλας τὰς εὐεργεσίας μὲ τὰς ὁποίας μᾶς εὐεργετεῖ καθημερινά, καὶ τὰς ὁποίας ἀγνοοῦμεν καὶ δὲν γνωρίζομεν, δὲν θὰ ἠμπορούσαμεν οὔτε νὰ τὰς μετρήσωμεν. Πόσοι δαίμονες περιφέρονται εἰς αὐτὸν τὸν ἀέρα; πόσαι ἐνάντιαι δυνάμεις; Ἐὰν μόνον ἐπέτρεπεν εἰς αὐτοὺς νὰ μᾶς δείξουν τὴν φοβερὰν ἐκείνην καὶ ἀηδιαστικὴν ὄψιν των, δὲν θὰ ἐχάναμεν τὰ λογικά μας; δὲν θὰ ἐχανόμεθα; δὲν θὰ κατεστρεφόμεθα; Ἀναλογιζόμενοι λοιπὸν ὅλα αὐτὰ καὶ τὰ ἁμαρτήματά μας, ὅσα διε-

ἀγνοοῦντες σφαλλόμεθα (καὶ γὰρ τοῦτο οὐ μικρὸν εἰς εὐεργεσίας λόγον, μὴ καθ' ἑκάστην ἡμέραν ἐπεξιέναι τὸν Θεὸν τοῖς πλημμελήμασι τοῖς ἡμετέροις), δυνησόμεθα φιλεῖν τὸν Θεόν. Ὅταν γὰρ ἐννοήσῃς, ὅσα καθ' ἑκάστην ἁμαρτάνεις; τὴν ἡμέραν, ὅσα καθ' ἑκάστην εὐεργετῇ τὴν ἡμέραν, ὅσης ἀπολαύεις μακροθυμίας, ὅσης ἀνέσεως, καὶ ὅτι εἰ καθ' ἑκάστην ὁ Θεὸς ἐπεξῄει, οὐδὲ βραχὺν ἂν ἔζησας χρόνον (κατὰ τὸν προφήτην τὸν λέγοντα, «Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε, τίς ὑποστήσεται;»), αὐτῷ χάριτας εἴσῃ, καὶ ἐπ' οὐδενὶ δυσχερανεῖς τῶν προσπιπτόντων· ἀλλ' ὄψει, ὅτι κἂν μυρία πάθῃς, οὐδέπω τὴν ἀξίαν ἀπέδωκας δίκην, καὶ οὕτω διακείμενος πολὺν τὸν πόθον ἀνάψεις, καὶ δυνήσῃ κατὰ τὸν προφήτην λέγειν· «Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτω ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός».

Ἄξιον δὲ ἐξετάσαι, τί δήποτε τοῦτο τὸ ζῶον εἰς μέσον παρήγαγε. Διψαλέον πώς ἐστιν ἡ ἔλαφος, καὶ διὰ τοῦτο συνεχῶς τρέχει ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων. Διψαλέον δὲ γίνεται καὶ ἀπὸ τῆς φύσεως καὶ ἀπὸ τοῦ τοὺς ὄφεις κατεσθίειν, καὶ τοῖς ἐκείνων τρέφεσθαι σώμασι. Καὶ σὺ τοίνυν τοῦτο ποίησον· τὸν νοητὸν ὄφιν κατάφαγε· ἐδάφισον τὴν ἁμαρτίαν καὶ δυνήσῃ διψᾶν τὸν τοῦ Θεοῦ πόθον. Καθάπερ γὰρ τὸ πονηρὸν συνειδὸς ῥυπαροὺς ἡμᾶς ἐργάζεται, καὶ εἰς ἀπόγνωσιν ἡμᾶς ἐμβάλλει, οὕτως, ἂν ἐδαφίσωμεν ἡμῶν τὰς ἁμαρτίας, ἂν ἐκκαθάρωμεν τὴν πονηρίαν, δυνησόμεθα διαβλέψαι εἰς

32. Ψαλμ. 129, 3.

πράξαμεν μὲ τὴν θέλησίν μας καὶ ὅσα ἐν ἀγνοίᾳ μας (καθ' ὅσον καὶ αὐτὸ δὲν ἀποτελεῖ μικρὸν δεῖγμα εὐεργεσίας πρὸς ἡμᾶς, τὸ νὰ μὴ μᾶς τιμωρῇ ὁ Θεὸς καθημερινὰ διὰ τὰ πλημμελήματά μας), θὰ ἠμπορέσωμεν νὰ ἀγαπῶμεν τὸν Θεόν. Διότι, ὅταν κατανοήσῃς πόσας ἁμαρτίας διαπράττεις καθημερινά, πόσας εὐεργεσίας δέχεσαι καθημερινά, πόσην μακροθυμίαν ἀπολαμβάνεις, πόσην ἄνεσιν, καὶ ὅτι, ἐὰν καθημερινὰ ὁ Θεὸς σὲ ἐτιμωροῦσε δι' ὅλα αὐτά, δὲν θὰ ἠμποροῦσες οὔτε ἐλάχιστον χρόνον νὰ ζήσῃς (σύμφωνα μὲ τὸν προφήτην ποὺ λέγει, «Ἐάν, Κύριε, Κύριε, ἐξετάσῃς μετὰ προσοχῆς τῆς ἀνομίας μας, ποῖος θὰ ἠμπορέσῃ νὰ σταθῇ ἐνώπιόν σου;»), θὰ ἀποδώσῃς εἰς αὐτὸν εὐχαριστίας καὶ δὲν θὰ δυσανασχετήσῃς διὰ κανένα ἀπὸ τὰ ὅσα σοῦ συμβαίνουν· ἀλλ' ἔχε ὑπ' ὄψιν σου, ὅτι καὶ ἂν ἀκόμη ὑποστῇς μύρια παθήματα, οὔτε ἔτσι εἶναι ἰσαξία ἡ ἀνταπόδοσίς σου, καὶ ἐφ' ὅσον διακατέχεσαι ἀπὸ τέτοιας διαθέσεις θ' ἀνάψῃ πάρα πολὺ ὁ πόθος σου διὰ τὸν Θεὸν καὶ θὰ ἠμπορέσῃς σύμφωνα μὲ τὸν προφήτην νὰ λέγῃς· «Ὅπως ἡ διψασμένη ἔλαφος τρέχει μὲ πόθον πρὸς τὰς πηγὰς τῶν ὑδάτων, ἔτσι σέ ποθεῖ, Θεέ μου, ἡ ψυχή μου».

Ἀλλ' ἀξίζει νὰ ἐξετάσωμεν διατί τέλος πάντων ἔφερεν ὡς παράδειγμα αὐτὸ τὸ ζῶον. Ἡ ἔλαφος εἶναι ζῶον ποὺ διψᾷ κάπως περισσότερον καὶ διὰ τοῦτο συνεχῶς τρέχει πρὸς τὰς πηγάς τῶν ὑδάτων. Νοιώθει δέ περισσότερον τὴν δίψαν καὶ ἐξ αἰτίας τῆς φύσεώς της καὶ ἐπειδὴ κατατρώγει τὰ φίδια καὶ τρέφεται μέ τὰ σώματα ἐκείνων. Καὶ σὺ λοιπὸν αὐτὸ κάμε· κατάφαγε τὸ νοητὸν φίδι· κατάστρεψε τὴν ἁμαρτίαν καὶ θὰ ἠμπορέσῃς νὰ νοιώθῃς δίψαν διὰ τὴν ἀγάπην πρὸς τὸν Θεόν. Διότι, ὅπως ἀκριβῶς ἡ πονηρὰ συνείδησις μᾶς καθιστᾷ ἀκαθάρτους καὶ μᾶς ὁδηγεῖ εἰς ἀπόγνωσιν, ἔτσι, ἐὰν ἐξαφανίσωμεν τὰς ἁμαρτίας μας, ἐὰν καθαρισθῶμεν ἀπὸ τὴν πονηρίαν, θὰ ἠμπορέσωμεν νὰ στρέψωμεν τὴν ψυχήν μας πρὸς τὸν πνευματικὸν πό-

τὸν πνευματικὸν πόθον, καὶ μετὰ πολλῆς τῆς προθυμίας καλεῖν τὸν Θεόν, καὶ τὸ φίλτρον σφοδρότερον ἀνάπτειν, καὶ μὴ διὰ ῥημάτων μόνον, ἀλλὰ καὶ δι' αὐτῶν τῶν ἔργων ταύτην ὑποψάλλειν τὴν ὑπακοήν. Καὶ γὰρ διὰ τοῦτο τοὺς ψαλμοὺς ἡμῖν ᾖσεν ὁ μακάριος ἐκεῖνος, μᾶλλον δὲ ἡ τοῦ Πνεύματος χάρις, οὐχ ἵνα τὰ ῥήματα λέγωμεν μόνον, ἀλλ' ἵνα καὶ δι' αὐτῶν τῶν ἔργων αὐτοὺς μελετῶμεν.

Μὴ τοίνυν οἰηθῇς διὰ τοῦτο ἐνταῦθα εἰσιέναι, ἵνα τὰ ῥήματα εἴπῃς μόνον, ἀλλ' ἵνα, ὅταν ὑποψάλλῃς, συνθήκας εἶναι νομίσῃς τὴν ὑπακοήν. Ὅταν γὰρ εἴπῃς· «Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός», συνέθου τῷ Θεῷ, γραμματεῖον ἔγραψας ἄνευ χάρτου καὶ μέλανος, διὰ τῆς φωνῆς ὡμολόγησας πάντων αὐτὸν μᾶλλον φιλεῖν, καὶ οὐδὲν αὐτοῦ προκρίνεσθαι, καὶ καίεσθαι τῷ περὶ αὐτὸν ἔρωτι. Ἂν τοίνυν ἐξελθὼν ἴδῃς γυναῖκα εὔμορφόν τινα καὶ ἀκόλαστον δελεάζουσάν σε καὶ πρὸς τὸν ἔρωτα τὸν ἑαυτῆς καλοῦσαν, εἰπὲ πρὸς αὐτήν, οὐ δύναμαί σοι ἀκολουθῆσαι, συνθήκας ἐθέμην πρὸς τὸν Θεόν, παρόντων τῶν ἀδελφῶν, τῶν ἱερέων, τῶν διδασκάλων, ὡμολόγησα καὶ ὑπεσχόμην διὰ τῆς ὑπακοῆς οὕτως αὐτὸν φιλεῖν, «Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων». Δέδοικα παραβῆναι τὰς συνθήκας, ἐκείνου λοιπὸν μελετῶ τὸν ἔρωτα. Ἐὰν ἴδῃς ἀργύριον ἐπὶ τῆς ἀγορᾶς κείμενον, ἢ ἱμάτια χρυσᾶ, ἑτέρους σοβοῦντας, οἰκέτας ἔχοντας, καὶ ἵππους χρυσοχαλίνους, μηδὲν πάθῃς ὑπὸ τῆς φαντασίας ἐκείνης, ἀλλὰ πάλιν ἔπᾳδε σεαυτῷ, καὶ εἰπὲ πρὸς τὴν ψυχὴν τὴν σήν· πρὸ μικροῦ ὑπεψάλαμεν, «Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός»· καὶ ᾠκειωσάμεθα τὸ

θον καὶ νὰ καλοῦμεν εἰς βοήθειαν τὸν Θεὸν μὲ μεγάλην προθυμίαν, καὶ ν' αὐξάνωμεν περισσότερον τὴν ἀγάπην μας πρὸς αὐτόν, καὶ ὄχι μόνον μὲ λόγια, ἀλλὰ καὶ μὲ τὰ ἴδια τὰ ἔργα μας νὰ ψάλλωμεν αὐτὴν τὴν ὑπακοήν. Καθ' ὅσον διὰ τοῦτο συνέθεσεν ὁ μακάριος ἐκεῖνος τοὺς ψαλμούς, μᾶλλον δὲ ἡ χάρις τοῦ Πνεύματος, ὄχι διὰ νὰ λέγωμεν μόνον τὰ λόγια, ἀλλὰ καὶ διὰ νὰ μελετῶμεν αὐτοὺς καὶ ἔμπρακτα.

Μὴ νομίσῃς λοιπὸν ὅτι διὰ τοῦτο ἔρχεσαι ἐδῶ μέσα, διὰ νὰ εἴπῃς μόνον τὰ λόγια, ἀλλὰ διὰ νὰ θεωρήσῃς τὴν ἡπακοήν, ὅταν ὑποψάλλῃς, ὡσὰν συμφωνίαν. Διότι, ὅταν εἰπῇς, «Ὅπως ἡ διψασμένη ἔλαφος τρέχει μὲ πόθον πρὸς τὰς πηγὰς τῶν ὑδάτων, ἔτσι σὲ ποθεῖ ἡ ψυχή μου, Θεέ μου», ἔκαμες συμφωνίαν μὲ τὸν Θεόν, ὑπέγραψες συμφωνητικὸν χωρὶς χαρτὶ καὶ μελάνην, μὲ τὴν φωνήν σου ὡμολόγησες ὅτι ἀγαπᾷς αὐτὸν περισσότερον ἀπὸ κάθε τι καὶ ὅτι δὲν θεωρεῖς προτιμώτερον ἀπὸ αὐτὸν τίποτε ἄλλο καὶ ὅτι καίγεται ἡ ψυχή σου ἀπὸ τὸν ἔρωτα πρὸς αὐτόν. Ἂν λοιπὸν ἐξερχόμενος ἰδῇς κάποιαν ὄμορφην καὶ ἀκόλαστον γυναῖκα, ποὺ σὲ δελεάζει καὶ σὲ καλεῖ νὰ κάμῃς ἔρωτα μαζί της, εἰπὲ πρὸς αὐτήν· δὲν ἠμπορῶ νὰ σέ ἀκολουθήσω, ἔκαμα συμφωνίαν μὲ τὸν Θεόν, παρουσίᾳ τῶν ἀδελφῶν, τῶν ἱερέων καὶ τῶν διδασκάλων ὡμολόγησα καὶ ὑπεσχέθην μὲ τὴν ὑπακοὴν τόσον πολὺ νὰ τὸν ἀγαπῶ, «ὅπως ἡ διψασμένη ἔλαφος τρέχει μὲ πόθον πρὸς τὰς πηγὰς τῶν ὑδάτων». Φοβοῦμαι νὰ παραβῶ τὴν συμφωνίαν καὶ ἀσχολοῦμαι πλέον μὲ τὸν ἔρωτα ἐκείνου. Ἐὰν ἰδῇς ἀργύριον εἰς τὴν ἀγοράν, ἢ χρυσᾶ ἐνδύματα, ἄλλους κομψευομένους, ποὺ νὰ ἔχουν ὑπηρέτας καὶ ἵππους μὲ χρυσᾶ χαλινάρια, μὴ πάθῃς τίποτε ἀπὸ τὰ φανταστικὰ ἐκεῖνα πράγματα, ἀλλὰ πάλιν ψάλε χαμηλόφωνα καὶ εἰπὲ εἰς τὴν ψυχήν σου· πρὸ ὀλίγου ἐψάλαμεν, «Ὅπως ἡ διψασμένη ἔλαφος τρέχει μὲ πόθον πρὸς τὰς πηγὰς τῶν ὑδάτων, ἔτσι σὲ ποθεῖ ἡ ψυχή μου, Θεέ μου», καὶ οἰκειοποιηθήκαμε τὰ

γράμμα, καὶ ἡμῶν αὐτὸ ἐποιήσαμεν εἶναι. Μηδὲν οὖν φιλῶμεν τῶν βιωτικῶν τούτων, ἵνα ἄκρατος ἡμῖν ὁ ἔρως ἐκεῖνος μείνῃ, καὶ μὴ σχιζόμενος ἀσθενέστερος γένηται. Οὗτος ὁ πλοῦτος ἅπαντα πλοῦτον, ἅπαντα θησαυρόν, πᾶσαν εὐδοκίμησιν, πᾶσαν δόξαν, πᾶσαν περιφάνειαν ἡμῖν χαρίσασθαι δυνήσεται.

Τοῦτον κατέχωμεν, καὶ οὐδενὸς ἑτέρου δεησόμεθα. Εἰ γὰρ οἱ τὸν αἰσχρὸν τοῦτον ἔρωτα φιλοῦντες, καὶ κόρης περικαιόμενοι πολλάκις εὐμόρφου τινός, καὶ πατέρων ἀπειλούντων καὶ φίλων ὀνειδιζόντων, καὶ ἑτέρων πολλῶν διαβαλλόντων, οὐδὲ ἐπιστρέφονται, ἀλλὰ πρὸς ἐκείνην εἰσὶ τεταμμένοι, καὶ οἰκίας καταφρονοῦσι, καὶ κλήρου πατρῴου καὶ δόξης, καὶ εὐδοκιμήσεως, καὶ φίλων παραινέσεως, μεγάλην νομίζοντες ἔχειν παραμυθίαν τούτων ἁπάντων, ἂν εὐδοκιμῶσι παρὰ τῇ ἐρωμένῃ μόνῃ, κἂν εὐτελὴς ᾖ, κἂν ἄτιμος, κἂν ἡτισοῦν ἐκείνη, οἱ τὸν Θεὸν φιλοῦντες ὡς χρή, πότε αἰσθήσονται τῶν ἀνθρωπίνων, ἢ τῶν λαμπρῶν, ἢ τῶν λυπηρῶν; Οὐδὲ ὄψονται μὲν οὖν τὰς φαντασίας τοῦ παρόντος βίου, πρὸς ἐκεῖνον τεταμένοι τὸν ἔρωτα, ἀλλὰ πάσης μὲν καταγελάσουσι τῆς εὐημερίας, πάσης δὲ ὑπερόψονται δυσπραγίας, προσδεδεμένοι τῷ πόθῳ τοῦ Θεοῦ, καὶ οὐδὲν ἄλλο ὁρῶντες, ἀλλ' ἢ ἐκεῖνον μόνον, καὶ πανταχοῦ αὐτὸν φανταζόμενοι, καὶ πάντων μακαριωτέρους ἑαυτοὺς εἶναι νομίζοντες. Κἂν ἐν πενίᾳ, κἂν ἐν ἀτιμίᾳ, κἂν ἐν δεσμοῖς, κἂν ἐν θλίψεσι, κἂν ἐν τοῖς ἐσχάτοις ὦσι κακοῖς, τῶν βασιλευόντων αὐτῶν ἄμεινον

λόγια καὶ τὰ ἐκάμαμεν κτῆμα μας. Τίποτε λοιπὸν ἂς μὴ ἀγαπῶμεν ἀπὸ τὰ κοσμικὰ πράγματα διὰ νὰ παραμείνῃ μέσα μας ἀνόθευτος ὁ ἔρωτας ἐκεῖνος καὶ νὰ μὴ γίνῃ ἀσθενέστερος κατατεμαχιζόμενος. Αὐτὸς ὁ πλοῦτος ἠμπορεῖ νὰ μᾶς χαρίσῃ ὅλον τὸν πλοῦτον, ὅλον τὸν θησαυρόν, ὅλην τὴν εὐημερίαν, ὅλην τὴν δόξαν καὶ ὅλην τὴν λαμπρότητα.

Αὐτὸν τὸν πλοῦτον ἂς κατέχωμεν καὶ δὲν θὰ χρειασθῶμεν τίποτε ἄλλο. Διότι, ἐὰν ἐκεῖνοι ποὺ ἀγαποῦν αὐτὸν τὸν αἰσχρὸν ἔρωτα καὶ φλέγονται πολλὲς φορὲς ἀπὸ τὸν ἔρωτα διὰ κάποιαν ὄμορφην κόρην, καὶ ἐνῷ δέχονται τὰς ἀπειλὰς τῶν πατέρων καὶ τοὺς ὀνειδισμοὺς τῶν φίλων καὶ τὰς κατηγορίας πολλῶν ἄλλων, δὲν ἀλλάσσουν γνώμην, ἀλλά ἔχουν ἐστραμμένην ὅλην τὴν προσοχήν των πρὸς ἐκείνην, καὶ τὴν οἰκίαν των περιφρονοῦν καὶ τὴν πατρικὴν κληρονομίαν καὶ τὴν δόξαν καὶ τὴν εὐημερίαν καὶ τὰς συμβουλὰς τῶν φίλων, θεωροῦντες ὅτι ἔχουν μεγάλην παρηγορίαν δι' ὅλα αὐτά, ἐὰν εὐτυχοῦν κοντὰ εἰς τὴν μοναδικὴν ἐρωμένην των, εἴτε αὐτὴ εἶναι ἄσημος, εἴτε ἀναξία τιμῆς, εἴτε ὁ,τιδήποτε ἄλλο, αὐτοὶ ποὺ ἀγαποῦν τὸν Θεόν, ὅπως πρέπει, πότε θὰ συγκινηθοῦν ἀπὸ τὰ ἀνθρώπινα πράγματα, τὰ εὐχάριστα ἢ τὰ λυπηρά; οὔτε κἂν βέβαια θὰ προσέξουν τὰ φαντασιώδη πράγματα τῆς παρούσης ζωῆς, ἔχοντες ἐστραμμένην τὴν προσοχήν των πρὸς ἐκεῖνον τὸν ἔρωτα, ἀλλὰ θὰ θεωρήσουν κάθε εὐημερίαν ἀξίαν διὰ γέλια, θὰ παραβλέψουν δὲ κάθε δυσκολίαν, ἔχοντες δεμένον τὸν ἑαυτόν των μὲ τὸν πόθον τοῦ Θεοῦ, καὶ μὴ βλέποντες τίποτε ἄλλο, παρὰ μόνον ἐκεῖνον, καὶ παντοῦ αὐτὸν θὰ σκέπτωνται καὶ θὰ θεωροῦν τοὺς ἑαυτούς των μακαριωτέρους ἀπὸ ὅλους. Καὶ εἴτε εὑρίσκονται εἰς κατάστασιν πτωχείας, εἴτε περιφρονοῦνται, εἴτε εἶναι φυλακισμένοι, εἴτε δοκιμάζουν θλίψεις καὶ ἀντιμετωπίζουν τὰ χειρότερα κακά, θεωροῦν τοὺς ἑαυτούς των ὅτι εὑρίσκονται εἰς καλυτέραν κατάστασιν ἀπὸ αὐτοὺς ποὺ τοὺς κυβερ-

ἡγήσονται διακεῖσθαι, ἐν πᾶσιν οἷς ἂν πάσχωσι θαυμαστήν τινα παραμυθίαν ἔχοντες, τὸ διὰ τὸν ποθούμενον ταῦτα πάσχειν.

6. Διὰ τοῦτο καὶ Παῦλος ἐν καθημερινοῖς θανάτοις ὤν, ἐν δεσμωτηρίοις, ἐν ναυαγίοις, ἐν ἐρημίαις, ἐν μάστιξιν, ἐν μυρίαις κολάσεσιν, ἔχαιρε καὶ ἠγαλλιᾶτο, καὶ ἐσκίρτα καὶ ἐκαυχᾶτο, καὶ νῦν μὲν ἔλεγεν, ὅτι «Οὐ μόνον δὲ ἐπ᾽ ἐλπίδι τῆς δόξης τοῦ Θεοῦ, ἀλλὰ καὶ ἐν ταῖς θλίψεσι καυχώμεθα», νῦν δὲ πάλιν, ὅτι «Χαίρω ἐν τοῖς παθήμασι, καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου»· καὶ χάριν τὸ πρᾶγμα καλεῖ, ὁμολογῶν οὕτω καὶ λέγων, ὅτι «Ἡμῖν οὕτως ἐχαρίσθη ἀπὸ τοῦ Χριστοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν. Τοιαύτην οὖν καὶ ἡμεῖς σπουδάσωμεν γνώμην ἔχειν, καὶ μεθ᾽ ἡδονῆς πάντα φέρωμεν τὰ προσπίπτοντα λυπηρά. Δυνησόμεθα δὲ φέρειν, ἂν τὸν Θεὸν φιλήσωμεν, ὡς ὁ προφήτης ἐφίλησεν. Οὐ γὰρ δὴ μόνον ἀπὸ τῆς ὑπακοῆς ταύτης ἐστὶν ἰδεῖν αὐτοῦ τὸ φίλτρον, ἀλλὰ καὶ ἀπὸ τῶν ἑξῆς ῥημάτων. Εἰπὼν γάρ, «Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ ὁ Θεός μου», ἐπήγαγε λέγων· «Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρόν, τὸν ζῶντα· πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ;». Οὐκ εἶπεν, ἐφίλησεν ἡ ψυχή μου τὸν Θεὸν τὸν ζῶντα, οὐδ᾽ ἠγάπησεν ἡ ψυχή μου τὸν Θεὸν τὸν ζῶντα, ἀλλ᾽ ἵνα τὴν διάθεσιν ἐνδείξηται, δίψος ἐκάλεσε τὸ φίλτρον, ἀμφότερα ἡμῖν δηλῶν, τό τε διακαὲς τῆς ἀγάπης, καὶ τὸ διηνεκὲς τοῦ ἔρωτος.

---

33. Β΄ Κορ. 11, 25 - 27.
34. Ρωμ. 5, 2 - 3.
35. Κολ. 1, 24.
36. Φιλιπ. 1, 29.

νοῦν, ἔχοντες κάποιαν ἀξιοθαύμαστον παρηγορίαν δι' ὅλα ἐκεῖνα ἀπὸ τὰ ὁποῖα πάσχουν, τὴν σκέψιν, ὅτι αὐτὰ τὰ ὑπομένουν δι' ἐκεῖνον ποὺ ποθοῦν.

6. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἀντιμετωπίζων καθημερινοὺς θανάτους, δεσμωτήρια, ναυάγια, ἐρημίας, μάστιγας καὶ ἀμέτρητα ἄλλα βάσανα, ἐχαίρετο καὶ ἠγαλλιᾶτο, καὶ ἐσκιρτοῦσεν ἀπὸ χαρὰν καὶ ἐκαυχᾶτο[33], καὶ ἄλλοτε μὲν ἔλεγεν, ὅτι «Δὲν καυχόμεθα μόνον ποὺ ἐλπίζομεν ν' ἀπολαύσωμεν τὴν δόξαν τοῦ Θεοῦ, ἀλλὰ καὶ ὅταν εὑρισκόμεθα μέσα εἰς τὰς θλίψεις»[34], ἄλλοτε δὲ πάλιν, «Χαίρομαι διὰ τὰ παθήματά μου καὶ ἀναπληρώνω εἰς τὸ σῶμα μου τὰ ὑπολείμματα τῶν θλίψεων τοῦ Χριστοῦ»[35]· ἀλλὰ καὶ ὀνομάζει τὸ γεγονὸς αὐτὸ τῶν θλίψεών του χάριν τοῦ Χριστοῦ, διακηρύσσουν αὐτὴν μὲ τὰ ἑξῆς λόγια· «Εἰς ἡμᾶς τέτοιο δῶρον ἐδόθη ὑπὸ τοῦ Χριστοῦ, ὄχι μόνον τὸ νὰ πιστεύωμεν εἰς αὐτόν, ἀλλὰ καὶ τὸ νὰ πάσχωμεν ὑπὲρ αὐτοῦ»[36]. Ἂς προσπαθήσωμεν λοιπὸν καὶ ἡμεῖς νὰ ἔχωμεν αὐτὴν τὴν γνώμην καὶ νὰ ὑπομένωμεν μὲ εὐχαρίστησιν ὅλα τὰ δυσάρεστα ποὺ μᾶς εὑρίσκουν. Θὰ ἠμπορέσωμεν δὲ νὰ τὸ ὑπομένωμεν, ἂν ἀγαπήσωμεν τὸν Θεόν, ὅπως τὸν ἠγάπησεν ὁ προφήτης. Καθ' ὅσον βέβαια εἶναι δυνατὸν νὰ διαπιστώσωμεν τὴν ἀγάπην του ὄχι μόνον ἀπὸ αὐτὸν τὸν πρῶτον στίχον τοῦ ψαλμοῦ, ἀλλὰ καὶ ἀπὸ τὰ λόγια εἰς τὴν συνέχειαν. Διότι, ἀφοῦ εἶπεν, «Ὅπως ἡ διψασμένη ἔλαφος τρέχει μὲ πόθον πρὸς τὰς πηγὰς τῶν ὑδάτων, ἔτσι σὲ ποθεῖ ἡ ψυχή μου, Θεέ μου», ἐπρόσθεσε τὰ ἑξῆς λόγια· «Ἐπόθησε μὲ δίψαν ἡ ψυχή μου τὸν Θεὸν ποὺ εἶναι ἰσχυρὸς καὶ ζωντανός· πότε θὰ φθάσω καὶ θὰ ἰδῶ τὸ πρόσωπον τοῦ Θεοῦ;». Δὲν εἶπεν, ἐσυμπάθησεν ἡ ψυχή μου τὸν ζωντανὸν Θεόν, οὔτε ὅτι ἠγάπησεν ἡ ψυχή μου τὸν ζωντανὸν Θεόν, ἀλλὰ θέλων νὰ δείξῃ τὴν διάθεσίν του, ὠνόμασε δίψαν τὴν ἀγάπην, διὰ νὰ δηλώσῃ εἰς ἡμᾶς καὶ τὰ δύο, καὶ τὴν ὑπερβολικὴν ἀγάπην του, καὶ τὸν αἰώνιον ἔρωτά του.

Καθάπερ γὰρ οἱ διψῶντες οὐκ ἐν μιᾷ τοῦτο πάσχουσιν ἡμέρᾳ καὶ δύο καὶ τρισίν, ἀλλὰ καὶ διὰ παντὸς τοῦ βίου, τῆς φύσεως ἐπὶ τοῦτο αὐτοὺς ἀγούσης, οὕτω δὴ καὶ ὁ μακάριος ἐκεῖνος, καὶ πάντες οἱ ἅγιοι, οὐκ ἐν μιᾷ μόνον ἡμέρᾳ ἐν κατανύξει ἐγένοντο, καθάπερ πολλοὶ τῶν ἀνθρώπων, οὐδὲ ἐν δυσὶ καὶ τρισὶ (τοῦτο γὰρ οὐδὲν θαυμαστόν), ἀλλὰ καὶ διηνεκῶς καὶ καθ' ἑκάστην ἡμέραν ἐρῶντες διετέλουν μετ' εὐλαβείας, καὶ τὴν ἀγάπην ἐπέτεινον. Ἅπερ οὖν καὶ αὐτὸς ἐμφαίνων ἔλεγεν· «Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρὸν τὸν ζῶντα», ὁμοῦ καὶ τὴν αἰτίαν θέλων εἰπεῖν, καὶ διὰ σὲ βουλόμενος δεῖξαι, πῶς ἄν τις τὸν Θεὸν οὕτως φιλήσειε. Διὰ γὰρ τῶν ἑξῆς τοῦτο ἐδήλωσεν, εἰπὼν ὅτι «Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεόν, καὶ ἐπαγαγών, «Τὸν ζῶντα»· μονονουχὶ παραινῶν καὶ ἐμβοῶν πᾶσι τοῖς πρὸς τὰ βιωτικὰ πράγματα κεχηνόσι· τί περὶ σώματα μαίνεσθε; τί σωμάτων ἐρᾶτε; τί δόξης ἐπιθυμεῖτε; τί τρυφῆς ἐφίεσθε; Οὐδὲν τούτων μένει καὶ ζῇ διηνεκῶς, ἀλλὰ διαρρεῖ καὶ παρέρχεται, καὶ σκιᾶς εἰσιν οὐδαμινώτερα, καὶ ὀνείρων ἀπατηλότερα, καὶ τῶν ἐαρινῶν ἀνθῶν ἐφθαρτότερα, τὰ μὲν μετὰ τῆς παρούσης καταλιμπάνοντα ζωῆς, τὰ δὲ καὶ πρὸ τῶν ἐνταῦθα καταλυόμενα. Ἄπιστος αὐτῶν ἡ κτῆσις, ἀβέβαιος ἡ ἀπόλαυσις, ὀξύρροπος ἡ μεταβολή, ἐπὶ τοῦ Θεοῦ δὲ οὐδὲν τοιοῦτόν ἐστιν, ἀλλὰ ζῇ καὶ μένει διηνεκῶς ἐκεῖνος, οὔτε ἀλλοίωσιν, οὔτε τροπήν τινα δεχόμενος.

Ἀφέντες τοίνυν τὰ πρόσκαιρα καὶ ἐφήμερα, τὸν αἰώνιον καὶ διηνεκῆ φιλῶμεν. Οὐ γάρ ἐστιν ἐκεῖνον φιλοῦντα

Διότι, ὅπως ἀκριβῶς αὐτοὶ ποὺ διψοῦν δὲν τὸ νοιώθουν αὐτὸ μόνον μία, δύο ἢ τρεῖς ἡμέρας, ἀλλὰ εἰς ὅλην τὴν ζωήν των, συντελοῦσα εἰς αὐτὸ αὐτὴ ἡ ἰδία ἡ φύσις των, ἔτσι λοιπὸν καὶ ὁ μακάριος ἐκεῖνος καὶ ὅλοι οἱ ἅγιοι, δὲν ἠσθάνθησαν κατάνυξιν μόνον μίαν ἡμέραν τῆς ζωῆς των, ὅπως ἀκριβῶς πολλοὶ ἀπὸ τοὺς ἀνθρώπους, οὔτε δύο καὶ τρεῖς (καθ' ὅσον αὐτὸ δὲν εἶναι καθόλου ἄξιον θαυμασμοῦ), ἀλλὰ συνεχῶς καὶ καθημερινὰ ἐπερνοῦσαν τὴν ζωήν των μὲ ἔρωτα καὶ εὐλάβειαν καὶ ηὔξηναν τὴν ἀγάπην των. Θέλων λοιπὸν καὶ αὐτὸς νὰ δηλώσῃ αὐτά, ἔλεγεν· «Ἐδίψασεν ἡ ψυχή μου τὸν Θεὸν τὸν ἰσχυρὸν καὶ ζωντανόν», θέλων συγχρόνως καὶ τὴν αἰτίαν νὰ εἰπῇ καὶ νὰ δείξῃ εἰς ἐσένα, πῶς θὰ ἠμποροῦσε κανεὶς νὰ ἀγαπήσῃ τόσον πολὺ τὸν Θεόν. Διότι μὲ τὰ ἑξῆς λόγια ἐδήλωσεν αὐτό, μὲ τὸ νὰ εἰπῇ, «Ἐδίψασεν ἡ ψυχή μου τὸν Θεόν», καὶ μὲ τὸ νὰ προσθέσῃ, «τὸν ζῶντα»· σχεδὸν ὡσὰν νὰ προτρέπῃ καὶ βροντοφωνάζῃ πρὸς ὅλους ποὺ καταγοητεύονται ἀπὸ τὰ κοσμικὰ πράγματα. Διατί κυριεύεσθε ἀπὸ τόσην μανίαν διὰ τὰ σώματα; διατί δείχνετε τόσην ἀγάπην διὰ τὰ σώματα; διατί ἐπιθυμεῖτε τὴν δόξαν; διατί παραδίδεσθε εἰς τὴν ὑλικὴν ἀπόλαυσιν; Τίποτε ἀπὸ αὐτὰ δὲν μένει καὶ δὲν ζῇ αἰώνια, ἀλλὰ ἐξαφανίζεται καὶ χάνεται καὶ εἶναι μηδαμινώτερα καὶ ἀπὸ τὴν σκιάν, καὶ ἀπατηλότερα ἀπὸ τὰ ὄνειρα, καὶ πιὸ εὔφθαρτα καὶ ἀπὸ τὰ ἀνοιξιάτικα ἄνθη, καὶ ἄλλα μὲν ἐγκαταλείπουν τὸν ἄνθρωπον μαζὶ μὲ τὸ τέλος τῆς παρούσης ζωῆς, ἄλλα δὲ ἐξαφανίζονται καὶ πρὶν ἀπὸ τὸ τέλος τῆς ἐδῶ ζωῆς. Εἶναι ἀμφίβολος ἡ ἀπόκτησις αὐτῶν, ἀβέβαιος ἡ ἀπόλαυσις, αἰφνίδιος ἡ μεταβολή, ἐνῷ εἰς τὴν περίπτωσιν τοῦ Θεοῦ τίποτε ἀπὸ αὐτὰ δὲν συμβαίνει, ἀλλὰ ζῇ καὶ παραμένει ἐκεῖνος αἰώνιος, μὴ δεχόμενος οὔτε ἀλλοίωσιν, οὔτε κάποιαν μεταβολήν.

Ἀφοῦ λοιπὸν ἀφήσωμεν τὰ πρόσκαιρα καὶ ἐφήμερα, ἂς ἀγαπῶμεν τὸν αἰώνιον καὶ παντοτινόν. Διότι δὲν εἶναι

καταισχυνθῆναί ποτε· οὐκ ἔστιν ἐκπεσεῖν· οὐκ ἔστιν ἔρημον γενέσθαι τοῦ φιλουμένου. Χρήματα μὲν ὁ φιλῶν, ἢ τελευτῆς ἐπελθούσης, ἢ καὶ πρὸ τῆς τελευτῆς γυμνοῦται τῶν ποθουμένων· καὶ δόξης τις ἐρῶν τῆς παρούσης τὸ αὐτὸ πάσχει· πολλάκις δὲ καὶ τὸ τῶν σωμάτων κάλλος πολὺ τῶν εἰρημένων κατασβέννυται θᾶττον, καὶ πάντα ἁπλῶς τὰ βιωτικά, πρόσκαιρα καὶ ἐφήμερα, καὶ πρὶν ἢ παραγενέσθαι καὶ φανῆναι, εὐθέως ἀποπηδᾷ. Ὁ δὲ τῶν πνευματικῶν ἔρως τοὐναντίον ἅπαν, ἀκμάζει διηνεκῶς καὶ ἀνθεῖ, καὶ γῆρας οὐκ οἶδεν, οὐδὲ παλαιότητα δέχεται, οὐδὲ μεταβολῇ τινι καὶ τροπῇ καὶ ἀδηλίᾳ τοῦ μέλλοντός ἐστιν ὑπεύθυνος· ἀλλὰ καὶ ἐνταῦθα τοὺς κεκτημένους ὠφελεῖ, καὶ περιβάλλει πάντοθεν, καὶ ἀπελθόντας ἐντεῦθεν οὐκ ἀφίησιν, ἀλλὰ καὶ συναποδημεῖ καὶ συμμεθίσταται τούτοις, καὶ τῶν φωστήρων αὐτῶν λαμπροτέρους αὐτοὺς ἀποφαίνει κατὰ τὴν ἡμέραν ἐκείνην. Ἅπερ οὖν εἰδὼς καὶ ὁ μακάριος Δαυίδ, φιλῶν διετέλει, καὶ τὸν ἔρωτα οὐκ ἠνέσχετο κατέχειν ἔνδον, ἀλλὰ παντὶ τρόπῳ δεῖξαι τοῖς ἀκούουσιν ἠπείγετο τὸ πῦρ, ὅπερ ἔνδον αὐτὸν συνεῖχεν. Εἰπὼν γάρ, «Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρὸν τὸν ζῶντα», ἐπήγαγε, «Πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ;».

Ὅρα καιόμενον τὸν ἄνθρωπον· ὅρα ἐμπιπράμενον. Εἰδὼς ὅτι ἐντεῦθεν ἀπελθὼν αὐτὸν ὄψεται, οὐδὲ τὴν ἀναβολὴν ἀναμένει· οὐ στέγει τὴν ὑπέρθεσιν, ἀλλὰ ἀποστολικὸν ἡμῖν ἐνταῦθα δείκνυσι φρόνημα. Καὶ γὰρ ἐκεῖνος ἔστενεν ἐπὶ τῇ μελλήσει τῆς ἐντεῦθεν ἀποδημίας· καὶ οὗτος τὸ αὐτὸ τοῦτο

δυνατόν, ἐὰν ἀγαπῶμεν ἐκεῖνον, νὰ νοιώσωμεν ποτὲ ἐντροπήν· δὲν εἶναι δυνατὸν νὰ πέσωμεν ἔξω· δὲν εἶναι δυνατὸν νὰ ἐγκαταλειφθῶμεν ἀπὸ ἐκεῖνον ποὺ ἀγαπῶμεν. Ἐκεῖνος μὲν ποὺ ἀγαπᾷ χρήματα, ἐρχόμενος ὁ θάνατος ἢ καὶ πρὶν ἀπὸ αὐτὸν ἀπογυμνώνεται ἀπὸ αὐτὰ ποὺ ποθεῖ· καὶ ἐκεῖνος ποὺ ἀγαπᾷ τὴν δόξαν τῆς παρούσης ζωῆς παθαίνει τὸ ἴδιο· πολλὲς φορὲς δὲ καὶ τὸ κάλλος τῶν σωμάτων πολὺ πιὸ γρήγορα χάνεται ἀπὸ αὐτὰ ποὺ ἐλέχθησαν, καὶ ὅλα γενικὰ τὰ κοσμικὰ πράγματα εἶναι πρόσκαιρα καὶ ἐφήμερα, καὶ πρὶν καλὰ - καλὰ ἔλθουν καὶ ἐμφανισθοῦν, ἀμέσως χάνονται. Ὁ ἔρωτας ὅμως τῶν πνευματικῶν πραγμάτων εἶναι κάτι τὸ ἐντελῶς ἀντίθετον, ἀκμάζει συνεχῶς καὶ ἀνθίζει καὶ γηράματα δὲν γνωρίζει, οὔτε δέχεται παλαιότητα, οὔτε εἶναι ὑπεύθυνος διὰ κάποιαν μεταβολὴν καὶ μετατροπὴν καὶ ἀβεβαιότητα τοῦ μέλλοντος, ἀλλὰ καὶ εἰς τὴν ἐδῶ ζωὴν ὠφελεῖ ἐκείνους ποὺ τὸν κατέχουν καὶ τοὺς φυλάσσει ἀπὸ παντοῦ, καὶ ὅταν φύγουν ἀπὸ αὐτὸν τὸν κόσμον δὲν τοὺς ἐγκαταλείπει, ἀλλὰ ἀναχωρεῖ μαζὶ μὲ αὐτοὺς καὶ ἀλλάσσει τόπον καὶ καθιστᾷ αὐτοὺς κατὰ τὴν ἡμέραν ἐκείνην λαμπροτέρους καὶ ἀπὸ τοὺς φωστῆρας αὐτούς. Γνωρίζων λοιπὸν αὐτὸ καὶ ὁ μακάριος Δαυΐδ, ἠγάπα αὐτὸν καὶ δὲν ἠνέχετο νὰ κρατῇ μέσα του τὸν ἔρωτά του, ἀλλὰ ἤθελε μὲ κάθε τρόπον νὰ δείξῃ εἰς τοὺς ἀκροατάς του τὴν φλόγα ποὺ εἶχε ζωσμένον τὸν ἐσωτερικὸν του κόσμον. Διότι, ἀφοῦ εἶπεν, «Ἐδίψασεν ἡ ψυχή μου τὸν Θεὸν τὸν ἰσχυρὸν καὶ ζωντανόν», ἐπρόσθεσε· «πότε θὰ φθάσω διὰ νὰ ἰδῶ τὸ πρόσωπον τοῦ Θεοῦ;».

Πρόσεχε τὸν ἄνθρωπον ποὺ πνίγεται ἀπὸ αὐτὴν τὴν δίψαν, πρόσεχε ψυχὴν καταφλογιζομένην. Γνωρίζων ὅτι θὰ ἰδῇ αὐτὸν ὅταν φύγῃ ἀπὸ τὴν ἐδῶ ζωήν, δὲν ἀναμένει οὔτε τὴν ἀναβολήν· δὲν ὑποφέρει τὴν μετάθεσιν, ἀλλὰ μᾶς δείχνει εἰς τὴν περίπτωσιν αὐτὴν ἀποστολικὸν φρόνημα. Καθ' ὅσον καὶ ὁ Παῦλος ἐστέναζε διὰ τὴν καθυστέρησιν τῆς ἀναχωρήσεώς του ἀπὸ τὴν ἐδῶ ζωήν, καὶ ὁ Δαυΐδ

ἔπασχε. Διὰ τοῦτο ἔλεγε, «Πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ;». Καὶ εἰ μὲν ἰδιώτης τις ἦν καὶ εὐτελής, καὶ ταπεινός, καὶ ἐν πενίᾳ ζῶν, μέγα μὲν καὶ οὕτως τὸ τῆς παρούσης καταφρονῆσαι ζωῆς· πλὴν οὐχ οὕτω μέγα καθάπερ νῦν τὸν βασιλεύοντα καὶ τοσαύτης ἀπολαύοντα τρυφῆς, τοσαύτης μετέχοντα δόξης, νίκας ἀνῃρημένον μυρίας, καὶ πολλοὺς νικήσαντα πολέμους, καὶ λαμπρὸν ὄντα καὶ ἐπίδοξον πανταχοῦ, πάντων μὲν καταγελᾶν τούτων, καὶ πλούτου καὶ δόξης καὶ τρυφῆς ἁπάσης, κεχηνέναι δὲ πρὸς τὰ μέλλοντα· τοῦτο μεγαλοψύχου τινός ἐστι διανοίας, τοῦτο φιλοσόφου ψυχῆς καὶ πρὸς τὸν οὐράνιον ἐπτερωμένης ἔρωτα.

7. Τοῦτον δὴ καὶ ἡμεῖς μιμησώμεθα, καὶ μὴ θαυμάσωμεν τὰ παρόντα, ἵνα θαυμάσωμεν τὰ μέλλοντα· μᾶλλον δὲ θαυμάσωμεν τὰ μέλλοντα, ἵνα μὴ θαυμάσωμεν τὰ παρόντα. Ἂν γὰρ διηνεκῶς ταῖς περὶ ἐκείνων ἐννοίαις ἐνδιατρίβωμεν, καὶ τὴν βασιλείαν τῶν οὐρανῶν, τὴν ἀθανασίαν, τὴν ζωὴν τὴν ἀτελεύτητον, τὴν μετὰ ἀγγέλων χορείαν, τὴν μετὰ Χριστοῦ διατριβήν, τὴν ἀκήρατον δόξαν ἐκείνην, τὴν πάσης ἀπηλλαγμένην ὀδύνης ζωὴν ἀναλογισώμεθα πρὸς ἑαυτούς, καὶ ἐννοῶμεν, ὅτι καὶ δάκρυα, καὶ ὀνείδη, καὶ λοιδορίαι, καὶ θάνατος, καὶ ἀθυμίαι, καὶ πόνος, καὶ γῆρας, καὶ νόσος, καὶ ἀρρωστία, καὶ πενία, καὶ συκοφαντία, καὶ χηρεία, καὶ ἁμαρτία, καὶ κατάγνωσις, καὶ κόλασις, καὶ τιμωρία, καὶ εἴ τι ἕτερον κατὰ τὸν παρόντα βίον ἐστὶ λυπηρὸν καὶ ἀηδές, ταῦτα πάντα ἀπελήλαται, ἀντεισενήνεκται δὲ ἀντὶ τούτων εἰρήνη, πραότης, ἐπιείκεια, ἀγάπη, χαρά, δόξα, τιμή, λαμπρότης, τὰ ἄλλα, ὅσα οὐδὲ λόγος παραστῆσαι δυνήσεται, οὐδὲν ἡμᾶς τῶν παρόντων

τὸ ἴδιο πρᾶγμα ἔπασχε. Διὰ τοῦτο ἔλεγε, «Πότε θὰ φθάσω διὰ νὰ ἰδῶ τὸ πρόσωπον τοῦ Θεοῦ;». Καὶ ἐὰν μὲν ἦτο κάποιος ἁπλοῦς, ἀσήμαντος καὶ ταπεινὸς ἄνθρωπος, ζῶν μέσα εἰς τὴν πτωχείαν, θὰ ἦτο καὶ τότε σπουδαῖον πρᾶγμα τὸ νὰ περιφρονήσῃ τὴν παροῦσαν ζωήν, πλὴν ὅμως δὲν εἶναι τόσον σπουδαῖον ὅπως ἀκριβῶς τώρα αὐτὸς ποὺ ἦτο βασιλεὺς καὶ ἀπελάμβανε τόσον ἀπολαυστικὴν ζωήν, ποὺ ἦτο μέτοχος τόσον μεγάλης δόξης, ποὺ ἐπέτυχεν ἀμετρήτους νίκας καὶ ἐνίκησεν εἰς πολλοὺς πολέμους, καὶ ἦτο λαμπρὸς καὶ δοξασμένος παντοῦ, ὅλα μὲν αὐτὰ νὰ τὰ περιφρονῇ, καὶ πλοῦτον καὶ δόξαν καὶ ὅλην τὴν τρυφηλὴν ζωήν, νὰ ἔχῃ δὲ ἐστραμμένην ὅλην τὴν προσοχήν του πρὸς τὰ μέλλοντα· αὐτὸ εἶναι γνώρισμα μιᾶς μεγαλοψύχου διανοίας, αὐτὸ εἶναι δεῖγμα φιλοσόφου ψυχῆς, ποὺ φτερουγίζει πρὸς τὸν οὐράνιον ἔρωτά της.

7. Αὐτὸν λοιπὸν καὶ ἡμεῖς ἂς μιμηθῶμεν καὶ ἂς μὴ θαυμάσωμεν τὰ παρόντα, διὰ νὰ θαυμάσωμεν τὰ μέλλοντα· μᾶλλον δὲ ἂς θαυμάσωμεν τὰ μέλλοντα, διὰ νὰ μὴ θαυμάσωμεν τὰ παρόντα. Διότι, ἐὰν ζῶμεν μὲ τὴν σκέψιν μας συνεχῶς πρὸς τὰ μέλλοντα ἐκεῖνα καὶ σκεπτώμεθα τὴν βασιλείαν τῶν οὐρανῶν, τὴν ἀθανασίαν, τὴν αἰώνιον ζωήν, τὴν συναναστροφὴν μὲ τοὺς ἀγγέλους, τὴν ἐπικοινωνίαν μὲ τὸν Χριστόν, τὴν ἀθάνατον ἐκείνην δόξαν, τὴν ζωὴν ποὺ εἶναι ἀπηλλαγμένη ἀπὸ κάθε ὀδύνην, καὶ ἐὰν ἀναλογιζώμεθα ὅτι τὰ δάκρυα καὶ οἱ ὀνειδισμοὶ καὶ αἱ ὕβρεις καὶ ὁ θάνατος καὶ αἱ λῦπαι καὶ ὁ πόνος καὶ τὰ γηρατειὰ καὶ αἱ ἀσθένειαι καὶ αἱ ἀρρώστιαι καὶ ἡ πτωχεία καὶ ἡ συκοφαντία *καὶ ἡ χηρεία καὶ ἡ ἁμαρτία καὶ ἡ περιφρόνησις καὶ ἡ κόλασις* καὶ ἡ τιμωρία καὶ ὅ,τιδήποτε ἄλλο τῆς παρούσης ζωῆς εἶναι λυπηρὸν καὶ ἀηδιαστικόν, ὅλα αὐτὰ ἐξαφανίζονται, ἐγκαθίσταται δὲ εἰς τὴν θέσιν αὐτῶν ἡ εἰρήνη, ἡ πραότης, ἡ ἐπιείκεια, ἡ ἀγάπη, ἡ χαρά, ἡ δόξα, ἡ τιμή, ἡ λαμπρότης καὶ ὅλα τὰ ἄλλα, ὅσα οὔτε ὁ λόγος θὰ ἠμπορέσῃ νὰ παραστήσῃ, τίποτε ἀπὸ τὰ τῆς παρούσης ζωῆς δὲν θὰ μᾶς

αἱρήσεται, ἀλλὰ καὶ ἡμεῖς δυνησόμεθα λέγειν κατὰ τὸν προφήτην, «Πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ (τοῦ Θεοῦ;)» καὶ οὕτω διακείμενοι, οὔτε εἰς ἀπόνοιαν ἀπὸ τῶν τοῦ βίου λαμπρῶν, οὔτε εἰς ἀθυμίαν ἀπὸ τῶν λυπηρῶν ἐμπεσούμεθα, οὐ φθόνος, οὐ κενοδοξία, οὐκ ἄλλο τι τῶν τοιούτων ἡμᾶς αἱρήσεταί ποτε.

Μὴ τοίνυν ἁπλῶς ἐνταῦθα εἰσίωμεν, μηδὲ τὰς ὑπακοὰς ἀφωσιωμένοι ὑπακούωμεν, ἀλλὰ ἀντὶ βακτηρίας αὐτὰς λαβόντες ἐξέλθωμεν. Ἀρκεῖ δὲ ἕκαστος στίχος πολλὴν ἡμῖν ἐνθεῖναι φιλοσοφίαν, καὶ εἰς τὰ δόγματα διορθῶσαι, καὶ εἰς τὸ βίον ὠφελῆσαι τὰ μέγιστα· κἂν μετὰ ἀκριβείας ἑκάστην διερευνήσωμεν ῥῆσιν, μεγάλα καρπωσόμεθα ἀγαθά. Οὔτε γὰρ πενίαν, οὔτε ἀσχολίαν, οὔτε ὀκνηρίαν δεῖ ἐνταῦθα προβάλλεσθαι. Κἂν γὰρ πένης ᾖς, καὶ διὰ τὴν πενίαν ἀπορῇς βιβλίων, ἢ βιβλία μὲν ἔχῃς, σχολῆς δὲ μὴ ἀπολαύσῃς, τὰς ὑπακοὰς μόνον διατήρησόν μοι τῶν ψαλμῶν, ἃς ἐνταῦθα ὑποψάλλεις οὐχ ἅπαξ, οὐ δίς, οὐ τρίς, ἀλλὰ καὶ πολλάκις, καὶ μεγάλην ἀπελθὼν λήψῃ τὴν παραμυθίαν. Ὅρα γοῦν ἡ ὑπακοὴ αὕτη πόσον ἡμῖν ἠνέῳξε θησαυρόν. Καὶ μή μοι λεγέτω τις, ὅτι πρὸ τῆς ἑρμηνείας οὐκ εἶδεν αὐτῆς τὴν δύναμιν. Καὶ γὰρ πρὸ τῆς ἑρμηνείας παντὶ τῷ ἀκούοντι καὶ ὁπωσοῦν βουλομένῳ προσέχειν εὐσύνοπτος ἡ ὑπακοή. Εἰ γὰρ μόνον ἐπαίδευσας σαυτὸν λέγειν, «Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός· ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρὸν τὸν ζῶντα· πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ (τοῦ Θεοῦ;)» καὶ

προσελκύσῃ, ἀλλὰ καὶ ἡμεῖς θὰ ἠμπορέσωμεν νὰ λέγωμεν μαζὶ μὲ τὸν προφήτην· «Πότε θὰ φθάσω διὰ νὰ ἰδῶ τὸ πρόσωπον τοῦ Θεοῦ;», καὶ ζῶντες κατ' αὐτὸν τὸν τρόπον, οὔτε εἰς παραλογισμοὺς θὰ φθάνωμεν ἐξ αἰτίας τῶν λαμπρῶν πραγμάτων τῆς παρούσης ζωῆς, οὔτε θὰ περιπέσωμεν εἰς λύπην ἐξ αἰτίας τῶν λυπηρῶν πραγμάτων, οὔτε φθόνος, οὔτε κενοδοξία, οὔτε τίποτε ἄλλο ἀπὸ τὰ παρόμοια θὰ μᾶς ἑλκύσῃ ποτέ.

Ἂς μὴ εἰσερχώμεθα λοιπὸν ἁπλῶς ἐδῶ οὔτε μόνον νὰ ἀκούωμεν μὲ ἀφοσίωσιν τὰς ψαλμωδίας, ἀλλὰ νὰ φεύγωμεν ἀφοῦ λάβωμεν αὐτὰς ὡσὰν βακτηρίας. Ἀρκεῖ δὲ ὁ κάθε στίχος νὰ γεμίσῃ τὴν ψυχήν μας μὲ πολλὴν εὐσέβειαν, καὶ τὸ νὰ διορθώσῃ τὰ περὶ πίστεως δόγματα, καὶ νὰ ὠφελήσῃ τὴν ζωήν μας τὰ μέγιστα καὶ ἂν ἐξετάσωμεν μὲ προσοχὴν κάθε λόγον, θὰ καρποθοῦμεν μεγάλα ἀγαθά. Καθ' ὅσον οὔτε πτωχείαν, οὔτε ἀσχολίαν, οὔτε ὀκνηρίαν πρέπει νὰ προβάλλωμεν ἐδῶ. Διότι καὶ ἂν ἀκόμη εἶσαι πτωχὸς καὶ ἐξ αἰτίας τῆς πτωχείας σου στερῆσαι τῶν βιβλίων, ἢ βιβλία μὲν ἔχεις, δὲν ἔχεις ὅμως τὴν ἀπαιτουμένην γνῶσιν, τὰς ὑπακοὰς διατήρησε μόνον, σὲ παρακαλῶ, τῶν ψαλμῶν, τὰς ὁποίας ὑποψάλλεις ἐδῶ ὄχι μίαν, οὔτε δύο, οὔτε τρεῖς φοράς, ἀλλὰ καὶ πολλὲς φορές, καὶ θὰ λάβῃς φεύγων ἀπὸ ἐδῶ μεγάλην παρηγορίαν. Πρόσεχε λοιπὸν αὐτὴ ἡ ὑπακοὴ πόσον θησαυρὸν ἤνοιξεν εἰς ἡμᾶς. Καὶ ἂς μὴ μοῦ λέγῃ κανείς, ὅτι πρὶν ἀπὸ τὴν ἑρμηνείαν δὲν ἐγνώριζε τὴν δύναμιν αὐτῆς. Καθ' ὅσον καὶ πρὶν ἀπὸ τὴν ἑρμηνείαν ἡ ὑπακοὴ ἦτο εὐκολονόητος εἰς τὸν καθένα ἀκροατὴν καὶ εἰς ἐκεῖνον ποὺ θέλει ὀλίγον νὰ προσέχῃ. Διότι, ἐὰν μόνον ἐσυνήθισες τὸν ἑαυτόν σου νὰ λέγῃ, «Ὅπως ἡ διψασμένη ἔλαφος τρέχει μὲ πόθον πρὸς τὰς πηγὰς τῶν ὑδάτων, ἔτσι σὲ ποθεῖ ἡ ψυχή μου, Θεέ μου· ἐδίψασεν ἡ ψυχή μου τὸν Θεὸν τὸν ἰσχυρὸν καὶ ζωντανόν· πότε θὰ φθάσω διὰ νὰ ἰδῶ τὸ πρόσωπον τοῦ Θεοῦ;», ἠμπορεῖς καὶ

πρὸ τῆς ἑρμηνείας δύνασαι πᾶσαν φιλοσοφίαν ἐνθεῖναι.

Οὐχ αὕτη δὲ μόνον, ἀλλὰ καὶ ἑκάστη ὑπακοὴ τὸν αὐτὸν ἡμῖν παρέξεται πλοῦτον. Κἂν εἴπῃς πάλιν, «Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον»[37]*, καὶ δυνηθῇς ἰδεῖν τί ἐστιν ὃ λέγεις, οὐ τὸν πλουτοῦντα, οὐ τὸν ἄρχοντα, οὐ τὸν εὔμορφον, οὐ τὸν ῥώμῃ κεκοσμημένον, οὐ τὸν οἰκίας ἔχοντα λαμπράς, οὐ τὸν ἐν δυναστείαις ὄντα, οὐ τὸν ἐν βασιλείοις τρεφόμενον, οὐκ ἄλλον οὐδένα ἀλλὰ τὸν ἐν εὐλαβείᾳ, τὸν ἐν φιλοσοφίᾳ, τὸν ἐν φόβῳ Θεοῦ ζῶντα ζηλώσεις, οὐ μόνον διὰ τὰ μέλλοντα, ἀλλὰ καὶ δι' αὐτὰ τὰ παρόντα. Καὶ γὰρ καὶ ἐνταῦθα οὗτος ἐκείνου δυνατώτερος. Εἰ γὰρ δή ποτε νόσος ἐπιστῇ, ὁ μὲν τὴν ἁλουργίδα ἔχων οὐδὲν ἀπὸ τῶν δορυφόρων καὶ τῆς πολλῆς φαντασίας εἰς τὴν παραμυθίαν ὠφελεῖται τῆς ἀρρωστίας, ἀλλὰ καὶ οἰκείων, καὶ πατέρων, καὶ πάντων παρόντων, καὶ χρυσῶν ἱματίων ἐπικειμένων καὶ ὑποκειμένων, ὥσπερ ἐν καμίνῳ κεῖται καιόμενος, ὁ δὲ ἐν εὐλαβείᾳ ζῶν καὶ τὸν Θεὸν φοβούμενος, οὐ πατέρος, οὐκ οἰκέτου, οὐκ ἄλλου τινὸς παρόντος, ἀναβλέψας εἰς τὸν οὐρανὸν οὐ πολλάκις, ἀλλὰ καὶ δὶς καὶ τρίς, πᾶσαν τὴν κάμινον ἐκείνην ἔσβεσε.*

Τοῦτο δὲ καὶ ἐν ταῖς περιστάσεσι καὶ ἐν τοῖς ἀδοκήτοις πᾶσι συμβαῖνον ἴδοι τις ἄν, τοὺς ἐν πλούτῳ καὶ περιφανείᾳ θορυβουμένους, τοὺς δὲ ἐν εὐλαβείᾳ καὶ φιλοσοφίᾳ ἀταράχως ἅπαντα φέροντας. Καὶ πρὸ τούτων δὲ πάντων, κἂν μηδὲν συμπέσῃ δεινόν, πλείονος τὸ συνειδὸς τοῦ φοβουμένου τὸν Θε-

---

37. Ψαλμ. 111, 1.

πρὶν ἀπὸ τὴν ἑρμηνείαν νὰ θέσῃς μέσα σου κάθε φιλοσοφίαν.

Ἀλλ' ὄχι μόνον αὐτή, ἀλλὰ καὶ κάθε μία ὑπακοὴ θὰ μᾶς χαρίσῃ τὸν ἴδιον πλοῦτον. Καὶ ἂν εἴπῃς πάλιν, «Εἶναι μακάριος ὁ ἄνθρωπος ποὺ φοβεῖται τὸν Κύριον»[37], καὶ ἠμπορέσῃς νὰ ἀντιληφθῇς τί σημαίνει αὐτὸ ποὺ λέγεις, θὰ ζηλεύσῃς ὄχι τὸν πλούσιον, οὔτε τὸν ἄρχοντα, οὔτε τὸν ὄμορφον, οὔτε τὸν στολισμένον μὲ γενναιότητα, οὔτε ἐκεῖνον ποὺ ἔχει λαμπρὰς οἰκίας, οὔτε ἐκεῖνον ποὺ κατέχει ἐξουσίας, οὔτε ἐκεῖνον ποὺ ζῇ εἰς τὰ βασιλικὰ ἀνάκτορα, οὔτε ἄλλον κανένα, ἀλλὰ ἐκεῖνον ποὺ ζῇ μὲ εὐλάβειαν, μὲ φιλοσοφίαν, μὲ φόβον Θεοῦ, ὄχι μόνον διὰ τὰ μελλοντικὰ πράγματα, ἀλλὰ καὶ δι' αὐτὰ τὰ παρόντα. Καθ' ὅσον καὶ ἐδῶ αὐτὸς ὁ δεύτερος εἶναι δυνατώτερος ἀπὸ τὸν πρῶτον. Διότι, ἐὰν κάποτε συμβῇ κάποια ἀσθένεια, ἐκεῖνος μὲν ποὺ φορεῖ τὴν βασιλικὴν στολήν, δὲν ὠφελεῖται καθόλου, εἰς τὸ νὰ παρηγορήσῃ τὴν ἀσθένειάν του, ἀπὸ τοὺς δορυφόρους του καὶ πολλὰ φαντασιώδη πράγματα ποὺ τὸν περιβάλλουν, ἀλλὰ καὶ ἂν ἀκόμη εἶναι παρόντες οἱ συγγενεῖς του, οἱ γονεῖς του καὶ ὅλοι γενικῶς καὶ ἔχει στρώματα, καὶ σκεπάσματα χρυσοστόλιστα, εἶναι ὡσὰν νὰ φλέγεται μέσα εἰς κάμινον, ἐνῷ αὐτὸς ποὺ ζῇ μὲ εὐλάβειαν καὶ φοβεῖται καὶ σέβεται τὸν Θεόν, χωρὶς νὰ εἶναι παρὼν οὔτε ὁ πατέρας, οὔτε ὁ ὑπηρέτης, οὔτε κάποιος ἄλλος, ἀνασηκώσας τὸ βλέμμα του εἰς τὸν οὐρανὸν ὄχι πολλὲς φορές, ἀλλὰ δύο - τρεῖς φορές, ἔσβησεν ὅλην τὴν φλόγα τῆς καμίνου.

Αὐτὸ δὲ θὰ ἠμποροῦσε κανεὶς νὰ ἰδῇ νὰ συμβαίνῃ καὶ εἰς τὰ καθημερινὰ συμβαίνοντα καὶ εἰς τὰ ἀπροσδόκητα, αὐτοὺς ποὺ εἶναι πλούσιοι καὶ ἔνδοξοι νὰ καταθορυβοῦνται, ἐνῷ αὐτοὶ ποὺ ζοῦν μὲ εὐλάβειαν καὶ εὐσέβειαν νὰ τὰ ὑποφέρουν ὅλα μὲ ἀταραξίαν. Καὶ ἐκτὸς ἀπὸ ὅλα αὐτά, καὶ ἂν ἀκόμη δὲν τοὺς εὕρῃ κανένα κακόν, ἡ συνείδησις αὐτοῦ ποὺ σέβεται καὶ φοβεῖται τὸν Θεὸν

ὂν καὶ καθαρωτέρας ἡδονῆς γέμει τῆς τοῦ πλουτοῦντος ψυχῆς. Ἐκεῖνος μὲν γάρ, εἰ καὶ τῆς ἔξωθεν ἀπολαύει τροφῆς, τῶν ἐν λιμῷ ζώντων ἁπάντων χαλεπώτερον διακείσεται, τὰ οἰκεῖα ἑαυτὸν ἀναμιμνήσκων κακὰ καὶ πονηρῷ συζῶν συνειδότι, οὗτος δέ, κἂν τῆς ἀναγκαίας ἀπορῇ τροφῆς, τῶν πάσης ἀπολαυόντων τρυφῆς εὐθυμότερος ἔσται, ἐλπίσι χρησταῖς συντρεφόμενος, καὶ τὰς ἀμοιβὰς τῶν οἰκείων κατορθωμάτων καθ' ἑκάστην προσδοκᾷ τὴν ἡμέραν.

Ἵνα δὲ μὴ μακρύνων τὸν λόγον δόξω ἐνοχλεῖν, τοῖς φιλοπονωτέροις καταλιπὼν ἑκάστην ἐκλέγειν ὑπακοήν, καὶ τὴν ἐναποκειμένην αὐτῇ δύναμιν διερευνᾶσθαι, ἐνταῦθα καταλύσω τὸν λόγον, ἐκεῖνα παραινέσας ὑμῶν τῇ ἀγάπῃ, μὴ ἁπλῶς ἐνταῦθα εἰσιέναι, ἀλλ' ὥσπερ μαργαρίτας τὰς ὑπακοὰς λαμβάνοντας διατηρεῖν καὶ μελετᾶν οἴκοι διηνεκῶς, καὶ πρὸς φίλους καὶ πρὸς γυναῖκας ἅπαντα ταῦτα λέγειν· κἂν πάθος διενοχλῇ, κἂν ἐπιθυμία διαναστῇ, κἂν θυμός, κἂν ἄλλο ὁτιοῦν ἕτερον πάθος ἀλογώτατον, αὐτὰς ἐπάδειν συνεχῶς· ἵνα καὶ κατὰ τὸν παρόντα βίον γαλήνης πολλῆς ἀπολαύσωμεν, καὶ εἰς τὴν μέλλουσαν ζωὴν τῶν αἰωνίων ἀγαθῶν ἐπιτύχωμεν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

εἶναι γεμάτη ἀπὸ καθαρωτέραν ἡδονὴν ἀπὸ τὴν ψυχὴν τοῦ πλουσίου. Διότι, ὁ μὲν πλούσιος, καὶ ἂν ἀκόμη ἀπολαμβάνῃ τὴν ὑλικὴν ἀπόλαυσιν, εὑρίσκεται εἰς χειροτέραν κατάστασιν ἀπὸ ὅλους ἐκείνους ποὺ ζοῦν μέσα εἰς τὴν στέρησιν, ὑπενθυμίζων εἰς τὸν ἑαυτόν του τὰς πονηρὰς πράξεις του καὶ συζῶν μὲ πονηρὰν συνείδησιν, ἐνῷ ὁ σεβόμενος τὸν Θεόν. καὶ ἂν ἀκόμη στερῆται τῆς ἀναγκαίας τροφῆς, αἰσθάνεται πιὸ εὐτυχὴς ἀπὸ ἐκείνους ποὺ ἀπολαμβάνουν κάθε ἀπόλαυσιν, τρεφόμενος ἀπὸ χρηστὰς ἐλπίδας καὶ ἀναμένει καθημερινὰ τὰς ἀμοιβὰς τῶν κατορθωμάτων του.

Ἀλλὰ διὰ νὰ μὴ φανῶ ἐνοχλητικός, μακραίνων τὸν λόγον, ἀφήνων εἰς τοὺς πιὸ φιλοπόνους ἀκροατάς μου νὰ ἐκλέγουν κάθε μίαν ὑπακοὴν καὶ νὰ διερευνοῦν τὴν δύναμιν ποὺ ὑπάρχει εἰς αὐτήν, ἐδῶ θὰ τερματίσω τὴν ὁμιλίαν, ἀφοῦ συμβουλεύσω εἰς τὴν ἀγάπην σας τὰ ἑξῆς, νὰ μὴ εἰσέρχεσθε ἁπλῶς ἐδῶ, ἀλλά, λαμβάνοντες τὰς ὑπακοὰς ὡσὰν μαργαριτάρια, νὰ τὰς διατηρῆτε καὶ νὰ τὰς μελετᾶτε διαρκῶς εἰς τὴν οἰκίαν σας, καὶ νὰ λέγετε ὅλα αὐτὰ πρὸς τοὺς φίλους καὶ πρὸς τὰς γυναῖκας σας· καὶ ἂν σᾶς ἐνοχλῇ κάποιο πάθος, καὶ ἂν γεννηθῇ μέσα κάποια ἐπιθυμία, ἢ θυμὸς ἢ ὁποιοδήποτε ἄλλο πάθος, συνεχῶς νὰ ψάλλετε αὐτὰς τὰς ὑπακοάς, ὥστε καὶ κατὰ τὴν παροῦσαν ζωὴν ν᾽ ἀπολαύσωμεν πολλῆς γαλήνης, καὶ εἰς τὴν μέλλουσαν ζωὴν νὰ ἐπιτύχωμεν τὰ αἰώνια ἀγαθά, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα, συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμή, τῶρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ
ΕΙΣ ΤΟΝ ΜΓ΄ ΨΑΛΜΟΝ

Τῷ νικοποιῷ τοῖς υἱοῖς Κορέ.

«Ὁ Θεὸς ἡμῶν, ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν, οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν ἔργον ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις». Ἄλλος ἑρμηνευτής φησιν, «Ἐν ἡμέραις ταῖς πρίν». Ἄλλος, «Ταῖς ἀρχῆθεν».

1. Τὸν ψαλμὸν τοῦτον λέγει μὲν ὁ προφήτης, λέγει δὲ οὐκ ἐκ προσώπου οἰκείου, ἀλλ' ἐκ προσώπου τῶν Μακκαβαίων, τὰ ἐν ἐκείνῳ τῷ χρόνῳ ἐσόμενα διηγούμενος καὶ προαναφωνῶν. Τοιοῦτοι γὰρ οἱ προφῆται· ἅπαντας περιτρέχωσι τοὺς χρόνους, τοὺς παρελθόντας, τοὺς παρόντας, τοὺς μέλλοντας. Τίνες δὲ οὗτοι οἱ Μακκαβαῖοι καὶ τί πεπόνθασι, καὶ τί κατώρθωσαν, ἀναγκαῖον πρῶτον εἰπεῖν, ὥστε καὶ τῆς ὑποθέσεως τὰ λεγόμενα γενέσθαι σαφέστερα. Οὗτοι γάρ, ἐπελθόντος Ἀντιόχου τοῦ λεγομένου Ἐπιφανοῦς, καὶ πάντα διαφθείραντος, καὶ πολλοὺς τῶν τότε βιασαμένου τὴν πολιτείαν ἐξορχήσασθαι τὴν πατρῴαν, διέμειναν οὐδὲν ὑπὸ τῶν πειρασμῶν παραβλαβέντες ἐκείνων· καὶ ὅτε μὲν βαρὺς ὁ πόλεμος ἔπνει, καὶ οὐδὲν πλέον ἐργάσασθαι ἠδύναντο, ἔκρυπτον ἑαυτούς. Ἐπεὶ καὶ οἱ ἀπόστολοι τοῦτο ἐποίουν. Οὐ γὰρ ἀεὶ φαινόμενοι ἐν τῷ μέσῳ ἐπεπήδων τοῖς κινδύνοις, ἀλλ' ἔστιν ὅτε καὶ φεύγοντες καὶ λανθάνοντες ὑπεχώρουν.

Ἐπειδὴ δὲ μικρὸν ἀνέπνευσαν, καθάπερ τινὲς σκύλακες

---

1. Πρόκειται περὶ διδακτικοῦ ψαλμοῦ, ποὺ συνετάχθη ὑπὸ ποιητοῦ τῆς οἰκογενείας Κορέ. Εἶναι ποίημα πατριωτικὸν συντοχθὲν ἐξ αἰτίας τῆς τρομερᾶς ἥττης τῶν Ἰσραηλιτῶν, ὁπότε ἡ γῆ των ἐλεηλατήθη, οἱ ἴδιοι δὲ ἠχμαλωτίσθησαν καὶ ἐξηνδραποδίσθησαν. Πιθανώτατα συνετάγη κατὰ τοὺς χρόνους τοῦ Δαυΐδ, ὅταν ἐμάχετο πρὸς τοὺς Ἀμμωνίτας καὶ Σύρους καὶ εὗρον τὴν εὐκαιρίαν νὰ εἰσβάλουν οἱ Ἰδουμαῖοι εἰς τὴν Παλαιστίνην (Πρβλ. Β΄ Βασ. 8, 13 καὶ Α΄ Παραλ. 18, 12), προλέγει δὲ ἐκεῖνα ποὺ ἐπρόκειτο νὰ συμβοῦν κατὰ τοὺς χρόνους τῶν Μακκαβαίων.

ΟΜΙΛΙΑ
ΕΙΣ ΤΟΝ ΜΓ΄ ΨΑΛΜΟΝ[1]

Είναι άφιερωμένος άπό τούς υίούς τοῦ Κορὲ είς τὸν αἴτιον τῆς νίκης.

«Θεέ μας, μὲ τὰ αὐτιά μας ἠκούσαμεν, οἱ πατέρες μας μᾶς διηγήθηκαν τὸ ἔργον ποὺ ἐπετέλεσες κατὰ τὰς ἀρχαίας ἡμέρας». Ἄλλος ἑρμηνευτὴς λέγει· «Κατὰ τὰς προηγουμένας ἡμέρας». Ἄλλος δέ· «Κατὰ τὰς πρώτας ἡμέρας τοῦ ἀνθρώπου».

1. Αὐτὸν τὸν ψαλμὸν τὸν συνέθεσε μὲν ὁ προφήτης, ἀναφέρεται δὲ ὄχι εἰς προσωπικὰ γεγονότα, ἀλλὰ διηγεῖται καὶ προλέγει, ὡς ἐκπρόσωπος τῶν Μακκαβαίων, τὰ γεγονότα ποὺ θὰ συνέβαινον κατὰ τὸν χρόνον ἐκεῖνον. Διότι τέτοιοι εἶναι οἱ προφῆται· ἐξετάζουν ὅλους τοὺς χρόνους, τοὺς παρελθόντας, τοὺς παρόντας καὶ τοὺς μέλλοντας. Ποῖοι δὲ ἦσαν αὐτοὶ οἱ Μακκαβαῖοι, τί ἔπαθον καὶ τί κατώρθωσαν, εἶναι ἀνάγκη νὰ τὸ εἴπουμεν κατὰ πρῶτον, ὥστε νὰ γίνουν πιὸ σαφῆ καὶ τὰ λεγόμενα τῆς ὑποθέσεως. Διότι αὐτοί, ὅταν εἰσέβαλεν εἰς τὴν χώραν των ὁ Ἀντίοχος, ὁ λεγόμενος Ἐπιφανής, καὶ διέφθειρε τὰ πάντα καὶ ἐξεβίασε πολλοὺς ἀπὸ τοὺς τότε Ἰουδαίους νὰ ἀρνηθοῦν τὴν πατρικὴν θρησκείαν των, ἔμειναν ἀκλόνητοι εἰς τὴν πίστιν των καὶ δὲν ὑπέστησαν καμμίαν βλάβην ἀπὸ τὰς δοκιμασίας ἐκείνας, καὶ ὅταν δὲ ὁ πόλεμος ἐναντίον των εἶχεν ἐνταθῆ πάρα πολὺ καὶ δὲν ἠμποροῦσαν νὰ κάμουν τίποτε, αὐτοὶ ἐκρύπτοντο. Καθ' ὅσον καὶ οἱ ἀπόστολοι τὸ ἴδιο ἔκαμον. Διότι δὲν ἐνεφανίζοντο πάντοτε καὶ δὲν ἐρρίπτοντο εἰς τοὺς κινδύνους, ἀλλὰ συνέβαινε καὶ νὰ φεύγουν καὶ νὰ ἀποχωροῦν κρυφά.

Ἀφοῦ δὲ ἀνέπνευσαν ὀλίγον, ὡσὰν κάποια γενναῖα

γενναῖοι, ἐκπηδήσαντες ἐκ τῶν σπηλαίων καὶ προκύψαντες ἐκ τῶν καταδύσεων, ἔγνωσαν μηκέτι μόνους ἑαυτοὺς διασώζειν, ἀλλὰ καὶ ἑτέρους, ὅσους οἷοί τ' ἂν ὦσι· καὶ τὴν πόλιν καὶ τὴν χώραν περιιόντες ἅπασαν, ἀνελέγοντο πάντας, ὅσους ηὕρισκον ὑγιῶς διακειμένους· πολλοὺς δὲ καὶ τῶν κεκμηκότων καὶ διεφθαρμένων ἀνεκτῶντο πάλιν, πείθοντες ἐπὶ τὸν πατρῷον νόμον ἐπαναδραμεῖν. Τὸν γὰρ Θεὸν φιλάνθρωπον εἶναι ἔφασκον, καὶ μηδέποτε τὴν ἐκ τῆς μετανοίας ἀναιρεῖν σωτηρίαν. Ταῦτα δὲ λέγοντες, στρατόπεδα κατέλεγον ἀνδρῶν γενναίων. Οὐδὲ γὰρ ὑπὲρ γυναικῶν καὶ παίδων καὶ παιδισκῶν καὶ ἀπαναστάσεως καὶ ἀνδραποδισμοῦ τῆς πατρίδος, ἀλλ' ὑπὲρ νόμου καὶ πολιτείας ἐμάχοντο πατρῴας· ἐστρατήγει δὲ αὐτοῖς ὁ Θεός. Παραταξάμενοι τοίνυν καὶ τὰς ψυχὰς αὐτῶν ἐπιδιδόντες, κατέλυον τοὺς ἐναντίους, οὐχ ὅπλοις θαρροῦντες, ἀλλ' ἀντὶ πάσης παντευχίας ἀρκοῦσαν ἔχοντες τὴν τῆς μάχης ὑπόθεσιν. Ἰόντες τοίνυν εἰς τὸν πόλεμον, οὐκ ἐτραγῴδουν, οὐ παιᾶνας ᾖδον, καθάπερ τινὲς ποιοῦσιν, οὐδὲ τοὺς αὐλοῦντας προσεκαθίεσαν, καθάπερ ἐν ἄλλοις στρατοπέδοις, ἀλλὰ τὸν Θεὸν ἄνωθεν ἐκάλουν παρεῖναι καὶ συμμαχεῖν, καὶ χεῖρα ὀρέγειν, δι' ὃν ἐπολεμοῦντο, ὑπὲρ οὗ τῆς δόξης ἠγωνίζοντο. Ἴδωμεν τοίνυν τί φθέγγεται τὸ τοῦ Θεοῦ τοῦτο στρατόπεδον, τὸ τῇ πνευματικῇ φραττόμενον βοηθείᾳ, μέλλον ἐπιέναι τοῖς πολεμίοις.

«Ὁ Θεός, ἐν τοῖς ὠσὶν ἡμῶν **ἠκούσαμεν».** **Ἐπειδὴ γάρ**

λεοντάρια, άφοῦ ἐξεπήδησαν ἀπὸ τὰ σπήλαια καὶ ἐπρόβαλον ἀπὸ τὰ κρησφύγετα, ἀπεφάσισαν νὰ μὴ διασώζουν πλέον μόνον τοὺς ἑαυτούς των, ἀλλὰ καὶ ἄλλους, ὅσους πιὸ πολλοὺς ἠμποροῦσαν· καὶ περιτρέχοντες τὴν πόλιν καὶ ὅλην τὴν χώραν, διήγειρον εἰς ἐπανάστασιν ὅλους, ὅσους εὕρισκον νὰ εἶναι πιστοὶ εἰς τὴν προγονικὴν θρησκείαν· ἔπαιρναν δὲ καὶ πάλιν μὲ τὸ μέρος των καὶ πολλοὺς ἀπὸ ἐκείνους ποὺ εἶχον λυγίσει λόγῳ τῶν διώξεων καὶ εἶχον ἀπαρνηθῆ τὴν θρησκείαν των, πείθοντες αὐτοὺς νὰ ἐπιστρέψουν εἰς τὴν πίστιν τῶν πατέρων των. Διότι ἔλεγον, ὅτι ὁ Θεὸς εἶναι φιλάνθρωπος καὶ ποτὲ δὲν στερεῖ τὴν σωτηρίαν εἰς ἐκείνους ποὺ μετανοοῦν. Λέγοντες δὲ αὐτὰ ἐσυγκέντρωναν στρατόπεδα γενναίων ἀνδρῶν. Διότι δὲν ἐμάχοντο ὑπὲρ γυναικῶν καὶ παίδων καὶ κορασίδων, καὶ διὰ νὰ σώσουν τὴν πατρίδα ἀπὸ τὴν καταστροφὴν καὶ τὴν δουλείαν, ἀλλὰ ἐμάχοντο ὑπὲρ τῆς πίστεως καὶ τῆς θρησκείας τῶν πατέρων των, στρατηγὸς δὲ αὐτοῦ τοῦ ἀγῶνος ἦτο ὁ Θεός. Ἀφοῦ λοιπὸν ἑτοιμάσθησαν διὰ τὸν ἀγῶνα καὶ ἀφιέρωσαν εἰς αὐτὸν καὶ τὰς ψυχάς των, ἐξωλόθρευον τοὺς ἐχθρούς των, ἔχοντες ὡς στήριγμα ὄχι τὰ ὅπλα των, ἀλλ' ἀντὶ ὁποιασδήποτε ἄλλης πανοπλίας ἔχοντες ὡς ἐνθαρρυντικὸν ὅπλον τὸν δίκαιον ἀγῶνα των. Ριπτόμενοι λοιπὸν εἰς τὸν πόλεμον δὲν ἐτραγουδοῦσαν, οὔτε ἔψαλλον πολεμικὰ ἄσματα, ὅπως ἀκριβῶς κάνουν μερικοί, οὔτε ἔβαζον νὰ καθίσουν αὐτοὺς ποὺ ἔπαιζον τοὺς αὐλούς, ὅπως συμβαίνει εἰς ἄλλα στρατόπεδα, ἀλλὰ ἐκαλοῦσαν τὸν Θεὸν νὰ σταθῇ ἐπάνω ἀπὸ αὐτοὺς καὶ νὰ γίνῃ σύμμαχός των καὶ νὰ τοὺς βοηθήσῃ, καθ' ὅσον ἐπολεμοῦσαν πρὸς χάριν των καὶ ἠγωνίζοντο ὑπὲρ τῆς δόξης του. Ἂς ἰδοῦμεν λοιπὸν τί λέγει αὐτὸ τὸ στρατόπεδον τοῦ Θεοῦ, ποὺ ἦτο περιφραγμένον ἀπὸ τὴν πνευματικὴν βοήθειαν, τὴν στιγμὴν ποὺ ἐπρόκειτο νὰ βαδίσῃ ἐναντίον τῶν ἐχθρῶν.

«Θεέ μας, μὲ τὰ αὐτιά μας ἠκούσαμεν». Ἐπειδὴ δη-

τινες τῶν συντεταγμένων αὐτοῖς, τό τε πλῆθος καὶ τὴν παράταξιν ὁρῶντες τὴν Ἀντιόχου, καὶ τὴν νίκην, καὶ ὅτι πάντα ἐξ ἐπιδρομῆς ἐλάμβανον, τήν τε οἰκείαν ἀσθένειαν καὶ ὀλιγότητα λογιζόμενοι, μαλακώτεροι ἦσαν καὶ ἀσθενέστεροι, διεγείρων αὐτῶν τὸ φρόνημα καὶ δεικνύς, ὅτι τὸ πᾶν ἐπὶ τῇ στρατηγίᾳ κεῖται τοῦ Θεοῦ, καὶ χωρὶς στρατοπέδων, συμμαχοῦντος αὐτοῦ, δυνατὸν περιγενέσθαι, ἐν εὐχῆς τάξει τινὰ παραίνεσιν καὶ συμβουλὴν ποιεῖται πρὸς τοὺς στρατιώτας, καὶ τῷ Θεῷ διαλεγόμενος προθυμοτέρους ἐκείνους ἐργάζεται. Οὐ μικρὸν δὲ τοῦτο παρακλήσεως μέρος. Οὐδὲ γὰρ ἂν ἴσχυσεν ὁμοίως ὁ λόγος πρὸς ἐκείνους τετραμμένος, καὶ πρὸς τὸν Θεὸν ἀποτεινόμενος. Διὸ δὴ καὶ τοῦτο προϊὼν ἔλεγεν· «Οὐκ ἐπὶ τῇ ῥομφαίᾳ αὐτῶν ἐκληρονόμησαν γῆν, καὶ ἡ δεξιὰ αὐτῶν οὐκ ἔσωσεν αὐτούς». Τοῦτο γὰρ τοὺς ἀσθενέστερον πρὸς τοὺς πόνους διακειμένους ἦν ἀνακτωμένου, τοὺς κατὰ ἀνθρωπίνην ἀκολουθίαν ζητοῦντας τὴν νίκην. Πᾶσα τοίνυν ἡ εὐχὴ αὕτη προτροπὴ τοῖς στρατοπέδοις ἐστί, τὸ πᾶν ἐπὶ τὸν Θεὸν ῥῖψαι κελεύουσα, καὶ ἐξαρτῆσαι τῆς ἐκεῖθεν ἐλπίδος τὴν νίκην.

Διὰ τί δὲ οὐκ εἶπεν, ἠκούσαμεν, ἁπλῶς, ἀλλ', «Ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν;». Ποίῳ γὰρ ἑτέρῳ μέρει τις ἀκούει τοῦ σώματος; Ἆρα μὴ περιττολογία τὰ λεγόμενα; Μὴ γένοιτο· ἀλλὰ κοινὸν ἔθος τῶν ἀνθρώπων ἐστίν, ὅταν τινὰ διηγῶνται, ὑπὲρ ὧν εἰσι πεπληροφορημένοι, καὶ περὶ μεγάλων τινῶν καὶ ὑπερόγκων ποιῶνται τὴν διήγησιν, πρὸς τοὺς οὔπω μὴ σφόδρα πεπληροφορημένους, προστιθέασιν ἀεὶ τὰ ὦτα, φάσκοντες τοῖς ὠσὶν ἀκηκοέναι. Οὐκ ἐπὶ ταυτησὶ δὲ τῆς ἐν-

λαδὴ ὡρισμένοι ἀπό τοὺς συγκεντρωθέντας συμπολεμιστάς των, βλέποντες καὶ τὸ πλῆθος καὶ τὴν παράταξιν τοῦ Ἀντιόχου, καὶ τὴν νίκην καὶ ὅτι ὅλα τὰ ἐλάμβανον ἀπὸ τὰς ἐπιδρομάς, σκεπτόμενοι τὴν ἰδικήν των ἀδυναμίαν καὶ τόν μικρόν ἀριθμόν τῶν συμπολεμιστῶν των, ὀλιγοψυχοῦσαν καὶ ἐγίνοντο ἀσθενέστεροι, διεγείρων τὸ φρόνημα αὐτῶν καὶ δεικνύων, ὅτι τὸ πᾶν ἐξαρτᾶται ἀπὸ τὴν στρατηγίαν τοῦ Θεοῦ, καὶ ὅταν αὐτὸς εἶναι σύμμαχος, καὶ χωρὶς στρατὸν εἶναι δυνατὸν νὰ ὑπερισχύσουν, ὑπὸ μορφὴν προσευχῆς δίδει κάποιαν προτροπὴν καὶ συμβουλὴν πρὸς τοὺς στρατιώτας, καὶ συνομιλῶν μὲ τόν Θεόν, κάμνει ἐκείνους προθυμοτέρους. Γίνεται δὲ αὐτό αἰτία ὄχι μικρᾶς ἐνθαρρύνσεως. Διότι δὲν θὰ εἶχε τὰ ἴδια ἀποτελέσματα ὁ λόγος ἐὰν καὶ πρὸς ἐκείνους ἐστρέφετο καὶ πρὸς τὸν Θεόν ἀπευθύνετο. Διὰ τοῦτο λοιπὸν εἰς τὴν συνέχειαν ἔλεγε καὶ αὐτό· «Δὲν ἐκληρονόμησαν μὲ τὰ ὅπλα των καὶ τὴν δύναμίν των τὴν γῆν τῆς ἐπαγγελίας, οὔτε ἡ δύναμίς των ἔσωσεν αὐτοὺς ἀπὸ τοὺς ἐχθρούς των». Διότι τὰ λόγια αὐτὰ ἐνεθάρρυναν ἐκείνους ποὺ ἦσαν ἀπροθυμώτεροι πρὸς τοὺς κινδύνους, ἐκείνους ποὺ ἐπεδίωκαν νὰ ἐπιτύχουν τὴν νίκην μὲ ἀνθρώπινα μέσα. Ὁλόκληρος λοιπὸν αὐτὴ ἡ προσευχὴ εἶναι προτροπὴ πρὸς τοὺς στρατιώτας, προτρέπουσα νὰ ἀναθέσουν τὸ πᾶν εἰς τὸν Θεὸν καὶ νὰ ἐξαρτήσουν τὴν νίκην ἀπὸ τὴν ἐλπίδα των πρὸς αὐτόν.

Διατί ὅμως δὲν εἶπεν, ἁπλῶς ἠκούσαμεν, ἀλλὰ λέγει, «Μὲ τὰ αὐτιά μας ἠκούσαμεν»; Διότι μὲ ποῖο ἄλλος μέρος τοῦ σώματος ἀκούει κανείς; Μήπως ἆρά γε τὰ λεγόμενα ἀποτελοῦν περιττολογία; Μὴ γένοιτο, ἀλλ' εἶναι κοινὴ συνήθεια τῶν ἀνθρώπων, ὅταν διηγοῦνται κάποια γεγονότα πολὺ σπουδαῖα καὶ πολὺ μεγάλα, τὰ ὁποῖα γνωρίζουν πάρα πολὺ καλὰ καὶ ἡ διήγησις αὐτὴ γίνεται πρὸς ἄλλους ποὺ δὲν τὰ γνωρίζουν ἀκόμη καλά, προσθέτουν πάντοτε τὴν λέξιν, τὰ αὐτιά, λέγοντες, ὅτι τὰ ἔχομεν ἀκούσει μὲ τὰ αὐτιά μας. Καὶ ὄχι μόνον εἰς αὐτὴν ἐδῶ τὴν περίπτω-

ἐργείας μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων τὸ αὐτὸ ποιεῖν εἰώθαμεν, μάρτυρας καλοῦντες αὐτὰς τὰς αἰσθήσεις. Πιστουμένων τοίνυν ἐστὶ τὸν ἀκροατήν, τὸ τῶν ὤτων τὴν προσθήκην ποιεῖν. Ἐπεὶ καὶ ἐπὶ ὀφθαλμῶν καὶ χειρῶν τὸ αὐτὸ ποιοῦμεν, ὡς ὅταν λέγωμεν, ταῖς χερσὶν ἡμῶν ἐψηλαφήσαμεν. Καὶ οἱ ἀπόστολοι δὲ ἔλεγον, «Ἃ ἑωράκασιν οἱ ὀφθαλμοὶ ἡμῶν ἃ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν».

Ὅρα δὲ αὐτῶν ἐκ προοιμίων κἀντεῦθεν τὴν ἀρετήν· τοσαῦτα καὶ τηλικαῦτα παθόντες δεινὰ διὰ τὸν Θεόν, πατρίδος ἐκπεσόντες, ἐλευθερίας, κινδύνοις περιπεπτωκότες, ἄλλοι δὲ καὶ φυγάδες γενόμενοι, τὰ ὄρη καὶ τὰς ἐρημίας διώκοντες, οὐδὲν τούτων φασὶ τέως, ὅτι τὸ καὶ τὸ ἐπάθομεν διὰ σέ, βοήθησον ἡμῖν, ἀλλ' ἕως ἔρημοι τῶν δικαιολογιῶν τούτων, καὶ οὐκ ἔχοντες ἐξ οἰκείων κατορθωμάτων παρρησίαν, οὕτως εἰς τὰ τοῖς προγόνοις ὑπηργμένα παρὰ τοῦ Θεοῦ καταφεύγουσι. Τὸ μὲν γὰρ τοὺς οὐκ ἔχοντας παρρησίαν ταῦτα ποιεῖν, θαυμαστὸν οὐδέν, τῆς ἀνάγκης αὐτοὺς εἰς τοῦτο ἑλκούσης, τὸ δὲ ἐκείνους τοὺς δυναμένους μεγάλα φθέγξασθαι ἀπὸ τῶν ἑαυτῶν κατορθωμάτων, μὴ ἀπὸ τούτων ἀξιοῦν σώζεσθαι, ἀλλ' ἀπὸ τῆς τοῦ Θεοῦ φιλανθρωπίας, ἧς καὶ οἱ πατέρες ἀπέλαυσαν, τοῦτό ἐστι τῆς πολλῆς ταπεινοφροσύνης αὐτῶν σημεῖον· οὐ μικρὰν δὲ κἀντεῦθεν ἑαυτοῖς προθυμίας κατασκευάζουσιν ὑπόθεσιν. Ἀρκεῖ γὰρ τοῦ Θεοῦ καὶ ἡ προσηγορία μόνη μυρίους καταλῦσαι πολέμους.

2. «Οἱ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν». Ἀκούσατε ὅσοι τῶν παίδων ἀμελεῖτε τῶν ὑμετέρων, ὅσοι διαβολικὰ μελίσματα ᾄδοντες περιορᾶτε, τῶν δὲ θείων διηγημάτων ἀμελεῖτε. Ἀλλ' οὐχ οὗτοι τοιοῦτοι, ἀλλὰ διηνεκῶς ἐν τοῖς διηγήμασι

2. Α' Ἰω. 1, 1.

σιν, ἀλλὰ καὶ εἰς τὰς ἄλλας συνηθίζομεν τὸ ἴδιο νὰ κάμνωμεν, ἐπικαλούμενοι ὡς μάρτυρας τὰς ἰδίας τὰς αἰσθήσεις μας. Χρειάζεται λοιπὸν ὁ ἀκροατὴς πρὸς ἐπιβεβαίωσιν τῶν ὅσων λέγει, νὰ προσθέτῃ καὶ τὴν μαρτυρίαν τῶν αὐτιῶν. Ἄλλωστε τὸ ἴδιο κάμνομεν καὶ εἰς τὴν περίπτωσιν τῶν ὀφθαλμῶν καὶ τῶν χεριῶν, ὅπως ὅταν λέγωμεν, μὲ τὰ χέρια μας τὰ ἐψηλαφήσαμεν. Καὶ οἱ ἀπόστολοι δὲ ἔλεγον, «Αὐτὰ ποὺ εἶδαν τὰ μάτια μας, αὐτὰ ποὺ ἐψηλάφησαν τὰ χέρια μας»[2].

Πρόσεχε δὲ τὴν ἀρετὴν αὐτῶν ἀπὸ αὐτοὺς ἐδῶ τοὺς πρώτους στίχους· ἂν καὶ ἔπαθον αὐτοὶ τόσα πολλὰ καὶ τόσον μεγάλα δεινὰ χάριν τοῦ Θεοῦ, ἔχασαν τὴν πατρίδα των, τὴν ἐλευθερίαν των, περιέπεσαν εἰς κινδύνους, ἄλλα δὲ ἔγιναν φυγάδες, τρέχοντες εἰς τὰ ὄρη καὶ τὰς ἐρημίας, τίποτε ἀπὸ αὐτὰ δὲν ἀναφέρουν εἰς τὴν ἀρχήν, ὅτι δηλαδὴ αὐτὸ καὶ αὐτὸ ἐπάθομεν πρὸς χάριν σου, βοήθησέ μας λοιπόν, ἀλλ' ὡς νὰ ἐστεροῦντο αὐτῶν τῶν δικαιολογιῶν καὶ νὰ μὴ εἶχον παρρησίαν ἀπὸ κατορθώματά των, ἔτσι καταφεύγουν εἰς ἐκεῖνα ποὺ ἔκαμεν ὁ Θεὸς εἰς τοὺς προγόνους των. Διότι, τὸ νὰ κάμνουν αὐτὰ ἐκεῖνοι ποὺ δὲν ἔχουν παρρησίαν, δὲν εἶναι καθόλου θαυμαστόν, καθ' ὅσον ἡ ἀνάγκη τοὺς ὁδηγεῖ εἰς αὐτό, τὸ νὰ ἠμποροῦν ὅμως ἐκεῖνοι νὰ προβάλουν μεγάλα ἐπιχειρήματα ἐξ αἰτίας τῶν κατορθωμάτων των, καὶ ὅμως νὰ μὴ ζητοῦν νὰ σωθοῦν ἐξ αἰτίας αὐτῶν, ἀλλὰ νὰ ζητοῦν νὰ σωθοῦν ἀπὸ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ τὴν ὁποίαν καὶ οἱ πατέρες των ἀπήλαυσαν, αὐτὸ εἶναι γνώρισμα τῆς μεγάλης ταπεινοφροσύνης των· δὲν εἶναι δὲ μικρὸν τὸ θάρρος ποὺ ἀποκομίζουν ἀπὸ αὐτὸ τὸ πρᾶγμα. Διότι ἀρκεῖ καὶ μόνον ἡ ἐπίκλησις τοῦ ὀνόματος τοῦ Θεοῦ διὰ νὰ συντρίψῃ μυρίους ἐχθρούς.

2. «Οἱ πατέρες μας μᾶς διηγήθησαν». Ἀκούσατε τὰ λόγια αὐτὰ ὅσοι παραμελεῖτε τὰ παιδιά σας, ὅσοι τὰ παραβλέπετε, ὅταν αὐτὰ τραγουδοῦν διαβολικὰ ᾄσματα, καὶ ἀδιαφορεῖτε διὰ τὰ θεῖα διηγήματα. Ὅμως αὐτοὶ δὲν εἶναι

τῶν τοῦ Θεοῦ κατορθωμάτων τὸν βίον ἀνήλισκον· καὶ διπλοῦν ἐποίουν τὸ κέρδος. Οἵ τε γὰρ εὖ παθόντες, ἐν μνήμῃ τῶν εὐεργεσιῶν ὄντες, βελτίους ἐγίνοντο, οἵ τε ἐκείνων ἔκγονοι οὐ μικρὰν θεογνωσίας ὑπόθεσιν ἐκ τῶν διηγημάτων ἐλάμβανον τούτων, καὶ πρὸς ἀρετῆς ζῆλον ἐνήγοντο. Βιβλία γὰρ ἦν αὐτοῖς τὰ στόματα τῶν γεγεννηκότων, καὶ πᾶσα σχολὴ καὶ πᾶσα διατριβὴ ταῦτα εἶχε τὰ διηγήματα, ὧν οὐδὲν τερπνότερον, οὔτε κερδαλεώτερον ἦν. Εἰ γὰρ ἁπλῶς διηγήματα πραγμάτων, καὶ μῦθοι, καὶ πλάσματα ψυχαγωγεῖν εἰώθασι πολλάκις τοὺς ἀκροατάς, πολλῷ μᾶλλον ταῦτα πολλὴν ἐδείκνυτο τὴν εὐεργεσίαν, τὴν δύναμιν, τὴν σοφίαν, τὴν κηδεμονίαν, καὶ μετὰ τῆς ἡδονῆς ἀνίστα τὸν ἀκροατήν, καὶ σπουδαιότερον ἐποίει. Οἱ γὰρ παρόντες τοῖς γινομένοις καὶ ὄψει παραλαβόντες, ἀκοῇ παρέδωκαν, καὶ ἦν ἡ ἀκοὴ τῆς ὄψεως ὁμοίως πρὸς πίστιν ἴση. Τῶν γὰρ παρόντων καὶ θεωμένων οὐχ ἧττον ἐπίστευον οἱ μὴ παρόντες καὶ θεώμενοι. Οὐ μικρὸν δὲ αὐτοῖς καὶ τοῦτο εἰς πίστιν ἄλειμμα ἦν.

Ἴδωμεν δὲ τί διηγήσαντο, καὶ εἰ ὑποθέσεως ὁμοίας μέμνηνται. Καὶ γὰρ τὸν μέλλοντά τινος δεῖσθαι, καὶ τῆς αἰτήσεως ἐπιτυγχάνειν, ἐκ τῆς ἑτέροις δοθείσης χάριτος ὅμοια αἰτεῖν ἐκείνῳ χρή. Ὃ δὲ λέγω, τοιοῦτόν ἐστιν· οἷον, αἰτεῖ τις ἡμᾶς οἰκέτης δωρεάν· ἂν δείξῃ καὶ ἕτερον εἰληφότα τὴν αὐτήν, μέγιστον δικαίωμα τὴν αὐτὴν τοῦ λαβεῖν προβάλλεται, πλὴν ἐὰν μὴ τῇ διαφορᾷ τὸ παράδειγμα βλάπτηται. Διαφο-

τέτοιοι, ἀλλ' ἐπερνοῦσαν ὅλην τὴν ζωήν των διηγούμενοι τά κατορθώματα τοῦ Θεοῦ· καὶ ἦτο διπλοῦν τὸ κέρδος των. Διότι καὶ οἱ εὐεργετηθέντες, ἐνθυμούμενοι τὰς εὐεργεσίας, ἐγίνοντο καλύτεροι, καὶ οἱ ἀπόγονοι ἐκείνων ἐλάμβανον ἀπὸ τὰς διηγήσεις αὐτὰς ὄχι μικρὰν ἀφορμὴν θεογνωσίας καὶ παρεκινοῦντο εἰς τό νά γίνουν μιμηταὶ τῆς ἀρετῆς των. Καθ' ὅσον βιβλία δι' αὐτοὺς ἦσαν τὰ στόματα τῶν πατέρων των καὶ κάθε πνευματικὴ ἐργασία των καὶ κάθε ἀπασχόλησίς των αὐτὰς τὰς διηγήσεις εἶχεν ὡς θέμα, ἀπὸ τὰς ὁποίας τίποτε δέν ὑπῆρχε πιό εὐχάριστον οὔτε πιό ὠφέλιμον. Διότι, ἐὰν συνήθως ψυχαγωγοῦν πολλὲς φορὲς τοὺς ἀκροατὰς ἁπλῶς διηγήσεις διὰ διάφορα πράγματα, καὶ μῦθοι καὶ φανταστικὰ διηγήματα, πολὺ περισσότερον αὐταὶ ἐδείκνυον μεγαλυτέραν τὴν εὐεργεσίαν, τὴν δύναμιν, τὴν σοφίαν, τὴν κηδεμονίαν καὶ μαζὶ μὲ τὴν εὐχαρίστησιν διήγειρον τὸν ἀκροατὴν καὶ τὸν ἔκαμνον σπουδαιότερον. Καθ' ὅσον ἐκεῖνοι πού ἦσαν παρόντες εἰς τὰ γεγονότα καὶ τὰ εἶδαν μὲ τὰ μάτια των, τὰ παρέδωσαν εἰς τοὺς μεταγενεστέρους διὰ τῆς ἀκοῆς καὶ ἦτο ἡ ἀκοὴ ὡς πρὸς τὴν ἀξιοπιστίαν ἴση μὲ τὴν ὅρασιν. Διότι ἐξ ἴσου μὲ ἐκείνους πού ἦσαν παρόντες καὶ τὰ εἶδαν μὲ τὰ μάτια των ἐπίστευον καὶ ἐκεῖνοι πού δὲν ἦσαν παρόντες καὶ δὲν τὰ εἶδαν μὲ τὰ μάτια των. Καὶ αὐτὸ δὲν ἦτο δι' αὐτοὺς μικρόν κίνητρον διὰ νὰ πιστεύσουν.

Ἂς ἰδοῦμεν δὲ τί διηγήθησαν οἱ πατέρες καὶ ἐὰν αὐτοὶ ἐνθυμοῦνται τὰ ἴδια πράγματα. Καθ' ὅσον ἐκεῖνος πού πρόκειται νὰ ζητήσῃ κάτι διὰ τῆς προσευχῆς καὶ νὰ ἐπιτύχῃ τὴν ἐκπλήρωσιν τοῦ αἰτήματός του, πρέπει νὰ ζητῇ ὅμοια μὲ ἐκεῖνα πού ἐδόθησαν ἀπὸ τὴν θείαν χάριν εἰς ἄλλους. Αὐτό πού λέγω σημαίνει τὸ ἑξῆς· ἐπὶ παραδείγματι, ζητεῖ κάποιος ἀπό ἡμᾶς δωρεάν· ἂν δείξῃ καὶ ἄλλον πού ἔλαβεν τὴν ἰδίαν δωρεάν, προβάλλεται μέγιστον τὸ δικαίωμά του νὰ λάβῃ καὶ αὐτός τὴν ἰδίαν δωρεάν, ἀρκεῖ νά μὴ ὑπάρχῃ διαφορὰ εἰς τὸ πρᾶγμα. Λέγων δὲ

ρὰν δὲ λέγω προσώπου ἢ πράγματος. Ἐὰν μὲν γὰρ ὁ εἰληφὼς ἦ τοιοῦτος, οἷος ὁ αἰτῶν, καὶ τὸ αἰτούμενον ὅμοιον, ἕστηκε τὸ ὑπόδειγμα· ἂν δὲ ἐκεῖνος δίκαιος μὲν λαβεῖν, οὗτος δὲ οὐκ ἔτι, μείζονος χρεία τῆς παρακλήσεως. Ἀναγκαῖον δὲ καὶ ἐκ τῶν Γραφῶν ὃ λέγω ποιῆσαι σαφές. Ἡ Χαναναία, ἐπειδὴ ἤκουσεν, «Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ δοῦναι τοῖς κυναρίοις», φησί, «Ναί, Κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἐκ τῶν ψυχίων τῆς τραπέζης τῶν κυρίων αὐτῶν». Καὶ Παῦλος πάλιν γράφων ἔλεγεν· «Εἰ ἄλλοι τῆς ἐξουσίας ὑμῶν μετέχουσι, πολλῷ μᾶλλον ἡμεῖς»· ἐνταῦθα μεῖζον τὸ δικαίωμα ἀπὸ τῆς τοῦ προσώπου διαφορᾶς ποιῶν. Καὶ πάλιν Φιλήμονι γράφων ἔλεγεν· «Ὅτι τὰ σπλάγχνα τῶν ἁγίων ἀναπέπαυται διὰ σοῦ, ἀδελφέ· διὸ πολλὴν ἐν Χριστῷ παρρησίαν ἔχων ἐπιτάσσειν σοι τὸ ἀνῆκον, διὰ τὴν ἀγάπην μᾶλλον παρακαλῶ». Ἐνταῦθα ἐκ τοῦ ἴσου τὸ παράδειγμα. Ὅταν γὰρ πρῶτος ᾖ τις εἰληφώς, ὥσπερ τινὰ τῷ δευτέρῳ θύραν ἀνοίγνυσιν, ἂν ᾖ ὅμοιος ὁ μέλλων αἰτεῖν, ἢ τὰ αὐτὰ αἰτοίη.

Οὐ μόνον δὲ ἐκ τῶν ἑτέροις δεδομένων, ἀλλὰ καὶ ἐκ τῶν ἡμῖν αὐτοῖς ἤδη ὑπαρξάντων ἡ παράκλησις πολλάκις ἰσχυρὰ γίνεται· ὃ καὶ Παῦλος ἐποίει Φιλιππησίοις γράφων καὶ λέγων· «Ὅτι καὶ ἐν Θεσσαλονίκῃ καὶ ἅπαξ καὶ δὶς τὰ εἰς τὴν χρείαν μοι ἐπέμψατε». Διά τοι τοῦτο πολλοὶ πολλοῖς διδόντες τοῦτο παρεγγυῶσι, μὴ ἐξειπεῖν ἑτέροις, ἵνα μὴ ᾖ εἰς τὸν

3. Ματθ. 15, 26 - 27.
4. Α΄ Κορ. 9, 12.
5. Φιλ. 7 - 9.
6. Φιλιπ. 4, 16.

διαφορὰν ἐννοῶ τὴν διαφορὰν τοῦ προσώπου ἢ τοῦ πράγματος. Διότι ἐὰν μὲν ἐκεῖνος ποὺ ἔλαβεν εἶναι τέτοιος ποὺ εἶναι καὶ ἐκεῖνος ποὺ ζητεῖ καὶ εἶναι ὅμοιον τὸ ζητούμενον, τότε εὐσταθεῖ τὸ παράδειγμα, ἂν ὅμως ἐκεῖνος μὲν δικαιοῦται νὰ λάβῃ, αὐτὸς δὲ ὄχι ἀκόμη, τότε ἔχει ἀνάγκην μεγαλυτέρας παρακλήσεως. Εἶναι δὲ ἀνάγκη νὰ κάμω σαφὲς αὐτὸ ποὺ λέγω καὶ ἀπὸ τὰς Γραφάς. Ἡ Χαναναία, ὅταν ἤκουσεν, «Δὲν εἶναι σωστὸν νὰ πάρῃ κανεὶς τὸν ἄρτον τῶν παιδιῶν του καὶ νὰ τὸν δώσῃ εἰς τὰ σκυλιά», λέγει· «Ναί, Κύριε· ὅμως καὶ τὰ σκυλιὰ τρώγουν ἀπὸ τὰ ψίχουλα ποὺ πέφτουν ἀπὸ τὸ τραπέζι τοῦ κυρίου των»[3]. Καὶ ὁ Παῦλος πάλιν γράφων πρὸς τοὺς Κορινθίους, ἔλεγεν· «Ἐὰν ἄλλοι χρησιμοποιοῦν τὸ δικαίωμα νὰ μετέχουν εἰς τὰ ἀγαθά σας, πολὺ περισσότερον τὸ ἔχομεν αὐτὸ τὸ δικαίωμα ἐμεῖς»[4]· ἐδῶ παρουσιάζει μεγαλύτερον τὸ δικαίωμα ἀπὸ τὴν διαφορὰν ποὺ ὑπάρχει εἰς τὸ πρόσωπον. Καὶ πάλιν γράφων πρὸς τὸν Φιλήμονα, ἔλεγεν· «Διότι τὰ σπλάγχνα τῶν ἁγίων ἔχουν ἀνακουφισθῆ ἐξ αἰτίας σου, ἀδελφέ· διὰ τοῦτο, ἂν καὶ ἔχω πολὺ θάρρος ἐν ὀνόματι τοῦ Χριστοῦ νὰ σοῦ διατάσσω ἐκεῖνο ποὺ πρέπει νὰ κάμῃς, ἀλλ' ὅμως ἐξ αἰτίας τῆς ἀγάπης μᾶλλον σὲ παρακαλῶ»[5]. Εἰς τὴν περίπτωσιν αὐτὴν τὸ παράδειγμα ἀναφέρεται εἰς ἴσα πράγματα. Διότι, ὅταν κανεὶς ἔχει λάβει πρῶτος, ἀνοίγει εἰς τὸν δεύτερον κατὰ κάποιον τρόπον κάποιαν θύραν, ἐὰν καὶ ἐκεῖνος ποὺ πρόκειται νὰ ζητήσῃ εἶναι ὅμοιος, ἢ ἤθελε ζητήσει τὰ ἴδια.

Ἀλλ' ὅμως ἡ παράκλησίς μας πολλὲς φορὲς γίνεται ἰσχυρὰ ὄχι μόνον ἀπὸ ἐκεῖνα ποὺ ἐδόθησαν εἰς ἄλλους, ἀλλὰ καὶ ἀπὸ ἐκεῖνα ποὺ ἤδη συνέβησαν εἰς ἡμᾶς τοὺς ἰδίους, πρᾶγμα ποὺ ἔκαμνε καὶ ὁ Παῦλος γράφων εἰς τοὺς Φιλιππησίους καὶ λέγων· «Διότι καὶ εἰς τὴν Θεσσαλονίκην μίαν καὶ δύο φορὲς ἐστείλατε βοήθειαν διὰ τὰς ἀνάγκας μου»[6]. Διὰ τοῦτο λοιπόν, ὅταν δίδουν εἰς ἄλλους, αὐτὸ ζητοῦν ὡς ἐγγύησιν, νὰ μὴ τὸ εἰποῦν εἰς ἄλλους, διὰ

ἕνα γενομένη χάρις πολλοὺς ἐπεγείρῃ τῷ δεδωκότι τοὺς αἰτοῦντας· ὥσπερ οὖν οὐκ ἔχοντος καταφυγεῖν εἴς τινα ἀναχώρησιν τοῦ δόντος ἅπαξ, εἰ μὴ καὶ ἑτέροις δοίη. Ἀλλ' ἄνθρωποι μὲν εἰκότως, ἅτε ἐκ τοῦ διδόναι γενόμενοι πενέστεροι, τοῦτο κελεύουσιν, ὁ δὲ Θεὸς τοὐναντίον καὶ ἀνακηρύττει καὶ βοᾷ τὰ ἑτέροις διδόμενα, εἰς τὸ καὶ ἑτέροις παρασχεῖν πρόφασιν τοῦ πάλιν αὐτὸν αἰτῆσαι. Τῷ γὰρ διδόναι μείζων αὐτοῦ ὁ πλοῦτος δείκνυται. Διό φησιν ὁ Παῦλος· «Ὁ πλουτῶν εἰς πάντας, καὶ ἐπὶ πάντας τοὺς ἐπικαλουμένους αὐτόν». Εἶδες καινήν τινα φύσιν πλούτου; Ταύτην καὶ σὺ μιμοῦ τὴν φιλοτιμίαν. Ὅταν γὰρ ἀναλώσῃς τὸν ἀποκείμενον πλοῦτον, τότε μᾶλλον αὐτὸν αὐξήσεις· ἂν δὲ κατορύξῃς, τότε μᾶλλον ἠλάττωσας. Καὶ τί θαυμαστόν, εἰ ἐπὶ τῶν πνευματικῶν τοῦτο συμβαίνει, ὅπου γε καὶ ἐπὶ τῶν σαρκικῶν οὕτω γίνεται; Καὶ γὰρ ἂν φειδόμενός τις τὸν σῖτον οἴκοι κείμενον μὴ δαπανήσῃ, μηδὲ εἰς τὰς ἀρούρας ἐκβάλῃ, τῷ στόματι τῶν σκωλήκων αὐτὸν παρέδωκεν· ἂν δὲ σκορπίσῃ, πλείονα τὸν ἀμητὸν ἐργάζεται.

3. Ἀκούσατε ὅσοι πρὸς τὴν ἐλεημοσύνην ἐστὲ ὀκνηροί. Ἀκούσατε οἱ τὸν πλοῦτον ὑμῖν ἐλαττοῦντες τῇ φυλακῇ. Ἀκούσατε οἱ τῶν ὄναρ πλουτούντων οὐδὲν διακείμενοι ἄμεινον. Ὀνείρατος γὰρ οὐδὲν ἄμεινον τὰ παρόντα· ἀλλ' ὥσπερ οἱ καθ' ὕπνους φανταζόμενοι χρήματα ἔχειν, κἂν τῶν ταμιείων

---

7. Ρωμ. 10, 12.

νὰ μὴ γίνῃ ἡ χάρις, ποὺ ἔγινεν εἰς τὸν ἕνα, αἰτία νὰ προσέλθουν καὶ ἄλλοι εἰς τὸν εὐεργέτην καὶ τοῦ ζητοῦν εὐεργεσίαν, ὁπότε βέβαια αὐτὸς ποὺ εὐεργέτησε μίαν φορὰν μὴ ἠμπορῶν νὰ καταφύγῃ εἰς κάποιον ἄλλον τρόπον ἐνεργείας, θὰ ὑποχρεωθῇ νὰ εὐεργετήσῃ καὶ τοὺς ἄλλους. Ἀλλ᾽ οἱ μὲν ἄνθρωποι τὸ λέγουν αὐτὸ πρὸς ἐκείνους ποὺ εὐεργετοῦν κατὰ πολὺ φυσικὸν λόγον, ἐπειδή, κάμνοντες εὐεργεσίαν, γίνονται πτωχότεροι, ὁ Θεὸς ὅμως ἀντιθέτως καὶ διακηρύσσει καὶ διαλαλεῖ τὰς εὐεργεσίας ποὺ κάμνει εἰς ἄλλους, ὥστε νὰ γίνουν αἰτία καὶ εἰς ἄλλους καὶ πάλιν νὰ ζητήσουν ἀπὸ αὐτὸν εὐεργεσίαν. Διότι μὲ τὸ νὰ δίδῃ ἀποδεικνύεται μεγαλύτερος ὁ πλοῦτος αὐτοῦ. Διὰ τοῦτο λέγει ὁ Παῦλος· «Ὁ Κύριος ποὺ εἶναι πλούσιος πρὸς ὅλους καὶ δίδει πρὸς ὅλους ἐκείνους ποὺ τὸν ἐπικαλοῦνται»[7]. Εἶδες μίαν κάποιαν νέαν μορφὴν πλούτου; Αὐτὴν τὴν γενναιοδωρίαν νὰ μιμῆσαι καὶ σύ. Διότι, ὅταν δαπανήσῃς τὸν ἀποθηκευμένον πλοῦτον, τότε περισσότερον θὰ τὸν αὐξήσῃς, ἐνῷ, ἐὰν τὸν παραχώσῃς μέσα εἰς τὴν γῆν, τότε περισσότερον τὸν ἐλιγόστευσες. Καὶ τί τὸ ἀξιοθαύμαστον, ἐὰν αὐτὸ συμβαίνῃ εἰς τὰ πνευματικὰ πράγματα, τὴν στιγμὴν βέβαια ποὺ συμβαίνει τὸ ἴδιο καὶ μὲ τὰ ὑλικὰ πράγματα; Καθ᾽ ὅσον ἂν κανεὶς λυπούμενος τὸν σῖτον, ποὺ ἔχει ἀποθηκευμένον εἰς τὸ σπίτι του, δὲν τὸν δαπανήσῃ, οὔτε τὸν σπείρῃ εἰς τοὺς ἀγρούς, τὸν παρέδωσεν εἰς τὸ στόμα τῶν σκωλήκων, ἂν ὅμως τὸν σκορπίσῃ, τότε προετοιμάζει μεγαλυτέραν ἀφθονίαν πλούτου.

3. Ἀκούσατε ὅσοι δὲν δείχνετε προθυμίαν πρὸς τὴν ἐλεημοσύνην. Ἀκούσατε αὐτοὶ ποὺ ὀλιγοστεύετε τὸν πλοῦτον σας κλειδώνοντες αὐτὸν εἰς τὰς ἀποθήκας. Ἀκούσατε αὐτοὶ ποὺ δὲν εὑρίσκεσθε εἰς καλυτέραν κατάστασιν ἀπὸ ἐκείνους ποὺ πλουτίζουν μόνον εἰς τὸ ὄνειρόν των. Διότι τὰ παρόντα πράγματα δὲν εἶναι καθόλου χρησιμότερα καὶ σταθερότερα ἀπὸ τὰ ὄνειρατα, ἀλλὰ ὅπως ἀκριβῶς αὐτοὶ βλέπουν εἰς τὸν ὕπνον των ὅτι ἔχουν χρήματα, καὶ ἂν

γένωνται τῶν βασιλικῶν κύριοι, πάντων εἰσὶ πενέστεροι, γενομένης ἡμέρας, οὕτω καὶ ἐπὶ τοῦ βίου τοῦ παρόντος, ὁ μηδὲν ἀγαγεῖν ἐκεῖ δυνηθείς, πάντων ἔσται πενέστερος, κἂν τὰ πάντων ᾖ κεκτημένος· ὄναρ γὰρ ἐπλούτησε μόνον. Εἰ τοίνυν βούλει μοι δεῖξαι τὸν εὔπορον, τότε μοι δεῖξον, ὅταν ἡμέρα γένηται, ὅταν εἰς τὴν πατρίδα ἀπέλθωμεν ἐκείνην· νῦν δὲ οὐκ ἀνέξομαι τὸν πλούσιον διαγινώσκειν καὶ τὸν πένητα. Οὐ γάρ ἐστιν ἀλήθεια πραγμάτων, ἀλλ' ὀνομάτων χάρις καὶ εὐφημία μᾶλλον. Καθάπερ γὰρ τοὺς τυφλοὺς καλοῦσιν οἱ πολλοὶ πολυβλέποντας, ἀλλ' οὐκ ἀκολουθεῖ τῷ ὀνόματι τὸ πρᾶγμα, ἀλλ' οὗτοι μάλιστά εἰσιν οἱ μὴ ὁρῶντες, οὕτω δὴ καὶ τὸ τῶν πλουσίων ὄνομα περιφέρεσθαι ἐνταῦθά φημι τῶν οὐδὲν ἐκεῖ κεκτημένων. Ὅταν γὰρ ἐνταῦθα πλουτῇ, τότε μάλιστα οἶδα ὅτι πένης ἐστίν. Εἰ γὰρ μὴ σφόδρα πένης ἦν, οὐκ ἂν σφόδρα ἐπλούτει. Ὥσπερ γὰρ τὸν πηρόν, εἰ μὴ καθόλου τετύφλωται, οὐκ ἂν αὐτὸν πολυβλέποντα ἐκάλεσαν, οὕτω δὴ καὶ ἐνταῦθα λογιστέον.

Ἀποθέμενοι οὖν τῶν ὀνομάτων τὴν ἀπάτην, ἀντιλάβωμεν τῶν πραγμάτων τὴν ἀλήθειαν. Οὐ γὰρ ἐν ὀνόμασι τὰ πράγματα ἕστηκεν, ἀλλ' αἱ τῶν πραγμάτων φύσεις τὰ ὀνόματα κατὰ τὴν οἰκείαν ὑπόστασιν πλάττουσιν. Ὁ δεῖνα πλούσιος καλεῖται, ἀλλ' οὐκ ἔστι. Καὶ πῶς οὐκ ἔστιν, ὅταν πολὺς μὲν ἄργυρος, πολὺ δὲ χρυσίον, καὶ λίθοι τίμιοι, καὶ ἱμάτια

ἀκόμη γίνουν κύριοι τῶν βασιλικῶν ταμείων, εἶναι πτωχότεροι ἀπὸ ὅλους, ὅταν ξημερώσῃ, ἔτσι συμβαίνει καὶ μὲ τὰ πράγματα τῆς παρούσης ζωῆς, ἐκεῖνος ποὺ δὲν θὰ ἠμπορέσῃ τίποτε νὰ μεταφέρῃ εἰς τὸν ἄλλον κόσμον, θὰ εἶναι πτωχότερος ἀπὸ ὅλους, καὶ ἂν ἀκόμη ἔχῃ ἀποκτήσει τὰ πάντα εἰς τὴν ἐδῶ ζωήν· διότι ἐπλούτισε μόνον εἰς τὸ ὄνειρόν του. Ἐὰν λοιπὸν θέλῃς νὰ μοῦ δείξῃς τὸν πλούσιον, τότε νὰ μοῦ τὸν δείξῃς, ὅταν θὰ γίνῃ ἡμέρα, ὅταν θὰ ἀπέλθωμεν εἰς τὴν πατρίδα ἐκείνην, ἐνῷ τώρα δὲν θὰ ἠμπορέσω νὰ διακρίνω τὸν πλούσιον καὶ τὸν πτωχόν. Καθ' ὅσον δὲν εἶναι ἀληθινὰ τὰ πράγματα τοῦ κόσμου αὐτοῦ, ἀλλ' ἁπλῶς ὀνόματα καὶ εὔφημοι λέξεις μᾶλλον. Διότι ὅπως ἀκριβῶς ὀνομάζουν οἱ πολλοὶ ἄνθρωποι τοὺς τυφλούς, πολυομμάτους, ἀλλ' ὅμως δὲν ἀνταποκρίνεται τὸ ὄνομα εἰς τὴν πραγματικότητα, ἀλλ' αὐτοὶ εἶναι ἐκεῖνοι πρὸ πάντων ποὺ δὲν βλέπουν, ἔτσι λοιπὸν καὶ αὐτοὶ ποὺ φημολογοῦνται εἰς τὴν ἐδῶ ζωὴν ὡς πλούσιοι, πιστεύω ὅτι αὐτοὶ εἶναι ἀπὸ ἐκείνους ποὺ δὲν θὰ ἔχουν τίποτε εἰς τὸν ἄλλον κόσμον. Ὅταν δηλαδὴ εἶναι πλούσιος ἐδῶ, τότε πρὸ πάντων εἶμαι σίγουρος ὅτι εἶναι πτωχός. Διότι, ἐὰν δὲν ἦτο πάρα πολὺ πτωχός, δὲν θὰ ἐπλούτιζε πάρα πολύ. Ὅπως ἀκριβῶς δηλαδὴ τὸν τυφλόν, ἐὰν δὲν ἦτο τελείως τυφλός, δὲν θὰ τὸν ὠνόμαζαν πολυόμματον, ἔτσι λοιπὸν πρέπει νὰ σκεφθῶμεν καὶ εἰς τὴν περίπτωσιν αὐτήν.

Ἀφοῦ λοιπὸν ἀποβάλωμεν τὰ ἀπατηλὰ ὀνόματα, ἂς λάβωμεν εἰς τὴν θέσιν αὐτῶν τὴν ἀλήθειαν τῶν πραγμάτων. Διότι δὲν κάμνουν τὰ ὀνόματα τὰ ἀληθινὰ πράγματα, ἀλλ' αἱ φύσεις τῶν πραγμάτων καθορίζουν τὰ ὀνόματα σύμφωνα μὲ τὴν πραγματικὴν ὑπόστασίν των. Ὁ τάδε ὀνομάζεται πλούσιος, ἀλλὰ δὲν εἶναι. Καὶ πῶς δὲν εἶναι, ὅταν περιβάλλουν αὐτὸν καὶ πολὺς ἄργυρος καὶ πολὺς χρυσὸς καὶ λίθοι πολύτιμοι καὶ ἐνδύματα χρυσοστόλιστα

χρυσᾶ, καὶ τὰ ἄλλα πάντα αὐτῷ περιρρέῃ; Ὅτι οὐ χρυσίον, οὐδὲ ἱμάτια, οὐδὲ χρήματα, ἀλλ' ἐλεημοσύνη ποιεῖ πλούσιον. Ταῦτα γὰρ χόρτος, ταῦτα ξύλα καὶ καλάμη. Ἐπεὶ ποῖον ἱμάτιον, εἰπέ μοι, τότε τὸν γυμνὸν ἑστῶτα ἐπὶ τοῦ φοβεροῦ βήματος ἐκείνου περιβαλεῖν δυνήσεται; Ὅπερ καὶ Παῦλος δεδοικὼς ἔλεγεν· «Εἴπερ καὶ ἐνδυσάμενοι, οὐ γυμνοὶ εὑρεθησόμεθα». Ποῖα χρήματα τὸν κινδυνεύοντα ἐξελέσθαι δυνήσεται; ποῖοι οἰκέται μαστιζομένῳ παραστήσεσθαι τῷ δεσπότῃ; ποῖαι οἰκίαι; ποῖοι λίθοι πολύτιμοι; ποῖα βαλανεῖα τὸν ῥύπον ἀποσμῆξαι δυνήσεται τὸν ἐκ τῶν ἁμαρτημάτων; Μέχρι τίνος ἑαυτοὺς ἀπατᾶτε; μέχρι τίνος οὐ διαβλέπετε τῶν πραγμάτων τὴν ἀλήθειαν, ἀλλ' ἐπὶ τὰ ὀνείρατα κεχήνατε, ἐγγὺς καὶ ἐπὶ θύραις τῆς κρίσεως οὔσης; Ἀλλ' ἐπὶ τὰ προκείμενα ἐπανίωμεν.

«Οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν ἔργον ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις». Ἔξεστι καὶ ἡμῖν τοῦτο εἰπεῖν κατὰ ἀναγωγὴν τὸ ῥῆμα. Εἰ μὲν καὶ ἐκείνοις οἱ πατέρες διηγήσαντο, ἀλλὰ καὶ ἡμῖν ἡ τοῦ Θεοῦ χάρις ἔδωκε διὰ τῆς ἐπιφοιτήσεως τοῦ Πνεύματος μαθεῖν τὰ ἐκείνων. Πῶς δὲ ἄν τις κατὰ ἀναγωγὴν αὐτὰ ἐκλάβοι; Εἰς τὰ τῆς καινῆς χάριτος ἕλκων κατορθώματα· ὅτι πρὸς τὸν οὐρανὸν ἀνενήχθημεν, ὅτι βασιλείας ἠξιώθημεν, ὅτι Θεὸς ἄνθρωπος γέγονε, τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας. Ἀλλ' ἴωμεν ἐπὶ τὴν ἱστορίαν λοιπόν. «Ἔργον ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις». Παλαιοῦ τινος διηγήματος μέμνηται, καὶ ἀρχαῖα παράγει κατορθώματα. Καὶ τίνος ἕνεκεν οὐ νέου τινὸς μέμνηται καὶ προσφάτου; Ὅτι πι-

---

8. Β΄ Κορ. 5, 3.

καὶ ὅλα τὰ ἄλλα; Καθ' ὅσον δὲν κάμνουν τὸν πλούσιον οὔτε τὸ χρυσάφι, οὔτε τὰ ἐνδύματα, οὔτε τὰ χρήματα, ἀλλὰ ἡ ἐλεημοσύνη. Διότι αὐτὰ εἶναι χόρτος, αὐτὰ εἶναι ξύλα καὶ καλάμη. Διότι, εἰπέ μου, ποῖο ἔνδυμα θὰ ἠμπορέση νὰ φορέση τότε ἐκεῖνος ποὺ θὰ στέκεται γυμνὸς πρὸ τοῦ φοβεροῦ ἐκείνου βήματος; Αὐτὸ ἀκριβῶς φοβούμενος καὶ ὁ Παῦλος, ἔλεγεν· «Ἐὰν λοιπὸν ἐνδυθοῦμεν αὐτὴν τὴν οὐράνιον κατοικίαν μας, δὲν θὰ εὑρεθῶμεν γυμνοί»[8] Ποῖα χρήματα θὰ ἠμπορέσουν νὰ σώσουν ἐκεῖνον ποὺ θὰ κινδυνεύῃ τότε; Ποῖοι δοῦλοι θὰ συμπαρασταθοῦν τὸν κύριον ποὺ θὰ μαστιγώνεται τότε; ποῖα οἰκία; ποῖοι λίθοι πολύτιμοι; ποῖα λουτρὰ θὰ ἠμπορέσουν νὰ καθαρίσουν τὴν βρωμιὰν ἀπὸ τὰ ἁμαρτήματα; Μέχρι πότε θὰ ἐξαπατᾶτε τοὺς ἑαυτούς σας; μέχρι πότε δὲν θὰ βλέπετε τὴν ἀλήθειαν τῶν πραγμάτων, ἀλλὰ θὰ χάσκετε ἐμπρὸς εἰς τὰ ὀνείρατα, τὴν στιγμὴν ποὺ ἡ ἡμέρα τῆς κρίσεως εὑρίσκεται κοντὰ εἰς τὰ πρόθυρα; Ἀλλ' ἂς ἐπιστρέψωμεν εἰς τὰ ὑπὸ ἐξέτασιν.

«Οἱ πατέρες μας μᾶς διηγήθησαν τὸ ἔργον ποὺ ἐπετέλεσες κατὰ τὰς ἡμέρας των, κατὰ τὰς ἀρχαίας ἡμέρας». Ἠμποροῦμεν νὰ εἰποῦμεν κατ' ἀναλογίαν καὶ εἰς ἡμᾶς αὐτὰ τὰ λόγια. Ἂν καὶ δηλαδὴ καὶ εἰς ἐκείνους διηγήθησαν οἱ πατέρες των, ἀλλ' ὅμως καὶ εἰς ἡμᾶς ἡ χάρις τοῦ Θεοῦ ἔδωσε τὴν δυνατότητα διὰ τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου Πνεύματος νὰ γνωρίσωμεν τὰ ὅσα συνέβησαν εἰς ἐκείνους. Πῶς δὲ θὰ ἠμποροῦσε κανεὶς νὰ ἐκλάβῃ αὐτὰ κατ' ἀναλογίαν; Μὲ τὸ νὰ ἀντιπαραβάλλῃ πρὸς ἐκεῖνα τὰ κατορθώματα τῆς νέας χάριτος, διότι μετεφέρθημεν πρὸς τὸν οὐρανόν, διότι ἠξιώθημεν τῆς οὐρανίου βασιλείας, διότι ὁ Θεὸς ἔγινεν ἄνθρωπος, καταργήσας τὸ μεσότοιχον τοῦ φραγμοῦ. Ἀλλ' ἂς ἔλθωμεν πλέον εἰς τὴν ἱστορίαν. «Τὸ ἔργον ποὺ ἔκαμες κατὰ τὰς ἡμέρας αὐτῶν, κατὰ τὰς ἀρχαίας ἡμέρας». Ἐνθυμεῖται κάποιαν παλαιὰν διήγησιν καὶ ἀναφέρει ἀρχαῖα κατορθώματα. Καὶ διατί δὲν ἐνθυμεῖται

ρὰ μὲν ἀνθρώποις εἰκότως τῶν προσφάτων ποιούμεθα τὴν διήγησιν, καὶ ἀπὸ τούτων αὐτοὺς ἐπισπώμεθα, ἅτε τῆς μνήμης αὐτοῖς ἐξασθενούσης, παρὰ δὲ Θεῷ πάντα γνωστά, ὁμοίως καὶ τὰ παλαιὰ καὶ τὰ νέα. «Ἰδοὺ» γάρ, φησί, «σὺ ἔγνως πάντα, τὰ ἔσχατα καὶ τὰ ἀρχαῖα». Οὐδὲν διαφέρει ἄν τε παλαιόν τις, ἄν τε νέον εἴπη διήγημα, μόνον οἰκεῖον τῷ ὑποκειμένῳ ἔστω. Ποῖον οὖν, φησί, διήγημα ἀρχαῖον λέγειν βούλεται; Ἀκούσωμεν.

«Ἡ χείρ σου ἔθνη ἐξωλόθρευσε», φησί, «καὶ κατεφύτευσας αὐτούς· ἐκάκωσας λαοὺς καὶ ἐξέβαλες αὐτούς». Ἆρα ἐπέγνωτε ποῖον λέγει πόλεμον, ποίαν νίκην, ποῖον τρόπαιον, ἢ τῆς παρ' ἡμῶν ἔτι δεῖσθε σαφηνείας; Ἤδη μὲν οἶμαι πολλοὺς συνεωρακέναι τὸ λεγόμενον· διὰ δὲ τοὺς ἀγνοοῦντας ἀναγκαῖον καὶ τὰ παρ' ἡμῶν προσθεῖναι. Ποίων οὖν τροπαίων μέμνηται; ποίων κατορθωμάτων; Τῶν ἐν Αἰγύπτῳ, τῶν ἐν τῇ ἐρήμῳ, τῶν ἐν τῇ γῇ τῆς ἐπαγγελίας· μᾶλλον δὲ τῶν ἐν τῇ ἐπαγγελίᾳ. Οὐ γὰρ οἱ ἐξ Αἰγύπτου ἐξελθόντες, οὗτοι καὶ τῆς Παλαιστίνης ἐπέτυχον, ἀλλὰ πάντες ἔπεσον ἐν τῇ ἐρήμῳ. Ὅτε γοῦν οἱ ἐξ ἐκείνων τεχθέντες, καὶ οἱ ἐν τῇ ἐρήμῳ τραφέντες, εἰσήεσαν εἰς Παλαιστίνην, φησίν, οὐκ ἐδέησεν αὐτοῖς ὅπλων· ἀλλ' αὐτοβοεὶ τὰς πόλεις εἷλον, καὶ διαβάντες τὸν Ἰορδάνην, τὴν πρώτην αὐτοῖς ἀπαντήσασαν πόλιν τὴν Ἰεριχώ, καθάπερ χορεύοντες μᾶλλον ἢ πολεμοῦντες κατήνεγκαν. Κεκοσμημένοι γὰρ ὅπλοις οὐχ ὡς ἐν μάχαις, ἀλλ' ὡς ἐν πανηγύρει καὶ χορείᾳ ἐξήεσαν, ἀντὶ καλ-

9. Ψαλμ. 138, 5.
10. Ἀριθμ. 14, 23 καὶ Ἑβρ. 3, 17.
11. Ἰησ. Ναυῆ κεφ. 6.

κάποιο νέον· καὶ πρόσφατον γεγονὸς; Διότι, ὅταν ἀπευθυνώμεθα πρὸς ἀνθρώπους, φυσικὸν εἶναι νὰ διηγούμεθα πρόσφατα γεγονότα καὶ νὰ προσελκύωμεν τὴν προσοχὴν αὐτῶν μὲ αὐτά, ἐπειδὴ ἡ μνήμη αὐτῶν ἀδυνατεῖ νὰ ἐνθυμῆται παλαιὰ γεγονότα, εἰς τὸν Θεὸν ὅμως τὰ πάντα εἶναι γνωστά, ὁμοίως καὶ τὰ παλαιὰ καὶ τὰ νέα. Διότι λέγει, «Νὰ σὺ τὰ γνωρίζεις ὅλα, καὶ τὰ πρόσφατα καὶ τὰ παλαιά»[9]. Δὲν ἔχει καμμίαν διαφοράν, ἐὰν ἀναφέρῃ κανεὶς παλαιὰν ἢ νέαν διήγησιν, ἀρκεῖ μόνον νὰ εἶναι γνωστὴ εἰς αὐτὸν ποὺ τὴν διηγεῖται. Ποίαν λοιπόν, λέγει, διήγησιν ἀρχαίαν θέλει νὰ εἰπῇ; Ἂς ἀκούσωμεν.

«Τὸ παντοδύναμον χέρι σου ἐξωλόθρευσεν ἔθνη», λέγει, «καὶ ἐγκατέστησες τοὺς πατέρας μας εἰς τὸν τόπον αὐτῶν· ἐκακοποίησες λαοὺς καὶ ἐξεδίωξες αὐτούς». Ἆρά γε ἀντελήφθητε ποῖον πόλεμον ἐννοεῖ, ποίαν νίκην, ποῖον τρόπαιον, ἢ χρειάζεσθε ἀκόμη τὴν διασάφησιν ἐκ μέρους μου; Ἀλλὰ νομίζω πλέον ὅτι οἱ περισσότεροι ἀντελήφθησαν τὸ λεγόμενον, χάριν ὅμως ἐκείνων ποὺ δὲν ἀντελήφθησαν αὐτὸ, εἶναι ἀνάγκη νὰ προσθέσω καὶ τὰς ἰδικάς μου σκέψεις. Ποῖα λοιπὸν τρόπαια ἐνθυμεῖται; ποῖα κατορθώματα; Τὰ ὅσα συνέβησαν εἰς τὴν Αἴγυπτον, εἰς τὴν ἔρημον, εἰς τὴν γῆν τῆς ἐπαγγελίας· πρὸ πάντων δὲ τὰ ὅσα συνέβησαν εἰς τὴν γῆν τῆς ἐπαγγελίας. Διότι ἐκεῖνοι ποὺ ἐξῆλθον ἀπὸ τὴν Αἴγυπτον, δὲν ἐπέτυχον νὰ φθάσουν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ἀλλὰ ὅλοι ἀπέθανον εἰς τὴν ἔρημον[10]. Ὅταν λοιπὸν ἐκεῖνοι ποὺ ἐγεννήθησαν ἀπὸ ἐκείνους ποὺ ἐξῆλθον ἀπὸ τὴν Αἴγυπτον καὶ ἐτράφησαν εἰς τὴν ἔρημον, εἰσῆλθον εἰς τὴν Παλαιστίνην, λέγει, δὲν ἐχρειάσθησαν αὐτοὶ ὅπλα, ἀλλ' ἐκυρίευσαν τὰς πόλεις διὰ τῆς κραυγῆς, καὶ ἀφοῦ διέβησαν τὸν Ἰορδάνην, τὴν πρώτην πόλιν ποὺ συνήντησαν, τὴν Ἰεριχώ, ἐκυρίευσαν αὐτὴν ὡσὰν νὰ ἐχόρευαν μᾶλλον, παρὰ νὰ ἐπολεμοῦσαν[11]. Διότι στολισμένοι μὲ τὰ ὅπλα ἦτο ὡς νὰ ἐπορεύοντο ὄχι πρὸς μάχας, ἀλλὰ πρὸς πανήγυριν καὶ χορόν, περιβεβλη-

λωπισμοῦ μᾶλλον ἢ ἀσφαλείας τὰ ὅπλα περιθέμενοι, καὶ τὰς ἱερὰς στολὰς περικείμενοι, καὶ προηγουμένους ἔχοντες τοῦ στρατοπέδου τοὺς Λευΐτας, ἐκύκλουν τὸ τεῖχος. Καὶ ἦν ἰδεῖν θέαμα θαυμαστὸν καὶ παράδοξον, χιλιάδας τοσαύτας στρατοπέδων ἐν τάξει καὶ ῥυθμῷ βαινόντων, ἐν ἡσυχίᾳ καὶ κόσμῳ πολλῷ, ὡς οὐδενὸς παρόντος, μετὰ τῆς ἁρμονίας ἐκείνης τῶν σαλπίγγων τὸ πᾶν κατορθούντων.

Αἰσχυνέσθωσαν οἱ θορυβοῦντες ἐν ἐκκλησίᾳ. Εἰ γὰρ ἔνθα σάλπιγγες ἤχουν, τοσαύτη ἦν εὐταξία, ἔνθα αὐτὸς ὁ Θεὸς φθέγγεται, τίνος τεύξονται συγγνώμης οἱ διὰ τῶν οἰκείων θορύβων τῆς ἐκείνων ἀκοῆς τὴν ἀκρίβειαν ἐκκρούοντες; Ἀλλὰ τίνος ἕνεκεν, φησίν, οὐκ ἐμνημόνευσε τῶν ἐξ Αἰγύπτου; Ἐπειδὴ πάντες ἔπεσον, ἐπειδὴ δίκην ἔδοσαν. Τίνος δὲ ἕνεκεν πάντες ἀπώλοντο; Ἐπειδὴ τὰ μεγάλα ἥμαρτον. Ἐντεῦθεν δὲ καὶ ἕτερον ᾠκονόμει, τὸ τοὺς μέλλοντας τὴν Παλαιστίνην ἀπολαμβάνειν ἀθεάτους εἶναι τῶν ἐξ Αἰγύπτου κακῶν, τῆς δεισιδαιμονίας, τῆς ἀσεβείας ἁπάσης, καὶ μηδένα διδάσκαλον ἔχειν τῆς τοσαύτης πονηρίας. Οὕτω γὰρ προκατείχοντο τῇ τῶν Αἰγυπτίων συνηθείᾳ, οὕτως ἦσαν ἁλόντες, ὡς μετὰ τοσαῦτα θαύματα μηδὲ ἐν τῇ ἐρήμῳ ἀποτρίψασθαι καθαρῶς τῆς πλάνης τὰ λείψανα. Εἰ δὲ καὶ Χαναναίους ἔλαβον διδασκάλους τῶν προτέρων χαλεπωτέρους, ποῦ οὐκ ἂν ἐξώκειλε τὰ τῆς ἀσεβείας αὐτοῖς; Διὰ δὴ τοῦτο κατεῖχεν αὐτοὺς ἐπὶ τῆς ἐρήμου τοὺς τεχθέντας, ἕως εἰς ἀνδρῶν ἡλικίαν ἦλθε τὰ ἔγγονα τῶν ἐκείνων.

4. Καὶ ταῦτα οὐκ οἴκοθεν φθεγγόμενοι λέγομεν, ἀλλ' ἀπὸ τῶν Γραφῶν ἀποδεικνύοντες. Διὰ γὰρ τοῦ Ἰεζεκιὴλ τοῦτο αὐτὸ ὁ Θεὸς ὀνειδίζει αὐτοῖς, ὅτι εἰς τὴν ἔρημον αὐτοὺς ἀ-

μένοι τὰ ὅπλα των μᾶλλον ὡς εἶδος καλλωπισμοῦ, παρὰ ὥς μέσον ἀσφαλείας, καὶ φέροντες τὰς ἱερὰς στολὰς καὶ ἔχοντες προπορευομένους τοῦ στρατοῦ τοὺς Λευίτας, περιεκύκλωναν τὸ τεῖχος. Καὶ ἠμποροῦσε νὰ ἰδῇ κανεὶς θέαμα θαυμαστὸν καὶ παράδοξον, τόσας χιλιάδας στρατοῦ νὰ βαδίζουν μὲ τάξιν καὶ ρυθμόν, μὲ ἡσυχίαν καὶ πολλὴν κοσμιότητα, ὡσὰν νὰ μὴ ὑπῆρχε κανεὶς παρών, καὶ τὸ πᾶν νὰ κατορθώνουν μὲ τὴν ἁρμονίαν ἐκείνην τῶν σαλπίγγων.

῞Ας ἐντραποῦν ἐκεῖνοι ποὺ θορυβοῦν εἰς τὴν ἐκκλησίαν. Διότι, ἐὰν ὑπῆρχε τόση εὐταξία ἐκεῖ ὅπου ἠχοῦσαν αἱ σάλπιγγες, ἐκεῖ ὅπου ὁμιλεῖ ὁ Θεός, ποίαν συγγνώμην θὰ τύχουν ἐκεῖνοι, ποὺ μὲ τοὺς θορύβους των ἐμποδίζουν τὴν ἀκριβῆ ἀκοὴν τῶν λόγων ἐκείνων; Ἀλλὰ διατί, λέγει, δὲν ἐμνημόνευσεν ἐκείνους ποὺ ἐξῆλθον ἀπὸ τὴν Αἴγυπτον; Ἐπειδὴ ὅλοι ἀπέθανον, ἐπειδὴ ὅλοι ἐτιμωρήθησαν. Διὰ ποῖον δὲ λόγον ὅλοι ἐχάθησαν; Ἐπειδὴ διέπραξαν πολὺ μεγάλα ἁμαρτήματα. Μὲ αὐτὸ τὸ γεγονὸς ἐπετύγχανε καὶ κάτι ἄλλο, ἐκεῖνοι δηλαδὴ ποὺ ἐπρόκειτο νὰ ἀπολαύσουν τὴν Παλαιστίνην νὰ μὴ ἔχουν ἰδεῖ τὰ κακὰ τῆς Αἰγύπτου, τὴν δεισιδαιμονίαν, τὴν ὅλην ἀσέβειαν, καὶ νὰ μὴ ἔχουν κανένα διδάσκαλον τῆς τόσον μεγάλης κακίας. Διότι τόσον πολὺ κατείχοντο ἀπὸ τὰς συνήθειας τῶν Αἰγυπτίων, τόσον πολὺ ἦσαν κυριευμένοι, ὥστε καὶ μετὰ τὰ τόσα πολλὰ θαύματα δὲν ἠμποροῦσαν, οὔτε εἰς τὴν ἔρημον ν᾽ ἀποβάλουν πλήρως τὰ λείψανα τῆς πλάνης. Ἐὰν δὲ ἐλάμβανον καὶ Χαναναίους διδασκάλους χειροτέρους ἀπὸ τοὺς προηγουμένους, ποῦ δὲν θὰ ἔφθανον τὰ τῆς ἀσεβείας αὐτῶν; Διὰ τοῦτο λοιπὸν ἐκράτει τοὺς γονεῖς αὐτῶν εἰς τὴν ἔρημον, μέχρις ὅτου ἔφθασαν εἰς ἀνδρικὴν ἡλικίαν τὰ τέκνα ἐκείνων.

4. Καὶ αὐτὰ ποὺ λέγομεν δὲν τὰ λέγομεν ἀπὸ μόνοι μας, ἀλλὰ τὰ ἀποδεικνύομεν ἀπὸ τὰς Γραφάς. Διότι διὰ τοῦ Ἰεζεκιὴλ δι᾽ αὐτὸ τὸ πρᾶγμα τοὺς κατηγορεῖ ὁ Θεός, ὅτι δηλαδή, ἂν καὶ τοὺς ὡδήγησεν εἰς τὴν ἔρημον καὶ

γαγὼν καὶ πολλὰ διαλεχθεὶς οὐκ ἠκούετο. Ἀλλὰ τίνος ἕνεκεν ὅπλα αὐτοὺς περικεῖσθαι ἐκέλευσε μέλλοντας προσιέναι τῇ Ἱεριχῷ; Θαυμαστότερον γὰρ ἦν, εἰ χωρὶς ὅπλων τοῦτο ἐποίουν. Μάλιστα μὲν οὖν κἂν κελεύῃ τι ποιεῖν ἀνθρώπινον, καὶ προσλαμβάνειν τινὰ συμμαχίαν αἰσθητήν, συγκατιὼν αὐτῶν τῇ ἀσθενείᾳ τοῦτο ποιεῖ. Τί γὰρ ἠδύνατο ὅπλων περιβολὴ πρὸς τείχους καταβολήν; τί δὲ σαλπίγγων ἠχή; Εἰ μὲν γὰρ πρὸς ἀνθρώπους ὁ πόλεμος ἦν, εἶχέ τις τινὰ ῥοπὴν καὶ τοῖς ὅπλοις λογίζεσθαι· εἰ δὲ τεῖχος ἔμελλε καταπίπτειν, τίνος ἕνεκεν ὅπλα περίκεινται; Καὶ ἐπὶ τοῦ Γεδεὼν δὲ πάλιν οἱ εἰλημμένοι τῶν μὴ εἰλημμένων ἦσαν ἴσοι· πάντες γὰρ ἦσαν δῆλοι. Τίνος οὖν ἕνεκεν ταῦτα γίνεται; Ὥστε εἰς πίστιν αὐτοὺς ἄγεσθαι τοὺς ταῦτα κελευομένους. Ἡ γὰρ ψυχὴ συντραφεῖσα σώματι καὶ οὐδὲν ἀσώματον ἰδοῦσά ποτε, καὶ πρὸς τὰ αἰσθητὰ κεχηνυῖα, ἀπὸ τῶν ὁρωμένων ἐπὶ τὰ νοητὰ χειραγωγηθῆναι ἐδεῖτο. Ὅθεν καὶ τοῖς προφήταις περὶ Θεοῦ διαλεγομένοις ἐγένετο χρεία ἀνθρωπίνων μνησθῆναι μελῶν, οὐχ ἵνα τὴν ἀκήρατον ἐκείνην φύσιν εἰς μελῶν σχήματα συμπλάσωσιν, ἀλλ' ἵνα τὴν αἰσθητοῖς συντραφεῖσαν ψυχὴν ἐκ τῶν ἀνθρωπίνων τὰ ὑπὲρ ἄνθρωπον παιδεύσωσι δόγματα.

Ἐπεὶ οὖν καὶ ἡ ἐνέργεια τοῦ Θεοῦ νοητόν τί ἐστιν, ἵνα μὴ ἀπιστήσωσιν οἱ τότε, τίθησί τι αἰσθητόν. Εἰ γὰρ εἶπεν, ὅτι ἐν ἑπτὰ ἡμέραις καταστραφήσεται ἡ πόλις, ἡσυχαζόντων ἡμῶν καὶ μηδὲν ἐργαζομένων, ἴσως ἂν πολλοὶ ἠπίστησαν, νυνὶ δὲ καθάπερ ὑποβάθραν τινὰ τῇ διανοίᾳ τῇ ἀνθρωπίνῃ τὰ ἐπιτάγματα ταῦτα ὑποτίθησι. Καὶ ἵνα μὴ νομίσητε στοχασμὸν

12. Ἰεζ. 20, 10.
13. Ἰουδίθ κεφ. 7.

τούς εἶπε τόσα πολλά, ὅμως δὲν εἰσηκούετο[12]. Ἀλλὰ διατί διέταξεν αὐτοὺς νὰ ὁπλισθοῦν μὲ ὅπλα, ὅταν ἐπρόκειτο νὰ κυριεύσουν τὴν Ἱεριχώ; Διότι θαυμαστότερον ἦτο, ἐὰν τὸ ἔκαμνον αὐτὸ χωρὶς ὅπλα. Μολονότι βέβαια τοὺς διατάσσει νά κάνουν κάτι τὸ ἀνθρώπινον καὶ νὰ λάβουν μαζί των κάποιαν αἰσθητὴν συμμαχίαν, τό κάμνει αὐτὸ δὲ ἀπὸ συγκατάβασιν πρὸς τὴν ἀδυναμίαν των. Διότι τί θὰ ἠμποροῦσε νὰ προσφέρῃ ἡ περιβολὴ τῶν ὅπλων εἰς τὴν ἐκπόρθησιν τοῦ τείχους; τί δὲ ὁ ἦχος τῶν σαλπίγγων; Καθ' ὅσον, ἐὰν μὲν ὁ πόλεμος ἐπρόκειτο νὰ γίνῃ ἐναντίον ἀνθρώπων θὰ ἠμποροῦσε κανεὶς νὰ ὑπολογίζῃ κάπως καὶ εἰς τὴν δύναμιν τῶν ὅπλων, ἐφ' ὅσον ὅμως ἐπρόκειτο διὰ τὴν κατάπτωσιν τοῦ τείχους, διὰ ποῖον λόγον ὁπλίζονται μὲ ὅπλα; Καὶ κατὰ τοὺς χρόνους πάλιν τοῦ Γεδεὼν οἱ ὡπλισμένοι ἐθεωροῦντο ἴσοι μὲ τοὺς ἀόπλους[13]· διότι ὅλοι ἦσαν φανεροί. Διά ποῖον λόγον λοιπὸν γίνονται αὐτά; Διὰ νὰ ὁδηγήσῃ εἰς τὴν πίστιν αὐτοὺς ποὺ διετάσσοντο νὰ πράξουν αὐτά. Διότι ἡ ψυχὴ ἐπειδὴ ἐτράφη μαζὶ μὲ τὸ σῶμα, καὶ ἐπειδὴ δὲν εἶδε ποτὲ τίποτε τὸ ἀσώματον, καὶ καταγοητεύεται ἀπὸ τὰ αἰσθητά, ἐχρειάζετο νά καθοδηγηθῇ ἀπό τὰ ὁρατὰ πρὸς τὰ νοητά. Διὰ τοῦτο καὶ οἱ προφῆται ὅταν ὡμίλουν περὶ τοῦ Θεοῦ, ἦσαν ἀναγκασμένοι νὰ μνημονεύουν μέλη ἀνθρώπινα, ὄχι διὰ νὰ παραστήσουν τὴν αἰώνιον ἐκείνην φύσιν μέ σχήματα ἀνθρωπίνων μελῶν, ἀλλὰ διὰ νά παιδαγωγήσουν ἀπὸ τὰ ἀνθρώπινα εἰς τὰ ὑπερφυσικὰ δόγματα τὴν ψυχὴν ποὺ ἐτράφη μὲ τὰ αἰσθητά.

Ἐπειδὴ λοιπὸν καὶ ἡ ἐνέργεια τοῦ Θεοῦ εἶναι κάτι τὸ νοητόν, διὰ νὰ μὴ ἀπιστήσουν οἱ τότε ἄνθρωποι, μεταχειρίζεται κάτι τὸ αἰσθητόν. Διότι, ἐὰν ἔλεγεν, ὅτι εἰς ἑπτὰ ἡμέρας θὰ καταστραφῇ ἡ πόλις, ἐνῷ ἐσεῖς θὰ ἡσυχάζετε καὶ δὲν θὰ κάμνετε τίποτε, ἴσως πολλοὶ νὰ ἀπιστοῦσαν, τώρα ὅμως θέτει αὐτὰ τὰ προστάγματα κάτω ἀπὸ τὴν ἀνθρωπίνην σκέψιν ὡσὰν κάποιο ὑπόβαθρον. Καὶ διὰ νὰ μὴ

τινα εἶναι τὸ λεγόμενον, ἱστορίαν τινὰ ὑμῖν παλαιὰν πιστουμένην τὸν λόγον διηγήσασθαι βούλομαι. Νεαιμάν τις ἦν Σύρος. Οὗτος ὑπὸ λέπρας ἁλοὺς καὶ αἰσχυνόμενος τῷ πάθει, ὡς ὑπὲρ μεγίστων κινδυνεύων, ἔρχεται εἰς Παλαιστίνην (δεῖ γὰρ ἐπιτεμεῖν τὸν λόγον), λύσιν βουλόμενος εὑρεῖν τοῦ κακοῦ παρὰ τοῦ προφήτου. Ἐλθὼν τοίνυν, καὶ πρὸς τῇ θύρᾳ τοῦ ἀνδρὸς στάς, ἐκάλει τὸν ἰατρόν. Ὁ δὲ ὑπήκουσε μέν, οὐ μὴν ἐξῆλθεν, ἀλλ' ἀπέστειλε πρὸς αὐτὸν κελεύων βαπτίζεσθαι ἐν τῷ Ἰορδάνῃ ποταμῷ. Ὁ δὲ ἐπειδὴ τὸ πρόσταγμα ἦν κοῦφον, πολὺ τὸ αἰσθητὸν ἔχον, καὶ οὐχ ὑψηλῆς δεόμενον διανοίας, οὐκ ἐπείσθη. Ἀλλὰ τί φησιν; «Ἐγὼ ἔλεγον, ὅτι ἐξελεύσεται καὶ ἐπιθήσει αὐτοῦ τὴν χεῖρα, καὶ ἐπικαλέσεται τὸν Θεὸν αὐτοῦ, καὶ ἀποσυνάξει τὴν λέπραν».

Ὁρᾷς τὴν ψυχήν, πῶς αἰσθητοῦ τινος ἐδεήθη σχήματος; Τὸ γὰρ μὴ νομίσαι τοῦ ἰατροῦ τὸ πρόσταγμα ἀρκεῖν, ἀλλὰ δεηθῆναι χειρός, τῆς ἀσθενείας ἦν τοῦ θεραπευομένου. Πολλὰ δὲ καὶ ἕτερα ἐντεῦθεν ἡμῖν λύεται. Διὰ τοῦτο καὶ ὁ Χριστὸς οὐ πανταχοῦ λόγῳ ἰᾶται, ἀλλὰ καὶ τῇ χειρί· καὶ γὰρ ἔβαλε τὴν χεῖρα εἰς τὸ στόμα καὶ εἰς τὴν γλῶττον· καὶ ἀλλαχοῦ μὲν λόγῳ μόνῳ, ἀλλαχοῦ δὲ θελήματι πάντα ποιῶν, τοὺς προσιόντας ἰᾶτο. Τίνος οὖν ἕνεκεν τοῦτο ἐποίει; Διὰ τὴν ἀσθένειαν τῶν προσιόντων. Καὶ ἵνα μάθῃς, ὅτι διὰ τὴν ἀσθένειαν αὐτῶν τοῦτο ἐγίνετο, τοὺς μὴ δεομένους τῶν τοιούτων ἐπήνει. «Ἀμὴν γὰρ λέγω ὑμῖν», φησίν, «ὅτι οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν

14. Δ΄ Βασ. 5, 11.
15. Μάρκ. 7, 33.
16. Ματθ. 8, 10.

νομίσετε τὰ λόγια αὐτὰ ὡσὰν κάποιον στοχασμόν, θέλω νὰ σᾶς διηγηθῶ μίαν παλαιὰν ἱστορίαν ποὺ ἐπιβεβαιώνει τὰ λεγόμενα. Ὑπῆρχε κάποιος ὀνόματι Νεαιμὰν ὁ Σύρος. Αὐτὸς κυριευθεὶς ἀπὸ λέπραν καὶ ἐντρεπόμενος διὰ τὸ πάθος του, διατρέχων μέγιστον κίνδυνον, ἔρχεται εἰς τὴν Παλαιστίνην (διότι πρέπει νὰ συντομεύσω τὸν λόγον), θέλων νὰ εὕρῃ ἀπὸ τὸν προφήτην ἀπαλλαγὴν ἀπὸ τὸ κακόν. Ἀφοῦ λοιπὸν ἦλθε καὶ ἐστάθη πρὸ τῆς θύρας τοῦ προφήτου, ἐφώναζε τὸν ἰατρόν. Αὐτὸς δὲ τὸ ἄκουσε μέν, ὅμως δὲν ἐβγῆκεν ἔξω, ἀλλ' ἔστειλε κάποιον πρὸς αὐτὸν καὶ τὸν παρήγγειλε νὰ ὑπάγῃ καὶ νὰ βαπτισθῇ εἰς τὸν Ἰορδάνην ποταμόν. Ἐκεῖνος δέ, ἐπειδὴ ἡ παραγγελία ἦτο ὄχι σοβαρὰ καὶ περιεῖχε πολὺ τὸ αἰσθητὸν καὶ δὲν ἐταίριαζεν εἰς ἄνθρωπον ὑψηλῆς πνευματικῆς διανοίας, δὲν ἐπίστευσεν εἰς τὰ λόγια του. Ἀλλὰ τί λέγει; «Ἐγὼ ἐπίστευα, ὅτι θὰ ἐξέλθῃ, θὰ θέσῃ ἐπάνω μου τὸ χέρι του, θὰ ἐπικαλεσθῇ τὸν Θεόν του καὶ θὰ καθαρίσῃ τὴν λέπραν»[14].

Βλέπεις τὴν ψυχήν, πῶς ἐχρειάσθη κάποιο αἰσθητὸν πρᾶγμα; Διότι τὸ νὰ μὴ θεωρήσῃ ἀρκετὸν τὸ πρόσταγμα τοῦ ἰατροῦ, ἀλλὰ νὰ ἔχῃ ἀνάγκην καὶ ἀπὸ τὸ χέρι τοῦ προφήτου, ὠφείλετο εἰς τὴν ἀδυναμίαν τοῦ θεραπευομένου. Ἀλλὰ καὶ πολλὰ ἄλλα ἐξηγοῦνται μὲ τὸ παράδειγμα αὐτό. Διὰ τοῦτο καὶ ὁ Χριστὸς δὲν θεραπεύει εἰς ὅλας τὰς περιπτώσεις μὲ τὸν λόγον του, ἀλλὰ καὶ μὲ τὸ νὰ θέτῃ τὸ χέρι του· καθ' ὅσον ἔθεσε, λέγει, τὸ χέρι του εἰς τὸ στόμα καὶ εἰς τὴν γλῶσσαν τοῦ ἀσθενοῦς[15]· καὶ ἄλλοτε μὲν ἐθεράπευε τοὺς προσερχομένους μὲ τὸν λόγον του μόνον, ἄλλοτε δὲ ἔκαμνε τὰ πάντα μὲ τὸ θέλημά του. Διὰ ποῖον λόγον λοιπὸν τὸ ἔκαμνεν αὐτό; Ἐξ αἰτίας τῆς ἀδυναμίας τῶν προσερχομένων. Καὶ διὰ νὰ μάθῃς, ὅτι αὐτὸ ἐγίνετο ἐξ αἰτίας τῆς πνευματικῆς ἀδυναμίας των, μάθε ὅτι ἐπαινοῦσεν ἐκείνους ποὺ δὲν εἶχον ἀνάγκην ἀπὸ αἰσθητὰ πράγματα. Διότι λέγει· «Ἀλήθεια σᾶς λέγω, ὅτι οὔτε μεταξὺ τῶν Ἰσραηλιτῶν εὗρον τόσον μεγάλην πίστιν»[16],

εὗρον»· ἐπειδήπερ αὐτὸν οὐκ εἵλκυσεν εἰς τὴν οἰκίαν ὁ ἑκατόνταρχος, ἀλλ' ἔφησεν ἀρκεῖν αὐτοῦ τὸ πρόσταγμα. Ἐπὶ οὖν τοῦ Ἐζεκίου οὐδὲν τοιοῦτον γίνεται, ἀλλὰ πρόρρησις μόνη, καὶ οὐδὲν ἀνθρώπινον παρελαμβάνετο· διά τοι τοῦτο καὶ ἐπὶ τοῦ τὴν γυναῖκα ζηλοτυποῦντος παχύτερόν τι πρᾶγμα ἐπετάττετο. Εἰ δὲ βούλει κατὰ ἀναγωγὴν ἐκλαβεῖν τοῦτο («Πάντα γὰρ ταῦτα τύποι συνέβαινον ἐκείνοις», φησίν· «ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν»), ἐννόει τοὺς ἀρίστους τῶν διδασκάλων τῆς Ἐκκλησίας ἀντὶ σάλπιγγος τῷ λόγῳ χρωμένους, καὶ τὰ τῶν ἐναντίων τείχη καταβάλλοντας, καὶ τοὺς λαοὺς ὡπλισμένους τῇ τοῦ Ἰησοῦ πανπευχίᾳ. Ὁ δὲ τῶν ἑπτὰ ἡμερῶν ἀριθμὸς τὸ Σάββατον ἡμῖν προδιαλύει. Οὐ γὰρ προηγουμένως ἐδόθησαν αἱ τοιαῦται τοῦ νόμου ἐντολαί. Διὰ τοῦτο περὶ μὲν τῶν θυσιῶν φησι· «Τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν;». Καὶ πάλιν· «Μὴ εὐχαὶ καὶ κρέα ἅγια ἀφαιροῦσι τὰς ἁμαρτίας σου»». Καὶ πάλιν· «Μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι ἐν τῇ ἐρήμῳ ἔτη τεσσαράκοντα;». Καὶ πάλιν· «Ἵνα τί μοι λίβανον ἐκ Σαβὰ φέρεις, καὶ κινάμωνον ἐκ γῆς μακρόθεν;». Καὶ πάλιν· «Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας». Καὶ πάλιν· «Μὴ ὁλοκαυτώματα καὶ θυσίας θέλει ὁ Θεός, ἢ τὸ ὑπακούειν αὐτῷ;». Καί, «Εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν». Καὶ πάλιν· «Ἀκοὴ ἀγαθὴ ὑπὲρ θυσίαν». Καὶ τὰς ἑορτὰς ἐκβάλλων φησί· «Μεμίσηκα, ἀπῶσμαι τὰς ἑορτὰς ὑμῶν. Ἀπόστησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν σου, καὶ ψαλμῶν ὀργάνων σου οὐκ ἀκούσομαι». Καί, «Ἡμέραν μεγάλην οὐκ ἀνέχομαι, καὶ νηστείαν καὶ ἀργίαν μισεῖ ἡ ψυχή μου». Καὶ πάλιν· «Οὐχ αὕτη ἡ νηστεία,

16. Α΄ Κορ. 10, 11.
17. Ἠσ. 1, 12.
18. Ἱερ. 11, 15.
19. Ἀμὼς 5, 25.
20. Ἱερ. 6, 20.
21. Ψαλμ. 39, 7.
22. Α΄ Βασ. 15, 22.
23. Ψαλμ. 50, 18.
24. Α΄ Βασ. 15, 22.
25. Ἀμὼς 5, 21 - 23.
26. Ἠσ. 1, 13 - 14.

ἐπειδὴ ἀκριβῶς ὁ ἑκατόνταρχος δὲν ἐκάλεσεν αὐτὸν εἰς τὴν οἰκίαν του, ἀλλ' ἐθεώρησεν ἀρκετὸν τὸ πρόσταγμα αὐτοῦ. Εἰς τὴν περίπτωσιν βέβαια τοῦ Ἐζεκίου τίποτε παρόμοιον δὲν συμβαίνει, ἀλλ' ἁπλῶς καὶ μόνον προελέγετο καὶ δὲν περιελαμβάνετο τίποτε τὸ ἀνθρώπινον· διὰ τοῦτο λοιπὸν ἔδιδε πρὸς ἐκεῖνον, ποὺ ἐζήλευε τὴν γυναῖκα του, κάποιαν ἐντολὴν πιὸ χονδροειδῆ. Ἐὰν δὲ θέλῃς νὰ ἐκλάβωμεν αὐτὸ κατὰ τρόπον ἀναγωγικὸν (διότι λέγει· «Ὅλα αὐτὰ ποὺ συνέβαινον εἰς ἐκείνους ἦσαν συμβολικὰ καὶ ἐγράφησαν διὰ νὰ νουθετήσουν ἐμᾶς, εἰς τοὺς ὁποίους ἔφθασε τὸ τέλος τῶν αἰώνων»[16]), σκέψου τοὺς ἀρίστους ἀπὸ τοὺς διδασκάλους τῆς ἐκκλησίας ποὺ ἐχρησιμοποιοῦσαν τὸν λόγον του ἀντὶ σάλπιγγος καὶ κατέβαλλον τὰ τείχη τῶν ἀντιπάλων των καὶ τοὺς λαούς, ὡπλισμένοι μὲ τὴν πανοπλίαν τοῦ Ἰησοῦ. Ὁ δὲ ἀριθμὸς τῶν ἑπτὰ ἡμερῶν ἀποτελεῖ δι' ἡμᾶς σύμβολον τῆς καταργήσεως τοῦ σαββάτου. Διότι δὲν ἐδόθησαν προηγουμένως αἱ τοιαῦται ἐντολαὶ τοῦ νόμου. Διὰ τοῦτο διὰ μὲν τὰς θυσίας λέγει· «Ποῖος λοιπὸν ἐζήτησεν αὐτὰ ἀπὸ τὰ χέρια σας;»[17]. Καὶ πάλιν· «Μήπως εὐχαὶ καὶ κρέατα ἡγιασμένα ἀφαιροῦν τὰς ἁμαρτίας σου;»[18]. Καὶ πάλιν· «Μήπως μοῦ προσφέρατε σφαγμένα ζῶα καὶ θυσίας ἐπὶ σαράντα χρόνια εἰς τὴν ἔρημον;»[19]. Καὶ πάλιν· «Πρὸς τί μοῦ φέρεις λίβανον ἐκ Σαβὰ καὶ κινάμωνον ἀπὸ μακρυνὴν χώραν;»[20]. Καὶ πάλιν· «Θυσίαν καὶ προσφορὰν δὲν ἠθέλησες»[21]. Καὶ πάλιν· «Μήπως ὁ Θεὸς θέλει ὁλοκαυτώματα καὶ θυσίας καὶ ὄχι ὑπακοὴν εἰς αὐτόν;»[22]. Καί· «Ἐὰν ἤθελες θυσίαν, θὰ σοῦ τὴν προσέφερα εὐχαρίστως»[23]. Καὶ πάλιν· «Ἡ ὑπακοὴ εἰς τὸν Θεὸν εἶναι προτιμοτέρα ἀπὸ τὴν θυσίαν»[24] Καὶ καταργῶν τὰς ἑορτάς, λέγει· «Ἐμίσησα καὶ ἐπεριφρόνησα τὰς ἑορτάς σας. Ἀπομάκρυνε ἀπὸ ἐμένα τὸν ἦχον τῶν ᾠδῶν σου καὶ δὲν θέλω ν' ἀκούσω τὰς μελῳδίας τῶν μουσικῶν ὀργάνων σου»[25]. Καί· «Ἑορτὴν μεγάλην δὲν ἀνέχομαι καὶ νηστείαν καὶ ἀργίαν μισεῖ ἡ ψυχή μου»[26]. Καὶ πάλιν· «Ἐγὼ

ἣν ἐξελεξάμην». Καὶ ὁ Ἰεζεκιὴλ πάλιν ἔλεγε· «Δώσω ὑμῖν προστάγματα οὐ καλά, ἐν οἷς οὐ ζήσεσθε ἐν αὐτοῖς». Οὕτω καὶ τὸ Σάββατον ἐνταῦθα λύεται. Ἀλλὰ διὰ τί λέγει, «Τίς ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν»; Τοῦτο ὑμῖν καταλιμπάνω λῦσαι· δυνήσεσθε δὲ τὰ τοιαῦτα εὑρίσκειν, ἂν βίον ἐπιδείξησθε καθαρόν.

5. Εἰ γὰρ τὸν Κορνήλιον διὰ βίον ἄριστον ἐκάλεσεν ἐπὶ τὴν τῶν ἀπορρήτων γνῶσιν, καὶ τὸν εὐνοῦχον διὰ τὸ ἀναγινώσκειν ὑμᾶς τοὺς ἤδη τῆς πίστεως ἀπολαύσαντας, βίον ὀρθὸν ἐπιδειξαμένους, διδάξει τὰ σαφέστερα. Ὥστε γὰρ ὁ ἀκάθαρτος βίος ἐμποδίζει τὴν τούτων γνῶσιν (καθάπερ ὁ Παῦλός φησιν· «Οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς. ἐπειδὴ ἔρεις ἐν ὑμῖν εἰσι καὶ ζῆλοι»· καὶ ὁ Ἡσαΐας πάλιν· «Γνῶναί μου τὰς ὁδοὺς ἐπιθυμήσουσιν, ὡς λαὸς δικαιοσύνην πεποιηκώς»), οὕτως ὁ καθαρὸς βίος ὁδηγεῖ καὶ ἡ σπουδὴ ἡ περὶ τὸ ζητεῖν. Ζητεῖτε γάρ, φησί, καὶ εὑρήσετε. Καὶ ἡ παραβολὴ δὲ ἡ τοῦ τοὺς ἄρτους αἰτοῦντος παρὰ τοῦ καθευδήσαντος ἤδη φίλου, τοῦτο δείκνυσι. Διὰ τοῦτο καὶ ὁ Σολομών, ἐπειδὴ πνευματικὰ ᾔτησε, καὶ ἅπερ οὐκ ᾔτησεν ἔλαβεν. Ὅταν δὲ καὶ προσεδρία, καὶ πνευματικὴ αἴτησις, καὶ βίος καθαρὸς παρῇ, ἐννόησον πόση ἔσται εὐκολία πρὸς τὸ λαβεῖν· καίτοι γε προσεδρία καὶ καθ' ἑαυτὴν ἴσχυσε μόνον· «Λέγω γὰρ ὑμῖν», φησίν, «εἰ καὶ μὴ διὰ τὸ εἶναι αὐτοῦ φίλον μὴ

27. Ἠσ. 58, 5.
28. Ἰεζ. 20, 25.
29. Πράξ. 10, 4.
30. Πράξ. 8, 27 ἑ.
31. Α΄ Κορ. 3, 1 - 3.
32. Ἠσ. 58, 2.
33. Λουκᾶ 11, 5 - 8.
33. Λουκᾶ 11, 2.
34. Λουκᾶ 11, 5 - 8.
35. Γ΄ Βασ. 3, 11.

δὲν ἐξέλεξα καὶ δὲν ἐνέκρινα αὐτὴν τὴν νηστείαν»[27]. Καὶ ὁ Ἰεζεκιὴλ πάλιν ἔλεγε· «Θὰ σᾶς δώσω προστάγματα ὄχι εὐχάριστα, διὰ τῶν ὁποίων δὲν θὰ ζήσετε μὲ ἀσφάλειαν»[28]. Ἔτσι καὶ τὸ Σάββατον καταργεῖται ἐδῶ. Ἀλλὰ διατί λέγει, «Ποῖος ἐζήτησε τὰς θυσίας αὐτὰς ἀπὸ τὰ χέρια σας;». Αὐτὸ τὸ ἀφήνω εἰς ἐσᾶς νὰ δώσετε ἀπάντησιν· θὰ ἠμπορέσετε δὲ νὰ δίδετε ἀπάντησιν εἰς παρόμοια ἐρωτήματα, ἐὰν ἐπιδείξετε βίον καθαρόν.

5. Ἐὰν λοιπὸν προσκάλεσε τὸν Κορνήλιον ἐξ αἰτίας τῆς καθαρότητος τοῦ βίου εἰς τὸ νὰ γνωρίσῃ τὰς ἀπορρήτους ἀληθείας[29], καὶ τὸν εὐχοῦχον τοῦ ἔδωσε τὴν δύναμιν ἐξ αἰτίας τῆς ἀναγνώσεως, νὰ γνωρίσῃ πάρα πολὺ καλὰ τὰς χριστιανικὰς ἀληθείας[30], πολὺ περισσότερον θὰ διδάξῃ εἰς ἐσᾶς, ποὺ ἤδη ἀπηλαύσατε τὴν πίστιν, τὰς ἀκριβεῖς ἀληθείας, ἐὰν ἐπιδείξετε βίον καθαρόν. Διότι, ὅπως ἀκριβῶς ὁ ἀκάθαρτος βίος ἐμποδίζει τὴν γνῶσιν αὐτῶν καθὼς ὁ Παῦλος λέγει· «Δὲν ἠμπόρεσα νὰ ὁμιλήσω πρὸς ἐσᾶς ὅπως θὰ ἥρμοζε πρὸς πνευματικὰ ὡρίμους ἀνθρώπους, ἐπειδὴ ὑπάρχουν μεταξύ σας φιλονεικίαι καὶ ζηλοτυπίαι»[31]· καὶ ὁ Ἡσαΐας πάλιν λέγει· «Θὰ ἐπιθυμήσουν νὰ γνωρίσουν τὰς ὁδούς μου, ὡσὰν λαὸς ποὺ ἐπέδειξε δικαιοσύνην»[32], ἔτσι ὁ καθαρὸς βίος ὁδηγεῖ εἰς τὴν γνῶσιν τῆς ἀληθείας, καθὼς καὶ τὸ ἐνδιαφέρον πρὸς ἀναζήτησιν αὐτῆς. Διότι λέγει· «Ζητεῖτε καὶ θὰ εὕρετε»[33]. Καὶ ἡ παραβολὴ δὲ περὶ ἐκείνου ποὺ ἐζήτει τοὺς ἄρτους ἀπὸ τὸν φίλον του ποὺ εἶχεν ἤδη κοιμηθῇ[34], αὐτὸ φανερώνει. Διὰ τοῦτο καὶ ὁ Σολομών, ἐπειδὴ ἐζήτησε πνευματικὰ πράγματα, ἔλαβε καὶ ἐκεῖνα ποὺ δὲν ἐζήτησεν[35]. Ὅταν δὲ καὶ ἐπιμονὴ ὑπάρχῃ καὶ ἡ αἴτησις ἀναφέρεται εἰς πνευματικὰ πράγματα, καὶ ὁ βίος εἶναι καθαρός, σκέψου πόση εὐκολία θὰ ὑπάρξῃ εἰς τὸ νὰ λάβωμεν ἐκεῖνο ποὺ ζητοῦμεν· ἂν καὶ βέβαια ἡ ἐπιμονὴ καὶ μόνη της ἐπέτυχεν ἐκεῖνο ποὺ ἤθελε· διότι λέγει· «Σᾶς λέγω, ὅτι καὶ ἂν ἀκόμη δὲν τοῦ δώσῃ ἐπειδὴ εἶναι φίλος του, ὅμως θὰ τοῦ δώσῃ ἐξ αἰτίας

δώσει αὐτῷ, διά γε τὴν ἀναίδειαν αὐτοῦ δώσει αὐτῷ». Ἀλλ' ἐπανίωμεν ἐπὶ τὸ προκείμενον.

Ἔργον ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις. Ἡ χείρ σου ἔθνη ἐξωλόθρευσε καὶ κατεφύτευσας αὐτούς». Ὅρα πῶς τῇ λέξει κυρίως κέχρηται. Οὐ γὰρ μέχρι νίκης καὶ ἥττης τὰ πράγματα, φησίν, ἔστησας τότε, ἀλλὰ περαιτέρω πάντα προήει· καίτοι γε πρὸ τούτου οὐκ ἴσα τὰ τῆς παρατάξεως ἦν. Οἱ μὲν γὰρ κατεῖχον, οἱ δὲ ἐπήλυδες ἦσαν, ἀλλ' ὅμως τοσαύτη γέγονεν ἡ μεταβολή, ὡς τοὺς μὲν προρρίζους ἀνασπασθῆναι, τοὺς δὲ γενέσθαι πολίτας καὶ οἰκήτορας. Διὰ τοῦτο ἐπ' ἐκείνων μέν φησιν, «Ἡ χείρ σου ἔθνη ἐξωλόθρευσεν», ἐπὶ δὲ τῶν Ἰουδαίων, «Κατεφύτευσε». Χεῖρα δὲ τὴν δύναμιν αὐτοῦ φησιν. Εἰ δὲ ἐκείνους ἔξωθεν ἐπιόντας, καὶ οὐ πόλιν, οὐκ οἰκίαν ἔχοντας, οὐχ ὅπου ὁρμήσωσι καὶ στῶσιν, οὕτω ταχέως ἀπέδειξε τῶν ἔνδον οἰκούντων δυνατωτέρους, πολλῷ μᾶλλον ἡμᾶς τῶν πατρῴων ἐκβεβλημένους οὐ περιόψεται, φησί. Τί δέ ἐστι τὸ «Ἐφύτευσας»; Ἔπηξας. Τὸ γὰρ πεφυτευμένον μόνιμον καὶ πεπηγὸς γίνεται. Τί οὖν; οὐ μετέστησαν, εἰπέ μοι; οὐκ ἀπήχθησαν εἰς ἀλλοτρίους τόπους; Ναί, ἀπήχθησαν, ἀλλ' οὐ παρὰ τὴν ἀσθένειαν τοῦ καταθέντος, ἀλλὰ παρὰ τὴν κακίαν τῶν φυτευθέντων. Εἰ γὰρ μὴ τὰ παρ' αὐτῶν ἐνεπόδισεν, οὐδὲν ἂν ἐκώλυσε μεῖναι ἐπὶ τῆς οἰκίας.

«Ἐκάκωσας λαούς, καὶ ἐξέβαλες αὐτούς». Τινὲς περὶ τῶν Αἰγυπτίων τοῦτό φασι λέγεσθαι, ἐμοὶ δὲ δοκεῖ καὶ περὶ

---

36. Λουκᾶ 11, 8.

τῆς ἀδιαντροπιᾶς του»[36]. Ἀλλ' ὅμως ἄς ἐπανέλθωμεν εἰς τὸ ὑπὸ ἐξέτασιν θέμα μας.

«Ἔργον ποὺ ἔκαμες κατὰ τὰς ἡμέρας τῆς ζωῆς των, κατὰ τὰς ἀρχαίας ἡμέρας. Τὸ χέρι σου ἐξωλόθρευσεν ἔθνη καὶ ἐγκατέστησες αὐτοὺς εἰς τὴν χώραν των». Πρόσεχε πῶς χρησιμοποιεῖ λέξεις πρὸς δήλωσιν ὅλων τῶν λεπτομερειῶν. Διότι, λέγει, δὲν ἐσταμάτησες τότε τὰ πράγματα μέχρις εἰς τὴν νίκην καὶ τὴν ἧτταν, ἀλλὰ πάντοτε προχωρεῖς πιὸ πέρα· ἂν καὶ βέβαια πρὶν ἀπὸ αὐτὸ δὲν ἦσαν ἴσαι αἱ ἀντιμαχόμεναι παρατάξεις. Διότι οἱ μὲν ἐντόπιοι κατεῖχον τὴν γῆν, ἐνῷ οἱ Ἰσραηλῖται ἦσαν ἀλλοδαποί, ἀλλ' ὅμως τόσον μεγάλη μεταβολὴ συνέβη, ὥστε οἱ μὲν πρῶτοι νὰ ξερριζωθοῦν καὶ νὰ καταστραφοῦν, οἱ δὲ Ἰσραηλῖται νὰ γίνουν πολῖται καὶ κάτοικοι τῆς πόλεως. Διὰ τοῦτο δι' ἐκείνους μὲν λέγει, «Τὸ χέρι σου ἐξωλόθρευσεν ἔθνη», διὰ δὲ τοὺς Ἰουδαίους λέγει, «κατεφύτευσε». Χεῖρα δὲ ὀνομάζει τὴν δύναμιν αὐτοῦ. Ἐὰν δὲ ἐκείνους, ποὺ ἦλθον ἀπὸ μακρυνὴν χώραν καὶ δὲν εἶχον οὔτε πόλιν οὔτε οἰκίαν, οὔτε καὶ τὴν δυνατότητα νὰ ἐγκατασταθοῦν ὅπου θὰ ὁρμοῦσαν, τόσον γρήγορα ἀπέδειξεν αὐτοὺς δυνατωτέρους ἀπὸ ἐκείνους ποὺ ἐκατοικοῦσαν μονίμως ἐκεῖ, πολὺ περισσότερον, λέγει, δὲν θὰ παραβλέψῃ ἡμᾶς ποὺ ἐκδιωκόμεθα ἀπὸ τὴν πατρικήν μας κληρονομίαν. Τί σημαίνει δὲ τὸ «Ἐφύτευσας»; Ἐγκατέστησες σταθερά. Διότι ἐκεῖνο ποὺ φυτεύεται καθίσταται μόνιμον καὶ ἀμετακίνητον. Τί λοιπόν; εἰπέ μου· δὲν μετῴκησαν; δὲν ὡδηγήθησαν εἰς ξένους τόπους; Ναί, ὡδηγήθησαν, ἀλλ' ὄχι ἀπὸ ἀδυναμίαν ἐκείνου πού τοὺς ἐγκατέστησεν ἐκεῖ, ἀλλὰ ἀπὸ τὴν κακίαν τῶν ἐγκατασταθέντων. Διότι ἐὰν δὲν ἡμπόδιζον εἰς αὐτὸ τὰ ἴδια τὰ ἔργα των, δὲν θὰ ἡμποδίζοντο νὰ μείνουν εἰς τὰς οἰκίας των.

«Ἐκακοποίησες λαοὺς καὶ ἐξεδίωξες αὐτούς». Ὡρισμένοι λέγουν ὅτι αὐτὸ λέγεται περὶ τῶν Αἰγυπτίων, ἐγὼ ὅμως ἔχω τὴν γνώμην ὅτι αὐτὸ ἐλέχθη καὶ περὶ τῶν ἐθνι-

τῶν ἐθνῶν τοῦτο εἰρῆσθαι. Καὶ γὰρ κἀκείνους τιμωρίας ἀπῄτησεν ἐν ἑκατέρῳ τὴν ἑαυτοῦ δύναμιν ἐπιδεικνύμενος, καὶ ἐν τῷ τοὺς πολεμίους ἀναιρεῖν, καὶ ἐν τῷ τοὺς οἰκείους συγκροτεῖν. «Οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐτῶν κληρονόμησαν γῆν». Ἄλλος φησίν, «Οὐ γὰρ ἐν τῇ μαχαίρᾳ αὐτῶν ἐκληρονόμησαν τὴν γῆν». «Οὐδὲ ὁ βραχίων αὐτῶν ἔσωσεν αὐτούς· ἀλλ' ἡ δεξιά σου, καὶ ὁ βραχίων σου, καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου». Ἄλλος φησί, «Τὸ φῶς». «Ὅτι ηὐδόκησας ἐν αὐτοῖς». Καὶ μὴν ὡπλισμένοι πάντες ἐκράτουν ἐν τοῖς πολέμοις· ὡπλισμένοι μέν, ἀλλ' οὐκ ἦν ὅπλων τὸ ἔργον, ἀλλὰ τοῦ στρατηγοῦντος Θεοῦ. Ὁρᾷς πῶς ἐν τάξει εὐχῆς φαίνει τὴν συμβουλήν, παραινῶν τὸ πᾶν ἐπὶ τὸν Θεὸν ῥίπτειν; Πῶς δὲ τὸ πρᾶγμα κληρονομίαν καλεῖ τῶν πατέρων καὶ τῶν πάππων καὶ τῶν ἐπιπάππων οὐ κατεσχηκότων τὴν γῆν, ἀλλ' ἐν ἑτέρῳ δαπανηθέντων καιρῷ; Ὅτι πρὸς τοὺς πατέρας ἦν ἡ ὑπόσχεσις. «Δεῦρο» γάρ, φησίν, «εἰς τὴν γῆν, ἣν ἄν σοι δείξω»· καί, «Σοὶ δώσω τὴν γῆν, καὶ τῷ σπέρματί σου».

Εἰπὼν δὲ δεξιὰν καὶ βραχίονα, ἐπειδὴ παχυτέρων ἐμνήσθη λέξεων, ὅρα πῶς ἀνάγει τὸν λόγον, πάλιν ἐπάγων, καὶ λέγων, «Καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου», τουτέστιν, ἡ ἀντίληψις, ἡ πρόνοια. Τὸ γὰρ βουληθῆναι, τὸ παρεῖναι ἤρκεσε μόνον αὐτοῖς. Εἶτα καὶ ἡ αἰτία· «Ὅτι ηὐδόκησας ἐν αὐτοῖς»· τουτέστιν, ὅτι ἠγάπησας αὐτούς, ὅτι ἠβουλήθης. Ὥστε χάριτος ἦν, οὐ κατορθωμάτων τὰ πράγματα, οὐδὲ ἐξ οἰκείας ἀρετῆς ἐπέτυχον, ἀλλ' ἐκ τῆς τοῦ Θεοῦ φιλανθρωπίας. «Σὺ εἶ αὐτὸς ὁ βασιλεύς μου καὶ ὁ Θεός μου, ὁ ἐντελλόμενος τὰς σω-

37. Γεν. 12, 1.
38. Γεν. 13, 5.

κῶν. Καθ' ὅσον ἐζήτησε καὶ ἐκεῖνοι νὰ τιμωρηθοῦν, φανερώνων μὲ τὸ καθένα ἀπὸ αὐτοὺς τὴν δύναμίν του, καὶ μὲ τὴν καταστροφὴν τῶν ἐχθρῶν, καὶ μὲ τὴν ἐγκατάστασιν ἐκεῖ τῶν ἰδικῶν του. «Διότι δὲν ἐκληρονόμησαν τὴν γῆν μὲ τὴν ρομφαίαν των». Ἄλλος λέγει, «Διότι δὲν ἐκληρονόμησαν τὴν γῆν μὲ τὴν μάχαιράν των». «Οὔτε ἡ δύναμις τοῦ βραχίονός των ἔσωσεν αὐτούς, ἀλλ' ἡ δεξιά σου καὶ ἡ δύναμις τοῦ βραχίονός σου καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου». Ἄλλος λέγει, «Τὸ φῶς». «Διότι ἔδειξες ὅλην τὴν συμπάθειάν σου πρὸς αὐτούς». Ἐπομένως ὑπερίσχυαν εἰς τοὺς πολέμους ἐπειδὴ ἦσαν ὅλοι των ὡπλισμένοι· ἦσαν μὲν ὡπλισμένοι ἀλλὰ τὸ ἔργον τῆς νίκης δὲν ἦτο ἀποτέλεσμα τῶν ὅπλων, ἀλλὰ τοῦ Θεοῦ ποὺ διηύθυνεν ὡσὰν στρατηγὸς τὰς μάχας. Βλέπεις πῶς παρουσιάζει τὴν συμβουλὴν ὡσὰν εἶδος προσευχῆς, προτρέπων νὰ ἐξαρτῶμεν τὸ πᾶν ἀπὸ τὸν Θεόν; Πῶς ὅμως ὀνομάζει τὸ πρᾶγμα κληρονομίαν τῶν πατέρων των, τῶν πάππων καὶ τῶν προπάππων, ἀφοῦ αὐτοὶ δὲν κατέκτησαν αὐτὴν τὴν γῆν, ἀλλ' ἔζησαν αὐτοὶ καὶ ἀπέθανον εἰς ἄλλην ἐποχήν; Διότι ἡ ὑπόσχεσις ἐδόθη πρὸς τοὺς πατέρας των. Διότι λέγει· «Ἔλα εἰς τὴν γῆν ποὺ θὰ σοῦ δείξω»[37]· καί· «Εἰς ἐσένα θὰ δώσω τὴν γῆν καὶ εἰς τοὺς ἀπογόνους σου»[38].

Ἀφοῦ δὲ ἀνέφερε τὰς λέξεις «δεξιὰν καὶ βραχίονα», ἐπειδὴ ἔκαμε χρῆσιν ὑλικῶν πραγμάτων, πρόσεχε πῶς ἀνυψώνει τὸν λόγον, προσθέτων καὶ πάλιν τὰ λόγια, «Καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου», δηλαδὴ ἡ βοήθειά σου, ἡ πρόνοιά σου. Διότι ἦτο ἀρκετὸν καὶ μόνον ἡ θέλησις τοῦ Θεοῦ καὶ ἡ παρουσία του. Ἔπειτα ἀναφέρεται καὶ ἡ αἰτία· «Ὅτι ηὐδόκησας ἐν αὐτοῖς»· δηλαδή, διότι ἠγάπησες αὐτούς, διότι σὺ τὸ ἠθέλησες. Ὥστε ἡ νίκη ἦτο ἀποτέλεσμα χάριτος, καὶ ὄχι ἰδικόν των κατόρθωμα, οὔτε ἐπέτυχον αὐτὴν μὲ τὴν γενναιότητά των, ἀλλὰ προήρχετο ἀπὸ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ. «Σὺ ὁ ἴδιος εἶσαι ὁ βασιλεύς μου καὶ ὁ Θεός μου, ὁ προστάζων τὴν σωτηρίαν τοῦ Ἰακώβ».

τηρίας Ἰακώβ». Ἄλλος, «Ἔντειλαι περὶ τῆς σωτηρίας τοῦ Ἰακώβ». Καὶ ποία αὕτη ἡ ἀκολουθία; Πολλὴ μὲν πρὸς τὰ εἰρημένα. Ὃ γὰρ λέγει, τοῦτό ἐστιν· ἡμεῖς ἐκείνων ἔγγονοι, καὶ σὺ ὁ Θεὸς ὁ αὐτός, ὁ καὶ τότε καὶ νῦν ἐκεῖνα ἐργασάμενος. Πόθεν οὖν ἡ τοσαύτη μεταβολή; Οὐ γὰρ δὴ ἄλλος μὲν ἐκεῖνος ὁ Θεός, ἄλλος δέ σύ, ἀλλὰ σὺ εἶ ὁ αὐτός.

6. Οὐδὲ αὖ πάλιν σὺ μὲν εἶ ὁ αὐτός, ἐγὼ δὲ ἄλλον ἐπιγράφομαι Θεόν, ἀλλὰ «Σὺ εἶ ὁ βασιλεύς μου καὶ ὁ Θεός μου». Οὐκ ἀπεπηδήσαμέν σου τῆς ἀρχῆς, οὐκ ἐπεγραψάμεθα προστάτην ἕτερον. «Ὁ ἐντελλόμενος τὰς σωτηρίας Ἰακώβ»· τουτέστι, καὶ ὁ Θεὸς ὁ αὐτός, καὶ ἡ πρόνοια ἡ αὐτή. Πόθεν οὖν ἡ μεταβολὴ τῶν πραγμάτων; Τί δέ ἐστιν, «Ὁ ἐντελλόμενος»; Ὁ κελεύων, ὁ παραγγέλλων σῴζεσθαι τὸν Ἰακώβ. Ἐνταῦθα πάλιν τὴν εὐκολίαν τῆς συμμαχίας παρίστησι, καὶ τὴν ἐξουσίαν τὴν πολλήν, καὶ οὐδὲ ἁπλῶς τοῦ προγόνου μέμνηται, ἀλλ' ἀντὶ δικαιώματος τὴν ἀρετὴν αὐτοῦ προβάλλεται, δυσωπῆσαι τὸν Θεὸν βουλόμενος. «Ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν». Καὶ σὺ ὁ αὐτός, φησί, καὶ ἡ πρόνοια ἡ αὐτή, καὶ ἡμεῖς σε ἐπιγραφόμεθα, καὶ τοῖς αὐτοῖς ὅπλοις κεχρήμεθα. Τοῦτο γάρ ἐστιν, «Ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν». Ἄλλος δέ φησι, «Τοὺς θλίβοντας ἡμᾶς κερατιοῦμεν». «Καὶ ἐν τῷ ὀνόματί σου ἐξουδενώσομεν τοὺς ἐπανισταμένους ἡμῖν». Ἄλλος φησί, «Συμπατήσομεν». Τί λέγω, φησίν, «Ἐν σοί»; Ἀρκεῖ τὸ ὄνομά σου καλέσαι μόνον, καὶ πάντα ἀνύσαι μεθ' ὑπερβολῆς. Οὐδὲ γὰρ εἶπε, κρατήσομεν, ἤ, περιεσόμεθα, ἀλλ', «Ἐξουδενώσομεν». Οὐδὲ ἡγησόμεθα αὐτούς τι εἶναι φησίν,

Ἄλλος λέγει· «πρόσταξε τὴν σωτηρίαν τοῦ Ἰακώβ». Καὶ ποίαν σχέσιν ἔχουν αὐτὰ πρὸς τὰ προλεχθέντα; Ἔχουν μεγάλην σχέσιν πρὸς ὅσα ἐλέχθησαν. Διότι αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· ἡμεῖς εἴμεθα ἀπόγονοι ἐκείνων καὶ σὺ ὁ ἴδιος ὁ Θεὸς *ποὺ ἐπετέλεσες* τὰ κατορθώματα καὶ τὰ παλαιὰ καὶ τὰ σημερινά. Ἀπὸ ποῦ λοιπὸν ἡ τόσον μεγάλη μεταβολή; Ἀπὸ τὸ ὅτι δὲν εἶναι ἐκεῖνος μὲν ἄλλος Θεός, ἄλλος δὲ σύ, ἀλλὰ σὺ εἶσαι ὁ ἴδιος.

6. Καὶ ἀκόμη οὔτε πάλιν σὺ μὲν εἶσαι ὁ ἴδιος ὁ Θεός, ἐνῷ ἐγὼ ἀποδέχομαι ἄλλον Θεόν, ἀλλὰ *«Σὺ εἶσαι ὁ βασιλεύς* μου καὶ ὁ Θεός μου». Δὲν ἀπερρίψαμεν τὴν ἐξουσίαν σου, οὔτε ἀπεδέχθημεν ἄλλον προστάτην. «Ὁ παραγγέλλων τὴν σωτηρίαν τοῦ Ἰακώβ»· δηλαδή, καὶ ὁ Θεὸς εἶναι ὁ ἴδιος καὶ ἡ πρόνοια ἡ ἰδία. Ἀπὸ ποῦ λοιπὸν προέρχεται ἡ μεταβολὴ τῶν πραγμάτων; *Τί σημαίνει δὲ* «Ὁ ἐντελλόμενος»; Ὁ προστάσσων, ὁ παραγγέλων τὴν σωτηρίαν τοῦ Ἰακώβ. Ἐδῶ πάλιν δείχνει τὴν εὐκολίαν τῆς συμμαχίας καὶ τὴν ἐξουσίαν τὴν μεγάλην, καὶ δὲν μνημονεύει ἁπλῶς καὶ τυχαίως τὸν πρόγονόν του Ἰακώβ, ἀλλὰ παρουσιάζει τὴν ἀρετὴν αὐτοῦ ὡσὰν νὰ τὴν δικαιοῦται καὶ ὁ ἴδιος, θέλων ν' ἀποσπάση τὴν εὔνοιαν τοῦ Θεοῦ. «Μὲ τὴν ἰδικήν σου βοήθειαν θὰ καταβάλωμεν τοὺς ἐχθρούς μας». Καὶ σύ, λέγει, εἶσαι ὁ ἴδιος καὶ ἡ πρόνοιά σου ἡ ἰδία καὶ ἡμεῖς ἐσένα ἀναγνωρίζομεν ὡς Θεὸν καὶ τὰ ἴδια ὅπλα μεταχειριζόμεθα. Αὐτὸ δηλαδὴ σημαίνει, «Ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν». Ἄλλος δὲ λέγει, «Θὰ καταβάλωμεν ἐκείνους ποὺ μᾶς καταθλίβουν». «Καὶ ἐπικαλούμενοι τὸ ὄνομά σου θὰ ἐκμηδενίσωμεν ἐκείνους ποὺ ἐξεγείρονται ἐναντίον μας». Ἄλλος λέγει, «Θὰ τοὺς ποδοπατήσωμεν μαζί». Διατί, λέγει, λέγω, «Μαζὶ μὲ ἐσένα»; Ἀρκεῖ καὶ μόνον τὸ ὄνομά σου νὰ ἐπικαλεσθῶ καὶ νὰ τὰ ἐπιτύχω ὅλα μὲ ὑπερβολικὴν εὐκολίαν. Διότι δὲν εἶπε, θὰ ὑπερισχύσωμεν, ἤ, θὰ ἐπικρατήσωμεν, ἀλλὰ «Θὰ τοὺς ἐκμηδενίσωμεν». Δὲν θὰ τοὺς θεωρήσωμεν, λέγει, ὡσὰν κάτι τὸ σπου-

οὐδὲ φοβηθησόμεθα, ἀλλ' ὡς οὐδὲν ὄντας διώξομεν. Ὅπερ δηλῶν ἕτερος ἑρμηνευτὴς ἔλεγε· «Καταπατήσομεν», τὴν κατὰ κράτος νίκην, τὴν χωρὶς ἀγωνίας παράταξιν, τὴν χωρὶς φόβου μάχην δεικνύς.

«Οὐ γὰρ ἐπὶ τῷ τόξῳ μου ἐλπιῶ». Ἄλλος φησί, «Πέποιθα». «Καὶ ἡ ῥομφαία μου οὐ σώσει με». Καὶ τίνος ἕνεκεν κέχρησαι τούτοις; τί δὲ καθοπλίζῃ, καὶ τόξον καὶ μάχαιραν μεταχειρίζῃ; Ὅτι οὕτως ἐκέλευσεν ὁ Θεός· διὰ δὴ τοῦτο κέχρημαι μὲν αὐτοῖς, τὸ δὲ πᾶν ἐπ' αὐτὸν ῥίπτω. Οὕτω πολεμεῖν τοῖς αἰσθητοῖς ἐχθροῖς ἐπαιδεύοντο ἀπὸ τῆς ἄνωθεν ῥοπῆς φραττόμενοι, οὕτω τοῖς νοητοῖς. Καὶ σὺ τοίνυν, ὅταν τῷ διαβόλῳ πολεμῇς, λέγε, οὐ τοῖς ὅπλοις μου θαρρῶ· τουτέστιν, οὐ τῇ ἐμῇ ἰσχύϊ, οὐδὲ ταῖς ἐμαῖς δικαιοσύναις, ἀλλὰ τῷ ἐλέει τοῦ Θεοῦ. Οὕτω καὶ Δανιὴλ ἔλεγεν· «Οὐκ ἐν ταῖς δικαιοσύναις ἡμῶν ἐπιρρίπτομεν ἡμεῖς τὸν ἔλεον ἡμῶν ἔμπροσθέν σου». «Ἔσωσας γὰρ ἡμᾶς ἐκ τῶν θλιβόντων ἡμᾶς, καὶ τοὺς μισοῦντας ἡμᾶς κατήσχυνας». Ἄλλος, «Ὅτι ἔσωσας ἡμᾶς». Τί δεῖ λέγειν τὰ παλαιά, φησί, καὶ τὰ τῶν προγόνων; Ἡμεῖς αὐτοὶ πολλὰ τῆς σῆς προνοίας ἐνέχυρα ἔχομεν, καὶ τρόπαια λαμπρὰ ἀπαριθμεῖν, καὶ νίκας ἐπαλλήλους καὶ θαυμαστὰς καὶ παραδόξους δυνάμεθα. Διὰ γὰρ τοῦτο εἶπε, «Κατήσχυνας», ἐμφαίνων ὅτι οὐχ ἁπλῶς ἡμᾶς ἐξείλου, οὐδὲ ἁπλῶς ἐξήρπασας, ἀλλὰ μετὰ τῆς αἰσχύνης τῶν ἐπιόντων ἡμῖν.

«Ἐν τῷ Θεῷ ἐπαινεθησόμεθα ὅλην τὴν ἡμέραν· καὶ ἐν τῷ ὀνόματί σου ἐξομολογησόμεθα εἰς τὸν αἰῶνα». Ἄλλος φησί,

39. Δαν. 9, 18.

δαῖον, οὔτε θὰ τούς φοβηθῶμεν, ἀλλὰ θὰ τοὺς καταδιώξωμεν ὡσὰν νὰ μὴ εἶναι τίποτε. Αὐτὸ ἀκριβῶς θέλων νὰ δηλώσῃ ἄλλος ἑρμηνευτής, ἔλεγε, «Θὰ τούς ποδοπατήσωμεν», διὰ νὰ δείξῃ τὴν κατὰ κράτος νίκην, τὴν χωρὶς ἀγωνίαν παράταξιν ἀπέναντί των, τὴν χωρὶς φόβον μάχην.

«Διότι δὲν θὰ στηρίξω τὴν ἐλπίδα μου εἰς τὸ τόξον μου». Ἄλλος λέγει, «Δὲν στηρίζω τὴν ἐλπίδα μου εἰς τὸ τόξον μου». «Καὶ ἡ ρομφαία μου δὲν θὰ μὲ σώσῃ». Καὶ διατί χρησιμοποιεῖς αὐτά; διατί ὁπλίζεσαι καὶ χρησιμοποιεῖς τόξον καὶ μάχαιραν; Διότι ἔτσι διέταξεν ὁ Θεός· διὰ τοῦτο λοιπὸν χρησιμοποιῶ μὲν αὐτά, ἀλλὰ τὸ πᾶν ἐξαρτῶ ἀπὸ αὐτόν· ἔτσι ἐδιδάσκοντο νὰ πολεμοῦν τούς αἰσθητούς ἐχθρούς των, περιφρορούμενοι ὑπὸ τῆς θείας δυνάμεως, ἔτσι καὶ τούς πνευματικούς ἐχθρούς. Καὶ σὺ λοιπόν, ὅταν πολεμῇς τὸν διάβολον, λέγε, δὲν στηρίζω τὴν δύναμίν μου εἰς τὰ ὅπλα μου· δηλαδὴ δὲν ὑπερισχύω μὲ τὴν δύναμίν μου, οὔτε μὲ τὰς ἰδικάς μου ἀρετάς, ἀλλὰ μὲ τὸ ἔλεος τοῦ Θεοῦ. Ἔτσι καὶ ὁ Δανιὴλ ἔλεγε· «Δὲν σὲ παρακαλοῦμεν νὰ μᾶς λυπηθῇς στηριζόμενος εἰς τὰς ἀρετάς μας, ἀλλὰ εἰς τὸ ἄπειρον ἔλεός σου»[39]. «Διότι μᾶς ἔσωσες ἀπὸ ἐκείνους πού μᾶς καταθλίβουν καὶ κατεξευτέλισες τὴν δύναμιν ἐκείνων πού μᾶς μισοῦν». Ἄλλος λέγει, «Διότι μᾶς ἔσωσες». Διατί, λέγει, πρέπει νὰ ἀναφέρωμεν τὰ παιδιὰ καὶ τὰ ὅσα θαυμαστὰ συνέβησαν εἰς τοὺς προγόνους μας; Ἡμεῖς οἱ ἴδιοι ἔχομεν πολλὰς ἀποδείξεις τῆς προνοίας σου καὶ ἠμποροῦμεν ν᾽ ἀπαριθμήσωμεν λαμπρὰ τρόπαια καὶ νίκας θαυμαστὰς καὶ παραδόξους πού διαδέχονται ἡ μία τὴν ἄλλην. Διὰ τοῦτο λοιπὸν εἶπε, «κατήσχυναι», διὰ νὰ δείξῃ ὅτι ὄχι ἁπλῶς ἔσωσες ἡμᾶς, οὔτε ἁπλῶς μᾶς ἐξήρπασες ἀπὸ τὰ χέρια των, ἀλλὰ συνέβη αὐτὸ μαζὶ μὲ τὸν κατεντροπιασμὸν τῶν ἐχθρῶν μας

«Ἔχοντες τέτοιον Θεὸν θὰ καυχώμεθα ὅλας τὰς ἡμέρας τῆς ζωῆς μας καὶ θὰ δοξάζωμεν τὸ ὄνομά σου εἰς ὅλους τούς αἰῶνας». Ἄλλος λέγει· «Τὸν Θεὸν ἐξυ-

«Τὸν Θεὸν ὑμνοῦμεν κατὰ πᾶσαν ἡμέραν». Τὰ μὲν γὰρ τῆς νίκης, φησί, παρελήλυθε, τὰ δὲ τῆς εὐχαριστίας ἡμῖν μένει. "Ολην γὰρ τὴν ἡμέραν, πᾶσαν λέγει τὴν ζωήν. Οὐ γὰρ παυόμεθα ὑμνοῦντες καὶ ἐγκαλλωπιζόμενοί σου ταῖς συμμαχίαις. Τοῦτο γὰρ ἡμῶν δόξα, τοῦτο καύχημα, ἐν τούτῳ πρὸς ἅπαντας φιλοτιμούμεθα· οὐχ ὅτι πόλιν ἔχομεν μεγάλην καὶ θαυμαστήν, οὐδ' ὅτι πρῶτοι νικῶμεν, οὐδ' ὅτι ῥώμῃ σώματος περιγινόμεθα· ἀλλ' ὅτι Θεὸν ἔχομεν ἀληθῆ, ἐν τούτῳ καυχώμεθα· οὐχ ὅταν βοηθῇς ἡμῖν μόνον, ἀλλὰ καὶ ὅταν ἐγκαταλιμπάνῃς. Τοῦτο γάρ ἐστιν, «"Ολην τὴν ἡμέραν»· καθάπερ καὶ Παῦλός φησιν· «Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ». Οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἑτέρα δόξα τοιαύτη. Διὸ καὶ πάλιν ἔλεγεν, «Οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμενοι ἐν τῷ Θεῷ». Οὐδὲν γὰρ ἴσον τούτου τοῦ καυχήματος. Μηδεὶς τοίνυν ἐπὶ πλούτῳ μεγαλοφρονείτω, μηδεὶς ἐπί τινι τῶν βιωτικῶν, ἀλλ' ἐπὶ τούτῳ μόνον, ἐπὶ τῷ τὸν Θεὸν ἔχεις Δεσπότην. Τοῦτο πάσης ἐλευθερίας ἄμεινον, τοῦτο τῶν οὐρανῶν αὐτῶν βέλτιον. Εἰ γὰρ τὸ ἀκούειν τοῦ δεῖνος καὶ τοῦ δεῖνος καύχημα πολλάκις ἤνεγκε παρ' ἀνθρώποις, ἐννόησον τὸ ἀκούειν τοῦ Θεοῦ ἡλίκην φέρει δόξαν. Διὸ καὶ ὁ Παῦλος ἀντὶ μεγάλου ἀξιώματος τέθεικε τοῦτο λέγων· «Οἱ δὲ τοῦ Χριστοῦ, τὴν σάρκα ἐσταύρωσαν. «Διάψαλμα». "Αλλος, «Ἀεί». Ὁ δὲ Ἑβραῖος τοῦτο «Σὲλ» λέγει.

«Νυνὶ δὲ ἀπώσω καὶ κατῄσχυνας ἡμᾶς». "Αλλος φησί, «Καίπερ ἀπώσω». "Αλλος, «Καί γε ἀπώσω». "Αλλος, «Ἀλλὰ

40. Γαλ. 6, 14.
41. Ρωμ. 5, 11.
42. Γαλ. 5, 24.

μνοῦμεν καθ᾽ ἑκάστην ἡμέραν». Τὰ μὲν λοιπὸν τῆς νίκης, λέγει, ἐπέρασαν, μᾶς μένουν ὅμως τὰ τῆς εὐχαριστίας. Λέγων βέβαια ὅλην τὴν ἡμέραν, ἐννοεῖ ὅλην τὴν ζωήν. Διότι δὲν παύομεν νὰ σὲ ὑμνοῦμεν καὶ νὰ ἐγκωμιάζωμεν τὴν συμμαχίαν σου. Καθ᾽ ὅσον αὐτὸ εἶναι δόξα μας, αὐτὸ καύχημά μας, μὲ αὐτό ὑπερηφανευόμεθα πρὸς ὅλους· ὄχι ἐπειδὴ ἔχομεν μεγάλην καὶ θαυμαστὴν πόλιν, οὔτε ἐπειδὴ πρῶτοι νικῶμεν, οὔτε ἐπειδὴ καταβάλλομεν τοὺς ἐχθρούς μας μὲ τὴν δύναμιν τοῦ σώματός μας, ἀλλὰ καυχώμεθα ἐπειδὴ ἔχομεν Θεὸν ἀληθινόν· ὄχι ὅταν μόνον μᾶς βοηθῇς, ἀλλὰ καὶ ὅταν μᾶς ἐγκαταλείπῃς. Διότι αὐτό σημαίνει «ὅλην τὴν ἡμέραν»· ὅπως ἀκριβῶς λέγει καὶ ὁ Παῦλος· «Εἴθε νὰ μὴ συμβῇ εἰς ἐμένα νὰ καυχηθῶ διὰ τίποτε ἄλλο, παρὰ μόνον διὰ τὸν σταυρὸν τοῦ Χριστοῦ»[40]. Διότι δὲν ὑπάρχει, δὲν ὑπάρχει ἄλλη τέτοια δόξα. Διὰ τοῦτο καὶ πάλιν ἔλεγεν· «Ὄχι μόνον θὰ σωθῶμεν, ἀλλὰ καὶ καυχόμεθα διὰ τόν Θεόν»[41]. Πράγματι δὲν ἠμπορεῖ τίποτε νὰ ἐξισωθῇ μὲ αὐτὸ τὸ καύχημα. Κανεὶς λοιπὸν ἂς μὴ ὑπερηφανεύεται διὰ τὸν πλοῦτον του, κανεὶς νὰ μὴ ὑπερηφανεύεται διὰ κάτι ἀπὸ τὰ κοσμικά, ἀλλὰ δι᾽ αὐτὸ καὶ μόνον, ἐπειδὴ ἔχει Κύριον τὸν Θεόν. Αὐτὸ εἶναι προτιμότερον ἀπὸ κάθε ἐλευθερίαν, αὐτὸ εἶναι καλύτερον καὶ ἀπὸ αὐτοὺς τοὺς ἰδίους τοὺς οὐρανούς. Διότι, ἐὰν πολλὲς φορὲς ἀποτελῇ καύχημα διὰ πολλοὶ ἀπὸ τούς ἀνθρώπους τὸ νὰ εἶναι ἀκροαταὶ τοῦ τάδε καὶ τοῦ τάδε, σκέψου πόσην δόξαν δημιουργεῖ τὸ νὰ εἶναι κανεὶς ἀκροατὴς τῶν λόγων τοῦ Θεοῦ. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἀπὸ ἄλλου μεγάλου ἀξιώματος ἀνέφερεν αὐτὰ τὰ λόγια· «Οἱ δὲ πιστεύοντες εἰς τὸν Χριστόν, ἐσταύρωσαν τὰ σαρκικὰ πάθη των»[42]. Ἀκολουθεῖ τὸ «διάψαλμα». Ἄλλος ἐξηγεῖ «πάντοτε». Ὁ δὲ ἑβραῖος αὐτὸ τὸ ὀνομάζει «Σέλ».

«Τώρα ὅμως μᾶς ἔσπρωξες μακριά σου καὶ μᾶς κατεντρόπιασες». Ἄλλος λέγει, «Ἂν καὶ μᾶς ἀπώθησες μακριά σου». Ἄλλος, «Καὶ βέβαια μᾶς ἀπώθησες μακριὰ

«Τὸν Θεὸν ὑμνοῦμεν κατὰ πᾶσαν ἡμέραν». Τὰ μὲν γὰρ τῆς νίκης, φησί, παρελήλυθε, τὰ δὲ τῆς εὐχαριστίας ἡμῖν μένει. Ὅλην γὰρ τὴν ἡμέραν, πᾶσαν λέγει τὴν ζωήν. Οὐ γὰρ παυόμεθα ὑμνοῦντες καὶ ἐγκαλλωπιζόμενοί σου ταῖς συμμαχίαις. Τοῦτο γὰρ ἡμῶν δόξα, τοῦτο καύχημα, ἐν τούτῳ πρὸς ἅπαντας φιλοτιμούμεθα· οὐχ ὅτι πόλιν ἔχομεν μεγάλην καὶ θαυμαστήν, οὐδ' ὅτι πρῶτοι νικῶμεν, οὐδ' ὅτι ῥώμῃ σώματος περιγινόμεθα· ἀλλ' ὅτι Θεὸν ἔχομεν ἀληθῆ, ἐν τούτῳ καυχώμεθα· οὐχ ὅταν βοηθῇς ἡμῖν μόνον, ἀλλὰ καὶ ὅταν ἐγκαταλιμπάνῃς. Τοῦτο γάρ ἐστιν, «Ὅλην τὴν ἡμέραν»· καθάπερ καὶ Παῦλός φησιν· «Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ». Οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἑτέρα δόξα τοιαύτη. Διὸ καὶ πάλιν ἔλεγεν, «Οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμενοι ἐν τῷ Θεῷ». Οὐδὲν γὰρ ἴσον τούτου τοῦ καυχήματος. Μηδεὶς τοίνυν ἐπὶ πλούτῳ μεγαλοφρονείτω, μηδεὶς ἐπί τινι τῶν βιωτικῶν, ἀλλ' ἐπὶ τούτῳ μόνον, ἐπὶ τῷ τὸν Θεὸν ἔχεις Δεσπότην. Τοῦτο πάσης ἐλευθερίας ἄμεινον, τοῦτο τῶν οὐρανῶν αὐτῶν βέλτιον. Εἰ γὰρ τὸ ἀκούειν τοῦ δεῖνος καὶ τοῦ δεῖνος καύχημα πολλάκις ἤνεγκε παρ' ἀνθρώποις, ἐννόησον τὸ ἀκούειν τοῦ Θεοῦ ἡλίκην φέρει δόξαν. Διὸ καὶ ὁ Παῦλος ἀντὶ μεγάλου ἀξιώματος τέθεικε τοῦτο λέγων· «Οἱ δὲ τοῦ Χριστοῦ, τὴν σάρκα ἐσταύρωσαν». «Διάψαλμα». Ἄλλος, «Ἀεί». Ὁ δὲ Ἑβραῖος τοῦτο «Σὲλ» λέγει.

«Νυνὶ δὲ ἀπώσω καὶ κατῄσχυνας ἡμᾶς». Ἄλλος φησί, «Καίπερ ἀπώσω». Ἄλλος, «Καί γε ἀπώσω». Ἄλλος, «Ἀλλὰ

40. Γαλ. 6, 14.
41. Ρωμ. 5, 11.
42. Γαλ. 5, 24.

μνοῦμεν καθ' ἑκάστην ἡμέραν». Τὰ μὲν λοιπὸν τῆς νίκης, λέγει, ἐπέρασαν, μᾶς μένουν ὅμως τὰ τῆς εὐχαριστίας. Λέγων βέβαια ὅλην τὴν ἡμέραν, ἐννοεῖ ὅλην τὴν ζωήν. Διότι δὲν παύομεν νὰ σὲ ὑμνοῦμεν καὶ νὰ ἐγκωμιάζωμεν τὴν συμμαχίαν σου. Καθ' ὅσον αὐτὸ εἶναι δόξα μας, αὐτό καύχημά μας, μὲ αὐτό ὑπερηφανευόμεθα πρὸς ὅλους· ὄχι ἐπειδὴ ἔχομεν μεγάλην καὶ θαυμαστὴν πόλιν, οὔτε ἐπειδὴ πρῶτοι νικῶμεν, οὔτε ἐπειδὴ καταβάλλομεν τοὺς ἐχθροὺς μας μὲ τὴν δύναμιν τοῦ σώματός μας, ἀλλὰ καυχώμεθα ἐπειδὴ ἔχομεν Θεὸν ἀληθινόν· ὄχι ὅταν μόνον μᾶς βοηθῇς, ἀλλὰ καὶ ὅταν μᾶς ἐγκαταλείπῃς. Διότι αὐτό σημαίνει «ὅλην τὴν ἡμέραν»· ὅπως ἀκριβῶς λέγει καὶ ὁ Παῦλος· «Εἴθε νὰ μὴ συμβῇ εἰς ἐμένα νὰ καυχηθῶ διὰ τίποτε ἄλλο, παρὰ μόνον διὰ τὸν σταυρὸν τοῦ Χριστοῦ»[40]. Διότι δὲν ὑπάρχει, δὲν ὑπάρχει ἄλλη τέτοια δόξα. Διὰ τοῦτο καὶ πάλιν ἔλεγεν· «Ὄχι μόνον θὰ σωθῶμεν, ἀλλὰ καὶ καυχόμεθα διὰ τὸν Θεόν»[41]. Πράγματι δὲν ἠμπορεῖ τίποτε νά ἐξισωθῇ μέ αὐτὸ τό καύχημα. Κανεὶς λοιπὸν ἂς μὴ ὑπερηφανεύεται διὰ τὸν πλοῦτον του, κανεὶς νὰ μὴ ὑπερηφανεύεται διὰ κάτι ἀπό τά κοσμικά, ἀλλὰ δι' αὐτό καὶ μόνον, ἐπειδὴ ἔχει Κύριον τὸν Θεόν. Αὐτὸ εἶναι προτιμότερον ἀπὸ κάθε ἐλευθερίαν, αὐτὸ εἶναι καλύτερον καὶ ἀπὸ αὐτοὺς τοὺς ἰδίους τοὺς οὐρανούς. Διότι, ἐὰν πολλὲς φορὲς ἀποτελῇ καύχημα διὰ πολλοὶ ἀπὸ τοὺς ἀνθρώπους τὸ νὰ εἶναι ἀκροαταὶ τοῦ τάδε καὶ τοῦ τάδε, σκέψου πόσην δόξαν δημιουργεῖ τὸ νὰ εἶναι κανεὶς ἀκροατὴς τῶν λόγων τοῦ Θεοῦ. Διά τοῦτο καὶ ὁ Παῦλος ἀπὸ ἄλλου μεγάλου ἀξιώματος ἀνέφερεν αὐτὰ τὰ λόγια· «Οἱ δὲ πιστεύοντες εἰς τὸν Χριστόν, ἐσταύρωσαν τὰ σαρκικὰ πάθη των»[42]. Ἀκολουθεῖ τὸ «διάψαλμα». Ἄλλος ἐξηγεῖ «πάντοτε». Ὁ δὲ ἑβραῖος αὐτὸ τὸ ὀνομάζει «Σέλ».

«Τώρα ὅμως μᾶς ἔσπρωξες μακριὰ σου καὶ μᾶς κατεντρόπιασες». Ἄλλος λέγει, «Ἂν καὶ μᾶς ἀπώθησες μακριά σου». Ἄλλος, «Καὶ βέβαια μᾶς ἀπώθησες μακριά

πρὸς τούτοις ἀπεβάλου». «Καὶ οὐκ ἐξελεύσῃ ὁ Θεός, ἐν ταῖς δυνάμεσιν ἡμῶν». Ἄλλος, «Καὶ οὐ προέρχῃ ἐν ταῖς στρατεύσεσιν ἡμῶν». Τῷ γὰρ ἀπωσμῷ αἰσχύνη εὐθέως ἕπεται, καὶ τὸ πᾶσι προκεῖσθαι πρὸς τὸ πάσχειν κακῶς. Δυνάμεις δὲ ἐνταῦθα τὰ στρατόπεδα αὐτῶν καλεῖ, ἐπειδὴ ἐν αὐταῖς ἡ τοῦ βασιλέως δύναμις, καὶ τοῦτο καλῶς τοῦ Θεοῦ οἰκονομήσαντος, ὥστε σύνδεσμον εἶναι τῷ ἄρχοντι καὶ τοῖς ἀρχομένοις. Ὅ τε γὰρ βασιλεὺς δεῖται τῶν ὑπηκόων, καὶ οὗτοι τοῦ προστάτου, καὶ ἀλλήλων ἐν χρείᾳ καθεστήκασι πολλῇ. Ὥστε γὰρ μὴ εἶναί τινα ἀπόνοιαν τὰ μεγάλλα πολλάκις τῶν μικρῶν δεῖσθαι ὁ Θεὸς παρεσκεύασεν. Τοῦτο καὶ ἐπὶ τῶν ἀψύχων ἐποίησε. Πολλάκις γοῦν κίονα σαλευόμενον ψηφὶς ὑποτεθεῖσα ἔστησε, καὶ μυριαγωγὸν πλοῖον μικρὸν πηδάλιον ἰθύνει, καὶ κινδύνων ἀπαλλάττει. Τί δέ ἐστι, «Καίπερ ἀπώσω ἡμᾶς»; Ὅτι καὶ τοιαῦτα, φησί, παθόντες, οὐκ ἀφιστάμεθά σου, δοξολογοῦντες, ὑμνοῦντες, ἐν σοὶ καλλωπιζόμενοι. «Ἀπέστρεψας ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ τοὺς ἐχθροὺς ἡμῶν, καὶ οἱ μισοῦντες ἡμᾶς διήρπαζον ἑαυτοῖς». Ἄλλος φησίν, «Ἔταξας ἡμᾶς ἐσχάτους παντὸς ἐναντίου». Ὅρα πῶς ἐπαίρει τὰ δεινὰ τῷ λόγῳ καὶ ἐκτραγῳδεῖ τὴν συμφοράν, δεικνύς, ὅτι εἰ καὶ ἁμαρτωλοὶ σφόδρα ἦσαν, ὅμως δίκην δεδώκασιν ἱκανήν.

7. Τοῦτο καὶ οἱ παῖδες ἐκ περιουσίας ποιοῦσιν ἐν τῇ καμίνῳ ᾄδοντες καὶ λέγοντες· «Παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐ-

σου». Ἄλλος, «Ἀλλά μαζὶ μὲ τὰ ἄλλα μᾶς ἀπεμάκρυνες ἀπὸ κοντά σου». «Καὶ δὲν θὰ βαδίσῃς, Θεέ μου, μαζὶ μὲ τὰς δυνάμεις μας τὰς στρατιωτικὰς ὡς σύμμαχος». Ἄλλος, «Καὶ δὲν βαδίζεις ἐμπρὸς ἀπὸ τὰ στρατεύματά μας». Διότι τὴν ἀπομάκρυνσιν ἀκολουθεῖ ἀμέσως ὁ κατεντροπιασμός, καὶ ὁ ἐξευτελισμὸς ἐνώπιον ὅλων γίνεται ἡ ἀρχὴ τῶν κακοπαθημάτων μας. Δυνάμεις δὲ ἐδῶ ὀνομάζει τὰ στρατεύματά των, ἐπειδὴ εἰς αὐτὰ στηρίζεται ἡ δύναμις τοῦ βασιλέως, καὶ αὐτὸ εἶναι κάτι ποὺ ἐρρυθμίσθη καλῶς ὑπὸ τοῦ Θεοῦ, ὥστε ν᾽ ἀποτελῇ τρόπον συνδέσεως μεταξὺ τοῦ ἄρχοντος καὶ τῶν ἀρχομένων. Διότι καὶ ὁ βασιλεὺς χρειάζεται τοὺς ὑπηκόους του καὶ αὐτοὶ τὸν προστάτην των, καὶ χρειάζονται πάρα πολὺ ὁ ἕνας τόν ἄλλον. Ὥστε λοιπὸν διὰ νὰ μὴ συμβαίνῃ κανένας παραλογισμός, ὁ Θεὸς ἐρρύθμισε τὰ πράγματα ἔτσι, ὥστε τὰ μεγάλα πολλὲς φορὲς νὰ ἔχουν ἀνάγκην ἀπὸ τὰ μικρά. Αὐτὸ τό ἔκαμε καὶ μεταξὺ τῶν ἀψύχων. Πολλὲς φορὲς δηλαδὴ μίαν κολώναν σαλευομένην τὴν ἐστήριξε μία μικρὴ πέτρα ποὺ ἐτοποθετήθη εἰς τὴν βάσιν της, καὶ τὸ τεράστιον πλοῖον τὸ διευθύνει ἕνα μικρὸν πηδάλιον καὶ τό προφυλάσσει ἀπὸ τοὺς κινδύνους. Τί σημαίνει δέ, «Καίπερ ἀπώσω ἡμᾶς»; Ὅτι δηλαδή, λέγει, ἂν καὶ ἐπάθαμεν τέτοια καὶ τόσα πολλά, δὲν φεύγομεν ἀπὸ κοντά σου, ἀλλὰ σὲ δοξολογοῦμεν, σὲ ἐξυμνοῦμεν καὶ καυχώμεθα δι᾽ ἐσένα. «Ἐπέτρεψες νὰ στραφῶμεν νικημένοι πρὸ τῶν ἐχθρῶν μας καὶ ἐκεῖνοι ποὺ μᾶς μισοῦν διήρπαζον τὰ ὑπάρχοντά μας διὰ λογαριασμόν των». Ἄλλος λέγει, «Μᾶς ἔκαμες κατωτέρους ἀπὸ κάθε ἐχθρόν μας». Πρόσεχε πῶς διογκώνει τὰ δεινὰ μὲ τὸν λόγον καὶ διεκτραγωδεῖ τὴν συμφοράν, διὰ νὰ δείξῃ, ὅ,τι καὶ ἂν ἀκόμη ἦσαν πάρα πολὺ ἁμαρτωλαί, ὅμως ἐτιμωρήθησαν ἱκανοποιητικά.

7. Αὐτὸ κάμνουν εἰς ὑπερβολικὸν βαθμὸν καὶ οἱ τρεῖς παῖδες μέσα εἰς τὴν κάμινον τότε ψάλλοντες καὶ λέγοντες· «Μᾶς παρέδωσες εἰς τὰ χέρια τῶν παρανόμων

χθρῶν ἀνόμων, ἐχθίστων, ἀποστατῶν, καὶ βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν». Καὶ πάλιν· «Ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη, καὶ ἐσμὲν ταπεινοὶ ἐν πάσῃ τῇ γῇ». Τοῦτο καὶ ἐνταῦθα δηλοῖ, μονονουχὶ λέγων· πάντων γεγόναμεν ἀτιμότεροι, ἐπειδὴ τῆς σῆς ἐγυμνώθημεν προνοίας· καὶ οὐδὲ μέχρι τούτων ἔστη τὰ δεινά, ἀλλὰ καὶ νομὴ γεγόναμεν τοῖς πολεμίοις, κατ' ἐξουσίαν ἡμᾶς διανεμομένοις. Τοῦτο γάρ ἐστι, «Διήρπαζον ἑαυτοῖς», τουτέστιν, οὐδενὸς ὄντος τοῦ κωλύοντος. «Ἔδωκας ἡμᾶς ὡς πρόβατα βρώσεως, καὶ ἐν τοῖς ἔθνεσι διέσπειρας ἡμᾶς». Ἄλλος φησίν, «Ἐλίκμησας ἡμᾶς». Τί ἐστιν «Ὡς πρόβατα βρώσεως»; Εὐεπιχειρήτους ποιήσας, εὐτελεῖς δείξας. Ἔστι γὰρ καὶ πρόβατα κτήσεως, τὰ πρὸς γονὴν ἐπιτήδεια, τὰ δέ, διὰ τὸ γῆρας ἢ τὸ ἄγονον, εἰς βρῶσιν μόνον ἐστὶ χρήσιμα. Καὶ τὸ δὴ χαλεπώτερον, τὸ καὶ εἰς τὰ ἔθνη διαιρεθῆναι, ὃ πάντων αὐτοῖς βαρύτερον ἦν, τὸ μηδὲ τὸν νόμον δύνασθαι μετὰ ἀκριβείας φυλάττειν ἐκεῖ, καὶ τῆς πατρῴας ἐκπεπτωκέναι πολιτείας. Καὶ οὐδὲ εἰς ἓν ἔθνος, ἀλλὰ πανταχοῦ, φησί, καὶ πρὸς ἓν μόνον ἐσμὲν ἕτοιμοι, τὸ πάσχειν κακῶς, ἀμύνεσθαι δὲ ἢ ἀνταίρειν χεῖρας οὐδὲ ἰσχύομεν. Τοῦτο γὰρ ἡ τῶν προβάτων εἰκὼν δηλοῖ.

«Ἀπέδου τὸν λαόν σου ἄνευ τιμῆς». Ἄλλος φησίν, «Ἐν οὐχ ὑπάρξει». Ἄλλος, «Οὐχ ὑπάρξεως». «Καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλλάγμασιν ἡμῶν». Ἄλλος φησί· «Καὶ οὐ πολλὴν ἐποίησας τὴν τιμὴν αὐτῶν». Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· καὶ γὰρ σφόδρα ἀσαφὲς εἶναι δοκεῖ τὸ ῥητόν, ἀλλὰ προσέχετε, ἵνα μετὰ

43. Δαν. 3, 32.
44. Αὐτόθι 3, 37.

ἐχθρῶν, τῶν πιὸ χειροτέρων, τῶν ἀποστατῶν, καὶ εἰς βασιλέα ἄδικον καὶ πιὸ πονηρὸν ἀπὸ ὅλους τοὺς ἄλλους βασιλεῖς τῆς γῆς»[43]. Καὶ πάλιν· «Ἐγίναμεν μικρότεροι ἀπὸ ὅλα τὰ ἔθνη καὶ περιφρονούμεθα ἀπὸ ὅλην τὴν γῆν»[44]. Αὐτὸ καὶ ἐδῶ δηλώνει, ὡσὰν δηλαδὴ νὰ λέγῃ· ἐγίναμεν ἀτιμότεροι ἀπὸ ὅλους, ἐπειδὴ ἐστηρήθημεν τὴν πρόνοιάν σου· καὶ δὲν ἐσταμάτησαν τὰ δεινὰ μέχρις αὐτά, ἀλλ' ἐγίναμεν καὶ ἀντικείμενον διανομῆς μεταξὺ τῶν ἐχθρῶν μας, ποὺ μᾶς διανέμονται ὅπως αὐτοὶ θέλουν. Διότι αὐτὸ σημαίνει τό, «Διήρπαζον ἑαυτοῖς», δηλαδή, χωρὶς νὰ ὑπάρχῃ κανεὶς νὰ τοὺς ἐμποδίζῃ. «Μᾶς παρέδωσες εἰς τοὺς ἐχθροὺς ὡσὰν πρόβατα διὰ νὰ μᾶς φάγουν καὶ μᾶς διεσκόρπισες μεταξὺ τῶν ἐθνικῶν». Ἄλλος λέγει, «Μᾶς διεσκόρπισες ὡσὰν τὸ ἄχυρον». Τί σημαίνει, «Ὡς πρόβατα βρώσεως»; Μᾶς κατέστησες εὐκολοκατεβλήτους, μᾶς ἔκαμες ἀσημάντους. Διότι ὑπάρχουν καὶ πρόβατα ἀναπαραγωγικά, ποὺ εἶναι κατάλληλα πρὸς γέννησιν ἄλλων, ἐνῷ ἄλλα εἶναι, ἐξ αἰτίας τοῦ γήρατος καὶ τῆς στειρότητός των, χρήσιμα μόνον διὰ τροφήν. Καὶ τὸ χειρότερον βέβαια εἶναι τὸ ὅτι διεμοιράσθησαν εἰς τὰ ἔθνη, πρᾶγμα ποὺ ἦτο δι' αὐτοὺς βαρύτερον ἀπὸ ὅλα, διότι δὲν ἠμποροῦν ἐκεῖ οὔτε τὸν νόμον νὰ φυλάξουν μὲ ἀκρίβειαν, καὶ ἐξέπεσαν ἀπὸ τὸν πατροπαράδοτον τρόπον ζωῆς. Καὶ δὲν διεμοιράσθημεν εἰς ἕνα μόνον ἔθνος, ἀλλά, λέγει, διεσκορπίσθημεν εἰς ὅλα τὰ ἔθνη, καὶ δι' ἕνα μόνον πρᾶγμα εἴμεθα ἕτοιμοι, τὸ νὰ κακοπαθοῦμεν, μὴ ἔχοντες τὴν δύναμιν νὰ ἀμυνθῶμεν ἢ νὰ σηκώσωμεν τὰ χέρια μας ἐναντίον των. Διότι αὐτὸ φανερώνει ἡ εἰκὼν τῶν προβάτων.

«Ἐπέτρεψες νὰ πωληθῇ ὁ λαός σου χωρὶς καμμίαν ἀξίαν». Ἄλλος λέγει, «ὡς νὰ εἶναι ἀνύπαρκτος». Ἄλλος, «τὸν κατέστησες ἀνύπαρκτον». «Καὶ δὲν ἦσαν πολλοὶ ἐκεῖνοι ποὺ ἔπεσαν ἐπάνω μας μὲ ἀλλαλαγμοὺς καὶ μᾶς ἐνίκησαν». Ἄλλος λέγει· «Καὶ κατέστησες ὄχι μεγάλην τὴν τιμὴν αὐτῶν». Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς·

συνέσεως ψάλλητε. Τί οὖν ἐστι τὸ λεγόμενον; Τὸ εὐτελὲς αὐτῶν καὶ οὐδαμινὸν παρίστησιν, ὡς οὐδενὸς ὄντας ἀξίους, ὡς εὐώνους καὶ εὐκαταφρονήτους, οὕτως ἡμᾶς εἴασας. Καὶ τοῦτο ἀπὸ τῆς συνηθείας τῆς ἀνθρωπίνης φησίν. Ἔθος γὰρ ἡμῖν τὰ ἄτιμα καὶ τὰ εὐτελῆ καὶ ἄνευ τιμῆς διδόναι· ὧν δὲ πολὺς ἡμῖν ὁ λόγος, κἂν ἀποδώμεθα, πολλῆς ἀποδιδόμεθα τιμῆς· ὧν δὲ οὐ πολὺς λόγος ἡμῖν, ταῦτα καὶ δωρεὰν παρέχομεν. Τῶν γοῦν οἰκετῶν τοὺς ἀγνώμονας οἱ μὲν τὰς ἡμισείας τῆς τιμῆς, οἱ δὲ τούτους ἀπέδοντο μὴ λαβόντες μηδέν. Εἰ δὲ τὸ ἐλάττονος παραχωρῆσαι τιμῆς δείκνυσι τὴν εὐτέλειαν τοῦ πιπρασκομένου, τὸ μηδὲ τιμῆς λαβεῖν, ἀλλ' ἄνευ τιμῆς, πολλῷ μᾶλλον. Τοῦτο οὖν φησιν· ὥσπερ ἂν εἴ τις ἄνθρωπος ἄνευ τιμῆς ἐκσταίη τῶν αὐτοῦ, οὕτω καὶ αὐτὸς ὡς ἀτίμους ἡμᾶς εἴασας, κατεφρόνησας ἡμῶν σφόδρα. Τοῦτο γοῦν καὶ ἐν τῇ ἐπαγωγῇ δηλοῖ εἰπών· «Καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλλάγμασιν ἡμῶν»· τουτέστιν, ἐν τῇ ὠνῇ ἡμῶν. Διὸ καὶ ἕτερός φησιν, «Ἐν τῇ τιμήσει ἡμῶν»· τουτέστιν, ἐν τῇ πράσει ἡμῶν. Ἡ γὰρ τιμὴ ἄλλαγμά ἐστι· δίδομεν γὰρ οἰκέτην πολλάκις, καὶ λαμβάνομεν ἀργύριον ἢ χρυσίον.

«Ἔθου ἡμᾶς ὀνειδισμὸν τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸν καὶ χλευασμὸν τοῖς κύκλῳ ἡμῶν». Ἄλλος λέγει, «Πομπὴν τοῖς κύκλῳ ἡμῶν». «Ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσι». Χαλεπὴ αὕτη τιμωρία καὶ ἀφόρητος, μάλιστα τὸ παρὰ τῶν ἀσεβῶν ὀνειδίζεσθαι, τὸ παρ' ἐχθρῶν ταῦτα πάσχειν, καὶ κύ-

βέβαια φαίνεται πάρα πολὺ ἀσαφὲς τὸ ρητόν, ἀλλὰ προσέχετε, ὥστε μὲ σύνεσιν νὰ ψάλλετε τὸν ψαλμόν. Τί σημαίνει λοιπὸν τὸ λεγόμενον; Παριστᾷ τὸ εὐτελὲς αὐτῶν καὶ τὸ μηδαμινόν, ὡσὰν νὰ μὴ ἔχωμεν καμμίαν ἀξίαν, μᾶς ἐγκατέλειψες ὡσὰν φθηνοὺς καὶ εὐκαταφρονήτους. Καὶ αὐτὸ τὸ λέγει λαμβάνοντάς το ἀπὸ τὴν ἀνθρωπίνην συνήθειαν. Διότι συνηθίζομεν νὰ δίδωμεν τὰ ἄχρηστα, τὰ εὐτελῆ καὶ ἐκεῖνα ποὺ δὲν ἔχουν καμμίαν ἀξίαν, ἐκεῖνα ὅμως ποὺ τὰ θεωροῦμεν σπουδαῖα, καὶ ἂν ἀκόμη τὰ δώσωμεν, τὰ δίδομεν μὲ μεγάλην τιμήν, ἐνῷ ἐκεῖνα ποὺ δὲν εἶναι πράγματα μεγάλης ἀξίας, αὐτὰ τὰ δίδομεν καὶ δωρεάν. Ἀπὸ τοὺς δούλους ἐκείνους ποὺ εἶναι ἀχάριστοι, ἄλλοι μὲν τοὺς πωλοῦν εἰς τὸ ἥμισυ τῆς τιμῆς, ἄλλοι δὲ τοὺς ἔδωσαν πολλὲς φορὲς καὶ χωρὶς νὰ λάβουν τίποτε. Ἐὰν δὲ ἡ πώλησις εἰς μειωμένην τιμὴν φανερώνῃ τὴν εὐτέλειαν τοῦ πωλουμένου πράγματος, πολὺ περισσότερον μηδαμηνὸν εἶναι ἐκεῖνο ποὺ τὸ δίδει κανεὶς χωρὶς νὰ λάβῃ κάτι, δηλαδὴ χωρὶς τιμήν. Αὐτὸ λοιπὸν ἐννοεῖ· ὅπως ἀκριβῶς ἐὰν ἕνας ἄνθρωπος ἤθελεν ἐγκαταλείψει τὰ πράγματά του χωρὶς τιμήν, ἔτσι καὶ σὺ μᾶς ἐγκατέλειψες ὡς ἀχρήστους, μᾶς περιεφρόνησες πάρα πολύ. Αὐτὸ λοιπὸν κατ᾽ ἀναλογίαν δηλώνει καὶ ἐδῶ, λέγων· «Καὶ δὲν ἦσαν πολλοὶ ἐκεῖνοι ποὺ ἔπεσαν ἐπάνω μας μὲ ἀλλαλαγμοὺς καὶ μᾶς ἐνίκησαν»· δηλαδὴ διὰ νὰ μᾶς ἀγοράσουν. Διὰ τοῦτο καὶ ἄλλος λέγει, «διὰ τὴν ἐκτίμησίν μας»· δηλαδή, διὰ τὴν πώλησίν μας. Διότι ἡ τιμὴ εἶναι ἀντάλλαγμα· δίδομεν δηλαδὴ πολλὲς φορὲς δοῦλον καὶ παίρνομεν ἄργυρον ἢ χρυσόν.

«Ἐπέτρεψες νὰ γίνωμεν ἀντικείμενον ὀνειδισμοῦ εἰς τοὺς γείτονάς μας, καὶ ἐμπαιγμοῦ καὶ χλευασμοῦ εἰς τὰ τριγύρω μας ἔθνη». Ἄλλος λέγει· «Νὰ διαπομπευθοῦμεν εἰς τὰ τριγύρω μας ἔθνη». «Ἐπέτρεψες νὰ γίνωμεν μεταξὺ τῶν ἐθνικῶν ἀντικείμενον συζητήσεως καὶ ὀνειδισμοῦ». Εἶναι φοβερὴ αὐτὴ ἡ τιμωρία καὶ ἀνυπόφορος, πρὸ πάντων ὁ ἐξευτελισμὸς ἐκ μέρους τῶν ἀσεβῶν, τὸ νὰ πάσχουν

κλῳ περικεῖσθαι τοὺς ἐπεμβαίνοντας αὐτοῖς, καὶ πανταχόθεν αὐτοὺς περιβεβλῆσθαι ὑπὸ τῶν ὀνειδιζόντων. Τί δέ ἐστι «παραβολή»; Διήγημα, ὄνειδος. Καὶ γὰρ μιαροί τινες καὶ ἀναίσθητοι ἦσαν οἱ κύκλῳ, οὐ μόνον οὐκ ἐλεοῦντες, ἀλλὰ καὶ ὀνειδίζοντες, ὃ δὴ μάλιστα αὐτοὺς ἔδακνεν. Ἐνταῦθα δέ μοι τοὺς Ἄραβας λέγειν δοκεῖ, τοὺς ἐκ γειτόνων αὐτοῖς οἰκοῦντας. «Κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς». Ἄλλος φησί, «Μετακίνημα». Ὁ δὲ Ἑβραῖος, «Μανούδ». Ἢ τοῦτό φησιν, ὅτι μετεκίνησας ἡμᾶς, ἢ διὰ τοῦ σχήματος τῆς κινήσεως τῆς κεφαλῆς τοῦ σφόδρα ἐφηδομένου τὴν παροινίαν ἐνδείκνυται. «Ὅλην τὴν ἡμέραν ἡ ἐντροπή μου κατεναντίον μού ἐστι». Ἄλλος φησίν, «Ἡ ἀσχημοσύνη μου». «Καὶ ἡ αἰσχύνη τοῦ προσώπου μου ἐκάλυψέ με, ἀπὸ φωνῆς ὀνειδίζοντος καὶ καταλαλοῦντος». Ἄλλος φησί, «Καὶ βλασφημοῦντος». «Ἀπὸ προσώπου ἐχθροῦ καὶ ἐκδιώκοντος». Ταῦτα τῶν τιμωριῶν μᾶλλον αὐτοὺς ἔδακνεν. Ἐπειδὴ γὰρ ἀεὶ καὶ συνεχῶς εὐημερίας ἀπήλαυον, καὶ τῶν πολεμίων ἐκράτουν, τὰ πάντων τότε ἠνοίχθη στόματα, πεσόντων αὐτῶν καὶ ὑποσκελισθέντων, καὶ οὐδὲ ἀνακύψαι εἶχον, ἀλλὰ διηνεκῆ τιμωρίαν ὑπέμενον.

«Ταῦτα πάντα ἦλθεν ἐφ᾽ ἡμᾶς, καὶ οὐκ ἐπελαθόμεθά σου, καὶ οὐκ ἠδικήσαμεν ἐν διαθήκῃ σου». Ἄλλος, «Οὐδὲ παρελογισάμεθα τὴν συνθήκην σου». «Ἀπεναντίας τοῖς ἄλλοις, φησίν, ἡμεῖς ἤλθομεν. Ἐκεῖνοι μὲν γὰρ καὶ πρὸ τῶν δεινῶν ὑπεσκελίσθησαν, ἡμεῖς δέ, φησί, καὶ μετὰ τὰ δεινὰ ἑστήκαμεν ἀπερίτρεπτον τὴν γνώμην ἔχοντες. Ταῦτα δὲ λέγουσιν εὐέλπιδας ποιοῦντες τοὺς ὄντας μετ᾽ αὐτῶν. Διὸ δὴ τοῦ Δανιὴλ καὶ

ὅλα αὐτὰ ἀπὸ τοὺς ἐχθρούς των, νὰ εὑρίσκωνται τριγύρω των οἱ ποδοπατοῦντες αὐτοὺς καὶ νὰ περιβάλλωνται ἀπὸ παντοῦ ἀπὸ τοὺς χλευαστάς των. Τί σημαίνει δὲ «παραβολή»; Διήγησις, ὀνειδισμός. Καθ' ὅσον οἱ εὑρισκόμενοι τριγύρω των ἐθνικοὶ ἦσαν βδελυροὶ καὶ ἀναίσθητοι, ποὺ ὄχι μόνον δὲν τοὺς ἐλεοῦσαν, ἀλλὰ καὶ τοὺς ἐχλεύαζον, πρᾶγμα ποὺ κατ' ἐξοχὴν τοὺς ἐπλήγωνεν. Ἐδῶ δὲ νομίζω ὅτι ἐννοεῖ τοὺς Ἄραβας, ποὺ ἐκατοικοῦσαν τότε εἰς τὰ γειτονικὰ μέρη. «Ἐπέτρεψες εἰς τοὺς λαοὺς νὰ κινοῦν εἰρωνικὰ καὶ χλευαστικὰ τὴν κεφαλήν των». Ἄλλος λέγει, «μετακίνημα», ὁ δὲ ἑβραῖος, «Μανοὺδ». Ἢ αὐτὸ ἐννοεῖ, ὅτι μᾶς μετετόπισες, ἢ μὲ τὸ σχῆμα τῆς κινήσεως τῆς κεφαλῆς φανερώνει τὴν κακὴν συμπεριφορὰν τοῦ πάρα πολὺ χαιρεκάκου ἀνθρώπου. «Συνεχῶς ἡ ἐντροπή μου εὑρίσκεται ἐμπρός μου». Ἄλλος λέγει, «Ἡ ἀσχημοσύνη μου». «Καὶ ἡ ἐντροπὴ διὰ τὸ κατάντημά μου ἐκάλυψε τὸ πρόσωπόν μου, ἐξ αἰτίας ἐκείνων ποὺ μὲ ὀνειδίζουν καὶ μὲ χλευάζουν». Ἄλλος λέγει «ἐξ αἰτίας ἐκείνων ποὺ βλασφημοῦν». «Καὶ ἐξ αἰτίας τῆς συμπεριφορᾶς τῶν ἐχθρῶν καὶ τῶν διωκτῶν μου». Αὐτὰ τοὺς ἐπλήγωναν περισσότερον ἀπὸ τὰς τιμωρίας. Διότι, ἐπειδὴ πάντοτε καὶ συνεχῶς εὐημεροῦσαν καὶ ὑπερίσχυον τῶν ἐχθρῶν των, ἤνοιξαν τότε τὰ στόματα ὅλων, ὅταν ἐξέπεσαν αὐτοὶ καὶ ὑπεσκελίσθησαν, καὶ δὲν ἠμποροῦσαν οὔτε τὸ κεφάλι νὰ σηκώσουν, ἀλλὰ ὑπέμενον συνεχῆ τιμωρίαν.

«Ὅλαι αὐταὶ αἱ συμφοραὶ ἦλθον ἐναντίον μας καὶ ὅμως δὲν σὲ ἐλησμονήσαμεν καὶ δὲν παρεβιάσαμεν τὴν διαθήκην ποὺ ἔκαμες μὲ τοὺς προγόνους μας». Ἄλλος, «Καὶ οὔτε περιεφρονήσαμεν τὴν διαθήκην σου». Ἡμεῖς, λέγει, ἐπράξαμεν ἀντίθετα ἀπὸ τοὺς ἄλλους. Διότι ἐκεῖνοι μὲν ὑπεσκελίσθησαν καὶ πρὸ τῶν συμφορῶν, ἐνῷ ἡμεῖς, λέγει, καὶ μετὰ τὰς συμφορὰς παρεμείναμεν μὲ ἀμετακίνητον τὴν γνώμην μας. Αὐτὰ δὲ τὰ λέγουν διὰ νὰ ἐνθαρρύνουν ἐκείνους ποὺ ἦσαν μαζί των. Διὰ τοῦτο λοιπόν, ἐνῷ ὁ Δανιὴλ

τῶν τριῶν παίδων λεγόντων, «Ἡμάρτομεν, ἠνομήσαμεν», οὗτοι λέγουσιν, «Οὐκ ἠδικήσαμεν ἐν διαθήκῃ σου», ἐπαίροντες τὰ φρονήματα τῶν συστρατιωτῶν. Εἰ γὰρ τὰ μέγιστα πεπόνθαμεν, φησί, καὶ ἔγγονοι τῶν τὰ μεγάλα εὐηργετημένων ἐσμέν, καὶ ἐν ταῖς συμφοραῖς οὐκ ἐξεκλίναμεν, πολλῆς σωτηρίας ἡμῖν ἔσται ἐλπίς.

8. Ὅπερ οὖν ἐξ ἀρχῆς ἔλεγον, τοῦτο καὶ νῦν φημι, ὅτι ἐν εὐχῆς τάξει τὰ φρονήματα αὐτῶν ἀλείφουσιν, ὡσανεὶ πρὸς αὐτοὺς ἔλεγον· τίνος ἕνεκεν ἀπεγνώκατε τῆς σωτηρίας; Θεὸν ἔχομεν τὸν προϊστάμενον ἡμῶν· εἰ καί τι ἡμῖν ἡμάρτηται, δίκην ἔδομεν ἱκανήν· ἐν τοῖς πειρασμοῖς ἑστήκαμεν γενναίως· τὸν ἀεὶ καὶ ἁμαρτωλῶν προϊστάμενον ὁδηγὸν ἔχομεν· διὸ πάντοθεν δεῖ τὸ τέλος προσδοκᾶν χρηστόν. Τί δέ ἐστιν, «Οὐκ ἠδικήσαμεν ἐν διαθήκῃ σου»; Τουτέστιν, οὐκ ἠδικήσαμεν περὶ ταῦτα, ἃ ἐπιστεύθημεν, ἀλλ' ἐφυλάξαμεν μετὰ ἀκριβείας. Καὶ γὰρ μεγίστη ἀδικία ἐστίν, ὅταν τὸν νόμον τις παραβαίνῃ τὸν ἀμύνοντα, τὸν οὐκ ἐῶντα οὐδὲ παρὰ τῶν πλησίον ἀδικεῖσθαι, καὶ τὴν κακίαν κωλύοντα, ὅταν περὶ τὸν τοσαῦτα παρέχοντα ἀγαθὰ ἀγνωμονῇ. «Καὶ οὐκ ἀπέστη εἰς τὰ ὀπίσω ἡ καρδία ἡμῶν». Ἄλλος φησίν, «Οὐκ ἀπεχώρησε». «Καὶ οὐκ ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου». Ἄλλος φησίν, «Οὐδὲ μετεκλίθη τὰ ὑπορθοῦντα ἡμᾶς». Ἄλλος, «Καὶ οὐκ ἀπεστράφη εἰς τὰ ὀπίσω ἡ καρδία ἡμῶν, καί οὐκ ἔκλινε βήματα ἡμῶν».

Ὅπερ ἔμπροσθεν εἴρηκε, τοῦτο καὶ ἐνταῦθα λέγει, ὅτι ἐν τοσούτῳ κλύδωνι κακῶν οὐδὲ μικρὸν παρεσαλεύθησαν. Καλῶς δὲ οὕτως εἶπεν. Ὥσπερ γὰρ ὁ νόμος εἰς τὰ ἔμπροσθεν ἄ-

καὶ οἱ τρεῖς παῖδες λέγουν, «Ἡμαρτήσαμεν καὶ παρενομήσαμεν», αὐτοὶ λέγουν, «Δέν παρεβιάσαμεν τὴν διαθήκην σου», διὰ νὰ ἐξυψώσουν τὸ φρόνημα τῶν συστρατιωτῶν των. Διότι, λέγει, ἐφ' ὅσον ἐπάθαμεν τὰ πιὸ χειρότερα καὶ εἴμεθα ἀπόγονοι ἐκείνων ποὺ ἐδέχθησαν τὰς πιὸ μεγάλας εὐεργεσίας καὶ δέν ὑπεκύψαμεν εἰς τὰς συμφοράς, ἄρα ὑπάρχει μεγάλη ἐλπὶς πρὸς σωτηρίαν μας.

8. Ἐκεῖνο λοιπὸν ποὺ ἔλεγον ἀπὸ τὴν ἀρχήν, αὐτὸ καὶ τώρα θὰ εἰπῶ, προγυμνάζουν τὸ φρόνημα αὐτῶν ὑπὸ μορφὴν προσευχῆς, καὶ εἶναι ὡσὰν νὰ ἔλεγον πρὸς αὐτούς· διατί ἀπεγοητεύθητε διὰ τὴν σωτηρίαν σας; Ἔχομεν τὸν Θεὸν προϊστάμενὸν μας· καὶ ἂν ἀκόμη ἐπράξαμεν κάποιο ἁμάρτημα, ἐτιμωρήθημεν ἀρκετά· εἰς τοὺς πειρασμοὺς ἐστάθημεν μὲ γενναιότητα· ἔχομεν ὁδηγὸν τὸν αἰώνιον προστάτην τῶν ἁμαρτωλῶν· διὰ τοῦτο πρέπει νὰ περιμένωμεν ἀπὸ παντοῦ εὐχάριστον τέλος τῶν συμφορῶν μας. Τί σημαίνει δέ, «Οὐκ ἠδικήσαμεν ἐν διαθήκῃ σου»; Δηλαδὴ δέν παρέβημεν αὐτὰ ποὺ μᾶς ἐνεπιστεύθησαν οἱ πατέρες μας, ἀλλὰ τὰ ἐφυλάξαμεν μὲ ἀκρίβειαν. Καθ' ὅσον μεγίστη ἀδικία εἶναι, ὅταν κανεὶς παραβαίνῃ τὸν νόμον ποὺ τὸν προφυλάσσει, τὸν νόμον ποὺ δέν τόν ἀφήνει νά ἀδικηθῇ, οὔτε ἀπὸ τοὺς πλησίον του, καὶ ἐμποδίζει τὴν κακίαν, ὅταν δείχνῃ ἀχαριστίαν πρὸς ἐκεῖνον ποὺ τοῦ παρέχει τόσα πολλὰ ἀγαθά. «Καὶ δέν ἀπεμακρύνθη ἡ καρδία μας ἀπὸ κοντά σου». Ἄλλος λέγει, «Δὲν ἀπεχώρησε». «Καὶ δέν μᾶς ἄφησες νὰ παρεκκλίνωμεν ἀπὸ τὰς ὁδούς σου». Ἄλλος λέγει, «Δέν ἀνεκλήθησαν ἀπὸ ἐμᾶς αἱ ἐποικοδομητικαὶ ἐντολαί σου». Ἄλλος λέγει· «Καὶ δέν ἐστράφη ὀπίσω ἡ καρδία μας καὶ δέν ἐξέκλιναν τὰ βήματά μας ἀπὸ τὰς ὁδούς σου».

Ἐκεῖνο ποὺ εἶπε προηγουμένως, αὐτὸ λέγει καὶ ἐδῶ, ὅτι οὔτε κατ' ἐλάχιστον ἐξέκλιναν ἀπὸ τὰς ἐντολάς του ἂν καὶ εὑρέθησαν μέσα εἰς μίαν τόσον μεγάλην τρικυμίαν κακῶν. Καλῶς δέ ὡμίλησεν ἔτσι. Διότι, ὅπως ἀκριβῶς ὁ νόμος ὁδηγεῖ πρὸς τὰ ἐμπρός, ἔτσι ἡ παρανομία μεταφέ-

γει, οὕτως ἡ παρανομία εἰς τὰ ὀπίσω μεθίστησι· καὶ ὥσπερ ὁ νόμος τὴν ὀρθὴν ὁδὸν βαδίζειν κελεύει, οὕτως ἡ παρανομία πρὸς τὴν ἔρημον καὶ ἄβατον τὸν ἄνθρωπον μεθίστησιν. Ὁδὸν οὖν τὸν νόμον φησὶν ἐνταῦθα. Τὸ δέ, «Ἐξέκλινας», ὅπερ οἱ ἄλλοι λέγουσιν, «Οὐδὲ μετεκλίθη τὰ ὑπορθοῦντα ἡμᾶς ἀπὸ τῆς ὁδοῦ σου», ὁ Ἑβραῖός φησιν, «Οὐαθὲι ἀσουρενοῦ μενὶ ὅραχ»· εἰ δὲ κατὰ τοὺς ἑβδομήκοντα βουληθείη τις ἑρμηνεῦσαι, καὶ οὐ κατὰ τοὺς ἄλλους, τό, «Ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου», τοῦτό ἐστιν, ὅτι ἀπῴκισας τοῦ ναοῦ σου, καὶ ἐν ἀλλοτρίᾳ εἶναι πεποίηκας· ὅπερ οὐκ εἴα τὰς λατρείας ἐπιτελεῖσθαι.

«Ὅτι ἐταπείνωσας ἡμᾶς ἐν τόπῳ κακώσεως». Ἄλλος φησίν, «Ἀοικήτῳ». Ἄλλος, «Ἐν τόπῳ Σειρήνων». «Καὶ ἐπεκάλυψεν ἡμᾶς σκιὰ θανάτου». Ἄλλος λέγει, «Ἐπώμασας ἡμᾶς». Αὕτη μοι δοκεῖ ἡ ἀνταπόδοσις πρὸς τὰ ἄνω εἶναι, ἐν οἷς τὰ κακὰ διηγοῦνται λέγοντες, «Ἡ αἰσχύνη τοῦ προσώπου μου ἐκάλυψέ με, ἀπὸ φωνῆς ὀνειδίζοντος καὶ καταλαλοῦντος»· «Ὅτι ἐταπείνωσας ἡμᾶς». Εἰ μέντοι πρὸς τό, «Ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου», λάβοι τις αὐτό, ἐνταῦθα ἀκολουθίαν ἔχει κατὰ τὴν ἔννοιαν, ἣν εἰρήκαμεν. Δηλοῖ γὰρ πῶς ἐκ τῶν τρίβων αὐτῶν ἀπώσατο αὐτούς, τῆς πολιτείας λέγω καὶ τῶν νομίμων, τὸ εἰς τόπους ἐρήμους ἀπαγαγεῖν, καὶ μεταξὺ πολεμίων ἀφεῖναι. Τοῦτο γάρ ἐστι τό, «Ἐκάλυψεν ἡμᾶς σκιὰ θανάτου»· τοὺς κινδύνους λέγων τοὺς θάνατον τίκτοντας, καὶ ὧν πλησίον οἱ θάνατοι, ὥσπερ καὶ 'ὠδῖνας θανάτου' καὶ 'πύλας ᾅδου' ἡ Γραφὴ καλεῖ. Καὶ τὸ ἄφυκτον τῶν δεινῶν διά

'ρει εἰς τὰ ὀπίσω' καὶ ὅμως ὁ νόμος προστάσσει νὰ βαδίζωμεν τὴν ὀρθὴν ὁδόν, ἔτσι ἡ παρανομία μεταφέρει τὸν ἄνθρωπον πρὸς τὸν ἔρημον καὶ ἀδιάβατον δρόμον. Ὁδὸν λοιπὸν ἐδῶ ὀνομάζει τὸν νόμον. Τὸ δὲ «Ἐξέκλινας», ποὺ οἱ ἄλλοι ἐξηγοῦν μὲ τὸ «Οὔτε μετεκλήθησαν αἱ ἐντολαί σου ἐκεῖναι ποὺ συντελοῦν εἰς τὴν ἐποικοδόμησίν μας», ὁ ἑβραῖος τὸ λέγει «Ούαθὲτ ἀσουρενοῦ μενὴ ὅραχ»· ἐὰν δὲ θελήση κανεὶς νὰ ἑρμηνεύση σύμφωνα μὲ τοὺς ἑβδομήκοντα, καὶ ὄχι σύμφωνα μὲ τοὺς ἄλλους, τὸ «ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου», σημαίνει αὐτό, ὅτι μᾶς ἀπεμάκρυνες ἀπὸ τὸν ναόν σου καὶ μᾶς μετέφερες εἰς ξένην χώραν, πρᾶγμα ποὺ δὲν ἐπέτρεπε τὴν τέλεσιν τῶν λατρευτικῶν καθηκόντων.

«Διότι μᾶς ἐταπείνωσες εἰς τὸν τόπον τῆς κακοπαθείας μας». Ἄλλος λέγει «εἰς τόπον ἀκατοίκητον». Ἄλλος, «Εἰς τόπον Σειρήνων». «Καὶ μᾶς ἐσκέπασεν ἡ σκιὰ τοῦ θανάτου». Ἄλλος λέγει, «Ἐσκόρπισες γύρω μας φρίκην καὶ τρόμον». Αὐτὴ ἡ φράσις, κατὰ τὴν γνώμην μου, ἀποτελεῖ στροφὴν πρὸς τὰ προλεχθέντα, μὲ τὰ ὁποῖα περιγράφουν τὰς συμφοράς των, λέγοντες, «Ἡ ἐντροπὴ ἐκάλυψε τὸ πρόσωπόν μου, ἐξ αἰτίας τοῦ ὀνειδισμοῦ καὶ τοῦ χλευασμοῦ τῶν ἐχθρῶν μου». «Διότι μᾶς ἐταπείνωσες». Ἐὰν ὅμως ἤθελεν ἐκλάβει κανεὶς αὐτὸ σύμφωνα μὲ τὸ «Ἀπεμάκρυνες τὰ βήματά μας ἀπὸ τὴν ὁδόν σου», τότε ἔρχεται εἰς πλήρη συμφωνίαν μὲ τὴν ἔννοιαν ποὺ προανεφέραμεν. Διότι δείχνει πῶς ἀπεμάκρυνεν αὐτοὺς ἀπὸ τὰς ὁδούς των, ἀπὸ τὸν τρόπον ποὺ ἔζων καὶ ἀπὸ τὰς συνηθείας των, καὶ τοὺς ὡδήγησεν εἰς τόπους ἐρήμους καὶ τοὺς ἐγκατέλειψε μεταξὺ τῶν ἐχθρῶν των. Διότι αὐτὸ σημαίνει τὸ «Ἐκάλυψεν ἡμᾶς σκιὰ θανάτου»· ἐννοῶν τοὺς κινδύνους ποὺ προκαλοῦν τὸν θάνατον, πλησίον τῶν ὁποίων εὑρίσκονται οἱ θάνατοι, καὶ τοὺς ὁποίους ἡ Γραφὴ ὀνομάζει 'ὠδῖνας θανάτου' καὶ 'πύλας Ἅδου'. Καὶ ἀκόμη παριστᾷ ἐδῶ διὰ τῶν φράσεων τῆς σκιᾶς τῆς ἐπικαλύψεως

τε τῆς σκιᾶς καὶ τῆς ἐπικαλύψεως ἐνταῦθα παρίστησιν, οὐδὲ ἥντινα διάλυσιν εὑρεῖν, οὐδὲ ἀναπνοὴν μικρὰν δυνάμενα.

«Εἰ ἐπελαθόμεθα τοῦ ὀνόματος τοῦ Θεοῦ ἡμῶν, καὶ εἰ διεπετάσαμεν τὰς χεῖρας ἡμῶν πρὸς Θεὸν ἀλλότριον, οὐχὶ ὁ Θεὸς ἐκζητήσει ταῦτα; Αὐτὸς γὰρ γινώσκει τὰ κρύφια τῆς καρδίας». Τοῦτο οἰκετῶν εὐγνωμόνων, τὸ κακῶς πάσχοντας μένειν τὸν δεσπότην θεραπεύοντας· ταῦτα φιλοσοφίας διδάγματα' Ἐνταῦθα καὶ τοὺς ἀκούοντας παιδεύουσι, μὴ ὑποκρίνεσθαι, ἀλλ' ἐν ὅλῃ καρδίᾳ τὸν Θεὸν θεραπεύειν. Οἶδε γάρ, φησί, τὰ ἀπόρρητα τῆς διανοίας. Ταῦτα δὲ λέγουσι φοβοῦντες αὐτούς, ὥστε μηδὲν λογίσασθαι ἀνάξιον Θεοῦ. Ὅρα καὶ τὴν ἐπίδοσιν ἀρετῆς πολλήν· ἐπάγει γὰρ λέγων «Ὅτι ἕνεκέν σου θανατούμεθα ὅλην τὴν ἡμέραν· ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς». Μέγα μὲν γὰρ καὶ τὸ μένειν θεραπεύοντας τὸν Θεόν, καὶ μὴ πρὸς ἕτερον ἀποπηδῆσαι, τὸ δὲ πολλῷ μεῖζον, τὸ συνεχῶν θανάτων καὶ καθημερινῶν κινδύνων ἐπικειμένων διατηρεῖν τὴν τοιαύτην ἀγάπην. Καὶ ἐννόησον ὅσον φιλοσοφίας εἶδός ἐστιν, ὅπου γε καὶ ὁ Παῦλος αὐτῷ κέχρηται, τὰς νιφάδας τῶν ἀποστολικῶν κινδύνων ἀπαριθμούμενος ἐν τῇ πρὸς Ρωμαίους ἐπιστολῇ. Πόσων οὖν ἂν εἶεν ἄξιοι στεφάνων οὗτοι, ὅταν ἐν τῇ Παλαιᾷ φαίνωνται πρὸς τὸ μέτρον φθάσαντες τῶν ἐν τῇ Καινῇ ἀγωνισμάτων; Ὃ γάρ φησιν ὁ Παῦλος, «Καθ' ἡμέραν ἀποθνήσκω», τοῦτο καὶ οὗτοι, οὐχὶ τῇ πείρᾳ, οὔτε τῷ τέλει, ἀλλὰ τῇ γνώμῃ. Διὰ τί δέ φησιν, «Ἕνεκέν σου»; Ὅτι ἐξῆν ἡμῖν, φησί, μετατάξασθαι, καὶ ἀφεῖναι τὴν πατρῴαν πολιτεί-

45. Ρωμ. 8, 36.
46. Α' Κορ. 15, 31.

τὸ ἀναπόφευκτον τῶν συμφορῶν, αἱ ὁποῖαι δὲν εἶναι δυνατὸν νὰ τερματισθοῦν οὔτε νὰ ἔχουν κάποιαν μικρὰν διακοπήν.

«Ἐὰν εἴχαμεν λησμονήσει τὸ ὄνομα τοῦ Θεοῦ μας καὶ ἐὰν εἴχαμεν ὑψώσει ἱκετευτικὰ τὰ χέρια μας πρὸς ξένον θεόν, δὲν θὰ μᾶς ἐζήτει ὁ Θεὸς λόγον δι᾽ αὐτά; διότι αὐτὸς γνωρίζει τὰς ἀποκρύφους σκέψεις της καρδίας μας». Αὐτὸ εἶναι γνώρισμα εὐγνωμόνων δούλων, τὸ νὰ ἐξακολουθοῦν νὰ ὑπηρετοῦν τὸν κύριόν των ἂν καὶ κακοπαθοῦν, αὐτὰ εἶναι διδάγματα εὐσεβείας. Αὐτὰ διδάσκουν καὶ τοὺς ἀκροατὰς νὰ μὴ ὑποκρίνωνται, ἀλλὰ νὰ λατρεύουν τὸν Θεὸν μὲ ὅλην τὴν καρδίαν των. Διότι, λέγει, γνωρίζει ὁ Θεὸς τὰ ἀπόκρυφα τῆς διανοίας. Αὐτὰ δὲ τὰ λέγουν διὰ νὰ φοβίσουν αὐτούς, ὥστε νὰ μὴ σκεφθοῦν τίποτε ἀνάξιον περὶ τοῦ Θεοῦ. Πρόσεχε καὶ τὴν μεγάλην ἐπίδοσίν των εἰς τὴν ἀρετήν· διότι προσθέτει τὰ ἑξῆς λόγια· «Διότι ἐξ αἰτίας τῆς πίστεώς μας πρὸς ἐσένα θανατούμεθα καθημερινά· ἐθεωρήθημεν ὡσὰν πρόβατα πρὸς σφαγήν». Βέβαια εἶναι πολὺ σπουδαῖον τὸ νὰ παραμένουν λατρεύοντες τὸν Θεὸν καὶ νὰ μὴ ἀποσκιρτήσουν πρὸς ἄλλον, ἀκόμη ὅμως πολὺ περισσότερον σπουδαῖον εἶναι, τὸ νὰ διατηροῦν αὐτὴν τὴν ἀγάπην παρὰ τοὺς συνεχεῖς θανάτους καὶ τοὺς καθημερινοὺς κινδύνους ποὺ τοὺς περιέβαλλον. Καὶ ἀναλογίσου πόσον μεγάλον δεῖγμα εὐσεβείας εἶναι, ἀφοῦ καὶ ὁ Παῦλος αὐτὸ προβάλλει, ἀπαριθμῶν εἰς τὴν πρὸς Ρωμαίους ἐπιστολήν του τὴν πληθώραν τῶν ἀποστολικῶν κινδύνων[45]. Πόσων λοιπὸν στεφάνων δὲν θὰ ἦσαν αὐτοὶ ἄξιοι, ὅταν φαίνωνται νὰ φθάνουν οἱ τῆς παλαιᾶς Διαθήκης τὸ μέτρον τῶν ἀγωνισμάτων τῆς Νέας Διαθήκης; Διότι αὐτὸ ποὺ λέγει ὁ Παῦλος, «Καθημερινὰ ἀποθνήσκων»[46], αὐτὸ παθαίνουν καὶ αὐτοί, ὄχι ὡς πρὸς τὴν πρᾶξιν καὶ τὸ τελικὸν ἀποτέλεσμα, ἀλλὰ ὡς πρὸς τὴν διάθεσιν. Διατί δὲ λέγει, «Ἐξ αἰτίας σου»; Διότι, λέγει, ἠμπορούσαμεν νὰ μεταπηδήσωμεν εἰς ἄλλην παράταξιν καὶ

ειν καὶ εἶναι ἐν ἀσφαλείᾳ, ἀλλ' αἱρούμεθα πάσχειν κακῶς μᾶλλον καὶ τὰ πατρῷα φυλάττειν, ἢ εἰρήνης ἀπολαύειν μετὰ τὸ τῶν πατρῴων ἐκπεσεῖν.

